τωσαν Ἰουδαῖοι τὸν νέον καὶ ἐκλεκτὸν λαὸν θεωροῦντες, ὅσῳ κάλλει κεκόσμηται πνευματικῷ, ὅσῃ λαμπρότητι καταυγάζει τὸν κόσμον. Διὰ τοῦτο γὰρ ἡμᾶς μεμιγμένους ἐν τοῖς ἔθνεσιν ἀφῆκεν, ἵνα φαινώμεθα ὡς φωστῆρες ἐν κόσμῳ· ἵνα σπέρμα σωτηρίας ὦμεν, εἰς ἐπιστροφὴν θεωρούμενοι πᾶσι τοῖς συνοῦσι καὶ συντυγχάνουσιν. Ὁρᾶτε μή τις δι' ὑμᾶς τῶν ἐθνικῶν βλασφημήσει Θεόν. Εὐφημείσθω δὲ ἐν ἡμῖν ὁ καλέσας, καὶ ἁγιάσας καὶ σώσας. Ὁ βίαιος καὶ θρασὺς θαυμασάτω τὴν ἐπιείκειαν ἡμῶν καὶ μετριότητα· ὁ λοιδορῶν, ἀντευφημούμενος ἐντρεπέσθω· ὁ περὶ χρημάτων φιλονικῶν καὶ δικάζεσθαι βουλόμενος ἀταράχους ἡμᾶς εὑρισκέτω περὶ χρήματα, μὴ νομίζοντες ἑαυτοὺς ἔχειν κτῆσιν ἐπίγειον, ἀλλὰ κρατοῦντες τὴν ἐπουράνιον· ὁ διὰ παρακλήσεως φιλικῆς προτιέμενος ἡμᾶς εἰς ἡδονὰς κοσμικὰς εὑρισκέτω σεμνούς, ἀμετακινήτους, σωφροσύνην ποθοῦντας, οὐχ ἡδονῇ δελεαζομένους· ἵνα εἴδωσι πόσον ἰσχύει Πνεύματος ἁγίου συνοίκησις, φύσιν σαρκὸς ἐκνεκρώσαντες. Ὁ πρόχειρος εἰς ἐπιορκίαν εὑρισκέτω μηδὲ ὀμνύειν ἀνεχομένους ἡμᾶς, ἀλλὰ δεδοικότας τὸ τοῦ Θεοῦ προφέρειν ὄνομα περὶ ταπεινῶν καὶ γηΐνων πραγμάτων. Οὕτω γὰρ ἐσόμεθα πάντες διδάσκαλοι τῶν ἐντυγχανόντων ἡμῖν ἐν οἱῳδήποτε πράγματι. Οὕτω δὲ πολιτευσάμενοι γενησόμεθα ζύμη ἁγία, καὶ δι' ἡμῶν ζυμωθήσεται ὁ κόσμος εἰς σωτηρίαν, καὶ πολὺς ἐξ ἡμῶν καρπὸς εὑρεθήσεται τῷ Κυρίῳ πεφυλαγμένος, καὶ δοξασθήσεται ὁ Θεὸς ἐν ἡμῖν, κατὰ τὸν λέγοντα Κύριον· *Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ, ἵνα ὑμεῖς καρπὸν πολὺν φέρητε, καὶ γένησθέ μοι μαθηταί.* Δοξασθεὶς δὲ ὑφ' ἡμῶν ὁ Κύριος δοξάσει ἡμᾶς τῇ αἰωνίῳ δόξῃ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Β'

Εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εἰς τὴν Θεοτόκον, καὶ εἰς τὴν Ἄνναν, καὶ εἰς τὸν Συμεῶνα.

Α'. Πολλοὶ τῶν μεγάλων ἀνθρώπων τὴν παρθενίαν θαυμάζουσιν· καὶ γὰρ ἐστὶ θαυμαστή, ὡς τῶν ἀγγέλων σύμφυτος, ὡς τῶν ἄνω δυνάμεων συνόμιλος, ὡς τῶν ἀσωμάτων φύσεων σύνδρομος, ὡς τῆς ἁγίας Ἐκκλησίας λαμπαδοῦχος, ὡς τὸν κόσμον νικῶσα, ὡς τὰ πάθη πατοῦσα, ὡς τὰς ὀρέξεις χαλινοῦσα, ὡς τῇ Εὔᾳ μὴ κοινωνοῦσα, ὡς λύπης ἀπηλλαγμένη, ὡς στεναγμῶν λελυτρωμένη, ὡς τὴν καταδεδικασμένην ἀπόφασιν μὴ προσδεχομένη (12), τὴν φάσκουσαν· *Πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου* (13)· *καὶ αὐτός σου κυριεύσει*· θαυμαστὴ τοιγαροῦν ἡ παρθενία, ὡς ἀδούλωτον κτῆμα, ὡς ἀμάραντον φυτὸν, ὡς ἐλεύθερον ἐνδιαίτημα, ὡς ἀσκητικὸν ἐγκαλλώπισμα (14),

[36] Philipp. II, 15. [37] Isa. I, 9; Rom IX, 29. [38] Hebr. X, 14. [39] Joan. XV, 8. [40] Gen. III, 16.

(12) *Προσδ.* Al. ὑποδεχομένη.

(13) *Καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου.* Minus bene Sifanus: *Et ad virum tuum te avertes:* vix enim fuerit Latinis τὸ *avertes et aversio*, ipsum, convertes et conversio, quod vult τὸ ἀποστροφή, et habent Syxtina ubi, teste Hieronymo, Aquila *Societatem:* Symmachus, *appetitum* vel *impetum* transtulerunt: quomodo etiam Tigur. *Et ad virum tuum erit desiderium tuum.*

(14) *Ὡς ἀσκητικὸν ἐγκαλλώπισμα.* Velut monachorum et peculiarius Deo addictorum hominum gloria, quorum angelico in terris instituto ita cognata est angelica virtus virginitas, seu saltem continentia, ab illo semel arrepto, ut nulla indulgentia, ipso integro, possit violari, ac vel ad horam, in re

Digitized by Google

ὡς τῆς ἀνθρωπίνης ἕξεως ἀνωτερα, ὡς τῶν ἐπαναγ- A
καιοπαθῶν ἐλευθέρα (15), ὡς συνεισελθοῦσα τῷ νυμ-
φίῳ Χριστῷ εἰς τὸν θάλαμον τῆς οὐρανῶν βασιλείας.
Καὶ τὰ μὲν τῆς παρθενίας κλέη, ταῦτα, καὶ τὰ πα-
ραπλήσια τούτων· ὁ δὲ τίμιος γάμος ὑπέρκειται
παντὸς δώρου γηΐνου, ὡς ἔγκαρπον δένδρον, ὡς
ἀστεῖον φυτὸν, ὡς ῥίζα τῆς παρθενίας, ὡς γεωργὸς
τῶν λογικῶν καὶ ἐμψύχων κλάδων, ὡς εὐλογία τῆς
τοῦ κόσμου αὐξήσεως, ὡς παρήγορος τοῦ γένους, ὡς
δημιουργὸς τῆς ἀνθρωπότητος, ὡς τῆς θεϊκῆς εἰκό-
νος ζωγράφος, ὡς τὸν Δεσπότην εὐλογοῦντα κεκτημέ-
νος, ὡς πάντα τὸν κόσμον φέρειν δεχόμενος, ὡς ἐκεί-
νῳ πολιτευόμενος (16) ὃν καὶ ἐνανθρωπῆσαι ἐδυσ-
ώπησεν, ὡς δυνάμενος λέγειν μετὰ παῤῥησίας. Ἰδοὺ,
ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός. Περίελε
τὸν τίμιον γάμον, καὶ ποῦ εὑρήσεις τὸ τῆς παρθενίας B
ἄνθος· ἔνθεν γὰρ καὶ οὐκ ἄλλοθεν, τὸ τῆς παρθενίας
ἄνθος ἀναλέγεται. Ταῦτα δὲ λέγοντες, ἀγαπητοὶ, οὐ
μάχην παρεισβάλλομεν μεταξὺ παρθενίας καὶ γά-
μου· τὰ ἑκάτερα δὲ ὡς ἀλληλόχρεα θαυμάζομεν.
Ἐπειδὴ τῶν ἑκατέρων ὁ Δεσπότης καὶ προνοητὴς
οὐκ ἀντιταλαντεύει ἕτερον τῷ ἑτέρῳ· πρὸς γὰρ τὰ
ἑκάτερα τῆς θεοσεβείας ἔχεται (17). Ἄνευ γὰρ τῆς
τιμίας καὶ θεοσεβοῦς εὐσεβείας (18) οὔτε παρθενία
σεμνὴ, οὔτε γάμος τίμιος.

torum decus, ut superior humano habitu et qualitate, ut necessariis affectionibus libera, ut cum Christo sponso in regni cœlorum penetrans thalamum. Et hæc quidem sunt virginitatis insignia, et si qua iis fuerint proxima : honorabile autem connubium [41], donum omne terrenum superat, tanquam arbor frugifera, ut planta elegans, velut radix virginitatis, ut quod rationales vitaque potiori auctos ramos, excolat, veluti mundi cremento data benedictio, ut solatium generis, ut naturæ conditor, ut pictor divinæ imaginis, ut cui Dominus benedixit, ut quod universum mundum portare sustineat, ut cujus rationes illi instituantur, quem etiam ut homo fieret inflexit : quod tota libertate dicere possit : *Ecce ego, et parvuli, quos dedit mihi Dominus* [42]. Aufer honorabile conjugium, nec usquam virginitatis florem inveneris. Inde enim, non ex alio, colligitur flos virginitatis. Cum vero hæc dicimus, dilecti; haudquaquam inter virginitatem matrimoniumque pugnam inducimus : sed utrumque, ut quod alterum alteri officium præstet, vicissimque indigeat altero, suspicimus : siquidem amborum Dominus provisorque non alterum alteri opponit : in utroque enim religionem amplectitur Nam absque religiosa pietate, neque virginitas venerabilis est, neque matrimonium honorabile.

Β'. Ταῦτα δέ μοι ἐν τῷ παρόντι λόγῳ προήχθη, διὰ τὸ ἐν τῷ νόμῳ γραφὲν, καὶ ἐν τῇ χάριτι βεβαιωθὲν, καὶ καθόλου λεχθὲν, καὶ καθόλου μὴ εὑρεθὲν, καὶ ἐν τῷ Κυρίῳ μόνῳ πληρωθέν (19)· περὶ τοῦ γαμικοῦ φημὶ

II. Hæc a me præsenti oratione prolata sunt, propter id quod est scriptum in lege, et in gratia confirmatum : quod universim dictum, nec universim inventum est, sed in solo Domino impletum

[41] Heb. XIII, 4. [42] Isa. VIII, 18.

etiam, non servari, solaque præparatione animi et prompta voluntate; quomodo et obedientiæ et paupertatis vota, servata, non raro sufficiunt, vel deficiente qui præcipiat, vel usu rerum interim libero, ac qualis fere est domini. Qua de re tum canonistæ ad Decret. extra. *Cum ad monasterium*, et Theologi 2-2, ubi de voto. Sifanus : *Utpote virtutis studii et mentis exercitationis ornamentum.* Plane jejune, nec quidquam ad mentem Amphilochii.

(15) Ὡς τῶν ἐπαναγκαιοπαθῶν ἐλευθέρα. *Al.* ἀπολυθεῖσα. Velut quæ superior videatur humanis passionibus necessi-[illegible]ibusque, ac quemdam jam angelicum et incorruptionis statum præferat. Erat textus mendosus omnino et mutilus ὡς τῶν ἐπάναγκες ἐλθοῦσα τῷ νυμφίῳ, κ. τ. ἑξ. Sifanus : *Ut quæ necessario sponso Christo veniat in thalamum regni cœlorum :* cujus dicti aut non video sensum, aut non satis sanum.

(16) Ὡς ἐκείνῳ πολιτευόμενος. Velut quod illi vivatur et militet. Re vera enim etiam nuptiæ Deo militant; quanquam majori quam virginitas difficultate, et terrenorum sollicitudine. Sifanus : *Cum ab illo regatur et administratur*, minus apte : ut enim virginitatis, ita nuptiarum ubique Amphilochius prosequitur κατορθώματα, non formaliter divina χαρίσματα, quid illa homini conferant, et quo obsequantur Deo; non quid Deus illis conferat.

(17) *Πρὸς γὰρ τὰ ἑκάτερα τῆς θεοσεβείας ἔχεται.* Nempe Dominus ille et provisor, velut ea afficitur eique insistit : ut sit ratio cur οὐκ ἀντιταλαντεύει ἕτερον τῷ ἑτέρῳ, non unum contra aliud velut trutinat et appendit : quasi ipsa præcise, ac nisi ut media ad pietatem religionemque, pluris fiant ab ipso : quod tamen non prohibet, ut ne virginitas sit melior et acceptior Deo ex ipsa etiam ratione

operis : de quo Hieronymus *contra Vigilantium.*

(18) *Εὐσεβείας* Editi male, εὐλογίας.

(19) *Καὶ ἐν τῷ Κυρίῳ μόνῳ πληρωθέν.* Ut nimirum ipse aperiret vulvam, nullo semine prævio ad ejus apertionem : quam etiam rationem Methodius habet, necnon Ambrosius : solus tamen Amphilochius ea de re et movet dubium et solvit : Ambrosio etiam velut dissimulante, et ad Ecclesiæ spiritalem vulvam, quam ille vere Sanctus esset aperturus, remittente : *Sed ille Sanctus*, inquit, *quem in figura futuri mysterii, pia legis divinæ præscripta signabant; eo quod solus sanctæ Ecclesiæ virginis, ad generandos populos Dei, immaculatæ fecunditatis aperiret genitale secretum. Hic ergo solus sibi aperuit vulvam. Nec mirum : hic enim dixerat ad prophetam : « Priusquam te formarem, »* etc. *Qui ergo vulvam sanctificavit alienam, ut nasceretur propheta, hic est qui aperuit matris suæ vulvam ut immaculatus exiret.* Bene id quidem : At instat ille noster Amphilochius; cujus se τῷ ἐπιστατικῷ καὶ νηφαλίῳ τῆς διανοίας ὑπερφυῶς ἠσθῆναι, ait Basilius, procem. lib. *De Spiritu sancto* ad ipsum : perspicacitate illa et prudentia, seu διορατικῷ illo Chrysostomi, quod ipsum in sacerdote jungit τῷ νηφαλίῳ, qua difficilia quæque in Scriptura perviderat et feliciter solveret; vel certe, modestiæ causa, ad solvendum, quos ut magistros venerabatur, puta Basilium, etc., ipsa interrogatione ἐπιστατικωτέρους faciens, ut idem Basilius epist. 1 can. ad ipsum, impelleret. Instat, inquam : Lex ista ad Mariam refertur; fuit ergo aperta ejus vulva; non ergo Virgo virginitatem servavit. Solvat ipse qui tam digeste addubitavit : Πρὸς μὲν τὴν παρθενικὴν φύσιν, κ. τ. ἑξ. *Quod quidem*, inquit, *spectat ad naturam virginitatis, nullo modo sunt apertæ virgineæ portæ :* id est, re ipsa, et

Digitized by Google

loquor de primo edito matrimonii fructu. Quonam hoc? modo audisti evangelistam dicentem : *Et factum est postquam consummati sunt dies octo, ut circumcideretur puer : et vocatum est nomen ejus Jesus : quod vocatum est ab angelo, priusquam conciperetur. Et postquam impleti sunt dies purgationis, adduxerunt eum in templum, et exhibuerunt Domino, sicut scriptum est in lege Domini : Quia omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur* [45]. Vidistin' matrimonii benedictionem, et id quod in commune dictum est, in Domino solo esse repertum? Id siquidem, *Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur :* solum Dominum, non ullum alium refert, tametsi universim dictum sit. Etenim id omnis virgo natura habet, ut primum ex viri consuetudine aperiatur vulva, sicque deinde pariat. At non ita in Salvatore nostro accidit : sed ipse, aperta sine coitu vulva, inexplicabili ratione prodiit. Quare illud, *Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur*, ad solum Dominum refertur. Nunquid vero Caïn sanctus, vita profane abrupta [46], quod materna vulva ante omnes princeps prodierit? Nunquid sanctus Esau, hostis ille et gladii hæres [47], quoniam et is primus ex utero materno excidit? Nunquid Ruben sanctus, cubili paterno violato, maledictionisque provocata sententia [48], quoniam et ipse ex fecundo Liæ utero primus exivit? Nullus istorum sanctus; omnes enim pœnas dederunt. Ex quibus ostenditur, referri ad solum Dominum, legis scitum illud : *Omne masculinum adaperiens vulvam, sanctum Domino vocabitur :* juxta quod Gabriel dixit ad Virginem : *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi : Ideo et quod nascetur ex te sanctum, Filius Dei vocabitur* [49].

III. Plane vero fuerit qui contradicens dicat : Si ergo ad Dominum refertur quod scriptum est : *Omne*

A πρωτοβόλου καρποῦ. Ποίου τουτου; ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ λέγοντος· *Καὶ ἐγένετο ὅτε ἐπλήσθησαν αἱ ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου, πρὸ τοῦ συλληφθῆναι αὐτόν. Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ, ἀνήγαγον εἰς τὸ ἱερὸν αὐτὸν, καὶ παρέστησαν αὐτὸν τῷ Κυρίῳ, καθὼς ἐστι γεγραμμένον ἐν νόμῳ Κυρίου, ὅτι Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται.* Εἶδες τοῦ γάμου τὴν εὐλογίαν, καὶ τὸ κατὰ κοινοῦ λεχθὲν, ἐπὶ τοῦ Κυρίου μόνου εὑρεθέν; Ὅπερ, *Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται,* εἰς τὸν Κύριον μόνον τὴν ἀναφορὰν κέκτηται, οὐχὶ καὶ εἰς ἄλλον τινά, εἰ καὶ ὅτι καὶ καθολικῶς εἴρηται. Καὶ γὰρ πᾶσα φύσις
B παρθένου, πρῶτον ἐκ συνουσίας ἀνδρὸς διανοίγειται ἡ μήτρα, καὶ εἶθ' οὕτως τίκτει. Ἐπὶ δὲ τοῦ Σωτῆρος ἡμῶν οὐχ οὕτως· ἀλλὰ χωρὶς συνουσίας αὐτὸς διανοίξας τὴν μήτραν τῆς παρθένου, ἀφράστως (20) προῆλθεν· ὥστε τὸ, *Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται,* εἰς τὸν Κύριον ἀναφέρεται μόνον. Μὴ ἄρα ὁ Κάϊν ἅγιος, ὁ ἐν βεβηλότητι τὸ ζῆν ἀποῤῥήξας (21), ἐπειδὰν πρὸ πάντων οὗτος τῆς μητρικῆς μήτρας ἔξαρχος γέγονεν; Μὴ ἄρα ὁ Ἡσαῦ ἅγιος, ὁ πολέμιος καὶ μαχαίρας κληρονόμος, ἐπειδὴ καὶ οὗτος τῆς μητρικῆς νηδύος πρῶτος ἐξέπεσεν; Μὴ ἄρα ὁ Ῥουβὴμ ἅγιος, ὁ τὴν πατρικὴν κοίτην ὑβρίσας, καὶ κατάρας ἀπόφασιν ἀναζέσας, ἐπειδὴ καὶ αὐτὸς τῆς πολυγόνου κοιλίας τῆς Λίας πρῶτος
C ἐξῆλθεν; Οὐδεὶς τούτων ἅγιος· πάντες γὰρ οὗτοι ἐν ἐπιτιμίοις (22). Ἐξ ὧν δείκνυται, ὅτι εἰς τὸν Κύριον μόνον τὴν ἀναφορὰν ἔχει τὸ, *Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται,* κατὰ τὸν Γαβριὴλ τὸν εἰρηκότα πρὸς τὴν Παρθένον· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, Υἱὸς Ὑψίστου κληθήσεται.*

Γ'. Ἔστι δὲ πάντως εἰπεῖν τινα τῶν ἀντιλεγόντων, ὅτι, Εἰ τοίνυν εἰς τὸν Κύριον τὴν ἀναφοραὰν ἔχει τὸ, *Πᾶν*

[45] Luc. II, 21-23; Exod. XIII, 2. [46] Gen. IV, 8. [47] Gen. XVI, 12. [48] Gen. XLIX, 4. [49] Luc. I, 35.

quod requiritur ut salva sint virginea claustra, nulla fuit apertio : πρὸς δὲ τὴν δύναμιν τοῦ τεχθέντος Δεσπότου, οὐδὲν κέχλεισται τῷ Κυρίῳ. Ita nimirum exivit virtute illa sua divina, claustris integris, ac
D si illa reserata essent, qui supra naturam natura utitur, et ad nutum sibi omnia subjicit. Exivit ergo vulva non aperta, quam sibi ipse ad immaculatum partum aperuit. Est hæc quæstio, ceu hinc accepta grandi fragmento, inter collectanea Maximi, dubiorum in scripturam codicis Thuani.

(20) *Ἀφράστως.* Al. ἀφθάρτως.

(21) *Ὁ ἐν βεβηλότητι τὸ ζῆν ἀποῤῥήξας.* Nempe vita fratris quam abrumpendo, τὸ ζῆν et vitam absolute abrupit; prima morte, fratricidio invecta mundo. Sicut enim in aliis proprium cujusque crimen refert, cujus causa, etsi primogenitus non sit vere sanctus, ita debuit referre Caini : quod constat esse fraternam cædem, non quod sit natus in peccato originali, quo nihil differt a sanctissimis. Male ergo Sifanus : *Qui in statu impuro atque profano in vitam prorupit.* Retinuimus τὸ, ἔξαρχος, quasi princeps primogenitorum : quanquam τὸ, ἐξ ἀρχῆς non sit incongruum.

(22) *Πάντες γὰρ οὗτοι ἐν ἐπιτιμίοις.* Sola impressa hic mutila, necessaria ista continuandæ orationi desiderant. Dederunt pœnas ceu rei, quas et ipsas in singulis velut subindicat. In Caiino ergo τὸ, ἀποῤῥήξας τὸ ζῆν, etiam Caini ipsius vitam significaverit, quam profane abrupit : eo modo mortuus, quo vixit : *Profugus a facie Domini;* Genes. IV. Forte etiam occisus et ipse a Lamec, juxta Hebræorum traditionem, ut sit vir ille, quem is ait, *Se occidisse in vulnus suum :* Genes. item IV, cujus necis metus, non tam fuit divina indulgentia deprecanti abstersus, quam castigatus, adjecta inferenti graviori pœna, quam ipse a cæde fraterna retulisset. In Esau, crimini respondet pœna, τῷ πολεμίῳ, hosti omnium et lacessenti omnes, gladius quem ei hostes omnes inferant, juxta illud : *Manus ejus contra omnes et manus omnium contra eum,* Genes. XVI, quod dictum in Ismaelem, referre videtur Amphilochius in Esau, lapsu memoriæ. Male vero Sif. : *Et ille belli et gladii hæres :* ac in margine ἴσ. πολέμου, egregia plane correctio. De Ruben nihil addendum, claris in eo, ex Scriptura, crimine et pœna : offensa paterno cubili polluto, et maledictione.

Digitized by Google

ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται, οὐκ ἔμεινεν ἡ παρθένος, παρθένος. Ἐφώνησε γὰρ ἡ Γραφή, Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν· ἠνέῳκται ἡ παρθενικὴ μήτρα, εἰ εἰς τὸν Κύριον τὴν ἀναφορὰν κέκτηται· ἀλλ' ἄκουε συνετῶς (23)· πρὸς μὲν τὴν παρθενικὴν φύσιν, οὐδ' ὅλως αἱ παρθενικαὶ πύλαι ἠνεῴχθησαν, βουλήσει τοῦ ἀρτίως κυοφορηθέντος, κατὰ τὸ φάσκον περὶ αὐτοῦ ῥητόν· *Αὕτη ἡ πύλη τοῦ Κυρίου, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη.* Ὡς πρὸς τὴν παρθενικὴν τοίνυν φύσιν, οὐδ' ὅλως ἠνεῴχθησαν αἱ παρθενικαὶ πύλαι· ὡς δὲ πρὸς τὴν δύναμιν τοῦ τεχθέντος Δεσπότου, οὐδὲν κέκλεισται τῷ Κυρίῳ, ἀλλὰ πάντα ἠνέῳκται. Οὐδὲν τὸ παρεμποδίζον· οὐδὲν τὸ παρενοχλοῦν. Πάντα γὰρ τῷ Κυρίῳ ἠνέῳκται. Ὅθεν καὶ αἱ ἄνω ὑπέρταται δυνάμεις (24), ταῖς κάτω παρεγγυῶσαι, κεκράγασι λέγοντες· *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.* Θαυμαστὴ τοίνυν ἡ παρθενία, ἡ ὄντως ἀληθὴς παρθενία, ἐπειδή ἐστι καὶ ἐν παρθενίᾳ διαφορά. Αἱ μὲν νυστάξασαι (25), αἱ δὲ γρηγορήσασαι. Θαυμαστὸς καὶ ὁ γάμος, ὁ ἀληθὴς, καὶ τίμιος· πολλοὶ γὰρ ἐφύλαξαν, καὶ πολλοὶ παρεσάλευσαν. Θαυμαστὴ δὲ καὶ ἡ χηροσύνη. Καλὸν γὰρ τῶν τριῶν ταγμάτων ἀπομνημονεῦσαι.

masculinum adaperiens vulvam, sanctum Domino vocabitur, Virgo virginitatem non servavit. Clamavi enim Scriptura : *Omne masculinum adaperiens vulvam :* fuit utique aperta Virginis vulva, si id æum referri habuit. Enimvero cordate audi et intelligenter : Quod quidem attinet ad naturam virgineam, nullo omnino modo virgineæ portæ fuerunt apertæ, volente eo qui nuper utero gestabatur, juxta illud de ipso oraculum : *Hæc porta Domini : et ingredietur et egredietur : et porta erit clausa* [48]. Quod itaque spectat ad naturam virgineam, nullo prorsus modo apertæ sunt virgineæ portæ : sed quod attinet ad potentiam Domini qui est natus, nihil Domino clausum est, sed omnia sunt illi aperta. Nihil est quod impediat; nihil quod officiat et obstet. Omnia Domino sunt aperta. Unde etiam supremæ in excelsis virtutes, inferis virtutibus clamore præcipiunt, dicentes, *Tollite portas, principes, vestras : et elevamini, portæ æternales, et introibit rex gloriæ* [49]. Est ergo virginitas admirabilis, vera, inquam, virginitas; quando etiam in virginitate discrimen est. Aliæ siquidem virgines dormitaverunt, aliæ fuerunt vigiles. Sed et matrimonium est admirabile, verum, inquam, illud et honorabile. Multi enim servaverunt, multique labefactarunt. Admirabilis nihilominus etiam viduitas. Haud enim alienum a recto, ut trium ordinum mentionem faciamus.

Δ'. Καὶ, ὡς προεῖπον, θαυμαστὴ καὶ ἡ χηροσύνη, ἡ ὄντως χηροσύνη· ἡ τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα, ἡ τιμία καὶ καθαρὰ καὶ ἀκίβδηλος· ἡ ἄνευ τοῦ ἰδίου συζύγου, ῥύπου ἀνεπίμικτος. Οἷα γέγονε καὶ ἡ ἀρτίως ἡμῖν παραγνωσθεῖσα, Ἄννα ἡ προφῆτις, ἡ καλῶς γηράσασα, καὶ ὡς ἀετὸς ἀνακαινισθεῖσα. Ἦκουες γὰρ ἀρτίως τοῦ εὐαγγελιστοῦ Λουκᾶ λέγοντος· *Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ, αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ τοῦ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων· ἡ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις* (26) *καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν.* Εἶδες ἐν τίσι, καὶ οἷα ἡ χήρα Ἄννα ἐν τοῖς θείοις Εὐαγγελίοις ἐγκεκαλλώπισται; Ὄντως Ἄννα, ἡ Ἄννα (27)· συνέδραμεν τῇ τῶν τρόπων εὐδοξίᾳ ἡ τοῦ ὀνόματος προσηγορία· ἀκουέτωσαν αἱ γυναῖκες, καὶ ζηλούτωσαν τὴν ἔνδοξον Ἄνναν, καὶ τὸν ὅμοιον δρόμον τρεχέτωσαν, ἵνα τῶν ἴσων στεφάνων ἀπολαύσωσι. Μηδεὶς ἀποστασίαν προφασίσηται, ἵνα μὴ τὴν ἁγνείαν τῆς μονογαμίας ἀποσείσηται.

IV. Atque, ut prius dicebam, etiam viduitas admirabilis est, vera illa viduitas : quæ in certamine immaculatorum præmiorum exstitit victrix [50]; quæ honorabilis et pura est, nec ementita : quæ excepta conjugis consuetudine, turpis rei inquinamenta nescit. Talis fuit, quæ nobis modo, lectionis decursu inducta est, Anna prophetissa, bono provecta senio, ac tanquam aquila renovata [51]. Audisti enim non ita pridem Lucam evangelistam dicentem : *Et erat Anna prophetissa, filia Phanuel, de tribu Aser : hæc processerat in diebus multis, et vixerat cum viro suo annis septem a virginitate sua. Et hæc vidua usque ad annos octoginta quatuor : quæ non discedebat a templo, jejuniis et obsecrationibus serviens nocte ac die* [52]. Vidistin' quibus, et qualis exsistens Anna vidua, in sacris Evangeliis honestetur? Anna, vere Anna. Spectatis moribus, comes accessit nominis appellatio. Audiant mulieres, et claram illam Annam æmulentur, paremque conficiant cursum, ut pares quoque coronas consequantur. Ne qua se causetur destitutam patrono, ut ne unici matrimonii castitatem et sanctimoniam excutiat.

[48] Ezech. XLIV, 2. [49] Psal. XXIII, 7, 9. [50] Sap. IV, 2. [51] Psal. CII, 5. [52] Luc. II, 36, 37.

(23) *Συνετῶς.* Impressa συνεχῶς.

(24) *Ὑπέρτεται δυνάμεις.* Aptius forte ὑπέρτεραι, ut habent alii codices; ut tantum significentur angeli superiores dæmonibus, et Christo comites. Ὑπέρτεραι τούτων δυνάμεις, sin naturæ conditione, at dono gratiæ.

(25) *Αἱ μὲν νυστάξασαι.* Dicit, non verba, sed sensum parabolæ : vere enim, sapere, vigilare est, et quomodo Dominus in parabolis aliis vigilandum præcipit, ut et desipere, dormitare.

(26) *Νηστείαις*, κ. τ. ἑξ. Al. ἥτις ἐν νηστείαις καὶ δεήσεσι ἐλάτρευσεν ἐν τῷ ἱερῷ. Mox vero pro εὐδοξίᾳ al. εὐεξίᾳ.

(27) *Ἄννα ὄντως Ἄννα.* Sic simpliciter reddimus; non explicata voce Anna, ut nec auctor explicavit : ut enim nobis, *Gratia*, ita illi fuisset exponenda, χάρις. Aliter impressa distinguunt, sed minori gratia.

Digitized by Google

V. Est Anna, corona mulierum viduarum, condi- A tione et sexu mulier, ordine prophetissa, in viduitate degens, in regno agens, corpore languido et flaccescenti, robusto animo, cujus faciem rugæ contraherent, prudentia extenderet, senectute incurva, recta incedens scientia, longa annositate veterata, scientia Dei vigens, jejunans, non se cibo ingurgitans: orans, non mente vaga; in templo vacans, non per alienas oberrans domos; psalmis intenta, non nugis: prophetans, non fabulas loquens: divina meditans, non inhonesta procurans. Superavit Anna, quam Apostolus beatam deprædicat viduam. Quam illam? Audi Paulum dicentem: *Vidua eligatur, non pauciores annos sexaginta nata; si filios edueavit; si sanctorum pedes lavit; si egenis subministravit; si omne opus bonum assectata est*[53]. B Superavit hæc, quam Apostolus beatam prædicavit, et annositate et vitæ institutis. Quæ enim prophetiam consecuta est, et Spiritus sancti receptaculum fuit, omnibusque Christi in carne adventum exspectantibus, signa adventus indicavit, qui non viduas omnes superaverit? de qua nimirum dixerit evangelista, ut modo audisti: *Et hæc*, inquit, *ipsa hora superveniens, vicissim confitebatur Domino, et loquebatur omnibus qui exspectabant redemptionem in Hierusalem*[54]. Vidistin' Annæ magnificentiam? Domino patronam agebat, coram præsente res ejus loquens. O res novas et inauditas! Vidua erat; at sacerdotes et scribas mordebat, mordensque et offendens, populum universum oblectabat, futuram Domini adventu Hierosolymis redemptionem annuntians; ad eos loquens qui aderant et Domini symbola significans. Videbat Anna infantem Dominum; videbat quæ pro ipso et cum ipso offerebantur munera, et expiatoriæ hostiæ, nec ætatis parvitate offensa est. Deum Anna confessa est infantem, medicum et redemptorem validum, peccatorumque exterminatorem.

VI. Ne vageris, charissime, simpliciter præteriens Annæ verba. Omnibus qui aderant, insinuabat Dominicam virtutem, in hæc verba congregatos alloquens: Huncne videtis parvulum, trahentem mammam? papillam ceu fenori accipientem? D acquiescentem in sinu materno? terram adhuc pedibus metiri non valentem? octavo circumcisum die a nativitate? Huncne, inquam, videtis parvulum? Hic sæcula fundavit[55]: Hic cœlos testudinario opere inflexit: Hic terram dilatavit et extendit[56]: Hic mare arena circumvallavit[57]: Parvulus iste ventos profert de thesauris suis[58]: Hic parvulus

Ε'. Στέφανος τῶν χηρῶν ἡ Ἄννα, γυνὴ τὸ σχῆμα, προφῆτις τὸ τάγμα· ἐν χηροσύνῃ διάγουσα, ἐν βασιλείᾳ διαστρεφομένη· κεχαλασμένη τὸ σῶμα, νενευρωμένη τὴν ψυχήν· ἐρρυπιδωμένη τὴν ὄψιν, διατεταμένη τὴν φρόνησιν· τῷ γήρᾳ (28) συγκύπτουσα, ὀρθοβατοῦσα τῇ γνώσει· τῇ πολυετίᾳ πεπαλαιωμένη, σφριγῶσα τῇ θεογνωσίᾳ· νηστεύουσα, καὶ μὴ ἀδηφαγοῦσα· δεομένη, καὶ μὴ ῥεμβομένη· τῷ ἱερῷ σχολάζουσα, καὶ ἀλλοτρίους οἴκους μὴ περιτρέχουσα· ψάλλουσα, καὶ μὴ φλυαροῦσα· προφητεύουσα, καὶ μὴ μυθολογοῦσα· θεῖα μελετῶσα, καὶ τὰ ἄσεμνα μὴ προξενοῦσα· ὑπερέβαλεν ἡ Ἄννα τὴν παρὰ τοῦ Ἀποστόλου μακαριζομένην χήραν· ποίαν ταύτην; Ἄκουε Παύλου λέγοντος· *Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, εἰ ἐτεκνοτρόφησεν· εἰ ἁγίων πόδας ἔνιψεν· εἰ δεομένοις* (29) *ἐπήρκεσεν· εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.* Ὑπερέβαλεν αὕτη τὴν ὑπὸ τοῦ Ἀποστόλου μακαρισθεῖσαν, καὶ τοῖς ἔτεσι, καὶ τοῖς πολιτεύμασιν. Ἡ γὰρ προφητείας ἀξιωθεῖσα, καὶ Πνεύματος ἁγίου δοχεῖον ὑπάρξασα, καὶ πᾶσι τοῖς προσδεχομένοις τὴν τοῦ Κυρίου ἔνσαρκον παρουσίαν, τὰ σύμβολα τῆς παρουσίας μηνύσασα, πῶς οὐχ ὑπερηκόντισε πάσας; τοῦ εὐαγγελιστοῦ περὶ αὐτῆς εἰρηκότος, καθὼς ἀρτίως ἠκούετε· *Καὶ αὕτη*, φησὶν, *ἡ Ἄννα, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ.* Εἶδες τῆς Ἄννης τὴν μεγαλειότητα; Ὑπὲρ τοῦ Κυρίου συνηγόρει, ἐπὶ αὐτοῦ τὰ αὐτοῦ κατενώπιον λαλοῦσα. Ὦ τῶν παραδόξων πραγμάτων! Χήρα, ἀλλὰ τοὺς ἱερεῖς καὶ γραμματεῖς ἐδρίμυττε, καὶ δριμύττουσα, πάντα τὸν λαὸν ἐψυχαγώγει, μηνύουσα τὴν μέλλουσαν ἔσεσθαι λύτρωσιν ἐν Ἰερουσαλήμ, τῇ τοῦ Κυρίου ἐπιστασίᾳ· λέγουσα πρὸς τοὺς παρόντας, καὶ τὰ σύμβολα τοῦ Κυρίου μηνύουσα. Βρέφος ἑώρα ἡ Ἄννα τὸν Κύριον· δῶρα καὶ καθάρσια ὑπὲρ αὐτοῦ καὶ μετ' αὐτοῦ προσφερόμενα, καὶ οὐ προσέκοψε τῇ ἐλαχόστητι τῆς ἡλικίας· Θεὸν ὡμολόγησε τὸ βρέφος ἡ Ἄννα, ἰατρὸν καὶ λυτρωτὴν ἰσχυρὸν, καὶ ἁμαρτιῶν ἀναιρέτην.

Ϛ'. Μὴ ἁπλῶς παραδράμῃς, ἀγαπητὲ, τῆς Ἄννης τὰ ῥήματα. Πᾶσι τοῖς παροῦσι μηνύουσα ἦν τὴν τοῦ Κυρίου ἐνέργειαν, λέγουσα πρὸς τοὺς συνηθροισμένους· Οὐχ ὁρᾶτε τοῦτο τὸ παιδίον, τὸ μάζον ἕλκον; τὸ θηλὺν δανειζόμενον; τὸ μητρῴοις κόλποις προσαναπαυόμενον; τὸ ποσὶ τὴν γῆν τέως βηματίσαι μὴ καταδεχόμενον; τὸ ὀκταήμερον περιτεμνόμενον; Οὐχ ὁρᾶτε; Τὸ παιδίον τοῦτο τοὺς αἰῶνας ἐθεμελίωσε (30)· τοῦτο τοὺς οὐρανοὺς ἐκαμάρωσε (31)· τοῦτο τὴν γῆν ἐπλάτυνε· τοῦτο τὴν θάλασσαν ἐχαράκωσε ψάμμῳ. Τοῦτο τὸ παιδίον ἐκβάλλει ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ· τοῦτο τὸ παιδίον ἐπὶ τοῦ Νῶε τοὺς

[53] I Tim. v, 9, 10. [54] Luc. II, 38. [55] Heb. I, 2. [56] Isa. XL, 22. [57] Jer. V, 22. [58] Psal. CXXXIV, 8.

(28) *Τῷ γήρᾳ.* Al. Τὸ γῆρας. Mox vero, al. γνώμῃ pro γνώσει.

(29) *Δεομένοις.* Apud Paulum θλιβομένοις.

(30) *Ἐθεμελίωσε.* Al. ἐποίησε.

(31) *Ἐκαμάρωσε.* Fecit in modum fornicis et arcuatos, quod nostris parent oculis terminato undique visu, aere luminoso ac velut paulatim subsidente, ex distantia. Sifanus. *Hic cœlis cameram ac testudinem superinduxit*: est saltem obscurius: sonant enim illa verba, non cœlos ipsos in testudineum formatos; sed inductam super ipsos alterius corporis testudinem.

Digitized by Google

καταράκτας ἀνέῳξεν τοῦ οὐρανοῦ· τοῦτο τὸ παιδίον A tempore Noe cœli cataractas aperuit[59] : hic parvulus pluviæ stamina et stillulas conficit[60] : hic parvulus nivem sicut lanam excutit[61] : puellus hic proavos nostros per Mosaicam virgam ex Ægypto liberavit[62] : hic puellus mare Rubrum secuit[63], et tanquam per virentem campum populum traduxit; cumque manna in deserto pluisset[64], terram lacte et melle manantem pro patrimonio dedit[65]; hic puellus effecit, ut hoc templum per majores nostros in altum assurgeret[66]; hic puellus jusjurandum ad Abraham statuens dicebat : *Multiplicans multiplicabo semen tuum sicut stellas cœli, et tanquam arenam quæ est juxta labium maris*[67]. Pro puello hoc preces offerens propheticus chorus, dicebat : *Excita potentiam tuam, et veni, ut salvos facias nos*[68].

βροχῆς στήμονας κατεργάζεται· τοῦτο τὸ παιδίον ὡς ἔριον χιόνα τινάσσει· τοῦτο τὸ παιδίον τοὺς προπάτορας ἡμῶν ἐκ τῆς Αἰγύπτου διὰ τῆς Μωσαϊκῆς βακτηρίας ἠλευθέρωσε· τοῦτο τὸ παιδίον τὴν Ἐρυθρὰν θάλασσαν ἔτεμε, καὶ ὡς διὰ χλοηφόρου πεδίου τὸν λαὸν διήγαγεν· καὶ ἐν τῇ ἐρήμῳ ἐπομβρίσας τὸ μάννα, γῆν ῥέουσαν γάλα καὶ μέλι ἐκληροδότησε· τοῦτο τὸ παιδίον τὸν ναὸν τοῦτον εἰς ὕψος ἐπαρθῆναι διὰ τῶν πατέρων παρεσκεύασε· τοῦτο τὸ παιδίον ὅρκους πρὸς Ἀβραὰμ προτιθέμενον, ἔλεγε· *Πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.* Περὶ τούτου τοῦ παιδίου ὁ προφητικὸς χορὸς παράκλησιν προφέρων, ἔλεγεν· *Ἔξεγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.* Μὴ, B ὅτι παιδίον, τῷ παιδίῳ προσκόψητε. Τὸ αὐτὸ καὶ παιδίον, καὶ τῷ Πατρὶ συνάναρχον. Τὸ αὐτὸ καὶ χρόνοις ἀριθμούμενον, καὶ ἀγενεαλόγητον. Τὸ αὐτὸ καὶ παιδίον ψελλίζον, τὸ αὐτὸ καὶ σοφίαν καὶ στόμα χαριζόμενον· τὸ μὲν, διὰ τὴν ἐκ Παρθένου γέννησιν (32), τὸ δὲ, διὰ τὸ ἀκατάληπτον τῆς ὑπάρξεως· ἐπειδὴ καὶ τοῦτο παρέστησεν Ἡσαΐας φάσκων· *Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν.* Τὸ μὲν, ἐγεννήθη· τὸ δὲ, ἐδόθη. Τὸ μὲν, διὰ τὸ ὁρώμενον· τὸ δὲ, διὰ τὸ νοούμενον.

Nolite, quia puellus est, in puello offendi. Idem et est puellus, et una cum Patre principii expers[69]. Idem ipse et annis numeratur, nec generis ejus ratio reddi potest et enarrari[70]. Idem et puer balbutiens, sapientiamque et os ac facundiam largiens : alterum, propter nativitatem ex Virgine; alterum, propter incomprehensibilitatem substantiæ. Hoc enim et Isaias significavit, dicens : *Parvulus natus est nobis, filius et datus est nobis*[71]. Illud, natus est : hoc, datus. Illud, eo quod est oculis subjectum : hoc, eo quod mente percipitur.

Ζ'. Ταῦτα τῆς Ἄννης τὰ προφητεύματα· ταῦτα τῆς γυναικὸς τὰ ἀριστολογήματα· ταῦτα τῆς χήρας τὰ κατορθώματα, τῆς ὄντως χήρας, τῆς καλῶς τὸν βίον ἀνταλλαξάσης (33)· τῆς τὸν ἄνδρα προπεμψάσης, καὶ τὸν Κύριον ὑποδεξαμένης. Ἑπτὰ ἔτη τῷ ἀνδρὶ συνέζησεν ἀπὸ τῆς παρθενίας αὐτῆς, ἐτῶν ἑβδομάδα πληρώσασα, καὶ ἐν τῷ ἑβδόμῳ ἔτει τὴν ἀνδρικὴν ὁμιλίαν καταπαύσασα. Καλῶς ἑβδοματίσθη· καλῶς ἐσαββάτισε· καλῶς τὴν Κυριακὴν τῆς χάριτος κατέλαβε (34)· τρυγόνος τάξιν ἡ Ἄννα μετῆλθεν. Οὐκ ἐποιήσατο λήθην τοῦ συζύγου· οὐκ ἠθέτησε τὴν πρώτην πίστιν· οὐκ ἀνήγαγεν ὑβριστὴν τῇ κλίνῃ· οὐκ ἐπέθηκεν ἄλλῳ τὸ τῆς μονογαμίας ξύλον. Εἶχεν ἐν τῇ κλίνῃ, τῇ μνήμῃ, ὡς ζῶντα τὸν τεθνεῶτα· οὐκ ἐρύπωσε τὴν νυμφικὴν σινδόνα. Οὐχ ἥψατο αὐτῆ ὁ ἔλεγχος Παύλου λέγοντος· *Ὅταν δὲ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι, ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν.* Ὄντως κρίματος ἀξία, ἡ τὴν μνήμην συνθάψασα τῷ θεοζεύκτῳ συζύγῳ, καὶ μάλιστα τέκνου, ἢ τέκνων παρόντων, διὸ καὶ ὁ νόμος τοῦ γάμου πεφυτούργηται· εἰ

VII. Hæc Annæ vaticinia : hæc mulieris verba optima; hæc præclara viduæ gesta; ejus, inquam, quæ vere vidua fuit, quæ vitam bene commutavit : quæ virum præmisit, et Dominum suscepit. Una cum viro annos septem[72], impleta annorum hebdomada, a sua virginitate vixit; septimoque anno a viri consuetudine cessavit. Egregie septimanam exegit, egregie celebravit Sabbatum, egregie Dominicam gratiæ apprehendit. Exhibuit Anna partes turturis, non oblivioni tradidit conjugem : primam fidem haudquaquam irritam fecit; non induxit in cubile, qui injurius violaret; nulli alteri, singularis matrimonii lignum imposuit; in memoria, ceu lecto, defunctum, tanquam viveret, habuit; sponsalem sindonem non polluit. Non eam perstrinxit Pauli reprehensio : *Cum autem luxuriatæ fuerint in Christo, nubere volunt; habentes damnationem, quia primam fidem irritam fecerunt*[73]. vere digna condemnatione, quæ una cum juncto sibi a Deo conjuge memoriam sepelivit; cum maxime adest filius, aut filii : quorum suscipiendorum gratia, ma-

[59] Gen. VII, 11. [60] Job XXXVIII, 28. [61] Psal. CXLVII, 16. [62] Exod. VI, 17. [63] Exod. XIV, 21. [64] Exod. XVI, 13. [65] Deut. VI, 3. [66] Jos. V, 6; I Esd. III, 7, etc. [67] Gen. XXII, 17. [68] Psal. LXXIX, 3. [69] Joan. I, 1, 14. [70] Isa. LIII, 8. [71] Isa. IX, 6. [72] Luc. II, 36. [73] I Tim. V, 11.

(32) *Τὸ μὲν, διὰ τὴν ἐκ παρθένου γέννησιν.* Nempe humana illa, quæ plura retulit : τὸ δὲ, διὰ τὸ ἀκατάληπτον ὑπάρξεως, *propter incomprehensibilitatem substantiæ :* nempe divina illa, et omnipotentiæ. Mutilam vitiosamque litteram nactus Sifanus nihil inde probati, quamquam conatus, potuit elicere. Sic vero restituta ex fide codicum, ipsaque serie exigente, clara omnino decurrit.

(33) *Τῆς καλῶς τὸν βίον ἀνταλλαξάσης.* Al. καταλλαξάσης. Nimirum, transitu a maritali statu ad vidualem : et subrogato Christo in locum præmissi sponsi.

(34) *Τὴν Κυριακὴν τῆς χάριτος κατέλαβε.* Quæ nimirum succedit Sabbato; scilicet, translata ad Evangelium a lege. Sif. : *Dominicam gratiam delibavit;* suspicatus legendum κατέλειβε, pro, κατέλαβε. Quod vitiosum in ejus codice erat : conjectura certe infelici; infideliusque est τὸ, ἡ Κυριακὴ τῆς χάριτος, *Dominica gratia;* τὸ, κατέλειβε etiam, potius fuerit. *distillavit.*

Digitized by Google

trimonii lex insita est. Quod si junior vidua filio careat, æquum fuerit, ut stimulante prolis desiderio ad secundas nuptias prosiliat; nam et Paulus hoc admonens dicebat : *Volo juniores viduas nubere* [74] : tumque ostendens quid secundi matrimonii accessio conferat, adjunxit dicens : *Volo juniores viduas nubere, filios procreare, matresfamilias esse.* Est itaque adjectio secundarum nuptiarum ad filios procreandos. Cum autem prosilienti ad secundas nuptias viduæ filii sunt, supervacanea deinceps ejusmodi sementis est, rationalibus spicis ex adverso pugnantibus.

VIII. Rursum ergo ad prius argumentum sermone redeamus. Quid igitur deinceps evangelista? præstat enim ut inhæreamus præsenti commentationi. Audisti modo Lucam evangelistam dicentem, quemadmodum Simeon dixerit ad Virginem : *Ecce hic positus est in ruinam et resurrectionem multorum in Israel, et in signum cui contradicatur : et tuam ipsius animam pertransibit gladius.* Quid hoc vero : *Et tuam ipsius animam pertransibit gladius* [75]? Audi cordate et intelligenter : cum Simeon clare ad Virginis locutus aures, positum dixisset in ruinam et resurrectionem multorum in Israel, et in signum cui contradiceretur; moleste forsan tulit Virgo ut Domini mater, motaque in Simeonem, sic eum affata est : Nescis, homo, quid prædices. Ergone tristia de Christo annuntias? Ignoras pueri conceptionem, et tanquam communis partus, contradictionis signum significas? Nulla est in eo ruina; sed multa exaltatio, multaque in eorum usum qui beneficium consequuntur, demissio. Quidni ergo benedicis, sed ais : *Ecce hic positus est in ruinam et in resurrectionem multorum in Israel, et in signum cui contradicatur?* Simeon porro ad Virginem : Sat tibi est, Virgo, quod voceris mater. Abunde est, ut ejus inventa sis nutrix, qui mundum universum nutrit. Magnum, ut eum carne portaveris, qui universa portat. Qui jam in te domicilium Christus habuit, ipse idem ut hoc inpræsentiarum de ipso loquerer, disposuit : *Ecce hic positus est in ruinam et in resurrectionem multorum in Israel.* In ruinam quidem infidelium Judæorum : in resurrectionem autem fidelium gentium. *Ecce hic*

A δὲ μὴ πρόσεστι τῇ νέᾳ χήρᾳ τέκνον, εἰκὸς αὐτὴν ἐπὶ δεύτερον γάμον ὁρμᾷν, τῷ ἔρωτι τῆς φιλοτεκνίας νυττομένην. Ἐπειδὰν καὶ τοῦτο παραινῶν ὁ μακάριος Παῦλος ἔλεγεν (35) · *Βούλομαι νεωτέρας χήρας γαμεῖν* · εἶτα δεικνὺς τί τὸ συμβάλλον τῆς προκοπῆς τοῦ δευτέρου γάμου, προσέθηκε λέγων · *Βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν.* Ὥστε περὶ τῆς τεκνογονίας ἡ προσθήκη τοῦ δευτέρου γάμου · ὅταν δὲ πρόσεστι τῇ ὁρμησάσῃ χήρᾳ πρὸς γάμον τέκνα, περιττὸς λοιπὸν ὁ τοιοῦτος σπόρος, τῶν λογικῶν ἀσταχύων (36) ἀντεριζόντων (37).

B Η'. Πάλιν οὖν τῷ λόγῳ ἐπανέλθωμεν πρὸς τὴν προτέραν ὑπόθεσιν. Τί οὖν λοιπὸν ὁ εὐαγγελιστής; καλὸν γὰρ τῆς παρούσης πραγματείας ἐπιλαβέσθαι. Ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ Λουκᾶ λέγοντος, πῶς ὁ Συμεὼν πρὸς τὴν παρθένον ἔφη · *Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον · καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.* Τί δέ ἐστι, *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία;* Ἄκουε συνετῶς · τοῦ Συμεῶνος εἰρηκότος περὶ τοῦ Κυρίου εἰς ἑξάκουστον τῶν Παρθενικῶν ἀκοῶν τὸ, *Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον*, ἠγανάκτησεν εἰκὸς ἡ Παρθένος ὡς μήτηρ τοῦ Κυρίου κατὰ τοῦ Συμεῶνος, λέγουσα πρὸς αὐτόν · Οὐκ οἶδας τί διαγορεύεις, ἄνθρωπε. Ἐπὶ τὸν Χριστὸν σκυθρωπὰ καταγγέλλεις; Οὐκ οἶδας τὴν σύλληψιν τοῦ παιδίου, καὶ ὡς κοινοῦ τόκου σημεῖον ἀντιC λογίας μηνύεις; Οὐδεμία πτῶσις ἐν αὐτῷ · ὕψωσις δὲ πολλὴ καὶ συγκατάβασις τοῖς εὐεργετουμένοις. Τί οὖν οὐκ εὐλογεῖς, ἀλλὰ φάσκεις, *Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον;* Ὁ δὲ Συμεὼν πρὸς τὴν Παρθένον · Ἀρκεῖ σοι, Παρθένε, τὸ, μητέρα σε κληθῆναι · ἱκανόν σοι τὸ, τροφὸν εὑρεθῆναι τοῦ τρέφοντος τὸν κόσμον. Μέγα σοι τὸ, σαρκὶ βαστάσαι τὸν τὰ πάντα βαστάζοντα. Ὁ ἐν σοὶ Χριστὸς νῦν κατοικήσας, καὶ ἐν ἐμοὶ (38) νῦν ὁ αὐτὸς περὶ αὐτοῦ λαληθῆναι παρεσκεύασεν, ὅτι *οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ* · εἰς πτῶσιν μὲν τῶν ἀπίστων Ἰουδαίων, ἀνάστασιν δὲ τῶν πιστευόντων ἐθνῶν. *Ἰδοὺ οὗτος κεῖται εἰς*

[74] I Tim. v, 11. [75] Luc. II, 34, 35.

(35) *Ἔλεγεν*. Al. κέχραγε. Paulo post pro τεκνογονίας al. παιδοποιΐας.

(36) *Τῶν λογικῶν ἀσταχύων ἀντεριζόντων*. Velut secundæ nuptiæ cedant in damnum illorum : quod plerumque accidit. Edita, ἐτεριζόντων, ubi Sifanus : *Quippe ratione prædilis spicis, naturam atque conditionem sortientibus diversam :* quod constat minus aptum. Quod enim præcipue nocet prioris tori prolibus, aliud est; ipsa scilicet inducti conjugis inaffectio, in quam plerumque etiam alter, et verus parens declinat, studio illius. Repugnantibus ergo, ex hoc aliisque incommodis, primis prolibus, non facile convolandum habenti superstites proles ad secundas nuptias. Quanquam nec sic convolare sit proprie crimen : etsi Amphilochius, ex quadam D mali specie, faciliorem illum transitum, et velut prioris conjugis neglectam memoriam, crimen vocarit. Sicque Græcis invidiosæ sunt illæ sæpius repetitæ nuptiæ, ut non modo non benedicant secundas, sed abhorreant tertias, quartasque pœnis subjiciant.

(37) *Ἀντεριζόντων*. Cotelerius ad *Constit. apost.* lib. III, cap. 2, in hujusmodi locum hæc adnotat : « Pro ἀντεριζόντων edit. Combef. stat quidem Regiæ bibliothecæ codex 205; pro ἐτεριζόντων vero *Bibliothecæ PP. Paris.* tom. XIII, pag. 841, codex 1045. Sed longe rectius ambobus, meo quidem judicio, codices 106 et 143 habent ἑταιριζόντων, hoc est, *adulterinarum* spicarum rationalium. »

(38) *Ἐν ἐμοί*. Al. ἐμέ. Et mox, περὶ αὐτοῦ λαλεῖ.

Digitized by Google

πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· σημεῖον ἀντιλεγόμενον τὸν σταυρὸν προσαγορεύσας. Διὰ τί; Ἐπειδὴ ἐν αὐτῷ τῷ σταυρῷ πολλοὶ τῶν ἀπίστων ἀντιλογίας προσήνεγκαν τῷ Κυρίῳ, καὶ λόγοις καὶ ἔργοις κωμῳδοῦντες, ὄξος ποτίζοντες, χολὴν προσάγοντες, ἀκάνθινον στέφανον περιθέντες, λόγχῃ τὴν πλευρὰν νύττοντες, χερσὶ ῥαπίζοντες, ὀνειδιστικοῖς βοῶντες λόγοις· *Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.* Τοῦτο οὖν ἑρμηνεύων ὁ Συμεὼν ἔλεγε· *Καὶ εἰς σημεῖον ἀντιλεγόμενον.* Πολλοὶ γὰρ ἀντεῖπον· ὅ τε Πέτρος ἠρνήσατο, καὶ πάντες οἱ ἀπόστολοι ὡς ἀποίμαντα πρόβατα διεσκορπίζοντο· ἐν τῷ οὖν σταυρικῷ σημείῳ, καὶ αὐτῆς τῆς Παρθένου ἐπεπλήρωτο ἡ καρδία λύπης· διὸ καὶ ἔλεγε· Διὰ τί μὴ προετελεύτησα; Διὰ τί δὲ τὴν ἡμέραν ταύτην κατέλαβον; Παρθένος μεμένηκα, καὶ μείζονα μητρῴοις τοῖς σπλάγχνοις δάκνομαι. Τούτους τοὺς ἀπείρους λογισμοὺς τῆς Παρθένου, ῥομφαίαν ὁ Συμεὼν προσηγόρευσεν, ὡς νύττοντας τὰ ἐνδόσθια, ὡς σκάνδαλα προσοίσοντας, καθὼς καὶ ὁ Κύριος προεῖπε· *Πάντες ἐν ἐμοὶ σκανδαλισθήσεσθε ἐν τῇ νυκτὶ ταύτῃ·* ὅθεν καὶ ἐπήγαγεν ὁ Συμεὼν φάσκων· *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* Ὅρα πῶς τοὺς ἀπείρους διαλογισμοὺς ῥομφαίαν προσηγόρευσεν ὁ Συμεὼν, ὡς νύττοντας τὰ ἐνδόσθια, ὡς ἀπτομένους νεφρῶν καὶ μυελῶν. Τούτρις δὲ περιέπεσεν ἡ Παρθένος Μαρία (39), μηδέπω τὴν δύναμιν τῆς ἀναστάσεως εἰδυῖα· καὶ ὅτι ἐκ γειτόνων ἡ ἀνάστασις, οὐδέπω ἐγίνωσκεν. Ὅθεν μετὰ τὴν ἀνάστασιν, οὐκέτι ῥομφαία δίστομος ‡ ἀλλ' εὐφροσύνη καὶ ἀγαλλίασις. Σημεῖον τοίνυν ἀντιλογίας, τὸ σταυρικὸν σημεῖον ὁ Συμεὼν προσηγόρευσεν, ἐν ᾧ καιρῷ ῥομφαία λογισμῶν τὴν Παρθένον (40) διῆλθεν. Ἔστι δὲ πάντως εἰπεῖν τινα· Καὶ πόθεν ἡμῖν ἡ ἀπόδειξις; Ἐξ αὐτῶν τῶν τοῦ Κυρίου διδαγμάτων. Ἄκουε αὐτοῦ λέγοντος· *Ἡ γενεὰ αὕτη, γενεὰ πονηρά ἐστι· σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.* Ὁρᾷς πῶς τὸ σταυρικὸν πάθος σημεῖον προσηγορεύθη, οὐ μόνον ἐν τῇ Καινῇ Διαθήκῃ, ἀλλὰ καὶ ἐν τῇ Παλαιᾷ; Σφόδρα γὰρ τὰ παλαιὰ συμφωνεῖ τῇ Νέᾳ. Διὰ τί; Ἐπειδὴ εἷς καὶ ὁ αὐτὸς Θεὸς ὁ κἀκεῖνα νομοθετήσας, καὶ ὧδε βραβεύσας. Καὶ τίς τούτοις μάρτυς; Αὐτὸς ὁ Κύριος. Ἄκουε αὐτοῦ λέγοντος ἐν τῷ προφήτῃ Ἰεζεκιὴλ, πρὸς τοὺς θεριστὰς ἀγγέλους, τὴν καθολικὴν συντέλειαν μηνύοντος, οὕτω λέγων· *Μὴ φείσησθε τοῖς ὀφθαλμοῖς ὑμῶν,*

A *positus est in ruinam et resurrectionem multorum in Israel; et in signum cui contradicatur:* signum cui contradicitur, crucem appellans. Quamobrem? Quia multi infideles in ipsa cruce contradixerunt Domino, et verbis et factis traducentes, potantes aceto, fel admoventes, imponentes coronam spineam, lancea fodientes latus, manibus dantes alapas, probrosis clamoribus sugillantes: *Alios solvos fecit, se ipsum non potest salvum facere*[76]. Hoc ergo exponens Simeon, dicebat: *Et in signum cui contradicatur.* Multi siquidem contradixerunt, quando Petrus negavit; quando omnes apostoli velut oves pastorem non habentes, fuerunt dispersi. Fuit ergo ipsius etiam Virginis cor tristitia impletum, in crucis signo. Quare etiam dicebat: Utquid non prior vivis excessi? quid ad hanc diem perveni? Virgo B mansi, et ita manens, majores maternis visceribus dolores sentio. Hasce innumeras Virginis cogitationes Simeon appellavit gladium, velut quæ scandala allaturæ, viscera vulnerarent: quemadmodum etiam prædixit Dominus: *Omnes in me scandalum patiemini in nocte ista*[77]. Unde etiam adjecit Simeon in hæc verba: *Et tuam ipsius animam doloris gladius pertransibit, ut revelentur ex multis cordibus cogitationes*[78]. Vide ut Simeon innumeras cogitationes gladium vocaverit; velut quæ ferirent viscera; velut quæ renes medullasque contingerent. In has autem incidit Virgo Maria, quod nondum sciret vim resurrectionis, quod etiamnum resurrectionem C in propinquo esse ignoraret. Unde post resurrectionem, non jam amplius gladius anceps, sed lætitia atque exsultatio est. Signum igitur contradictionis, crucis signum Simeon appellavit, quo tempore cogitationum gladius Virginem pervasit. Sed prorsus aliquis dicat: Unde vero hæc demonstraveris? Ex ipsa Domini doctrina. Audi illum dicentem: *Generatio hæc, generatio nequam est: signum quærit, et signum non dabitur ei, nisi signum Jonæ prophetæ. Sicut enim fuit Jonas in ventre ceti: sic erit Filius hominis in corde terræ, tribus diebus et tribus noctibus*[79]. Vides ut crucis supplicium dictum fuerit signum, non solum in Novo Testamento, sed etiam in Veteri? Admodum enim consonant vetera Novo Testamento. Quamobrem? Quia unus et idem Deus D est, qui illa sanxit, et hic ordinavit. Quis vero his testis fuerit? Ipse Dominus. Audi enim eum dicentem in propheta Ezechiele ad angelos messores, dum universalem consummationem annuntians ait: *Ne parcite oculis vestris, et ne miseremini senem, neque juvenem, neque virginem, et puerum et mulieres interficite ad internecionem. Eos autem qui signum*

[76] Matth. xxvii, 42. [77] Matth. xxvi, 31. [78] Luc. ii, 35. [79] Luc. xi, 29, 30; Matth. xii, 39, 40.

(39) *Τούτοις δὲ περιέπεσεν ἡ Παρθένος Μαρία. In has autem incidit Virgo Maria:* nempe, cogitationes, gladii instar animam pervadentes, *quod nondum sciret vim resurrectionis.* Et hæc ab Origene accepta hom. 17 *in Luc.* non probanda sententia, in qua etiam fuit Cyrillus et alii. Potuit sane, nulla tali ignorantia laborans Maria, compassionis affectu et maternis visceribus, dira illa Filii passione intime cruciari; ut etiam ex zelo divinæ gloriæ, quam tanto in Jesum parricidio Judæorum videbat immaniter conculcari; ut ne scandalum dicam in cruce futurum, ad quod præcipue Simeon respicere videtur. Videndus Beda, etc.

(40) *Τὴν Παρθένον.* Al. Τὴν ψυχὴν τῆς Παρθένου.

Digitized by Google

gestant in frontibus, ne tetigeritis[80]. Vide signum et Veteris et Novi Testamenti; est enim ipsa crux quæ salvat mundum, per Jesum Christum Dominum nostrum : cui gloria et imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

A *καὶ μὴ ἐλεήσητε πρεσβύτην, μηδὲ νεανίσκον καὶ παρθένον· καὶ παιδίον, καὶ γυναῖκας θανατώσατε εἰς ἐξάλειψιν. Τοῖς δὲ ἐπιφερομένοις ἐπὶ τῶν μετώπων τὸ σημεῖον, μὴ ἄψησθε.* Ἴδε τὸ σημεῖον τῆς Παλαιᾶς καὶ τῆς Νέας. Αὐτὸς γὰρ ἐστιν ὁ σταυρὸς ὁ τὸν κόσμον σώζων· διὰ Ἰησοῦ τοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO III.

In Lazarum quatriduanum[81].

I. Profer rursum in medium Joannem evangelistam. Bonum est ut consideremus resurrectionis primitias. Audisti enim nuper dicentem : *Ante sex dies Paschæ venit Jesus Bethaniam, ubi erat Lazarus quem suscitavit a mortuis*[82]. Vidistin' resurrectionis primitias, præcedenti typo in Lazaro B designatas, quas cognovit fidelis populus? Agnoverunt turbæ, et pontifices miraculum transferentes in occasionem invidiæ, probris insectati sunt. Plane inviderunt suscitato Lazaro, cum post ejus resurrectionem quam audisti, consilium inierint ut eum interficerent. Vidistin' exsuperantem invidiam ? Cogitaverunt ipsi interficere, quem Dominus suscitaverat[83]; non conscii fore, ut quamvis interfecerint, facile sit Domino ut iterum amicum resuscitet. Consilium inierunt ut Lazarum interficerent. Nihil ita mordebat Judæos sicut resurrectio Lazari. Huic uni miraculo nequiverant calumniam inferre. Cæci a nativitate illuminationem fuerant calumniati, dicentes : *Hic est : non est hic, similis ei est*[84]. Fuerant C calumniati suscitationem filiæ Jairi, dicentes graviori depressam somno, non consummato morbo fuisse traditam[85]. Suscitationem filii viduæ unigeniti fuerant calumniati, dicentes simulasse mortem, non mortis absorptum tyrannide[86]. Exsiccatam ficum calumniati erant, dicentes aruisse velut accisam, non siccatam sermone Dominico[87]. Aquæ in vinum mutationi intulerant calumniam, dicentes jam in cœna temulentorum rem esse, nec irrisionem percipientium[88] : soli suscitationi Lazari non potuerant inferre. Viderant ipsum Lazarum : vir insignis erat : pompæ funebri fuerant comites ; viderant signatum sepulcrum, fuerant pro more consolati velut in parentalibus et demortui epulo. Fuerant consolati Martham et Mariam sorores Lazari. Noverant tres dies habere, accurate depositum in monumento, esseque quatriduanum mortuum ; undequaque dissolutis artubus, minutis carnibus, nervorum colligatione divulsa, dissipatis visceribus, ventre defluente. Cum essent horum conscii, ac repente vidissent resuscitatum Lazarum incolumem, novam velut ex torno, totam juvenem vegetamque ac renidentem speciem, turbati fuerunt; parum abest ut ne exspirarent, non invenientes quibus prætextis

ΛΟΓΟΣ Γ'.

Εἰς τὸν τετραήμερον Λάζαρον.

Α'. Φέρε πάλιν εἰς μέσον τὸν εὐαγγελιστὴν Ἰωάννην· καλὸν γὰρ τὴν ἀπαρχὴν τῆς ἀναστάσεως σκοπῆσαι. Ἤκουες γὰρ αὐτοῦ ἀρτίως λέγοντος· *Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν.* Ἴδες τὴν B ἀπαρχὴν τῆς ἀναστάσεως ἐν Λαζάρῳ προτυπωθεῖσαν, ἣν ὁ πιστὸς ὄχλος ἐγνώρισεν; Οἱ ὄχλοι ἐγνώρισαν, καὶ οἱ ἀρχιερεῖς ἐλοιδόρησαν, τὴν θαυματουργίαν εἰς βασκανίαν μεταβαλόντες. Ὄντως ἐβάσκαναν τὴν ἀνάστασιν Λαζάρου, ὅτι μετὰ τὴν ἀνάστασιν αὐτοῦ, ἧς ἤκουες, συνεβουλεύσαντο αὐτὸν ἀποκτεῖναι. Ἴδες βασκανίας ὑπερβολήν; Ὃν ὁ Κύριος ἤγειρεν, αὐτοὶ ἀποκτεῖναι διενοήθησαν, μὴ συνειδότες, ὅτι κἂν αὐτοὶ ἀποκτείνουσι, πάλιν κοῦφον τῷ Κυρίῳ ἀναστῆσαι τὸν φίλον. Συνεβουλεύσαντο τὸν Λάζαρον ἀποκτεῖναι. Οὐδὲν οὕτως ἐδρίμυττε τοὺς Ἰουδαίους, ὡς ἡ ἀνάστασις τοῦ Λαζάρου. Τοῦτο μόνον τὸ θαῦμα οὐκ ἴσχυσαν συκοφαντῆσαι. Τὴν ἀνάβλεψιν τοῦ ἐκ γεννητῆς τυφλοῦ ἐσυκοφάντησαν λέγοντες· *Οὗτός ἐστιν· οὐχ οὗτός ἐστιν· ὅμοιος αὐτοῦ ἐστιν.* Τὴν ἔγερσιν τῆς C θυγατρὸς Ἰαΐρου ἐσυκοφάντησαν (41), λέγοντες, ὡς κατηνέχθη, καὶ οὐ τελείῳ θανάτῳ παρεδόθη. Τὴν ἀνάστασιν τοῦ υἱοῦ τῆς χήρας τοῦ μονογενοῦς ἐσυκοφάντησαν λέγοντες, ὡς τὸν θάνατον ἐσχημάτισατο, καὶ οὐχ ὑπὸ τῆς τυραννίδος τοῦ θανάτου κατεπόθη. Τὴν ξηρανθεῖσαν συκῆν ἐσυκοφάντησαν λέγοντες, ὡς τρυγωνισθεῖσαν, καὶ οὐχ ὡς Δεσποτικῷ ῥήματι ξηρανθεῖσαν. Τὴν τοῦ ὕδατος εἰς οἶνον μεταβολὴν ἐσυκοφάντησαν λέγοντες, ὡς ἤδη τῶν ἐν τῷ δείπνῳ μεθυσθέντων, καὶ μὴ εἰδότων τὴν χλεύην. Τὴν ἀνάστασιν μόνην τοῦ Λαζάρου οὐκ ἴσχυσαν συκοφαντῆσαι. Ἴδον αὐτὸν Λάζαρον· ἐπίσημος ἦν ὁ ἀνήρ· ἠκολούθησαν τῇ κηδίᾳ· ἴδον τὸν τάφον σφραγιζόμενον· παρεμυθήσαντο κατὰ τὸ εἰωθὸς, ὡς ἐν περιδείπνῳ θανά- D του. Παρεμυθήσαντο Μάρθαν καὶ Μαρίαν τὰς ἀδελφὰς τοῦ Λαζάρου· ἔγνωσαν ὅτι τέσσαρας ἡμέρας εἶχεν, ἀκριβῶς ἐν τῷ μνημείῳ κατατεθείς, καὶ ὅτι τεταήμερος νεκρὸς, πάντοθεν ἐξάρθρος, τῶν σαρκῶν μειωθέντων, τῆς νευροστασίας διασπασθείσης, τῶν ἐνδοσθίων διασκορπισθέντων, τῆς γαστρὸς ἐκχυθείσης. Ταῦτα συνειδότες, ὡς ἴδον ἀθρόον τὴν ἀνάστασιν Λαζάρου σῶαν, ἀρτίαν ὡς ἀπὸ τόρνου στιλβουσαν τὴν παννεωσίαν, ἐταράχθησαν. Μικροῦ δεῖν ἀπέψυξαν, μὴ εὑρίσκοντες λόγους προφασιλογίας, τὸ

[80] Ezech. IX, 5, 6. [81] Joan. XI, 17 sqq. [82] Joan. XII, 1. [83] Joan. XII, 10. [84] Joan. IX, 8. [85] Marc. V, 39; Luc. VIII, 52. [86] Luc. VII, 11. [87] Matth. XXI, 19; Marc. XI, 13. [88] Joan. II, 9. sqq.

(41) *Ἐσυκοφάντησαν.* Saltem potuerunt aliqua specie calumniari; quomodo reliqua accipi debent: solam enim expresse cæci illuminationem Joan. IV legimus passam calumniam : τὸ, κατηνέχθη significantissimum est.

Digitized by Google

πῶς συκοφαντήσουσι τὴν ἀνάστασιν Λαζάρου, τῆς τοῦ Χριστοῦ πραγματείας τοῦτο κατασκευασάσης. A

verbis Lazari resurrectionem calumniarentur, ita Christi arte molita.

Β'. Τί ἐστι, τῆς τοῦ Κυρίου πραγματείας τοῦτο παρασκευασάσης; Ἄκουε διὰ βραχέων. Ἡνίκα Λάζαρος τὴν παροῦσαν ζωὴν ἀπεδύσατο φυσικῶς, οὐκ ἦν ὁ Κύριος Βηθανίᾳ παρὼν τοῖς σωματικοῖς ὀφθαλμοῖς (42)· τῇ δὲ θεότητι πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν. Μετὰ γὰρ τέσσαρας ἡμέρας τοῦ ταφῆναι τὸν Λάζαρον, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, τὴν ἀνάστασιν τοῦ φίλου κωμῳδῆσαι. Ὅθεν καὶ τοῦ παραγενομένου ἐν Βηθανίᾳ, ὡς ἤκουσε Μάρθα ἡ ἀδελφὴ Λαζάρου, ἔδραμεν, ἔσπευσε, προέπεσεν ἐν παρακλήσει, αἱρετικὴν πρεσβείαν προσφέρουσα (43). Προπετῶς γὰρ ἔφασκε τῷ Κυρίῳ λέγουσα· *Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου. Καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι* ὁ Θεός. Ὁ δὲ Κύριος αὐτὸς, πέλαγος ὢν μακροθυμίας, ἀπεκρίνατο λέγων· Τί λέγεις, Μάρθα; Κύριον καλεῖς, καὶ Κύριον ἀγνοεῖς; Οὐκ ἦμην ὧδε; Μικρὸν καρτέρησον· ἐν τάχει γὰρ παρὰ τοῦ ἀδελφοῦ σου μαθήσῃ. *Ἀναστήσεται γὰρ ὁ ἀδελφός σου.* Συγγινώσκω σοι, Μάρθα. Μεθύεις γὰρ τῇ λύπῃ (44). Ὥσπερ αὐτῇ εἶπεν· Καλῶν μεθύων σφάλλεται· ὅτε ἐκνήψεις, τότε σοφρωνισθήσῃ. *Ἀναστήσεται γὰρ ὁ ἀδελφός σου.* Ἡ δὲ Μάρθα, καὶ οὕτως συμπεριενεχθεῖσα (45) ἀνθρωπίνοις ῥήμασιν, ἀνθυπένεγκε τῷ Κυρίῳ λέγουσα· *Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.* Ὁ δὲ Κύριος πρὸς αὐτήν· Τί θαμβεύεις, ὦ Μάρθα; Τί εἰς μακρὰς ἐλπίδας τὴν ἀνάστασιν ἀναδύῃ; Ἡ ἀνάστασίς σοι διαλέγεται, καὶ περὶ ἀναστάσεως διαλέγῃ; *Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται.* B C

II. Quænam porro sit illa Domini sic moliti ars, paucis accipe. Quando Lazarus natura exuit præsentem vitam, non erat Dominus in Bethania præsens corporeis oculis : qui tamen est ubique deitate præsens, et omnia replet. Post quatuor dies sepulti Lazari venit Jesus Bethaniam, amici resurrectionem in theatrum acturus. Unde etiam cum eo advenisset : ut audivit Martha soror Lazari, cucurrit, properavit, accidit, legationem sua voluntate assumptam supplex obivit. Præcipitantius enim allocuta Dominum, dixit : *Domine, si fuisses hic, frater meus non fuisset mortuus : sed et nunc scio quia quæcunque poposceris a Deo, dabit tibi Deus.* Dominus autem, ipse longanimitatis pelagus, respondit dicens: Quid dicis, Martha? Vocas Dominum, nec Dominum cogitas? Non hic eram? Modicum sustine : cito enim noveris ex tuo fratre : *Resurget enim frater tuus.* Ignosco, Martha : præ tristitia enim ebria es. Ac si ei diceret : Errat a bonis qui est ebrius. Cum emerserit, tunc sapueris. *Resurget enim frater tuus.* Martha vero, si quoque verbis humanis obsecuta, ex adverso intulit, dicens Domino : *Scio quia resurget in novissimo die.* At Dominus ad illam : Quid, Martha trepidas? Quid in longam spem resurrectionem revocas? Tecum resurrectio disserit, et de resurrectione disceptas? *Ego sum resurrectio et vita : qui credit in me, etiamsi mortuus fuerit, vivet.*

Γ'. Ταῦτα τοῦ Κυρίου διαλεγομένου, μικροῦ δεῖν πᾶσα ἡ πόλις Βηθανία κατέδραμεν εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ θαυμάσαι, ἀλλὰ γελάσαι. Οὐκ εἶχον γὰρ ἐλπίδα, τετραήμερον νεκρὸν ἀναστῆσαι. Τί οὖν ὁ Κύριος; Ὡς εἶδε τοσοῦτον πλῆθος καταδραμὸν, καὶ ὅτι ἄξιοί εἰσι, καὶ ἱκανοῦσι πρὸς μαρτυρίαν τοῦ μέλλοντος παρ' αὐτοῦ ἀνεγείρεσθαι, ἀποκριθεὶς πρὸς αὐτοὺς ἔφη· *Ποῦ τεθείκατε τὸν Λάζαρον;* Ἆρ' οὐκ ᾔδει τὸν τόπον ὁ τοῦ τόπου Δεσπότης; Ἤδει τὸν τόπον, ἀλλ' ἐπραγματεύσατο τὸν τρόπον, ὅπως πάντες αὖθις ἀναγκασθέντες ἐπακολουθήσωσι τῷ Ἰησοῦ, ἵνα αὐτοψὶ θεασάμενοι τὴν ἀνάστασιν ἀναμφίβολοι κήρυκες γένωνται. *Ποῦ τεθείκατε αὐτόν;* Οἱ δὲ ἐπερωτηθέντες εἶπον πρὸς αὐτόν· *Ἔρχου, καὶ ἴδε.* Τοῦ δὲ Ἰησοῦ βαδίζοντος, καὶ ἐπὶ τὸν τάφον σπεύδοντος, ὁ ἀκολουθῶν ὄπισθεν ὄχλος ἀντέλαβε πρὸς ἑαυτὸν, λέγων· Τί θέλει οὗτος τὸν τάφον Λαζάρου θεάσασθαι; D

III. Hos Domino conferente sermones, parum abfuit ne tota urbs Bethania ad adventum ejus accurreret, non admirationis causa, sed irrisionis . non enim sperabant fore, ut quatriduanus resurgeret. Quid igitur Dominus? Ut vidit accurrisse tantam multitudinem, ac dignos esse quibus haberetur fides, idoneosque ut suscitando ab ipso testimonium deferrent, respondens ad illos ait : *Ubi posuistis Lazarum?* Nunquid non sciebat locum, loci Dominus? Plane noverat, sed modum negotiatur, ut omnes subinde coacti sequantur Jesum, quo ipsis oculis conspecta resurrectione, præcones fierent omni majores exceptione. *Ubi posuistis eum?* Qui autem fuerant interrogati dixerunt ei : *Veni et vide.* Porro ambulante Jesu et ad sepulcrum properante, qui pone sequebatur populus, apud se conferebat, dicens : Quid hic sepulcrum

(42) *Οὐκ ἦν παρὼν τοῖς σωματικοῖς ὀφθαλμοῖς.* Est hic modus præsentiæ in terminis D. Tho. I p. ipseque, quo Deus dicitur in omnibus esse per præsentiam; eo modo quo rex omnibus coram positis et in prospectu, adest præsens : vixque fuerit usquam scholæ theologia sic Patribus expressa.

(43) *Ἐν παρακλήσει, αἱρετικὴν πρεσβείαν προσφέρουσα.* Forte προφέρουσα· ipsa supplicatione, ultro se legationem assumpsisse ostendit; velut quodam calore, inconsideratiusque Dominum allocuta, προπετῶς, sola nimirum fratris suscitatione et morte obversante animo, cui deprecandæ sic festina Domino occurrisset.

(44) *Μεθύεις τῇ λύπῃ.* Dicitur τὸ μεθύειν metaphorice de quocunque immoderato affectu, quo quis velut sensibus moveatur. Dionys. Halicar. l. II: Μεθύετε τῷ μεγέθει τῆς ἐξουσίας. S. Chrys. de Abraham to. I Fronton. ubi is videri potest.

(45) *Συμπεριενεχθεῖσα.* Velut adblandiens, et gratiose quasi acquiescendo respondens, alio tamen detortis verbis Dominicis; ad aliam scilicet resurrectionem, quam pro qua supplex Dominum rogaret.

Digitized by Google

Lazari vult videre? Si est Dei Filius, suscitabit eum. Quod enim ad eos spectat quos recens mortuos suscitavit, nescimus. Unde ergo sciverimus? Si erant perfecte mortui, hunc suscitabit, eoque cognoscimus esse re vera Dei Filium. Unde et Martha talibus se sermonibus facilem præbens, accessit et ipsa ad Dominum, dicens: Quo pergis, Domine? Quid vis videre sepulcrum Lazari? Quid refricas dolorem nostrum? Quid luctum exsuscitas? Quid vis videre sepulcrum? Nihil enim, Domine, inde retuleris commodi: *jam fetet, quatriduanus est enim.* Dominus autem ad Martham: *Nonne dixi tibi, quoniam si credideris, videbis gloriam Dei?* Mihine dicis, *Jam fetet?* Soror tua ungit unguento, ipsaque in infidelitate denigraris? Volo videre sepulcrum amici mei.

Εἰ Υἱός ἐστι τοῦ Θεοῦ, τοῦτον ἀναστήσει. Τῶν γὰρ προσφάτως τελευτησάντων, ὧν ἤγειρεν, οὐκ ἐπιστάμεθα. Πόθεν οὖν ἴσμεν; Εἰ τελείῳ θανάτῳ παρεδόθησαν, τοῦτον ἀναστήσει, καὶ γνῶσιν λαμβάνομεν ὅτι ἀληθῶς Θεοῦ Υἱός ἐστιν. Ὅθεν καὶ ἡ Μάρθα τοῖς λόγοις τοιούτοις συμπεριενεχθεῖσα, προσῆλθε τῷ Κυρίῳ καὶ αὐτὴ λέγουσα· Ποῦ πορεύῃ, Δέσποτα; Τί θέλεις τὸν τάφον ἰδεῖν Λαζάρου; Τί τὴν ὀδύνην ἡμῶν ἀναξέεις; Τί τὸ πένθος ἐπεγείρεις; Τί θέλεις τὸν τάφον ἰδεῖν; Οὐδὲν γὰρ ὠνήσῃ, Δέσποτα· *Ἤδη ὄζει, τετραήμερος γάρ ἐστιν.* Ὁ δὲ Κύριος πρὸς τὴν Μάρθαν· *Οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψῃ τὴν δόξαν τοῦ Θεοῦ;* Ἐμοὶ λέγεις, *Ἤδη ὄζει;* Ἡ ἀδελφή σου μυρίζει, καὶ σὺ καπνίζῃ ἐν τῇ ἀπιστίᾳ; Θέλω τὸν τάφον ἰδεῖν τοῦ φίλου μου.

IV. His Dominus dictis, ad sepulcrum processit, jamque illi propinquus, ut tantum vidit monumentum, statim lacrymatus est. Quid vero ei quem erat suscitaturus, opus lacrymis? Utique lacrymatus est Dominus, ut qui sapienter omnia gereret. Est enim lacrymatus ad tumulum, ut quid ii qui comites adhæsissent de ipso suspicionis haberent animo repositum proderet. Unde etiam ut viderunt lacrymantem, humanum denuo aliquid passæ turbæ, cœperunt conferre invicem, ac dicere: *Ecce quomodo amabat eum.* Non poterat, qui suscitavit mortuos ex cæcis restituit visum, facere ut ne hic morereturi, siquidem eum sic amabat? Dominus autem ut eos adhuc humana vidit loquentes, illis respondit: Erat mihi non grave, ut Lazari vitam, quemadmodum etiam Eliæ et Enoch, retinerem: nemo tamen vestrum, mea illam voluntate retineri cognovisset. Idcirco permisi ut morte absorberetur, quo accuratius vitæ et mortis habere me potestatem docerem. Moxque ad eos Dominus, ut omnes clare nostis: *Revolvite lapidem.* Judæis injunxit ut revolverent lapidem (46). Vide ut omnia prudenter gesserit, testes probatissimos resurrectionis Lazari faciens. *Revolvite lapidem.* Concessit discipulis ut sermone montes transferrent [69], et ipse non revolvit lapidem? Verum, ut dixi, omnia sapienter ad utilitatem gerens, dixit Judæis: *Revolvite lapidem*, ut ex ipso feretri fetore, putruisse defunctum, non furto fuisse sublatum discerent. *Revolvite lapidem.* Ut autem illi murmurantes revolverunt (mordebat enim effrenata capuli olentia): cum itaque qui aderant revolvissent lapidem, confestim clamavit Dominus, dicens: *Lazare, veni foras.* Herus est qui vocat: ne quis contradixerit. *Lazare, veni foras;* certam fidem sororituæ Marthæ facito ut jubeam, non ut supplicem. *Lazare, veni foras.* Priusquam descendero, percurre, et edissere in te arrhabonem: in me autem, quod perfectum est. *Lazare, veni foras.*

Δ'. Ταῦτα εἰπὼν ὁ Κύριος, ἐπὶ τὸν τάφον ἐπορεύετο· καὶ πλησιάσας τῷ τάφῳ, μόνον εἶδε τὸ μνημεῖον, εὐθέως ἐδάκρυσε. Τίς ἡ χρεία δακρύειν, ὃν ἤμελλεν ἐγείρειν; Ἐδάκρυσε (47), διὸ συνετῶς πάντα ὁ Κύριος σοφῶς ἐπραγματεύσατο. Ἐδάκρυσε γὰρ ἐπὶ τὸν τάφον, ὅπως τῶν ἀκολουθησάντων τὴν γνώμην δημοσιεύσῃ, οἵαν ἔχουσι περὶ αὐτοῦ ὑποψίαν. Διὸ καὶ ὡς εἶδον αὐτὸν δακρύσαντα, ἀνθρώπινα πάλιν παθόντες οἱ ἀκολουθοῦντες ὄχλοι, ἤρξαντο πρὸς ἑαυτοὺς ἀντιβάλλειν καὶ λέγειν· *Εἶδες πῶς ἐφίλει αὐτόν;* Ὁ νεκροὺς ἐγείρας, καὶ τυφλοὺς ὀμματώσας, οὐκ ἠδύνατο ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ, εἰ ἄρα οὕτως ἐφίλει αὐτόν; Ὁ δὲ Κύριος, ὡς εἶδεν αὐτοὺς ἔτι ἀνθρώπινα λαλοῦντας, ἀπεκρίνατο πρὸς αὐτούς· Κοῦφον μὲν ἦν μοι παρακατασχεῖν τὴν ζωὴν Λαζάρου, ὡς καὶ τοῦ Ἠλία καὶ τοῦ Ἐνὼχ, ἀλλ' οὐδεὶς ὑμῶν ἐγίνωσκεν, ὅτι τῇ ἐμῇ θελήσει ἡ ζωὴ Λαζάρου παρακατέχεται. Διὰ τοῦτο συνεχώρησα ὑπὸ τοῦ θανάτου αὐτὸν καταποθῆναι, ὅπως ἀκριβῶς μάθητε, ὅτι ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχω. Καὶ εὐθὺς πρὸς αὐτοὺς ὁ Κύριος, καθὼς ἴστε πάντες σαφῶς· *Ἀποκυλίσατε τὸν λίθον.* Βλέπε πῶς πάντα σοφῶς ἐπραγματεύσατο, μάρτυρας ἀκριβεῖς τῆς ἀναστάσεως Λαζάρου καθιστῶν. *Ἀποκυλίσατε τὸν λίθον.* Τοῖς μαθηταῖς ἐπέτρεπεν ὄρη μεταγαγεῖν λόγῳ, καὶ αὐτὸς λίθον οὐκ ἀπεκύλισεν; Ἀλλὰ πάντα σοφῶς, καθὼς προεῖπον, πραγματευόμενος πρὸς λυσιτέλειαν, ἔλεγε τοῖς Ἰουδαίοις, *Ἀποκυλίσατε τὸν λίθον*, ὅπως ἐξ αὐτῆς τῆς νεκροφόρου ἀποφορᾶς μάθωσιν ὅτι ἐσάπη καὶ οὐκ ἐκλάπη. *Ἀποκυλίσατε τὸν λίθον.* Τῶν δὲ ἀποκυλισάντων μετὰ γογγυσμοῦ (ἐδρίμυττεν γὰρ αὐτοὺς ἡ νεκροφόρου δυσίνιος ἀποφορά)· ἀποκυλισάντων δὲ τῶν παρόντων τὸν λίθον, εὐθέως ἐβόησεν ὁ Κύριος λέγων· *Λάζαρε, δεῦρο ἔξω.* Δεσπότης ὁ καλῶν, οὐδεὶς ὁ ἀντιλέγων. *Λάζαρε, δεῦρο ἔξω·* πληροφόρησον Μάρθαν τὴν ἀδελφήν σου, ὡς κελεύω, καὶ οὐχ ἱκετεύω. *Λάζαρε, δεῦρο ἔξω.* Πρὸ τοῦ κατέλθω, ἔξελθε (48)· ἐν σοὶ τὸν ἀρραβῶνα, ἐν ἐμοὶ τὸ τέλειον. *Λάζαρε, δεῦρο ἔξω.*

[69] Matth. XVII, 19.

(46) *Judæis injunxit ut revolverent lapidem.* Hæc desunt in Græcis, sed sensus constat.

(47) *Ἐδάκρυσε.* Littera vitiosa.

(48) *Πρὸ τοῦ κατέλθω ἔξελθε.* Perit lepos Græcus in suavi illa propositionis solius commutatione. Tu ergo, priusquam morte inferna petam, esto hominibus præco; tuæmet resurrectionis, ut primitiarum: meæque illius, ut perfecti; nempe ut ejus,

Digitized by Google

Ε'. Μὴ οἶου τὸν Κύριον πολλὰς φωνὰς βεβλημένον. Ἅπαξ ἐλάλησε, καὶ ὃν ἔπλασεν, ἤγειρεν. Οὔτε γὰρ ὡς Ἠλίας ἔκλαυσεν· οὔτε ὡς Ἐλισαῖος ἀπόρησε. Μονοφθόγγῳ φωνῇ (49) διύπνισε τὸν παρ' αὐτῷ καθεύδοντα, εἰπών, *Λάζαρε, δεῦρο ἔξω*· εἷς ὁ λόγος, καὶ διάφορα τὰ θαύματα. Μόνον ὁ Κύριος ἐφώνησε, *Λάζαρε, δεῦρο ἔξω*, καὶ εὐθέως αἱ σάρκες ἀπεπληροῦντο· αἱ τρίχες ἀντεφύτοντο (*sic*)· αἱ ἁρμονίαι συνεδραμοῦντο· αἱ φλέβες καθαρῷ αἵματι ἀντεγεμίζοντο· ὁ ᾅδης κάτωθεν κοπτόμενος τὸν Λάζαρον προέπεμψεν· ἡ ψυχὴ Λαζάρου παρακρατουμένη (50), καὶ ὑπὸ τῶν ἀγγέλων παρακαλουμένη, τὸ ἴδιον εἰς τὸ ἴδιον μετεχωνεύετο· καὶ τὸ πάντων ἐνδοξότερον (51) ἦν, ὅτι πανταχόθεν δεδεμένος ἦν τοὺς πόδας καὶ τὴν ὄψιν κηρίαις, καὶ ἀνεμποδίστως ἐβάδιζε. Διὸ καὶ ὁ Κύριος δραστικώτερον πρὸς τοὺς παρόντας ὄχλους παρεκελεύσατο, λέγων· *Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν*. Βλέπε τὴν τοῦ Κυρίου πραγματείαν, καὶ πῶς τὰ πάντα σοφῶς οἰκονομεῖ. Πρὸς πληροφορίαν τῶν παρόντων ἔλεγε· *Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν*, ὡς τὸν λίθον ἀπεκυλίσατε, καὶ τὸν τάφον ὑπεδείξατε, καὶ τῆς ὀσφρήσεως μετήσχετε, καὶ τὰ νεκροτάφια ἐλύσατε· τὸ μὲν, εὐλογίαν τηροῦντες (52)· τὸ δὲ, ὡς μάρτυρες φυλάττοντες. Ἐὰν ἀπιστήσωσιν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ὡς οὐκ ἀνέστη Λάζαρος, δείξατε τὰ νεκροτάφια· ἐμφανίσατε σουδάρια ὡς ὁ παραλυτικὸς τὸν κράβατον. Ἡμεῖς δὲ τὰ βαΐα τῶν φοινίκων βαστάζοντες (53) εἴπωμεν· *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A V. Tu vero, amice, cum audis, Lazare, veni foras, ne putaveris plures Dominum jactasse voces. Semel locutus est, eumque suscitavit quem plasmaverat. Neque enim deploravit sicut Elias [90]: neque sicut Elisæus [91] dubitavit. Unius soni voce excitavit a somno dormientem apud ipsum, dicens: *Lazare, veni foras*. Sermo unicus, et miracula diversa. Solum voce protulit Dominus: *Lazare, veni foras*, confestimque repletæ sunt carnes, pili suis locis plantati, compages consertæ, venæ puro pro putri repletæ sanguine, inferne percussus infernus Lazarum emisit. Confirmata anima Lazari, atque ab angelis sanctis evocata, proprium in proprium transmutando conflabat. Omnibus vero clarius et illustrius erat, ut undequaque pedes et faciem institis vinctus, libere ambularet. Ideo etiam Dominus præsentibus turbis efficacius majorique auctoritate præcepit dicens: *Solvite eum, et sinite abire*. Vide Dominicam in agendis solertiam, et ut omnia sapienter gerat. Ut certam fidem astantibus faceret, dixit: *Solvite eum, et sinite abire*, quemadmodum revolvistis lapidem, et sepulcrum ostendistis, percepistisque olentiam, ac sepulcralia solvistis: qua servantes ut benedictionem: qua velut testes custodientes. Si pontifices Pharisæique increduli, quasi Lazarus non surrexerit, inficias ierint, exhibete sepulcralia, palam proferte sudaria, quemadmodum paralyticus grabatum [92]. Nos vero ferentes ramos palmarum, dicamus: *Hosanna in excelsis: Benedictus qui venit in nomine Domini* [93]. Ipsi gloria et imperium, cum sanctissimo et vivifico Spiritu, nunc et semper, in sæcula sæculorum. Amen.

B

C

ΛΟΓΟΣ Δ'.

Ὁμιλία (54) *εἰς τὴν γυναῖκα τὴν ἁμαρτωλὸν, τὴν ἀλείψασαν τὸν Κύριον μύρῳ, καὶ εἰς Φαρισαῖον. Τῇ μ. δ'* (55).

Ἱκανῶς (56) ἡμᾶς πρώην ἐψυχαγώγησεν ὁ Χριστὸς

ORATIO IV.

Homilia in mulierem peccatricem, quæ unxit Dominum unguento, et in Pharisæum [94]. *Magna quarta feria.*

1. Abunde nuper, apud Zachæum convivans Chri-

[90] III Reg. XVII, 20. [91] IV Reg. IV, 27. [92] Marc. II, 12. [93] Joan. V, 9; Matth. XXI, 9. [94] Luc. VII, 36 sqq.

cui mors gustata tantum, omnino mortua sit; qui resurgens ex mortuis, jam non moriar, sed æternæ vitæ mortalibus universis aditum pandam.

(49) *Μονοφθόγγῳ φωνῇ*. Velut recta una simplici oratione, qualem refert evangelista, forte etiam breviori, pro Hebrææ et Syriacæ linguæ contractione, qua Dominus locutus est. Potuit etiam velut interjectione loqui, eaque excitare a monumento dormientem sibi Lazarum: μονοφθόγγῳ φωνῇ, quasi voce monosyllaba, evocare.

(50) *Παρακρατουμένη*. Novo robore aucta, Dominica voce: τὸ ἴδιον εἰς τὸ ἴδιον μετεχωνεύετο, *Corpus proprium*, quo vixisset, *in proprium transmutando conflabat*: aptando ad pristinos usus, ac dotes restituendo, quibus olim suum continebat.

(51) *Τὸ πάντων ἐνδοξότερον*. Sic Andreas Cretensis, aliique, eam circumstantiam merito suspiciunt: eratque ad stuporem vere maximum, ut homo tandiu sepulcro depositus, totus vinctus et involutus, ceu membris liber, procederet, seque aspectandum turbæ toti ipse redivivus daret.

(52) *Τὸ μὲν, εὐλογίαν τηροῦντες*. Respicit perantiquum morem fidelium servandi ut quid sacrum, quæ sacro alicui vel adhæsissent, vel fuissent usui; ac ceu benedictionem ab eo relictam: qui ritus, etsi in eum olim Dormitantius ille Hieronymi, nostrique sectarii, deblaterent, etiamnum utrique Ecclesiæ sanctus merito perseverat, perseverabitque, ut et reliqua apostolica, usuque universali, christiana vere pietate recepta.

D (53) *Τὰ βαΐα τῶν φοινίκων βαστάζοντες*. Alludit ad futurum statim insequenti Dominica Christi triumphum, quo velut redeuntem a Bethania Dominum, ubi pridie cum suscitato Lazaro, ungente etiam ipsius sorore Maria, celebri convivio exceptus esset, continuata festivitate Græci suscipiunt, qua de re, elegantissime nec paucis præfatus Andreas: Amphilochius leviter tantum innuit.

(54) *Ὁμιλ.* Hanc homiliam ex apographo Sirmondiano evulgavit Combefisius. Eamdem ediderant Savilius et Morellus inter opera Chrysostomo supposita. Neque illam prætermisit Montfauconius in sua ejusdem Chrysostomi editione: exstatque in Appendice ad tom. X, pag. 799-806, absque nomine auctoris: quam tamen Amphilochio tribuit doctissimus editor tom. XIII, in indice, v. Ἱκανῶς.

(55) *Τῇ μ. δ'*. Apud Montfauc. τῇ ἁγίᾳ καὶ μεγάλῃ δ', *in sancta et magna feria* IV.

(56) *Ἱκανῶς*, κ. τ. λ. Significat huic se affinem orationem in Zachæum habuisse, sed ea desideratur,

Digitized by Google

stus, nos recreavit. Ubi enim is convivatur, et simul recumbit cum hominibus, nostroque et potu et mensa fruitur, in lætum omnia sermonem transferuntur. Quis enim, dum cœli ac terræ auctorem in publicanorum meretricumque, seu illorum qui nefanda perpetraverant publicanam videt subintrantem domum : eumve qui fruges præbet, humanum manibus accipientem panem; seu uvarum largitorem, potus communione torcularia benedicentem : non eam rem festo lætæque celebritati, merito deputaverit? Fuerit plane hæc festivitas, hæc lætitia convivii angelici : ut Dominus cum servis, Deus cum hominibus; communi judex potitus mensa videatur cum reis. Idcirco enim, cœlo non deserto, in terram venit : estque factus homo, divinitate haudquaquam deposita; ut etiam mare navigans, mundi hujus pelago tempestate jactatos, de peccati fundo extraheret : vicosque et urbes circumiens, angiportusque et semitas atque aditus circumcursans, errantes in triviis ceu [95] *oves non habentes pastorem* ad proprium ovile reduceret. Ipse namque est, qui ovem errantem quærit, quique nonaginta novem relictis ad unam perquirendam advenit [96]. Quippe quærebat unam; nec spernens multas, nec unam multitudini præferens. Nihilominus tamen reliquit nonaginta novem : par enim erat ut tuto in caula morarentur; unam autem illam progressus quærebat, ut ne diabolo præda cederet. Nam ovis absque pastore prompta feris parataque cœna : animaque signaculo carens, insidiis dæmonum exposita. Propterea nuper Zacchæum [97], velut ovem ex lupi ore abripuit, commiscuitque caulæ, et signaculo donavit. Sicut enim pastor errantis ovis capturam meditans, sinit cicuratum animal, ut libero pastu resilientem venatum trahat : ita et

παρὰ Ζακχαίῳ ἐστιώμενος. Ὅπου γὰρ Χριστὸς ἑστιᾶται, καὶ τοῖς ἀνθρώποις συνανακλίνεται, καὶ ποτοῦ καὶ τραπέζης ἀπολαύει τῆς ἡμετέρας, πρὸς τὸν τῆς εὐφροσύνης μετάγεται λόγον. Τίς γὰρ τελωνῶν, ἢ πορνῶν, ἢ τῶν τὰ ἄῤῥητα ἐργασαμένων δεινὰ, τὸν οὐρανοῦ ἢ καὶ γῆς Ποιητὴν, στέγην ὑπελθόντα τελωνικὴν βλέπων· ἢ τὸν τῶν ἀσταχύων δοτῆρα, ἄρτον ἀνθρώπινον μετὰ χεῖρας λαμβάνοντα, ἢ τὸν τῶν βοτρύων χορηγὸν, τῇ κοινωνίᾳ τοῦ ποτοῦ τὰς ληνοὺς (57) εὐλογοῦντα· μὴ ἑορτὴν καὶ πανήγυριν θέσθαι τὸ πρᾶγμα δικαιώσειεν; Αὕτη ἀληθῶς ἑορτή· αὕτη ἀληθῶς ἀγγελικῆς ἑστιάσεως εὐφροσύνη, τὸ τὸν Δεσπότην, μετὰ δούλων· τὸν Θεὸν, μετὰ ἀνθρώπων· τὸν δικαστὴν, μετὰ τῶν ὑπευθύνων ὁρᾷν κοινῆς ἀπολαύοντα τραπέζης. Διὰ γὰρ τοῦτο ἐπὶ γῆς ἦλθεν, οὐκ ἔρημον καταλιπὼν τὸν οὐρανόν· καὶ ἄνθρωπος γέγονεν, οὐκ ἀποδὺς τὸ εἶναι Θεός· ἵνα καὶ τὴν θάλασσαν πλέων, τοὺς εἰς τὸ βιωτικὸν χειμαζομένους πέλαγος, ἐκ τοῦ βυθοῦ ἀνασύρῃ τῆς ἁμαρτίας· καὶ κώμας καὶ πόλεις περιῶν, στενοποὺς καὶ ἀτραποὺς, καὶ ἐπιδρόμους περιτρέχων, τοὺς ἐν ταῖς τριόδοις πλανωμένους *ὡς ἀπολωλότα πρόβατα*, ἐπὶ τὴν ἰδίαν ἐπαναγάγῃ ποίμνην. Αὐτὸς γάρ ἐστιν ὁ τὸ ἀπολωλὸς πρόβατον ἐπιζητῶν, τὰ ἐννενήκοντα ἐννέα καταλιπὼν, καὶ περὶ τὴν τοῦ ἑνὸς παραγενόμενος ζήτησιν. Ἐζήτει γὰρ τὸ ἕν (58), οὔτε τῶν πολλῶν καταφρονῶν, οὔτε τοῦ πλήθους τὸ ἓν προκρίνων. Ἀλλὰ τὰ μὲν ἐννενήκοντα ἐννέα κατελίμπανεν· ἔδει γὰρ ἀσφαλῶς αὐτὰ ἐν τῇ μάνδρᾳ αὐλίζεσθαι· τὸ δὲ ἓν προϊὼν ἐζήτει, ἵνα μὴ θήρᾳ (59) τῷ διαβόλῳ γένηται. Πρόβατον γὰρ ἀποίμαντον, θηρσὶν ἕτοιμον δεῖπνον. Καὶ ψυχὴ ἀσφράγιστος, δαίμοσιν εὐεπιβούλευτος. Ὅθεν πρώην τὸν Ζακχαῖον ὡς πρόβατον ἐκ στόματος λύκου ἁφῆρπασε, καὶ τῇ μάνδρᾳ συνέμιξε, καὶ σφραγῖδος ἠξίωσεν (60)· ὡς γὰρ ποιμὴν πρόβατον ἀποπλανηθὲν θη-

[95] III Reg. XXII, 17. [96] Matth. XVIII, 12 ; Luc. XV, 4. [97] Luc. XIX, 9.

ut et pleraque tanti viri opuscula, et præsertim docti illi tractatus *in Joan.*, quorum fragmenta plura damus sub finem.

(57) *Τῇ κοινωνίᾳ τοῦ ποτοῦ τὰς ληνοὺς εὐλογοῦντα.* Erat Christi usus tactusque, ceu consecratio quædam, pro ejusdem usus ratione : ut quibus ceu sacris et sacro ritu usus est, totam ad sacramenta necessariam antecedentem consecrationem contulerit; Ecclesia tantum adhibente cæremonias aliquas ad solemnitatem; ut in baptismo et Eucharistia, ubi nova antecedens consecratio materiæ, eo titulo, accidentalis est, ut theologi cum D. Thoma III p. Eodem itaque modo philosophatur de cibo et potu, pieque admodum, vere pius Amphilochius. Eadem etiamnum Græci pia religione, futura usui, sacro ministerio et incruento sacrificio, linteamina sacra, pontificem, ἀφιεροῦντα τὴν Ἐκκλησίαν, consecrantem Ecclesiam; quo actu peculiarissime gerit personam Christi Ecclesiam sibi in sponsam adjungentis, induunt; ut is totus λελαζαρωμένος, seu instar Lazari iis involutus, id peragat sacri officii : usu tactuque sic adhibita consecraturus : quam cæremoniam, quanquam Euchologium non habet, communi tamen probatam usu, tum ab aliis didici, tum nuper ἀπὸ φωνῆς et viva voce illustrissimi metropolitæ τῆς ἁγίας Μαυρᾶς Parisiis hospitantis, audivi : quo eodem titulo, massam totam ex qua sumptus est ὁ ἅγιος ἄρτος, et confectum Dominicum corpus, sanctam habent et ἀντίδωρον, absque alia consecratione. De quo Thessal.

(58) *Ἐζήτει γὰρ τὸ ἕν.* Ubique alii sensus : ubique τὸ ἐπιστατικὸν Amphilochii nostri, et acute movet dubia, et feliciter resolvit. Nonnihil ergo absonum illud, ut bonus pastor, unius causa, tot oves relictas spreverit; unamque nonaginta illis novem anteposuerit; recte hic deprecatur : hujusque inquisitionem, necessariæ saluti; derelictionem illarum, securitati, ascribit : nullis re ipsa spretis, autve errante prælata cæteris : nisi forte eam velimus prælationem, quod majori subsidio egens, quanquam indignior, Pastore humeris in caulam reportante, consecuta sit : nimirum sacramento incarnationis Dominicæ; quo re vera, Scripturæ phrasi, nonnulla vereque magna fuerit prælatio et prærogativa ovis errantis; non tamen quam Amphilochius non agnoscit, et qua vere non errantium spretio ac injuria sit.

(59) *Προϊὼν... θήρᾳ.* Montf. περιῶν, *circumiens*, rectius ut videtur. Mox ibid. θοίνῃ, ubi conjiciebat Combef. θήρᾳ.

(60) *Καὶ σφραγῖδος ἠξίωσεν.* Videtur loqui de signaculo, non quod character est, sive in baptismo, sive in adjuncta confirmatione, quæ peculiarissime dicitur σφραγίς, velut consignatione in Christi milites subnotans insigniensque; sed de signaculo, quod est gratia et charitas, quæ sola distinguit inter filios regni et gehennæ, facitque ut ne anima εὐεπιβούλευτος sit diabolo : Deo peculiarius protegente

Digitized by Google

ρᾶσαι θέλων, χειρόηθες ζῶον ἐᾷ, ἵνα ἀπολύτως νεμόμενον, τὸ ἀποπηδῆσαν ἑλκύσῃ θήραμα· οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος τὴν σάρκα, ἣν ἐκ τῆς Παρθένου ἀνέλαβεν, ὡς πρόβατον ἐν νομῇ, ἐν τραπέζῃ Ζακχαίου ἀφῆκεν· ἵνα τῷ κοινῷ τῆς ἑστιάσεως νόμῳ ἑλκύσας αὐτοῦ πρὸς συνουσίαν, λανθανόντως τῇ οἰκείᾳ συζυξῃ ποίμνῃ.

A Dei Verbum, quam de Virgine carnem accepit, ceu ovem in pascua, in mensa Zacchæi dimisit, ut communi lege convivii in suam trahens familiaritatem clanculum suo ovili adjungeret.

Β'. Ἀλλὰ τοῦτο μὴ συνιέντες οἱ Φαρισαῖοι ἐγόγγυζον, ὁρῶντες αὐτὸν μετὰ τελωνῶν ἐσθίοντα· ἀλλ' ἐκεῖνοι μὲν ὡς ἀσκὸς παλαιὸς διαῤῥηγνύσθωσαν. Οὐ γὰρ δύνανται τὸν νέον τῆς διδασκαλίας δέξασθαι λόγον. Ἡμεῖς δὲ κατόπιν τοῦ φιλανθρώπου βαδίσωμεν ποιμένος· ὁ γὰρ Ζακχαῖον τὸν τελώνην τῇ λογικῇ τῶν ἀποστόλων συνάψας ποίμνῃ, αὐτὸς καὶ τὴν πόρνην τὴν ἁμαρτωλὸν, τὴν μυρίων κακῶν ἐργάτιν, ἐκ τοῦ φάρυγγος τοῦ διαβόλου ὡς ἀμνάδα ἑλκύσας, τῇ ἀνεπηρεάστῳ ἀπέδωκε μάνδρᾳ. Ἵνα δὲ γνῶτε καὶ τοῦ Χριστοῦ τὴν φιλανθρωπίαν, καὶ τῶν Φαρισαίων τὴν ἀλογίαν, καὶ τῆς ἁμαρτωλοῦ τὴν παλινῳδίαν (61), αὐτὰς ὑμῖν τὰς εὐαγγελικὰς παραθήσομαι ῥήσεις· ἐὰν γὰρ τοῦ ὕφους τοῦ ἀναγνώσματος ἐπακούσητε, ῥᾳδίως καὶ τῆς ἑρμηνείας τὴν ἔννοιαν ἀναμάξεσθε. *Ἠρώτησε*, φησὶ, *τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου, ἀνεκλίθη.* Ὦ χάριτος ἀῤῥάστου! ὦ φιλανθρωπίας ἀῤῥήτου! καὶ Φαρισαίοις συνεστιᾶται, καὶ τελώνας οὐκ ἀποσείεται· καὶ πόρνας προσδέχεται, καὶ Σαμαρείτιδι διαλέγεται· καὶ Χαναναίαν λόγου ἀξιοῖ· καὶ τῇ αἱμορῥοούσῃ τὸ κράσπεδον παραχωρεῖ, καὶ οὐκ ἐπαισχύνεται. Ἰατρὸς γάρ ἐστι, πάντων τῶν παθῶν ἐφαπτόμενος, ἵνα πάντας ὠφελήσῃ, πονηροὺς καὶ ἀγαθοὺς, ἀχαρίστους καὶ εὐγνώμονας· ὅθεν καὶ νῦν ὑπὸ τοῦ Φαρισαίου κληθεὶς, εἰσέρχεται εἰς οἰκίαν ὥστε μεστὴν κακῶν. Ὅπου γὰρ Φαρισαῖος, ἐκεῖ πονηρίας οἰκητήριον· ἁμαρτίας καταγώγιον· ὑπερηφίας ὑποδοχή. Ἀλλὰ καὶ οὕτως αὐτοῦ διακειμένης τῆς οἰκίας, οὐκ ἀπαξιοῖ παραγενέσθαι ὁ Κύριος. Καὶ εἰκότως· ὥσπερ γὰρ ὁ ἥλιος οὐ καταβλάπτεται, βορβόρῳ τὰς οἰκείας ἀκτῖνας ἐπιβάλλων· ἀλλὰ τοὐναντίον, καὶ τὴν ἐνοῦσαν ἀηδίαν περιμάσσεται, μηδὲν αὐτὸς ὑβριζόμενος· οὕτω καὶ ὁ Χριστὸς, ὡς ἥλιος δικαιοσύνης, πάντα ἐναγῆ καὶ βέβηλον τόπον καταλαμβάνει, καὶ τὴν δυσώδη ἁμαρτίαν. ταῖς ἀκτῖσιν αὐτοῦ τῆς ἀγαθότητος ἀναλίσκει. Οὐχ ὕβριν, οὐ μείωσιν, οὐ μολυσμὸν ὑπομένων κατὰ τὸν τῆς θεότητος λόγον (62).

B a diaboli faucibus ceu agnam abstractam, inviolabili caulæ reddidit. Ut autem et Christi humanitatem noveritis, et a ratione alienam Pharisæorum mentem, aversumque peccatricis iter, ipsas vobis evangelicas voces proponam. Mox enim ut lectionis contextum obaudieritis, facile etiam expositionis sensum exprimetis: *Rogavit*, inquit, *Jesum quidam de Pharisæis, ut manducaret cum illo. Et ingressus domum Pharisæi, discubuit.* O ineffabilem gratiam! O inexplicabilem humanitatem! Et convivatur cum Pharisæis, nec publicanos repellit. Et suscipit meretrices; disseritque cum Samaritana [1]; et Chananæam allocutione dignatur [2]; atque fimbriam hæmorrhoissæ cedit [3], nec erubescit. Nam medicus est, omnes contrectans morbos, ut juvet omnes; malos bonosque, ingratosque et gratos ac benevolos. Unde et modo a Pharisæo vocatus domum ingreditur, velut malorum plenam. Ubi quippe Pharisæus; illic malitiæ domicilium, diversorium peccati, arrogantiæ fastusque receptaculum. Verum, neque sic affecta domo, dedignatur Dominus accedere: idque merito. Quemadmodum enim nihil sol damni, missis in cœnum radiis propriis, accipit: quin potius, nulla sui injuria et læsione, etiam illi insitam turpitudinem abstergit· ita et Christus velut justitiæ sol, exsecrabilem omnem profanumque locum occupat, ac grave olens peccatum, bonitatis suæ radiis absumit, nihil ipse dedecoris, nihil minutionis, nihil sordium sustinens contrahensque, ratione deitatis.

Γ'. Ὅθεν ἐπένευσεν εὐθέως τῷ Φαρισαίῳ καλοῦντι· ἡρεμῶν, σιωπῶν, ἀνεξέλεγκτον αὐτοῦ τὸν βίον ἀφείς. Ἡρῶτον μὲν, ἵνα ἁγιάσῃ τοὺς κληθέντας, τὸν καλέσαντα, τῆς οἰκίας τὰ συστήματα, τῆς πολιτείας τὰ

III. Hinc statim Pharisæo vocanti annuit, acquiescens, tacens, ejus vivendi rationem irreprehensam dimittens. Primum quidem, ut vocatos sanctificaret; ut vocantem, familiæ cœtus, usibus huma-

[98] Luc. xix, 7. [99] Matth. ix, 17; Marc. ii, 22; Luc. v, 37. [1] Joan. iv, 7. [2] Matth. xv, 24. [3] Matth. ix, 20.

quem ut filium ea agnoscit. de quo et Paulus præcipue signaculo, II Cor. i, 22: *Qui et signavit nos, et dedit pignus Spiritus in cordibus nostris*, velut nimirum altero alterum explicante.

(61) *Παλινῳδ.* Montf. cum Combef. παλινῳδίαν.

(62) *Κατὰ τὸν τῆς θεότητος λόγον.* Videntur Græca sonare, ut quod spectat ad ipsam deitatem, et qua Deus est, nihil ex malorum communione ipse mali perpessus sit, quomodo verum habet de omni omnino malo, quod etiam vocant defectus naturalis. Si vero etiam ad humanitatem extendatur oratio, restringenda erit ad malum culpæ, quo prorsus, ut etiam homo, quanquam versans cum peccatoribus, κατὰ τὸν τῆς θεότητος λόγον, juxta quod petit ratio divinitatis, et ut illi consentaneum est, mansit immunis: quod secundum videtur magis consequens.

Digitized by Google

nis comparatos cibos : tum vero, ut ex accubitu, ex esu potuque, ac ciborum sumptu, non phantasma esse, quod sit factus homo, ostenderet; præterea autem, quod meretrix esset accessura, atque ferventem illum accensumque illic exhibitura pœnitentiæ modum. Propterea annuit confestim vocanti Pharisæo, ut coram Scribis et Pharisæis sua ipsius lugubriter depromens mala, qui debeant peccatores, tristitia pro peccatis placare Deum, ipsos doceret. Nam *ecce*, inquit, *mulier in civitate, quæ erat peccatrix*. Mulier, natura fragilis : primum illud diaboli rete, erroris initiatio, doctrix prævaricationis; facta illa quidem in adjutorium, sed quæ hostem sese exhibuit; facta quod spectat ad naturam, bona; sed quæ malam, voluntatis proposito, se ipsam fecit : quæ ostendit ligni pulchritudinem, et paradisum amisit. *Et ecce*, inquit, *mulier in civitate, quæ erat peccatrix*, quæ portaret Evæ onera, quæ multis malis esset onusta. Porro, priorum ejus morum largitatem dico, ut noveritis ipsius pœnitentiæ magnificentiam.

IV. Assumpto Deus osse de Adami latere [a], eoque carne aucto, Evam fecit, quam et mulierem vocatam, Adæ adjutricem dedit. Post vero peccatum legisque transgressionem, postque ejectum e paradiso, divinaque ultione adscitam mortem; ut ne morte funditus absumptum depereat humanum genus, militant nuptiæ adversus mortem : ut illæ quidem serant, hæc autem metat; cædat ista, illæ germinent. Quod porro post morti subjectum hominem, conjugii gratia concessa sit : inde liquet, quod Adam, postquam exierat de paradiso, Evæ sit copulatus : scriptum est enim quod post egressum ex paradiso, tunc *cognovit Adam uxorem suam* [b]. Ante ergo peccatum, virginitas erat : quæ naturæ tunicam absque sorde servaret. Post autem transgressionem, post mortis sententiam est inductum conjugium, ut scaturigine vinceret haurientem mortem, genituraque vindemiantem superaret. Quia igitur ad generis conservationem naturæque crementum data fuit conjugii lex, inseruit Deus, masculo quidem voluptatem; feminam autem ceu lenocinio quodam et philtro adulante, donavit; non prolectandis more meretricio ad coitum, sed legitime copulandis in matrimonium. Quare honorabilis apud Deum legitima conjugii mistio, quæ autem

[a] Gen. II, 21. [b] Gen. IV, 1.

βρώματα· ἔπειτα δεικνὺς, ὡς οὐ φάσμα ἦν ἡ ἐνανθρώπησις, ἐκ τῆς ἀνακλίσεως, τῆς βρώσεως, τῆς πόσεως, τῆς τῶν σιτίων δαπάνης. Ἄλλως δὲ, ἐπειδὴ ἔμελλεν ἡ πόρνη προσιέναι, καὶ τὸν θερμὸν ἐκεῖνον καὶ διάπυρον τῆς μετανοίας δεικνύναι τρόπον· διὰ τοῦτο καλοῦντι τῷ Φαρισαίῳ ἐπινεύει ταχέως, ἵνα ἐπ' ὄψεσι Γραμματέων καὶ Φαρισαίων τὰ οἰκεῖα ἐκτραγῳδήσουσα κακὰ, διδάξῃ αὐτοὺς, πῶς δεῖ τοὺς ἁμαρτωλοὺς ἐπὶ ταῖς ἁμαρτίαις στυγνάζοντας, ἐξευμενίζεσθαι Θεόν. *Ἰδοὺ* γὰρ, φησὶ, *γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός*. Γυνή· ἡ εὐόλισθος φύσις, τὸ πρῶτον δίκτυον τοῦ διαβόλου, ἡ τῆς πλάνης εἰσαγωγὴ, ἡ τῆς παραβάσεως διδάσκαλος· ἡ βοηθὸς μὲν γενομένη, πολεμία δὲ ἀναδειχθεῖσα· ἡ γενομένη κατὰ φύσιν καλὴ, ἐκ προαιρέσεως δὲ ἀποδειχθεῖσα κακή· ἡ τὸ κάλλος τοῦ ξύλου δείξασα, καὶ τὸν παράδεισον ἀπολέσασα. *Καὶ ἰδοὺ γυνὴ*, φησὶν, *ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός*, τὰ τῆς Εὔας φέρουσα βάρη, πολλοῖς κακοῖς βριθομένη. Ἐρῶ δὲ αὐτῆς τῶν προτέρων τρόπων (63) τὴν δαψίλειαν, ἵνα γνῶτε αὐτῆς τῆς μετανοίας τὴν πολυτέλειαν.

Δ'. Ὁ Θεὸς ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ὀστέον λαβὼν, καὶ τοῦτο σαρκώσας, τὴν Εὔαν εἰργάσατο, ἣν καὶ γυναῖκα καλέσας, ἔδωκε βοηθὸν τῷ Ἀδάμ. Ἀλλὰ μετὰ τὸ ἁμαρτεῖν (64), καὶ παραβῆναι τὸν νόμον, καὶ ἐκβληθῆναι τοῦ παραδείσου, καὶ θάνατον τὸ ἐπιτίμιον λαβεῖν· ἵνα μὴ τῷ θανάτῳ δαπανώμενον ἄρδην τὸ γένος ἀπώληται, γάμος ἐπιστρατεύει τῷ θανάτῳ. Ἵνα ὁ μὲν σπείρῃ, ὁ δὲ θερίζῃ· ὁ μὲν τέμνῃ, ὁ δὲ βλαστάνῃ. Καὶ ὅτι μετὰ τὸ ὑποβληθῆναι θανάτῳ, ἡ τοῦ γάμου ἐδόθη χάρις, δῆλον ἐκ τοῦ, τὸν Ἀδὰμ μετὰ τὴν ἔξοδον τοῦ παραδείσου συναφθῆναι τῇ Εὔᾳ. Γέγραπται γὰρ ὅτι, μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ παραδείσου, τότε *ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ*· πρὸ τῆς ἁμαρτίας οὖν, παρθενία ἦν· ἀμόλυντον τηροῦσα τὸν χιτῶνα τῆς φύσεως. Μετὰ δὲ τὴν παράβασιν, μετὰ τὴν τοῦ θανάτου ἀπόφασιν, ὁ γάμος ἀντεισήχθη, ἵνα ἀντλοῦντα τὸν θάνατον νικήσῃ βρύων, καὶ τρυγῶντα ἡττήσῃ φύων. Ἐπεὶ οὖν ἐπὶ τῇ συνοχῇ τοῦ γένους, καὶ ἐπὶ αὐξήσει τῆς φύσεως, ὁ τοῦ γάμου ἐδόθη νόμος· τῷ μὲν ἀνθρώπῳ ἡδονὴν ἐνέσπειρε· τὸ δὲ θῆλυ, θωπευτικὸν ἐποίησεν· οὐχ ἵνα ἑταιρικῶς πρὸς μίξεις ἐρεθίζωνται· ἀλλ' ἵνα ἐννόμως πρὸς γάμον συνάπτωνται. Ὅθεν ἡ μὲν ἔνθεσμος τοῦ γάμου μίξις τιμία παρὰ τῷ Θεῷ. Ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν ἐκτελουμένη, θανάτῳ ὑποβέβληται (65). *Τίμιος* γὰρ

(63) *Τρόπων*. Montf. κακῶν, *malorum*; quod utique rectius esse insinuare videtur vox subsequens μετανοίας.

(64) *Ἀλλὰ μετὰ τὸ ἁμαρτεῖν*. Idem pluribus, et inductum occasione peccati ac ex ejus prævisione matrimonium, Nyssenus, l. I *De opificio hominis*, Damasc. lib. IV, et alii : majori forte pietate quam veritate. Quanquam enim propagatio quæ est carnali generatione ex legitima copula, nonnihil crassa sit et humilis, digniusque videretur ut Deus ipse nobis corpora sicut Adamo aptaret, haud tamen talis videri debet, iis sublatis quæ accesserunt ex peccato, ut minus deceat hominem, pro illo etiam statu, qui nec ipse omnino a conditionibus vitæ animalis absolutus esset. Quod autem Adam non nisi a peccato Evam cognoverit, non eo fuit, quia nisi peccasset non esset cogniturus, sed quia intra modicum illud tempus vix sex horarum a conditione ad lapsum, congruum non fuit : cum a Dei potius cultu et perficiendo usu scientiæ animo, imperiisque in subjecta quæque animalia exsecutione, adeoque a spiritalibus inchoandum esset, eisque nonnihil temporis statim a creatione impendendum : qua etiam ratione, neque legimus id temporis comedisse quidquam, excepto ligno scientiæ.

(65) *Θανάτῳ ὑποβέβληται*. Quando nimirum ita est voluptatis solius causa, ut legitimi matrimonii fines exeat, ut satis se auctor ipse declarat; alioqui enim concedit Paulus nuptias in remedium concupiscentiæ I Cor. VII, 9 : *Quod si non se continent,*

Digitized by Google

ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους A δὲ καὶ μοιχοὺς κοινεῖ ὁ Θεός. Αἱ οὖν χάριν παιδογονίας ἐννόμως τοῖς ἀνδράσι μιγνύμεναι, ἀνέγκλητοί εἰσιν· ὥσπερ ἡ Σάρρα, καὶ ἡ Ῥεβέκκα, καὶ ἡ Ῥαχήλ· καὶ εἴ τις ἄλλη ἀπ' αὐτῆς· αἱ δὲ λόγῳ ἡδυπαθείας τοὺς νέους πρὸς ἀκολασίαν διεγείρουσαι, ὡς φθείρουσαι τὸν ναὸν τοῦ Θεοῦ, παραδίδονται φθορᾷ. *Εἴ τις γὰρ, φησὶ, φθείρει τὸν ναὸν τοῦ Θεοῦ, φθερεῖ τοῦτον ὁ Θεός*· ὧν καὶ αὕτη μία ἦν, ἡ μετὰ χεῖρας ἁμαρτωλός. Τὴν γὰρ φύσιν καπηλεύσασα, καὶ ταῖς ἔξωθεν βαφαῖς τὰς παρειὰς φοινίσσουσα, καὶ τέχνῃ βιαζομένη φανῆναι καλὴ, τοὺς νέους πρὸς ἀκολασίαν ὑπέσυρεν, ἀπροόπτως (66) αὐτοὺς εἰς τὸ τῆς πορνείας ἀποκλίνουσα (67) βάραθρον.

consummatur ad voluptatum gratiam, vindictæ mortis obnoxia est. *Honorabile enim connubium in omnibus, et torus immaculatus : fornicatores vero et adulteros judicabit Deus* [6]. Quæ ergo mulieres suscipiendæ prolis gratia legitime commiscentur viris, sine crimine sunt : quemadmodum Sarra et Rebecca et Rachel, et si quæ alia sequitur. Quæ autem ratione voluptatis adolescentes ad libidinem provocant ; velut quæ violent Dei templum, in interitum traduntur. *Si quis* enim, inquit, *templum Dei violaverit, disperdet illum Deus* [7] : e quibus et hæc erat, quam præ manibus peccatricem habemus. Velut enim sordide venum exponens cauponansque naturam, genasque ascititiis pigmentis purpurans, ac arte contendens videri pulchra, adolescentes incaute declinans depellensque in fornicationis barathrum, in luxuriam subtrahebat.

Ε'. Ταῦτα δὲ λέγω, οὐ κωμῳδῶν αὐτὴν ἐφ' οἷς ἔδρασε B πρίν· ἀλλ' ἐπαινῶν αὐτὴν, ἀφ' οἵων, οἵα γέγονεν ἄφνω. Λέγω γὰρ τίς ἦν πρώην, ἵνα δείξω τίς γέγονε νῦν· λέγω αὐτῆς τῆς ἁμαρτίας τὰ πταίσματα, ἵνα δείξω τῆς μετανοίας τὰ κατορθώματα. Ἀλλ' αὕτη, ἡ τῷ σώματι οὐκ ἀμέμπτως χρησαμένη τὸ πρίν· τοὺς μὲν διὰ βοστρύχων σαγηνεύουσα, τοὺς δὲ διὰ δακρύων φαρμάττουσα, τοὺς δὲ διὰ λήμματος γοητεύουσα, πάντας δὲ πανταχόθεν εἰς τὸν βάραθρον τῆς ἀκολασίας προσκαλουμένη, τὸν αἰσχρὸν αὐτῆς καὶ ἡδυπαθῆ ἔρωτα εἰς θεῖον καὶ ἐπουράνιον μεταβάλλει φίλτρον. Ὡς εἶδε γὰρ τὸν Ἰησοῦν, ποτὲ μὲν ἀδέως τῇ Σαμαρείτιδι διαλεγόμενον, ποτὲ δὲ τὴν Χαναναίαν προσιέμενον, ἄλλοτε τῆς αἱμορρούσης ἀνακηρύττοντα τὴν κλοπὴν, καὶ πῇ μὲν τελώναις συνεσθίοντα, πῇ δὲ τῶν Φαρισαίων τοὺς οἴκους καταλαμβάνοντα, ἐλογίσατο ὅτι· Εἰ πόρνας καὶ ἁμαρτωλοὺς καὶ τελώνας προσίεται, μέχρι πότε ἀκαθέκτως οἰστρῶσα, τὸ τῆς ἁμαρτίας πέλαγος ἀντλῶ; Οὐ μένω νέα, οὐ μένω καλή· πάντα γὰρ παρέρχεται, πάντα μαραίνεται, καὶ ἄνθη, καὶ κρίνα, καὶ τῶν προσώπων τὰ κάλλη. Τί οὖν πάθω ἐφ' οἷς ἔδρασα; Ἤδη γὰρ τὸ τῆς γεέννης πῦρ ἐννοῶ, ἤδη μου τὴν ψυχὴν μετάγνωσις λαμβάνει, ὅτι ἐπ' ὀλέθρῳ τῶν νέων βιαζομένη φανῆναι καλὴ, ἐν ταῖς ἀγυιαῖς τῆς πόλεως, ἐν ταῖς ἀγοραῖς, ἐν ἀμφόδοις ἕτρεχον, δίκτυον μὲν τοὺς πόδας ἔχουσα, καὶ σαγήνην τὴν γλῶτταν. Ὦ πόσους νεανίσκους κατέθελξα, μεστὸν ἀναιδείας βλέμμα περιφέρουσα! Ἐπὶ λύμῃ γὰρ τῶν θεατῶν ὡραϊζομένη, πῇ μὲν πολυπλόκοις σειραῖς τὴν κεφαλὴν ἐπύργουν, πῇ δὲ νομάδας πλοκάμων ἐκ κορυφῆς εἴων κατὰ μετώπου χαλᾶσθαι. Ἄλλοτε δὲ τὰς παρειὰς ἐφοίνισσον, καὶ τοὺς ὀφθαλμοὺς κατέγραφον. Καὶ ἄλλοτε δακρύων λιβάδας ἠφίουν, τῇ κολακείᾳ ἐκτραχηλίζουσα τὴν ψυχήν. Τίς οὖν ἐπὶ τούτοις γένωμαι; Τίνα ἰατρὸν εὕρω

V. Dico autem hæc, non ut traducam ob prius gesta, sed laudans, ut talis ex tali sit facta. Dico siquidem, quæ esset olim, ut quæ modo evaserit, ostendam. Dico peccati ipsius errata, ut exhibeam pœnitentiæ merita. Verum, cui non absque crimine constiterat usus corporis ; quæ alios quidem cincinnis caperet, alios oculorum lenocinio falleret ; consilio alios seduceret, omnes undequaque in luxuriæ barathrum provocaret, suum illum turpem mollemque amorem, in divinum cœlestemque philtrum transtulit. Ut enim Jesum cognovit, modo quidem libere cum Samaritana miscentem sermonem : modo Chananæam recipientem ; alio item loco, sanguine fluentis furtum prædicantem ; atque hic quidem cum publicanis manducantem ; hic Pharisæorum adeuntem domos ; sic secum cogitavit : Cum is meretrices et peccatores publicanosque recipiat, quandiu impotenti œstro percita, peccati pelagus haurio ? Non manet juventus ; non pulchritudo : nam prætereunt omnia ; cuncta marcescunt, floresque et lilia et vultuum species. Quid mihi ergo accidet pro his quæ feci ? Jam enim gehennæ ignem cogito ; jam pœnitudo animum corripit, quod in perniciem adolescentum studens parere pulchra, per vicos civitatis perque plateas et bivia currens, pedes quidem, rete ; linguam autem, sagenam habuerim. O quam multos demulsi juvenes, plenum impudentia circumquaque versans oculum ! Splendide enim ornata in perniciem spectatorum ; qua sinuosis resticulis plexuque vario caput fastigiabam, qua vagos ab vertice crines a fronte laxabam. Quandoque autem rubricabam genas, oculosque stibio sublinebam. Quandoque etiam lacrymarum latices mittens, animum adulatrix præcipitem dabam. Quæ igitur in his fuero ? Quem innumerabilium isthæc morborum in-

[6] Hebr. XII, 3. [7] I Cor. III, 17.

nubant. Accedit ratio, quia nusquam ratio præcepti, seu actus concessi, cadit sub præcepto, nisi forte cui illa substantialis est. Quanquam ergo coeat maritus non fine generationis, sitque in eo actu nonnulla deordinatio, quia tamen nihil facit vetitum, directe saltem, et sub rigorosa obligatione, nec præsumit actum non concessum, non peccat saltem graviter : ut neque qui comedit nulla necessitate, et sola causa voluptatis, nullo inde gravi damno alicujus. — Id vero caute legas velim.

(66) Ἀπροόπτως. Deest hæc vox apud Montf., quæ tamen apposita satis esse videtur.

(67) Ἀπροόπτως αὐτοὺς ἀποκλίνουσα. Velut improvisos, quomodo Davidem in adulterium impulit, nihil ejusmodi cogitantem improvisumque, conspecta temere Bethsabe (*II Reg.* XI, 2 sqq.).

Digitized by Google

veniam medicum? Si res meas hominibus dixero, inutilis mihi fuerit hujuscemodi publicatio. Sed num mala occultavero? At nequeo latere. Quem enim latuero, Deum latere non valens? Quo ergo fugiam, cui omni loco judex occurrat? Ille quidem non manifestus; sed qui mala mea ubique redarguat. Una mihi spes salutis reliqua est; unus vitæ propositus commeatus, ut nimirum Jesum noverim, et ad illum accurram. Qui enim publicanos suscipit, non repudiabit meretricem; qui communi cum Pharisæis epulo comedit, peccatricis lacrymas non repellet. Ut ergo cognovi divertisse apud Simonem Pharisæum, ad illum accedam. Quid vero accedens petam? Num oculorum sanitatem? At est temporanea gratia. Num a morbo liberari? Verum, parum est quod eo conficitur: mors enim æterna, præsenti gravior est. Cuncta omittam quæ sunt corporis; solam animæ sanitatem requiram. Unam enim impendentium malorum consolationem inveniam; dum videro judicem: dum præoccupavero tempus punitionis. Æmulabor Rahab meretricem [8]: persequar mulieris illius mores studiosos. Nihil quippe Deus a nobis aliud requirit, quam mutationem propositi.

VI. Cum hæc pie dispexisset, animumque ad fidem inunxisset: superingressa est ubi accubuerat Jesus, assumpta in occasionem libertatis priori impudentia. Et illi quidem nihil loquitur, nam non audebat: noverat enim, non opus esse sermonum inspectanti cogitationes. Quid enim omnia scienti poterat dicere? Quod peccaverat? Quod multa perpetrarat mala? Quod deperiens, et deperitione amata, populi totius voluptatem foverat? Erant hæc Deo nota, non tantum cum fierent, sed et cum in occulto animi conclavi nudarentur. Sciens itaque quod cuncta nosset, nec eum quidquam posset latere: linguam quidem velut foribus munit, loquitur vero lacrymis. *Stans*, enim, inquit, *secus pedes ejus, flens, cœpit rigare lacrymis pedes ejus.* Cæterum, quanquam non loquebatur lingua; at inenarrabiliter [9] mutoque modo loquebatur gemitibus; cor contritum inflectens, peccatorum triumphans numerosam multitudinem; absonas turpesque cogitationes, exsecrandas cupiditates, actiones profanas, colloquia iniqua traducens. Nullum siquidem patrarat malum, quod non lacrymis dire lamentaretur. Sciebat enim quæ confiteretur, oblivioni tradenda: *Dixi* enim, inquit, *Proferam adversum me injustitiam meam Domino: et tu remisisti impietatem peccati mei* [10]. Nec sic tantum inenarrabiliter loquebatur

A τῶν ἀπείρων τούτων παθῶν; Ἐὰν ἀνθρώποις τὰ κατ' ἐμαυτὴν εἴπω, ἀνωφελής μοι γίνεται τῆς ἐξαγορεύσεως ὁ τρόπος. Ἀλλὰ καλύψω τὰ κακά; Ἀλλ' οὐ δύναμαι λαθεῖν. Τίνα γὰρ λάθω, Θεὸν λαθεῖν μὴ δυναμένη; Ποῦ οὖν φύγω, πανταχοῦ τὸν δικαστὴν εὑρίσκουσα; Τὸν μὴ φαινόμενον μὲν, πανταχοῦ δὲ διελέγχοντά μου τὰ κακά. Μία μοι σωτηρίας ἀπολείπεται ἐλπὶς, ἓν μοι ἐφόδιον πρόκειται ζωῆς· τὸ, τὸν Ἰησοῦν ἐπιγνῶναι, καὶ αὐτῷ προσδραμεῖν. Ὁ γὰρ τελώνας προσδεχόμενος, οὐκ ἀπαναίνεται πόρνην. Ὁ Φαρισαίοις συνεσθίων, οὐ παραιτεῖται τῆς ἁμαρτωλοῦ τὰ δάκρυα. Ἐπεὶ οὖν ἔγνων, ὡς παρὰ Σιμῶνι Φαρισαίῳ κατάγεται, τούτῳ προσέλθω. Ἀλλὰ τί αἰτήσω προσελθοῦσα; Ὀφθαλμῶν ὑγίειαν; Ἀλλὰ πρόσκαιρος ἡ χάρις. Νόσου ἀπαλλαγήν; Ἀλλὰ μι-

B κρὸν τὸ κατόρθωμα· ὁ γὰρ αἰώνιος θάνατος τοῦ παρόντος ἐστὶ βαρύτερος. Πάντα παρήσω τὰ τοῦ σώματος. Τὸ δὲ τῆς ψυχῆς ἐπιζητήσω ἴαμα. Μίαν γὰρ εὑρήσω λύσιν τῶν ἐπηρτημένων κακῶν, ἐὰν τὸν δικαστὴν ἴδω, ἐὰν προλάβω τῆς κολάσεως τὸν καιρόν. Μιμήσομαι Ῥαὰβ τὴν πόρνην, τῆς γυναικὸς τὸν ἐνάρετον μεταδιώξω τρόπον· οὐδὲν γὰρ παρ' ἡμῶν ἄλλο βούλεται Θεὸς, ἢ γνώμης ἐναλλαγήν (68).

Ϛ'. Ταῦτα εὐσεβῶς διασκεψαμένη (69), καὶ τὴν διάνοιαν πρὸς πίστιν ἐπαλείψασα, ἐπεισέρχεται τῷ Ἰησοῦ ὅπου ἀνέκειτο, τὴν προτέραν ἀναίδειαν εἰς ὑποθεσιν παῤῥησίας λαβοῦσα. Καὶ λέγει μὲν αὐτῷ οὐδέν· οὐ γὰρ ἐτόλμα· ᾔδει γὰρ ὡς ὁ τῶν λογισμῶν ἔφορος οὐ δεῖται λόγων. Τί γὰρ εἰπεῖν εἶχε τῷ πάντα εἰδότι; Ὅτι ἥμαρτεν; Ὅτι πολλῶν κακῶν ἐρ-

C γάτης γέγονεν; Ὅτι ἐρῶσα καὶ ἐρωμένη τὴν πάνδημον ἡδονὴν ἐθεράπευσε; Ταῦτα Θεῷ δῆλα ἦν, οὐ πραττόμενα μόνον, ἀλλὰ καὶ ἐν τῷ ἀφάνῳ τῆς ψυχῆς βουλευτηρίῳ γυμνούμενα. Εἰδυῖα οὖν ὡς πάντα οἶδε, καὶ λαθεῖν αὐτὸν δύναται οὐδὲν, θυροῖ μὲν τὴν γλῶσσαν, λαλεῖ δὲ τοῖς δάκρυσι. *Στᾶσα* γὰρ, φησὶ, *παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, κλαίουσα ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν.* Ἀλλ' εἰ καὶ μὴ τῇ γλώσσῃ ἐλάλει, ἀλλὰ στεναγμοῖς ἀλαλήτοις (70) ἐφθέγγετο, τὸν συντριμμὸν τῆς καρδίας ἐκκάμπτουσα, τὸ πλῆθος τῶν ἁμαρτιῶν θριαμβεύουσα· τοὺς ἀτόπους λογισμοὺς, τὰς ἐναγεῖς ἐνθυμήσεις, τὰς βεβήλους πράξεις, τὰς παρανόμους ὁμιλίας ἐκπομπεύουσα· οὐδὲν γὰρ ἦν τῶν πεπραγμέ-

D νων αὐτῇ κακῶν, ὃ μὴ δάκρυσιν ἐξετραγῴδει. Ἤδει γὰρ ὅτι ὧν ὡμολόγει, τὴν ἀμνηστίαν ἐλάμβανεν· Εἶπα γὰρ, φησὶν, *Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.* Καὶ οὐ μόνον ἀλαλήτως ἐφθέγ-

[8] Jos. II, 1. [9] Rom. VIII, 26. [10] Psal. XXXI, 5.

(68) *Ἡ γνώμης ἐναλλαγήν.* Ita ex vi nominis sonat τὸ μετάνοια· et quod multis nostratibus crebrum est, *Resipiscentia:* cujus tamen loco ubique fere Patribus est, *Pœnitentia.* Affine est quod Paulus (*Rom.* et *Gal.*) prædicat de fide, velut una sine operibus ad salutem sufficiat: quasi nimirum radix, ad quam si est perfecta, debeant illa consequi pro loco et tempore. Sic certe nostra peccatrix, non tantum mutavit propositum; verum etiam adhibuit lacrymas, et pedes dominicos obsequio fovit: tandemque durissimum vitæ genus arripuit, vixitque

(69) *Διασκεψ.* Edit. Montf. ἐπισκεψ.

(70) *Ἀλαλήτοις.* Velut passive, juxta quod exponitur Rom. VIII, 26, quo et videtur alludere: quanquam posset active sumi, ut esset velut *mute ac sine voce*: quo etiam modo forte aptius essent in sequenti: οὐ μόνον ἀλαλήτως ἐφθέγγετο, ubi tamen ob consecutionem locutionis reddidimus, *inenarrabiliter*, adjuncta particula, *Sic:* ad quamdam determinationem.

Digitized by Google

γετο, τοῖς στεναγμοῖς τῆς καρδίας δυσωποῦσα τὸν Κύριον· ἀλλὰ καὶ σχήματι τὸ τῆς μετανοίας περιέγραφε κάλλος. Ἐδάκρυσε μὲν, ὡς πολλὰ γελάσασα· τοῖς καλοῖς δάκρυσι τὸν κακὸν ἐκπλύνουσα γέλωτα· ταῖς δὲ ῥανίσι τῶν ὀφθαλμῶν τὸν τῶν παρειῶν ἐκπλύνουσα ῥύπον· ἵνα ἐν οἷς ἥμαρτεν, ἐν τούτοις καὶ ἀπολογήσηται· ἐν οἷς ἠνόμησεν, ἐν τούτοις τὸν νομοθέτην ἐξιλεώσηται. Ὥσπερ γὰρ τὴν κοίτην ἣν ἐκθέσμως ἐμόλυνε συμπλοκῇ, δάκρυσιν ἀπέπλυνεν ὁ Δαβίδ· *Λούσω* γὰρ, φησὶ, *καθ' ἑκάστην νύκτα τὴν κοίτην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω*· οὕτω καὶ αὕτη· δι' ὧν ὀφθαλμῶν πολλοὺς τῶν νέων εἰς ἀκολασίαν ὑπέσυρε, δακρύων ἀφεῖσα πηγὰς, τὸν δύσπλυτον τῆς ἁμαρτίας ἀπέπλυνε ῥύπον, αὕτη ἑαυτῇ λοῦτρον μετανοίας προβαλλομένη τὰ δάκρυα. Τὰ μὲν γὰρ δάκρυα ὡς ὕδωρ αὐτὰ παρεῖχε· τὴν δὲ ἄφεσιν ἀοράτως παρὰ τοῦ Χριστοῦ ὑπεδέχετο. Ἀλλὰ μὴν καὶ τὸν Ἀβραὰμ, οὐ μιμουμένη μόνον, ἀλλὰ καὶ νικῶσα, τοὺς πόδας ἀπέπλυνε τοῦ Χριστοῦ. Ὁ μὲν γὰρ νιπτῆρα θεὶς, ὕδατι ἀπέπλυνε, καὶ λεντίῳ κατέμασσεν· αὕτη δὲ οὐχ ὕδωρ ἀντλήσασα, ἀλλὰ κρήνας δακρύων ἀφεῖσα, τοὺς πόδας ἀπέπλυνε τοῦ Ἰησοῦ· φεισαμένη δὲ, μὴ δάκρυσιν ἁμαρτωλοῖς ἀγνοὺς ἐνυβρίσῃ πόδας, τὸ τῶν τριχῶν κόλλος ὡς λεντίον ὑποβαλοῦσα, ἀπέμασε τοὺς πόδας· καὶ ἦν ἰδεῖν ὅλον δι' ὅλου τὸ γύναιον πρὸς θεράπειαν τοῦ Ἰησοῦ καμπτόμενον. Οἱ μὲν γὰρ ὀφθαλμοὶ ἄνωθεν, ὡς κρῆναι, δακρύων ἔπεμπον ὀχετούς· ἡ δὲ ψυχὴ ὥσπερ νιπτὴρ ὑποκειμένη, τὰς ἐκ τῶν ποδῶν ἀποσταζούσας ἐδέχετο ῥανίδας. Οἱ δὲ πλόκαμοι ἠπέμασσον, τὸ λεντίου πληροῦντες σχῆμα. Αἱ δὲ χεῖρες τὸ ἀλάβαστρον τοῦ μύρου καταχέουσαι, τοὺς θείους ἤλειφον πόδας, μύρῳ τὸ μύρον τιμῶσαι· *Μύρον* γὰρ, φησὶ, *κενωθὲν* (71) *δνομά σοι.*

A cordis gemitibusque exorans Dominum : sed et habitu pœnitentiæ pulchritudinem adumbrabat. Lugebat quidem, velut quæ multum risisset, bonis lacrymis eluens malum risum ; oculorum vero stillis abluebat genarum sordes : ut in quibus peccaverat, in iis quoque defensionem haberet : in quibus egisset inique, in iis legislatorem placaret. Sicut enim David pollutum iniqua copula lectum lacrymis eluebat : *Lavabo* enim, inquit, *per singulas noctes lectum meum : lacrymis meis stratum meum rigabo* [11], ita et hæc : quibus oculis multos adolescentes in luxuriam subtraxerat, iis lacrymarum fontes emittens, peccati sordes non faciles elui, diluebat, sibi ipsa pœnitentiæ lavacrum proponens lacrymas. Ipsa quidem, ceu aquam, lacrymas præbebat : B invisibili autem ratione remissionem a Christo suscipiebat. Enimvero non etiam imitata tantum Abraham, sed et superans, Christi abluit pedes. Ille quidem pelvi posita, abluebat aqua et linteo extergebat ; hæc vero, aqua non hausta, sed mittens lacrymarum fontes, abluebat Jesu pedes : ac cavens, ne lacrymis peccatricibus pedibus castis injuriam faceret, compactos crines velut linteum submittens, pedes extergebat : eratque videre mulierculam, totam prorsus ad Jesu obsequium inflexam. Oculi quidem desuper, ceu fontes, lacrymarum mittebant rivos ; animus autem ceu pelvis supposita, distillantes e pedibus guttas excipiebat ; cincinni detergebant, lintei implentes formam ; manus, fuso C alabastri unguento, divinos ungebant pedes ; unguentum unguento honorantes : *Unguentum* enim inquit, *evacuatum, nomen tibi* [12].

Ζ'. Εἶδες πῶς ἐνίκησε τὴν ἀχάριστον τῶν Ἰουδαίων γνώμην γυνὴ ἁμαρτωλὸς, ἡ θείων ἄμοιρος νόμων; Οἱ μὲν γὰρ λίθοις αὐτὸν ἔβαλλον, ἡ δὲ τοῖς τῆς εὐωδίας ἠῦφραινε μύροις· ἀλλὰ Ἰουδαῖοι μὲν ὡς ἀχάριστοι, ὡς ἀσύνετοι καὶ ἀγνώμονες, κακοῖς ἠμείβοντο τὸν εὐεργέτην, λίθοις τὸν ἀκρογωνιαῖον φιλοφρονούμενοι λίθον· ἡ δὲ *μύρῳ ἤλειφε τοὺς πόδας* τοῦ μέλλοντος δι' αὐτὴν πανημέριον ἐπὶ τοῦ ἱκρίου ἱστᾶσθαι τοῦ σταυροῦ. Καὶ τί λέγω, ὅτι τὸν ἀχάριστον τῶν Ἰουδαίων ἐνίκησε δῆμον, ὅπου γε ὅλων τῶν ἁγίων ὑπερηκόντισε τὸν χορόν; Ἔλαβε γὰρ χάριν, ἣν οὐκ ἔλαβον βασιλεῖς, ἧς οὐκ ἔτυχον δυνάσται. *Βασιλεῖς γὰρ Θαρσεὶς καὶ νῆσοι δῶρα προσοίσουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.* Καὶ δὴ κατὰ τὸν προφήτην, καὶ D ἔδωκαν τὰ δῶρα, καὶ προσεκύνησαν πόῤῥωθεν· ἀλλ' οὐδεὶς αὐτῶν τοῦ Ἰησοῦ τοὺς πόδας ἐφίλησε. Πῶς γάρ; Ἦλθον μάγοι λαβόντες ἀστέρα τῆς ἱκεσίας σύμμαχον· ἀλλὰ πόῤῥωθεν ἐδωροφόρουν, τῆς οἰκείας τάξεως τὸ μέτρον γινώσκοντες· *Ὁ οὐρανὸς γάρ*

VII. Vidistin', ut mulier peccatrix, expers illa divinarum legum, ingratam vicerit Judæorum mentem ? Illi quidem appetiere lapidibus : hæc vero unguentis suaveolentibus recreavit. At quidem Judæi, ceu ingrati, ceu insipientes atque improbi, beneficio malis rependebant, lapidem angularem [13], amica excipientes lapidatione : hæc autem *illius pedes unguento ungebat* [14], qui diem totam in crucis patibulo, ipsius causa, staturus erat. Quid vero, ingratum Judaicum populum, dico vicisse, quando omnium sanctorum superavit chorum ? Quam enim gratiam reges non acceperunt, quam potentes et principes non obtinuerunt, accepit ipsa : *Reges* enim *Tharsis, et insulæ munera offerent : et adorabunt eum* E *omnes reges terræ* [15]. Sane vero juxta prophetam et dederunt dona, et eminus adoraverunt : at nullus coram osculatus est pedes Jesu. Qui enim ? Venerunt magi, accepta stella supplicationis socia : eminus tamen offerebant dona, modum sui status non ignorantes : *Cœlum enim mihi sedes est ; terra au-*

[11] Psal. VI, 7. [12] Can. I, 2. [13] Psal. CXVII, 22. [14] Joan. X, 31. [15] Psal. LXXI, 10

(71) *Κενωθὲν*. Montf. ἐκκενωθέν, ut apud LXX. Mox δνομά σου. Sed lectionem Combefisianam præfert quoque codex Alex. Infra tamen § XI, ubi locus hic iterum excitatur, legimus ἐκχενωθέν.

Digitized by Google

tem, scabellum pedum meorum [16]. Laudetur itaque mulier, velut quæ totius terræ gloriam susceperit; velut quæ sit amplexata immaculatos pedes, cujus pulverem lingent gentes cognationesque, juxta quod dictum est: *Et inimici ejus terram lingent* [17]. Amplexa est intemeratos pedes: Christi corpus cum Joanne partita est. Ille equidem recubuit supra pectus [18], ut inde expressurus divinam doctrinam: at ista pedes unxit gradientes nostri causa. Porro Christus qui non judicat peccatum, sed pœnitentiam laudat: qui præterita non punit, sed probat futura, traditis oblivioni malis ejus prioribus, mulieri honorem habet, et laudat pœnitentiam. Justificat lacrymas, et propositum coronat.

A *μοι θρόνος, ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν μου.* Ἐπαινέσθω τοίνυν ἡ γυνὴ, ὡς ὅλης τῆς γῆς τὴν τιμὴν ὑποδεξαμένη· ὡς ἁψαμένη ποδῶν ἀχράντων, ὧν τὸν χοῦν ἔθνη καὶ πατριαὶ λίξουσι, κατὰ τὸ εἰρημένον· *Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λίξουσιν.* Ἥψατο ποδῶν ἀχράντων· ἐμερίσατο πρὸς Ἰωάννην τοῦ Χριστοῦ τὸ σῶμα. Ὁ μὲν γὰρ ἐπὶ στήθους ἀνέπεσε· θείαν γὰρ αὐτόθεν ἔμελλε διδασκαλίαν ἀπομάσσεσθαι· ἡ δὲ τοὺς ὑπὲρ ἡμῶν βαδίζοντας πόδας ὑπήλειφεν. Ἀλλ' ὁ Χριστὸς μὲν, ὁ μὴ τὴν ἁμαρτίαν κρίνων, ἀλλὰ τὴν μετάνοιαν ἐπαινῶν· ὁ μὴ τὰ παρελθόντα κολάζων, ἀλλὰ τὰ μέλλοντα δοκιμάζων, ἀμνηστίᾳ παρελθὼν τὰ προλαβόντα αὐτῆς κακὰ, τιμᾷ τὴν γυναῖκα, καὶ ἐπαινεῖ τὴν μετάνοιαν· δικαιοῖ τὰ δάκρυα, καὶ στεφανοῖ τὴν πρόθεσιν.

VIII. Videns autem Pharisæus miraculum, animo obstupescit: ictusque invidia, mulieris pœnitentiam non admittit. Quin vero, quæ sic Dominum honoraverat, contumelia ceu in faciem cædit: ejusque cui delatus esset honos, ignorantia calculo tributa, dignitatem minuit. *Videns enim*, inquit, *Pharisæus qui vocaverat eum, ait intra se: Hic, si esset propheta, sciret utique quæ et qualis est mulier quæ tangit eum: quia peccatrix est.* O stulte et insipiens, prorsusque Pharisæe! Dum ista dicis, non mulieris arguis mores; sed tuum ipse animum reprehendis, qui dicas, nescire illum quænam esset mulier. Non ergo ut Deum qui nosset omnia, vocando honorasti. Non igitur pudet, o magnifice calumniator et sycophanta, quod quidem ut Deum voces, et qui benedicere possit: proclames vero ut hominem ac velut eum, qui nihil sciat præ nobis. *Hic*, inquit, *si esset propheta.* O quam te melior, Pharisæe, mulier illa in Sichimis, quæ prophetam nesciens, ex primo statim visu confessa est Salvatorem! *Domine* enim, inquit, *video quia propheta es tu* [19]. Quam vero et hæc peccatrix, præ te digna admiratione, cujus quidem vides peccatum, sed pœnitentiam non cernis! Quin et condemnas, quam judex justificat: reprehendisque et vituperas, quam Deus suscipiens coronat: quod visum apud te Deum in forma hominis recumbentem, agnovit, eique honorem habuit: atque animæ retectis vulneribus, misericordiam, et anterioris vitæ commissorum obliterationem petiit. Tu autem qui honorasti vocando, contumelia inhonoras, dicens: *Si esset propheta, sciret utique quæ et qualis est mulier quæ tangit eum.* Miser! propterea quia non arguit tua mala, ignorantiæ damnas? Propterea quia tectum tuum pluribus gravatum malis subiit, scientiam adimis? Ita ne, quod rogaveris ut intraret sub tectum tuum, ut tecum accumberet, ut eduliis tuis adjiceret manum, nec rogatus abnuerit, unum aliquem de multis arbitraris? Num vero dignus eras, ut hospitio Deum exciperes, aut ei parares mensam, qui mensam paravit in deserto [20]? Verum cum propensiori in homines esset affectu, non detrectavit ut a suis ipse famulis po-

B Η'. Ὁ γε Φαρισαῖος ὁρῶν τὸ θαῦμα, πλήττεται τὴν διάνοιαν, καὶ φθόνῳ βαλλόμενος, οὐ παραδέχεται τῆς γυναικὸς τὴν μετάνοιαν. Ἀλλὰ καὶ τὴν οὕτω τιμήσασαν τὸν Κύριον, ἐπιῤῥαπίζει τῇ λοιδορίᾳ· καὶ τοῦ τιμηθέντος ἐλαττοῖ τὸ ἀξίωμα, ἄγνοιαν αὐτῷ καταψηφιζόμενος. *Ἰδὼν γὰρ*, φησὶν, *ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ· Οὗτος, εἰ ἦν προφήτης, ἔγνωκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥ τις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν.* Ὦ ἄφρον καὶ ἀσύνετε, καὶ τὰ ὅλα Φαρισαῖε! Ταῦτα λέγων, οὐ τῆς γυναικὸς διελέγχεις τὸν τρόπον· ἀλλὰ τῆς ἰδίας κατηγορεῖς προαιρέσεως, ἀγνοεῖν αὐτὸν λέγων, τίς ποτε ὑπῆρχεν ἡ γυνή. Οὐκοῦν οὐχ ὡς Θεὸν πάντα γινώσκοντα τῇ κλήσει ἐτίμησας· οὐκ αἰδῇ οὖν, ὦ λαμπρὲ κατήγορε καὶ συκοφάντα, ὅτι καλεῖς μὲν αὐτὸν C ὡς Θεὸν καὶ εὐλογῆσαι δυνάμενον, καταβοᾷς δὲ αὐτοῦ ὡς ἀνθρώπου, καὶ μηδὲν ὑπὲρ ἡμᾶς εἰδότος. *Οὗτος*, φησὶν, *εἰ ἦν προφήτης.* Καὶ πόσον σου βελτίων, ὦ Φαρισαῖε, ἡ ἐν Σικήμοις γυνὴ, ἡ μὴ προφήτην εἰδυῖα, καὶ ἐκ πρώτης ὄψεως τὸν Σωτῆρα ὁμολογήσασα! *Κύριε*, γὰρ, φησὶ, *θεωρῶ ὅτι προφήτης εἶ σύ.* Πόσον δέ σου θαυμαστοτέρα καὶ αὕτη ἡ ἁμαρτωλὸς, ἧς τὴν μὲν ἁμαρτίαν ὁρᾷς, τὴν δὲ μετάνοιαν οὐ βλέπεις! Ἀλλὰ καὶ κατακρίνεις, ἣν ὁ κριτὴς δικαιοῖ· καὶ μέμφῃ καὶ ψέγεις, ἣν ὁ Θεὸς ἀποδεξάμενος στεφανοῖ· ὅτι ἰδοῦσα παρὰ σοὶ Θεὸν ἐν ἀνθρώπου μορφῇ κατακείμενον, ἐπέγνω καὶ ἐτίμησε· καὶ τὰ τῆς ψυχῆς ἐκκαλύψασα τραύματα, ἔλεον ᾔτησε καὶ τῶν βεβιωμένων τὴν ἀμνηστίαν. Σὺ δὲ τιμήσας τῇ κλήσει, ἀτιμάζεις τῇ λοιδορίᾳ, λέγων· *Εἰ ἦν* D *προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥ τις ἅπτεται αὐτοῦ.* Ἄθλιε! ἐπειδὴ τὰ σὰ οὐκ ἤλεγξε κακὰ, ἄγνοιαν αὐτοῦ καταψηφίζῃ; Ἐπειδὴ τὴν πολλοῖς κακοῖς βεβαρημένην σου στέγην ὑπῆλθεν, ἀναιρεῖς αὐτοῦ τὴν γνῶσιν; Ἀλλ' ἐπειδὴ ἠξίωσας αὐτὸν τὴν σὴν ὑπελθεῖν στέγην, ἀνακλιθῆναι μετὰ σοῦ, καὶ χεῖρα ἐπιβάλλειν τοῖς ἐδέσμασί σου, ἐπένευσε καὶ οὐκ ἀπηξίωσεν, ἵνα αὐτὸν τῶν πολλῶν νομίζεις; Ἄξιος δὲ ἦσθα ξενοδοχῆσαι Θεὸν, ἢ τράπεζαν παραθῆναι τῷ ἑτοιμάζοντι τράπεζαν ἐν ἐρήμῳ; Ἀλλὰ φιλάνθρωπος ὢν, οὐ παρητήσατο καὶ παρ' αὐτῶν τῶν οἰκετῶν πόμα καὶ σιτίον ὑποδέξασθαι. Τί

[16] Isa. LXVI, 1. [17] Psal. LXXI, 9. [18] Joan. XIII, 23. [19] Joan. IV, 19. [20] Exod. XVI, 13.

Digitized by Google

οὖν αἰτιᾶσαι φιλάνθρωπον Δεσπότην, ὦ Φαρισαῖε, ὁμοίως εἰς πάντας τὸν τῆς χρηστότητος ζυγὸν ταλαντεύοντα; Τί δὲ τὸν κύνωπα τῆς γυναικὸς διϋλίζων, τὴν κάμηλον τῶν οἰκείων κακῶν καταπίνεις; Καὶ ἐπὶ σοὶ μὲν μακρόθυμον τὸν Θεὸν εἶναι βούλῃ, ἐπὶ ταύτῃ δὲ ἀπότομον; Τί ἐπ' ἀλλοτρίοις ἐγκλήμασι παροξύνεις τὸν δικαστήν, ἐπὶ τοῖς οἰκείοις συγγνώμην αἰτῶν; Τί συνεφωνήσατε (72) σὺ καὶ Ἰούδας πειρᾶσαι τὸν Κύριον; Σὺ μὲν γὰρ ὡς καθαρὸς ἀπὸ ῥύπου, ἐπὶ τοῖς ἁμαρτήμασι διασύρων τὸν ἄνθρωπον, ἄγνοιαν καταψηφίζῃ Θεοῦ· ὁ δὲ, ὡς φιλόπτωχος ἀγανακτεῖ, λέγων· *Τίς ἡ ἀπώλεια τοῦ μύρου τούτου; ἐδύνατο γὰρ πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς.* Ὦ τῆς ἀγνώμονος γνώμης! Ὦ τῶν ἀχαρίστων τρόπων! Ἀπώλειαν τίθῃς, Ἰούδα, τὴν θεράπειαν τοῦ Χριστοῦ; καὶ μάταιον ἀνάλωμα καλεῖς, τὸ εἰς τιμὴν προχωρῆσαι Θεοῦ;

Θ'. Πόσον ἐδώκαμεν ὧν ἐλάβομεν; Λογισώμεθα, ἀφ' οὗπερ ὁ κόσμος ἀνεδείχθη, πόσοι παρὰ τῆς αὐτοῦ φύσεως ἐλέους ῥέουσι ποταμοί, καὶ οὐ λογίζεται ὁ Θεὸς ζημίαν τὴν ἀφθονίαν. Πόσας ἡ γῆ εὐωδίας βλαστάνει; ῥόδον, καὶ κρίνον, καὶ στύρακα, νάρδον καὶ στακτὴν, καὶ τὰ ἄλλα, ἀφ' ὧν τὸ καλὸν κατασκευάζεται μύρον· καὶ οὐ λογίζεται (73) Θεὸς εἰς ἀπώλειαν ταῦτα· καὶ ἵνα μικρὸν ἀλάβαστρον μύρου τοῖς ποσὶ τοῦ Χριστοῦ ἐπιχεθῇ, γογγύζεις; Μὴ οὖν προῖκα αὐτὸ ἔλαβεν, ἵνα γογγύζεις; Ἔλαβε μύρον, καὶ ἔδειξε μετανοίας τρόπον. Ἔλαβε δάκρυα, καὶ ἔστησε πηγὴν ἁμαρτημάτων. Ποία οὖν ἐστιν ἀπώλεια, εἰ ἐσώθη γυνὴ, δι' ἣν ὁ παράδεισος ἀπεκλείσθη (74); Ἀλλὰ λυπεῖ σε τοῦτο, Ἰούδα; Εἰκότως· καὶ γὰρ τὸν διάβολον ἐλύπησεν αὐτῆς ἡ σωτηρία. Οἶδε γὰρ δι' αὐτῆς λοιπὸν τὸ γένος πρὸς μετάνοιαν μεταβαλλόμενον· καὶ δάκνεται καὶ ἀνιᾶται· οὐκ ἔχων λοιπὸν δίκτυον δι' ὃν θηράσῃ τὸν ἄνθρωπον. Ὅθεν καὶ σὲ εἰς τὸ γογγύσαι παρώρμησεν. *Εἰς τί*, φησὶν, *ἡ ἀπώλεια αὕτη; Ἐδύνατο γὰρ πραθῆναι πολλοῦ.* Ἤδη πράσσεις, Ἰούδα· ἤδη προδοσίας μελετᾷς· κακῶν αἰνιγμάτων (75) ἀρχή. Ἀλλ' ὁ Ἰησοῦς οὐκ ἐλέγχει αὐτοῦ τὴν νόσον· οὐ γυμνοῖ τὸ φιλάργυρον, ἵνα μὴ τὴν μέλλουσαν προδοσίαν ἀνακρούσηται· ἀλλ' ἐπὶ πάντας λέγει· *Τί κόπους παρέχετε τῇ γυναικί;* Τί πρὸς τοῖς προλαβοῦσι κακοῖς κακίζετε τὴν ἄν-

A tum escasque susciperet. Quid ergo benignum Dominum postulas, o Pharisæe, qui in omnes pariter bonitatis stateram libret [21]? Quid vero excolans mulieris culicem, tuorum ipse malorum camelum deglutis [22]? Et quidem, vis in te Deum longanimem; in hanc autem promptum ad iram? Quid Dominum exasperas in alienis criminibus, qui in propriis veniam petas? Quid tu Judasque convenistis, ut tentaretis Dominum? Tu quidem, velut mundus a sorde, detrahens homini pro peccatis, Deum ignorantiæ damnas: ille autem, ceu pauperum amans indignatur, dicens: *Ut quid perditio ista unguenti? Poterat enim venundari multo, et dari pauperibus* [23]. O improbum animum! O ingratos mores! Æstimas, o Juda, perditionem, obsequium Christi? vocasque

B inanem sumptum, quod in honorem Dei procedit?

IX. Quantum dedimus ex iis quæ accepimus. Cogitemus ex quo mundus conditus est, quanta fluunt ab ejus natura misericordiæ flumina, nec Deus largitatem detrimento ducit. Quot terra suaves odores producit? rosam, lilium et styracem, nardum et stactem, aliaque ex quibus unguentum probum conficitur; nec Deus ista reputat perditionem; et tu obmurmuras quod modicum alabastrum unguenti Christi pedibus affusum sit? Num vero illud gratis accepit, ut murmuraveris? Accepit unguentum, et exhibuit pœnitentiæ modum. Accepit lacrymas, et cohibuit scaturiginem peccatorum. Quæ ergo perditio, salva effecta muliere, ob quam paradisus clausus fuit? Verum te hoc, Juda, contristat? Merito: nam et ejus salus diabolum contristavit. Noverat enim deinceps per illam convertendum sexum ad pœnitentiam; ac mordetur, et est anxius, quod jam desit rete ad hominem venandum, eaque te causa in murmur propellit. *Ut quid*, inquit, *perditio hæc? Poterat enim venundari multo.* Jam venundas, Juda; jam proditiones meditaris: malorum ænigmatum inchoatio. Jesus tamen non arguit ejus morbum: non detegit avaritiam, ut ne futuram proditionem depellat. Sed ait in omnes: *Quid molesti estis huic mulieri* [24]? Quid pro malis præteritis feminam objurgatis? Sa-

C

[21] Sap. VI, 8. [22] Matth. XXIII, 24. [23] Matth. XXVI, 9; Marc. XIV, 4; Joan. XII, 5. [24] Matth. XXVI, 10; Marc. XIV, 6.

(72) *Τί συνεφωνήσατε.* Videtur innuere unam unctionem, cujus causa Judas murmuravit, et quæ in domo Simonis (*Luc.* VII, 39) facta legitur, murmurante et ipso contra Dominum suscipientem: nisi oratorie, duas unctiones, velut in unam, una orationis serie cogit. Eamdem illam mulierem, et quam tres evangelistæ habent, existimat Chrysost. hom. 81 *in* XXVI *Matth.*, sed aliam a mirabili illa Maria sorore Lazari: qua de re nihil Amphilochius: obtinetque Augustini, Gregorii Magni, etc., sententia, ut et ipsa una eademque sit; colitque Ecclesia ut unam, officio ex variis locis Scripturæ, quibus et sororis Lazari et mulieris quam evangelistæ alii habent, mentio est, devotissime instructo. Unam ego Mariam dixerim, tres unctiones: vel certe duas. Videtur enim illa *Luc.* VII, 38, longe antiquior ea quam Matthæus et Marcus factam habent, sub ipsum ferme tempus passionis Dominicæ: ac nec quam

D Joannes narrat, accumbente Lazaro suscitato, in ipsa, ut videtur, Lazari et sororum domo, ipsa fuerit, quæ apud Matth. et Marcum legitur in domo Simonis leprosi: quanquam multa consonantia eamdem probabilius suadeant. Habet Amphilochio proxima præfatus Chrysost. hom. *in prodit. Judæ* tom. V Ducæi. Videri potest Jansenius *Concord.* c. 48.

(73) *Λογίζ.* Montf. καὶ οὐ λογίζεται ὁ Θεὸς ἀπώλειαν· καὶ ἵνα.

(74) *Ἀπεκλείσθη.* Addit. Montf. δι' ἣν Ἀδὰμ συνεξεβλήθη, *per quam Adam simul ejectus fuerat.* Et statim: ἀλλὰ ἐλύπησε τοῦτο Ἰούδαν· εἰκότως· *Sed illud Judæ dolori fuit: jure quidem.* Rectius, ut videtur. Sed ἐπέχω ob ea quæ mox sequuntur. ὅθεν καὶ σὲ, κ. τ. λ.

(75) *Αἰνιγμάτων.* Deest apud Montf.

Digitized by Google

tis male habuit femineus sexus : ne quis prohibeat, quo minus salvæ fiant : ne quis illi molestus sit, quæ fessos propter ipsam ab itinere super terram pedes lavit. *Nam semper pauperes habetis vobiscum* [25]. Etiam cum pauperibus me accipite. Propter vos enim, cum dives essem, factus sum pauper, ut vos mea paupertate ditaremini [26]. Me occiditis, neque accuso : me illa sepulturæ tradit, et murmuratis? *Mittens enim hæc unguentum in corpus meum, ad sepeliendum me fecit* [27]. Non pudore, Juda, suffunderis, quod hæc, cum sit peccatrix, me unguentis honoret; tu vero, qui sis apostolus, venditione injurius fis? Et mulier quidem, parat quæ spectant ad sepulturam; discipulus autem morti tradit. Peccatrix est mulier, novi : cæterum, nihil fuit præter lacrymarum fontem, quod donaret : fontem fonte benevolum faciens. Sed et unguentum, infelix, probas; qui dicas trecentorum denariorum [28] : probas autem, non ut laudes illius magnificentiam, quæ totum quod peccando divitiarum collegerat, in unguenti pretium insumpserit : sed ut murmurando ostendas, in quam dirum malum, tantum damni passus, incideris. Verum nihil magni fuerit, quod moleste feras amissos trecentos denarios, cum acceptis triginta me Dominum tuum tradideris. *Quid* enim, inquit, *vultis mihi dare, et ego sum vobis tradam* [29]? Miser! Servus Dominum vendit? Inversus est ordo. Et quidem ego proprio te sanguine a peccato redimo : tu autem ad hæc vendis, triginta obolis? Præterea vero, homo Deum vendit? Demus vero quod vendat : quis emptor? Quanti vero quis Deum emerit? Quid autem etiam rem facis vilis pretii? Sic ne, triginta quis argenteis Deum in forma humana, ut servum, ut barbarum, vendit? Salîem discernas, quanti Deum inhabitantem; quanti hominem qui paret, facis. *Quid mihi*, inquit, *vultis dare?* Tu quid vis accipere? Nam illi nihil habent dare, quod digne Deo responderit. *Et constituerunt illi*, inquit, *triginta argenteos* [30]. An quis medicum gratis curantem triginta obolis vendit? Medicum, inquam, qui cæcis dat visum : qui ad cursum claudos erigit? Hæc dico, ut te erudiam, qui molestus es mulieri, quod eum qui est inter mortuos liber [31], etiam ante mortem, velut mortuum, honore affecerit; quod sepulturæ, resurrectionisque gratiam unguento prænuntiaverit. Cæterum, tibi quidem proditionis fructus, restis manserit [32] : istius autem memoria, *ubicunque fuerit prædicatum Evangelium* [33], indeficiens erit. Dixit : sicque factum fuerit. Nam cessavit Aaron et Eleazari unguentum, cornuque desiit : at hujus alabastrum, toti ævo coextentum, inexhaustæ memoriæ fragrantiam habet.

X. Et ita quidem Judam; murmurantem autem Pharisæum hoc pacto Christus affatus est : *Simon*,

Θρωπον; Αὐτάρκως ἔκαμε τὸ τ�ων γυναικῶν γένος· μηδεὶς αὐτῶν τὴν σωτηρίαν ἐμποδιζέτω· μηδεὶς κοπούτω τὴν λούσασαν μύρῳ τοὺς πόδας τοὺς ὑπὲρ αὐτῆς βαδίσαντας ἐπὶ τῆς γῆς. *Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν.* Λάβετε κἀμὲ καὶ μετὰ πτωχῶν. Δι' ὑμᾶς γὰρ ἐπτώχευσα πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐμῇ πτωχείᾳ πλουτήσητε. Ἀναιρεῖτέ με, καὶ οὐκ ἐγκαλῶ· ἐνταφιάζει με αὕτη, καὶ γογγύζετε; *Βαλοῦσα γὰρ αὕτη τὸ μύρον ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαί με πεποίηκεν.* Οὐκ αἰδῇ οὖν, Ἰούδα, ὅτι αὕτη μὲν, ἁμαρτωλὸς οὖσα, μύροις με τιμᾷ· σὺ δὲ, ἀπόστολος ὤν, πράσει με καθυβρίζεις; Καὶ ἡ μὲν γυνὴ τὰ πρὸς τάφον ἑτοιμάζει, ὁ δὲ μαθητὴς τῷ θανάτῳ παραδίδωσιν. Ἁμαρτωλός ἐστιν ἡ γυνὴ, οἶδα· ἀλλ' οὐδὲν εἶχέ μοι χαρίσασθαι, ἢ πηγὴν δακρύων· πηγῇ τὴν πηγὴν εὐμενίζουσα. Ἀλλὰ καὶ δοκιμάζεις, ἄθλιε, τὸ μύρον, τριακοσίων δηναρίων λέγων· δοκιμάζεις δὲ, οὐχ ἵνα αὐτῆς τὴν μεγαλοψυχίαν ἐπαινέσῃς· ὅτι ὅλον τὸν ἐκ κακῶν συναχθέντα πλοῦτον εἰς τιμὴν μύρου κατανάλωσεν· ἀλλ' ἵνα γογγύζων δείξῃς, ὡς ἀπεύκτῳ περιέπεσας κακῷ, τοσοῦτον ζημιωθείς. Ἀλλ' οὐ μέγα εἰ τριακοσίων δηναρίων στέρησιν δυσχεραίνεις, ὅπου γε τριάκοντα λαβὼν, ἀπέδου με τὸν Κύριον. Τί γὰρ, φησὶ, *θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν.* Ἄθλιε! Δοῦλος Δεσπότην πωλεῖ; Ἀντέτραπται ἡ τάξις· καὶ ἐγὼ μὲν σὲ τῆς ἁμαρτίας τῷ οἰκείῳ ὠνοῦμαι αἵματι, σὺ δὲ μὲ τριάκοντα ἐπεμπωλεῖς ὀβολῶν; Εἶτα δὲ (76) ἄνθρωπος Θεὸν πωλεῖ; Δεδόσθω δὲ, ὅτι πωλεῖ· τίς ὁ ὠνούμενος; πόσου δέ τις ἀγοράσει Θεόν; τί δὲ καὶ εὔωνον ποιεῖς τὸ πρᾶγμα; τριάκοντά τις ἀργυρίων Θεὸν πωλεῖ ἐν ἀνθρώπου μορφῇ, ὡς οἰκέτην, ὡς βάρβαρον; κἂν διάκρινον, πόσου μὲν τὸν ἐνοικοῦντα Θεὸν, πόσου δὲ τὸν φαινόμενον ἄνθρωπον· *Τί μοι*, φησὶ, *θέλετε δοῦναι.* Σὺ τί θέλεις λαβεῖν· ἐκεῖνοι γὰρ οὐδὲν ἔχουσι δοῦναι ἀντάξιον Θεοῦ. *Καὶ ἔστησαν αὐτῷ*, φησὶ, *τριάκοντα ἀργύρια.* Τριάκοντα ὀβολῶν ἄμισθόν τις ἰατρὸν πωλεῖ; ἰατρὸν τυφλοὺς ὀμματοῦντα, χωλοὺς πρὸς δρόμον ἐγείροντα. Ταῦτα λέγω, ἵνα σου κατηχήσω τὴν διάνοιαν, ὅτι κόπους παρέχεις τῇ γυναικί· ὅτι τὸν ἐν νεκροῖς ἐλεύθερον, καὶ πρὸ τοῦ θανάτου ὡς νεκρὸν ἐτίμησεν· ὅτι διὰ τοῦ μύρου, τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως τὴν χάριν προεσήμανεν. Ἀλλὰ σὺ μὲν καρπὸν τῆς προδοσίας τὸν σχοῖνον ἔξεις· ταύτης δὲ ἡ μνήμη, *ὅπου ἂν κηρυχθῇ τὸ Εὐαγγέλιον*, ἀνεξάλειπτός ἐστιν. Εἶπε, καὶ ἐγένετο ἔργον οὕτως. Ὅτι τὸ τοῦ Ἀαρὼν, τὸ τοῦ Ἐλεάζαρ πέπαυται μύρον, καὶ τὸ κέρας ἤργησε. Τὸ δὲ ἀλάβαστρον ταύτης παντὶ τῷ αἰῶνι συνεπεκτείνεται, ἀκένωτον ἔχον τῆς μνήμης τὴν εὐωδίαν.

Ι'. Ἀλλὰ πρὸς μὲν τὸν Ἰούδαν οὕτω, πρὸς δὲ τὸν Φαρισαῖον γογγύζοντα Χριστὸς οὕτως ἔλεγε. *Σίμων*,

[25] Matth. xxvi, 11. [26] II Cor. viii, 9. [27] Matth. xxvi, 12. [28] Marc. xiv, 5. [29] Matth. xxvi, 15. [30] ibid. [31] Psal. lxxxvii, 6. [32] Matth. xxvii, 5. [33] Matth. xxvi, 13.

(76) *Εἶτα δέ.* Montf. εἰ δέ.

Digitized by Google

ἔχω σοί τι εἰπεῖν. Ὦ χάριτος ἀφάτου! Ὦ φιλανθρωπίας ἀῤῥήτου! Θεὸς καὶ ἄνθρωπος κοινολογοῦνται, καὶ προτίθησι πρόβλημα, κανόνα φιλανθρωπίας, ἐκλύων αὐτοῦ τὴν πονηρίαν. *Σίμων*, γάρ, φησίν, *ἔχω σοί τι εἰπεῖν·* ὃ μηδενὶ τῶν παλαιῶν εἶπον, οὐ πατριάρχῃ, οὐ προφήτῃ, οὐ νομοθέτῃ. Τότε μὲν γάρ, *ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος* ἐζήτουν, τὸ δίκαιον ἀπαιτῶν· ἀλλ' ἐπειδὴ οὐ δύνασθε φέρειν τὸ δίκαιον, χάριν ἀντεισάγω τῷ νόμῳ, καὶ ἀλάλητόν σοι μυστήριον ἐρῶ. *Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ. Δύο χρεωφειλέται ἦσαν ἑνὶ ἀνδρί.* Ὅρα Θεοῦ σοφίαν. Ἀποσιωπᾷ τὴν γυναῖκα, ἵνα μὴ κακουργήσῃ περὶ τὴν ἀπόκρισιν. *Ὁ εἷς*, φησίν, *ὤφειλε δηνάρια πεντακόσια· ὁ δὲ ἕτερος, πεντήκοντα.* Φοβερὸν; τοῦ διηγήματος ὁ τρόπος. Γραμματεῖόν ἐστιν ὁ ἡμέτερος βίος, ἀοράτως γράφων καὶ λογισμοὺς, καὶ πράξεις, καὶ ὀφθαλμῶν ῥεμβασμοὺς, καὶ ψυχῆς κινήματα· ἀλλὰ λύει τὸν φόβον ὁ φιλάνθρωπος δανειστὴς, ὁ τὰ χειρόγραφα διαῤῥήσσων τῆς ἁμαρτίας· καὶ οὐ μόνον διαῤῥήσσων, ἀλλὰ καὶ λεαίνων (77) τοῖς ὕδασι τοῦ βαπτίσματος, ἵνα μὴ ἴχνος στοιχείου ἢ συλλαβῆς ὑπομεῖναν, ὑπόμνημα γένηται τῶν παρῳχηκότων κακῶν. *Μὴ ἐχόντων* οὖν, φησὶν, *αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο.* Εἶδες φιλάνθρωπον δανειστήν; Πῶς δανείζει μὲν, οὐκ ἀπολαμβάνει δέ; Πῶς δὲ ἀγνωμονούμενος οὐ ναρκᾷ· ἀλλ' ἥπλωται αὐτοῦ τοῖς αἰτοῦσιν ἡ χείρ; *Μὴ ἐχόντων*, φησὶν, *ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο.* Ἀφῆκε μὴ ἐχόντων (78)· οὐχὶ μὴ θελόντων. Ἕτερον γὰρ μὴ ἔχειν, καὶ ἕτερον μὴ θέλειν. Οἷόν τι λέγω· Θεὸς οὐδὲν παρ' ἡμῶν ζητεῖ, ἢ μετάνοιαν. Ὅθεν βούλεται ἡμᾶς ἀεὶ χαίρειν, καὶ προστρέχειν τῇ μετανοίᾳ. Ἐὰν μὲν θελόντων ἡμῶν μετανοῆσαι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἄτονον τὴν μετάνοιαν ἡμῶν δείξῃ· οὐ παρὰ τὸ μὴ θέλειν, ἀλλὰ παρὰ τὸ μὴ ἔχειν, οὐκ ἐκτίνομεν τὸ χρέος. Διὰ τοῦτο οὖν λέγει, *Μὴ ἐχόντων αὐτῶν*· ἵνα δείξῃ ὅτι ἰδὼν αὐτοὺς βουλομένους μὲν διὰ μετανοίας ἀποδοῦναι τὸ χρέος, μὴ δυναμένους δὲ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν, ὡς φιλάνθρωπος, αὐτοῖς συνεχώρησε, οὐκ ἀπὸ πράξεως, ἀλλ' ἀπὸ προαιρέσεως ἐλευθερῶσαι τῆς ὀφειλῆς τὸ ὑπόχρεον. *Μὴ ἐχόντων* οὖν *αὐτῶν ἀποδοῦναι*· μὴ μαστίζας, μὴ ὑβρίσας, μὴ στρεβλώσας, *ἀμφοτέροις ἐχαρίσατο*

ΙΑ'. *Τίς οὖν αὐτὸν ὀφείλει πλέον ἀγαπῆσαι;* Ἀποκριθεὶς δὲ ὁ *Σίμων* εἶπεν· *Ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο.* Βλέπε τοῦ Φαρισαίου τὸ δεινόν. Ὡς οἶδεν ἑαυτὸν τῷ λόγῳ ἤδη τῆς ἀληθείας ἀποκλειόμενον, τὸ *Ὑπολαμβάνω* τέθεικε, φοβούμενος

A *habeo tibi aliquid dicere.* O ineffabilem gratiam! O inexplicabilem humanitatem! Communem Deus cum homine sermonem miscet : problemaque et quæstionem, regulam humanitatis proponens, illius malitiam dissolvit. *Simon* enim, inquit, *habeo tibi aliquid dicere;* quod nulli veterum dixi : non patriarchæ, non prophetæ, non legislatori. Tunc quidem, quærebam *oculum pro oculo, dentem pro dente* [24] : quod justum est, exigens. Quia vero non potestis ferre quod est justum; loco legis gratiam induco, tibique inenarrabile sacramentum dico. *At ille ait : Magister, dic. Duo erant debitores obstricti uni viro.* Vide Dei sapientiam. Reticet mulierem, ut ne ad responsionem subdole cavilletur. *Unus*, inquit, *debebat denarios quingentos, et alius* B *quinquaginta.* Terribilis narrationis species. Est libellus humana vita, inaspectabili ratione et cogitatus et actiones et oculorum vagos ictus motusque animi perscribens. Solvit nihilominus metum benignus creditor, is, inquam, qui disrumpit chirographa peccati : nec disrumpit solum, verum etiam delet aquis baptismi, ut ne elementi aut syllabæ superstes vestigium, malorum præteritorum monumentum fiat. *Non habentibus* ergo, inquit, *illis unde redderent, donavit utrisque.* Vidistin' creditorem humanum? Ut quidem feneretur, sed non recipiat? Ut etiam erga ingratos non torpeat, sed habeat rogantibus apertam manum? *Non habentibus*, inquit, *unde redderent, utrisque donavit.* Dimisit iis qui non haberent : non ita, qui nollent. Nam est C aliud non habere, et aliud nolle. Ut puta : Nihil Deus a nobis, præter pœnitentiam exigit. Quare vult ut semper gaudeamus, et curramus ad pœnitentiam. Si ergo, dum volumus pœnitentiam agere, peccatorum ingens numerus viribus infirmam et inefficacem pœnitentiam fecerit; non solvimus debitum, non quia nolimus, sed quia non habemus. Propterea igitur dicit, *Non habentibus illis :* ut ostendat, quod videns, velle debitum per pœnitentiam reddere, nec peccatorum multitudine velut obrutos, posse; concesserit ipse ut misericors, ut ab hujus se debiti reatu, non ab actione, sed a proposito animi eximerent. *Non habentibus* ergo *illis unde redderent :* non flagellis adhibitis, non contu- D meliam irrogans, non subjiciens tormentis, *donavit utrisque.*

XI *Quis ergo plus eum debet amare? Respondens Simon dixit : Æstimo quia is cui plus donavit.* Vide Pharisæi genium atque solertiam. Ut jam se vidit sermone veritatis exclusum, illud *Æstimo*, posuit; veritus dare absolutam responsionem. Porro

[24] Exod. xxi, 24.

(77) *Λεαίνων.* Montf. λαβαίνων. Unde Boisius in notis Savilii legendum putabat ἀφανίζων vel ἀπαλείφων. Ipse autem Montfauconius, quid, inquit, si dicamus hanc vocem medii ævi a Græculo usurpatam, ex Latino verbo *lavo* factam, inde λαβαίνων, *lavans* efformatum? Sed utriusque viri docti conjecturam elidit exemplaris Combefisiani proba lectio. Hic vero respexisse videtur sanctus Pater ad locum Coloss. II, 14.

(78) *Ἀφῆκε μὴ ἐχ. Dimisit iis qui non haberent; non ita, qui nollent.* Accedente libero consensu promptaque voluntate satisfaciendi, quæ Deo accepta est secundum quod habet, nunquam illi pauper, modo se divitem semper velit, ut ipsi donet.

Digitized by Google

Dominus non est scrutatus mentem : sed responsum rapiens, ait illi : *Recte judicasti. Et conversus ad mulierem, dixit Simoni : Vides hanc mulierem?* peccatricem illam, tibi quidem desperatam, sed mihi factam salvam? *Intravi in domum tuam.* Tua enim domus est, non mea; quæ est plena contumelia. *Aquam pedibus meis non dedisti :* pedibus, inquam, tui causa pulvere conspersis; pedibus labore fatigatis, ut eos qui laborant et sunt onerati, laboribus et molestia liberarem [35]. Dimidiatum honorem obtulisti : qui superiora quidem sis admiratus, inferiora autem non foveris. At tu quidem, *aquam pedibus meis non dedisti;* hæc autem lacrymarum fontes ab oculis mittens, peccati sui maculam abstersit. *Mihi tu osculum non dedisti;* atque utinam nec Judas, qui osculo proditionem patravit : *Hæc autem ex quo intravit, non cessavit osculari pedes meos. — Oleo caput meum non unxisti; Oleum* enim *peccatoris non impinguet caput meum* [36]. Quomodo enim poterat capiti habere honorem, qui pedes neglexerat? *Hæc autem etiam pedes unxit unguento. — Oleum* enim, inquit, *evacuatum nomen tibi* [37]. Evacuatum et exhaustum; non effusum. Nam quia vas Judaici animi supputre erat, idcirco ex alabastrite vestra in pedes meos fuit evacuatum unguentum, ut per me fragrantia gratiæ derivaretur in gentes. *Propter quod dico tibi : Remittuntur ei peccata multa :* quod tu quidem, eodem tecto susceptum, neque osculo honoraveris, neque unguento foveris : hæc autem, multis ejus malis oblivioni traditis, honoraverit : velut duplici cratere temperato, ex lacrymis et unguentis.

XII. Beatam igitur feminam prædicemus, quæ mala Evæ obtegit : peccatricem illam, illam meretricem, illam bonorum conciliatricem, cui judex ipse advocatus fuit : quæ lacrymis vicit judicii luctum. Quotquot adestis, quæ audistis æmulamini; atque meretricis non voluptatem imitamini, sed lamentum. Voluptas quidem parens lamenti et luctus fuit; luctus autem malis exitum conciliavit. Corpus itaque vestrum non aqua abluite, sed lacrymis · membra ungite, non unguentis, sed castitate.

[35] Matth. xi, 28. [36] Psal. cxl. 5. [37] Cant. i, 2.

τελείαν τὴν ἀπόκρισιν δοῦναι. Ὁ δὲ Κύριος, οὐ τὴν γνώμην αὐτοῦ ἐξήτασεν, ἀλλὰ τὴν ἀπόκρισιν ἁρπάσας, λέγει αὐτῷ· *Ὀρθῶς ἀπεκρίθης. Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα* τὴν ἁμαρτωλόν; τὴν σοὶ μὲν ἀπηγορευμένην, ἐμοὶ δὲ σωζομένην; *Εἰσῆλθον εἰς τὸν οἶκόν σου.* Σὸς γὰρ ὁ οἶκος, καὶ οὐκ ἐμός· ὁ λοιδορίας μεστός. *Ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας* · πόδας, τοὺς διὰ σὲ κονισθέντας· τοὺς τὸν κόπον ὑπομείναντας, ἵνα κόπων τοὺς κοπιῶντας καὶ πεφορτισμένους ἐλευθερώσω. Ἐξ ἡμισείας τὴν τιμὴν προσήνεγκας, τὰ μὲν ἄνωθεν θαυμάσας, τὰ δὲ κάτωθεν μὴ θεραπεύσας (79). Ἀλλὰ σὺ μὲν *ὕδωρ εἰς τοὺς πόδας μου οὐκ ἔδωκας*· αὕτη δὲ πηγὰς δακρύων ἐκ τῶν βλεφάρων ἀφεῖσα, τῆς ἁμαρτίας αὐτῆς τὸν ῥύπον ἀπέσμηξε. *Σύ μοι φίλημα οὐκ ἔδωκας* · ὡς εἴθε μή τε Ἰούδας, ὁ φιλήματι τὴν προδοσίαν ἐργασάμενος. *Αὕτη δὲ ἀφ' ἧς εἰσῆλθεν* (80), *οὐ διέλειπε καταφιλῆσαί μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἠλειψας· Ἔλαιον* γὰρ *ἁμαρτωλοῦ μὴ λιπαράτω τὴν κεφαλήν μου.* Πῶς γὰρ (81) εἶχε τὴν κεφαλὴν τιμῆσαι, ὁ ποδῶν ἀμελήσας; *Αὕτη δὲ καὶ τοὺς πόδας ἤλειψε μύρῳ. Μύρον* γὰρ, φησὶν, *ἐκκεκωθὲν δρομά σοι.* Ἐκκενωθὲν, οὐκ ἐκχυθέν. Ἐπειδὴ γὰρ τὸ σκεῦος τῆς Ἰουδαϊκῆς γνώμης ὑπόσαθρον ἦν, διὰ τοῦτο ἐκ τῆς ἀλαβαστροθήκης ὑμῶν, ἐν τοῖς ποσί μου ἐξεκενώθη τὸ μύρον · ἵνα δι' ἐμοῦ εἰς τὰ ἔθνη μετοχετεύθη τῆς εὐωδίας ἡ χάρις. *Οὗ χάριν λέγω σοι · Ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί* · ὅτι σὺ μὲν ὁμορρόφιόν με δεξάμενος, οὐδὲ φιλήματι ἐτίμησας, οὐδὲ ἀλείμματί με ἐθεράπευσας, αὕτη δὲ πολλῶν κακῶν ἀμνηστίαν λαβοῦσα, ἐτίμησέ με, ἐκ δακρύων καὶ μύρων, οἱονεὶ δυφυῆ κερασαμένη.

ΙΒ'. Μακαρίσωμεν οὖν τὴν ἄνθρωπον, τὴν τὰ Εὔας καλύψασαν κακὰ, τὴν ἁμαρτωλὸν, τὴν πόρνην, τὴν πρόξενον τῶν ἀγαθῶν, τὴν αὐτὸν τὸν κριτὴν συνήγορον ἐσχηκυῖαν, τὴν δάκρυσι νικήσασαν τὸν τῆς κρίσεως ὀδυρμόν. Ὅσοι πάρεστε, ζηλώσατε ἅπερ ἠκούσατε · καὶ τῆς πόρνης μὴ τὴν ἡδονὴν, ἀλλὰ τὸν θρῆνον μιμήσασθε. Ἡ ἡδονὴ μὲν γὰρ τὸν θρῆνον ἐγέννησεν· ὁ θρῆνος δὲ, τῶν κακῶν τὴν λύσιν προεξένησε. Λούσατε οὖν ὑμῶν μὴ ὕδασιν, ἀλλὰ δάκρυσι τὸ σῶμα · ἀλείψατε μὴ μύροις, ἀλλ'

(79) *Τὰ μὲν ἄνωθεν θαυμάσας· τὰ δὲ κάτωθεν μὴ θεραπεύσας. Qui superiora quidem sis admiratus, inferiora autem non foveris.* Qui ut prophetam quidem et sapientem honorifice exceperis convivio, et honeste habueris : pedes autem meos et infima corporis, non obsequio foveris; nihil enim aliud τὰ ἄνωθεν, καὶ κάτωθεν hoc loco voluerint.

(80) *Ἀφ' ἧς εἰσῆλθεν.* Habent modo Græca εἰσῆλθον · quomodo Jansenius putat legendum, et ait habere multos antiquos codices, prima persona : *Ex quo intravi.* Sensus tamen incommodus est; non enim tam festine videtur mulier illa secuta Dominum, ut statim atque ingressus est, potuerit ejus pedes abluere, maxime quia non abluit nisi recumbentis : est autem verisimile, ut ingressus exceptus- que velut propheta, prius quam se cibo corruptibili pascendum composuisset, multis ipse verbis sacris cœlestique epulo hospitem suum paverit. Fuerit ergo credibilius, interpretem nostrum correctiorem nactum codicem, et qualis Amphilochio fuit, in quem τὸ εἰσῆλθον loco τοῦ εἰσῆλθεν facili permutatione ac mala lectione irrepserit : quam ut Latinus aliquis offensus dicti difficultate, τὸ, *Intravi*, mutatum voluerit in *intravit*, quare illud merito Syxtina retinuerunt.

(81) *Πῶς γάρ*, κ. τ. λ. *Quomodo poterat capiti honorem habere, qui*, etc. Acute perstringit, et indicat in pedibus Jesu spretos pauperes et fratres, quos qui spernit, capiti Jesu ejusque divinitati, etsi ita arbitretur, honorem non tribuit. Sic Joannes de dilectione arguit.

Digitized by Google

ἀγνείᾳ τὰ μέλη. Ἐνδύσασθε οὐ τὰ Σηρῶν ὑφάσματα, ἀλλὰ τὸ ἄφθαρτον τῆς σωφροσύνης ἱμάτιον, ἵνα τῆς αὐτῆς τύχητε δόξης· δόξαν ἀναπέμποντες τῷ Ἀμνῷ τοῦ Θεοῦ, τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου· ᾧ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν. A

Induimini, non vestes sericas, sed incorruptibile temperantiæ indumentum, ut parem gloriam consequamini, gloriam submittentes Agno illi Dei, qui tollit peccatum mundi [38]: cui gloria honorque et adoratio, cum Patre et Spiritu sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Ε'.

Εἰς τὴν ἡμέραν τοῦ ἁγίου Σαββάτου (82).

Α'. Ἐπιτάφιον ἑορτὴν τοῦ Σωτῆρος ἡμῶν ἑορτάζομεν σήμερον. Καὶ ὁ μὲν, παρὰ τοῖς νεκροῖς κάτω τοῦ θανάτου τὰ δεσμὰ διαλύων, καὶ φωτὸς τὸν ᾅδην πληρῶν, καὶ ἀφυπνίζων τοὺς κεκοιμημένους· ἡμεῖς δὲ χορεύομεν ὑπὲρ γῆν, τὴν ἀνάστασιν φανταζόμενοι, καὶ οὐ δεδοίκαμεν τὴν φθοράν, μὴ κατισχύσῃ τῆς ἀφθαρσίας. *Οὐ δώσεις* γὰρ, φησὶ, *τὸν ὅσιόν σου* B *ἰδεῖν διαφθοράν*. Καὶ ἴσως ἡμῶν τὴν φιλοσοφίαν γελῶσιν Ἰουδαῖοι καὶ Ἕλληνες· οἱ μὲν ἕτερον Χριστὸν προσδεχόμενοι, οἱ δὲ τάφοις ἐναποκλείσαντες αὐτῶν τὰς ἐλπίδας, περὶ ὧν εἰκότως ὁ προφήτης φησίν· *Οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα*. Ἀλλ' οἱ μὲν γελῶντες στενάξουσι (στενάξουσι γὰρ ὕστερον, *ὁρῶντες εἰς ὃν ἐξεκέντησαν* καὶ ἐνύβρισαν)· ἡμεῖς δὲ δακρύοντες, ἡδονῇ τὸ πάθος κεράσωμεν. Ἥρπασεν ὁ θάνατος τὸν Δεσπότην Χριστόν; ἀλλ' οὐ καθέξει παρ' ἑαυτῷ τὴν ζωήν. Κατέπιε; κατέπιεν ἀγνοήσας, ἀλλ' ἐξέμεσε (83) πολλοὺς σὺν αὐτῷ. Ἐκὼν κατέχεται νῦν, μετὰ ταύτην τὴν ἡμέραν σκυλεύσας τὸν ᾅδην ἀνίσταται. Χθὲς ἐμαύρωσε τὸν ἥλιον σταυρωθεὶς, καὶ μεσούσης ἡμέρας ἐπεισῆλθε νύξ· σήμερον ὁ θάνατος παραλύεται, C ξένον νεκρὸν εἰσδεξάμενος· χθὲς ἐπένθησεν ἡ κτίσις τὴν τῶν Ἰουδαίων μανίαν ὁρῶσα, καὶ στολὴν πενθικὴν τὸ σκότος ἐνεδύσατο· σήμερον λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα. Χθὲς ἐδονήθη ἡ γῆ, καὶ περὶ φυγῆς ἐβουλεύετο, καὶ διαστῆναι τοῖς ἐνοικοῦσιν ἠπείλει, καὶ τὰ μὲν ὄρη ἐκόπτοντο, ἐσχίζοντο δὲ αἱ πέτραι, γυμνὸς δὲ ἦν ὁ ναὸς, καθάπερ ἔμπνους, τὸ ἱμάτιον διαῤῥήξας, δι' ὧν ἔπαθε δεικνὺς ὡς ἐβεβηλώθη τὰ ἅγια. Τὰ ἄψυχα τοῦ τολμήματος ἤσθετο, οἱ δὲ ταῦτα τολμῶντες ἀναισθήτους εἶχον ψυχάς. Ἠγανάκτει τὰ στοιχεῖα, καὶ μικροῦ τὴν τάξιν ἀπέλιπε, καὶ σύγχυσιν εἰργάσατο τοῦ παντὸς, εἰ μὴ τοῦ Δημιουργοῦ τῆς βουλήσεως ἤσθετο, ὅτι μὴ ἄκων ὑβρίζετο.

ORATIO V.

In diem Sabbati sancti.

I. Sepulcrale festum Servatoris nostri hodie frequentamus. Et ipse quidem apud inferos mortis vincula dissolvit, luce sua infernum implet, et dormientes a somno excitat; nos vero læti exsultamus super terram, resurrectionem ipsius nobis cogitatione ob oculos statuentes, neque corruptionem jam metuimus; ne ea, quam incorruptibilitas, plus possit. *Non dabis* enim, inquit Scriptura, *sanctum tuum videre corruptionem* [39]. Et fortassis philosophiam hanc nostram Judæi et Græci irrident; illi quidem alium Christum exspectantes: hi vero sepulcris spes suas includentes, de quibus apposite propheta ait: *Sepulcra eorum, domus ipsorum in sæculum* [40]. Cæterum isti nunc corridentes, gement aliquando (gement, inquam, aspicientes in quem confixerunt [41], et injuriis affecerunt); nos vero lacrymantes, passionem hanc lætitia temperabimus. Rapuit mors Dominum nostrum Christum; sed non retinebit apud se vitam. Devoravit ipsum inscia, sed evomuit multos cum ipso. Volens nunc detinetur: sed crastino die, spoliato inferno, resurget. Heri crucifixus solem obscuravit, et die adhuc media nox incubuit; hodie mors vim suam amittit, novum quemdam mortuum in se suscipiens. Heri rerum fabrica luxit, Judæorum furorem videns, et mœstitiæ vestimentum sibi tenebras induit: hodie populus in tenebris sedens vidit lucem magnam [42]. Heri terra commota, velut de fuga consilium iniit; dehiscere inhabitantibus comminata: montes abscissi, petræ scissæ, nudum templum conspectum, quod perinde ac si vivum esset, vestem dirupit: per ea quæ sibi accidebant, sacra temerata esse contendens. Et animæ quidem vitæque expertia tantum facinus senserunt: at qui id ausi, animas omni sensu carentes habuerunt. Dolebant elementa, et parum aberat, quin, ordinem stationemque desererentia, confusionem inducerent universi, nisi voluntatem conditoris percepissent, videlicet ipsum non invitum pati.

Β'. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων! Ξύλῳ τείνεται ὁ λόγῳ τείνας τὸν οὐρανόν· καὶ δεσμοῖς περιβάλλεται, ὁ δήσας ψάμμῳ τὴν θάλασσαν· ποτίζεται χολὴν, ὁ τὰς πηγὰς μέλιτος χαρισάμενος· καὶ στεφανοῦται ἀκάνθαις, ὁ τὴν γῆν στεφανώσας τοῖς ἄνθεσι· καὶ τύπτεται μὲν καλάμῳ τὴν κεφαλὴν, D

II. O res novas atque inopinatas! Ligno extenditur, qui verbo cœlum tetenderat; vinculis circumdatur, qui mare arenis alligaverat; felle potatur, qui mellis fontes fuerat largitus; spinis coronatur, qui terram floribus coronaverat; calamo caput verberatur, qui Ægyptum olim decem plagis per-

[38] Joan. I. 29. [39] Psal. XV 10. [40] Psal. XLVIII. 12. [41] Zach. XII, 10. [42] Isa. IX, 2.

(82) Exscripsimus editam a Pantino ex bibliotheca Thuana, ut est tota usibus publicis devota: nactique Regium codicem, nihil pæne diversum aut mutatum, exacta collatione occurrit. Est oratio quo brevior, eo cultior, vere nobilissimum consummatissimi ingenii monumentum. Pantini versionem ut suis numeris absolutam, vix uno aut alio nævulo, retinuimus.

(83) *Ἐξέμεσε*. Ms. ἐξεμέσει.

Digitized by Google

cusserat, caputque Pharaonis undis operuerat; conspuitur ejus vultus, quem cherubim intueri non sustinent. Atque hæc talia cum pateretur, pro se crucifigentibus comprecabatur, dicens : *Pater, dimitte illis; non enim sciunt quid faciunt* [43]. Bonitate malitiam vincit. Defensionem instituit Christus pro Christi homicidis, salutem eorum studiose captans. Diluit crimen, ignorantiam causatus. Non acerbe fert, vesaniæ ipsorum ludibrium factus. Tolerat temulentiam, suaque in genus humanum propensione, eosdem ad resipiscendum vocat. Quid pluribus? Nullo e bonitate ipsius fructu percepto, sepulcro includunt, quem nulla rerum universarum quæ exsistunt, in se continere queat. Signacula apponunt, nostram liberationem custodientes : et resurrectionem metuentes ad sepulcrum milites custodes statuunt. Quis unquam vidit mortuum custoditum? Aut potius, quis vidit mortuum bello impetitum? quis audivit vitæ exitum cuipiam inductum, et timore auctores afficientem? quis non de inimico sollicitus esse desiit, postquam animam ipsius abstulit? quis non inimicitiam dissolvit, morte adversarii satiatus? Quid quem de medio sustulisti, adhuc horres, Judæe? quid metuis quem occidisti? quid formidas e vivis egressum? quid times enectum? quid te discruciat quem crucifixisti? Cædes ipsa tibi securitatem promittit. Bono animo esto. Si nudus homo, qui mortuus est, non utique resurgit; si nudus homo, recte in crucem egisti; si nudus homo, non verum restat quod dixit : *Solvite templum hoc, et in tribus diebus excitabo illud* [44]. Si nudus homo, morte detinetur; si nudus homo, quid sepulcrum consignas? Exspecta diem tertium, et videbis insaniæ tuæ confutationem. Desine frustra laborare, et videbis rerum eventum. Desine contra veritatem furere. Desine Deo bellum inferre, inferensque te ipsum vulnerare. Desine solem justitiæ injuriis afficere, existimans te ejus radios exstinguere. Desine, inquam; nec fontem vitæ obstruere contendas. Desine præfectos fatigare. Desine de custodia verba facere. Desine mendacium tibi commercari, et armatos commovere. Ne frustra nitaris ne ad impietatem impensam facias, ne contra Deum tibi victoriam fingas. Ne militibus, ut alia pro aliis referant, mercedem tribuas. Ne turbam ad sepulcrum excubare facias. Ne in armis tuis fiduciam habeas. Armis resurrectio non prohibetur, non impeditur signaculis, non coercetur militibus, non surripitur pecuniis, sed fide obtinetur. Non vidisti Lazarum nuper mortem instar somni excutientem? Non vidisti quomodo cum fasciis ipsis gradiebatur, vocem, *Veni foras* [45], simul audivisset? Non vidisti quomodo mortuus vocantis jussum fuerit secutus, vinculorum nexu minime ipsum cohibente? Non vidisti quomodo morte jam solutum

A ὁ πατάξας τὴν Αἴγυπτον ταῖς δέκα πληγαῖς, καὶ τὴν κεφαλὴν τοῦ Φαραὼ καλύψας τοῖς ὕδασιν. Ἐμπτύεται τὸ πρόσωπον ὃ ἰδεῖν οὐ φέρει τὰ Χερουβίμ. Ταῦτα δὲ πάσχων, ὑπὲρ τῶν σταυρούντων προσηύχετο, λέγων· *Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν.* Ἀγαθότητι τὴν κακίαν νικᾷ. Ἀπολογεῖται ὑπὲρ τῶν χριστοκτόνων, εἰς σωτηρίαν αὐτοὺς σαγινεύων. Λύει τὸ ἔγκλημα, τὴν ἄγνοιαν αἰτιώμενος. Οὐ χαλεπαίνει τῆς ἐκείνων παροινίας γινόμενος παίγνιον. Δέχεται τὴν μέθην, καὶ φιλανθρωπίᾳ καλεῖ πρὸς μετάνοιαν. Τί δεῖ λέγειν τὰ πλείω; Οὐδὲν τῆς ἀγαθότητος ἀπωνάμενοι, ἐγκλείουσι τάφῳ ὃν οὐδὲν τῶν ὄντων χωρεῖ· καὶ σήμανθρα ἐπιτιθέασιν, ἡμῶν τὴν σωτηρίαν φυλάττοντες· καὶ δεδιότες τὴν ἀνάστασιν, στρατιώτας φύλακας ἐφ-
B ιστῶσι τῷ μνήματι. Τίς εἶδε νεκρὸν φυλαττόμενον; μᾶλλον δὲ τίς εἶδε νεκρὸν πολεμούμενον; τίς ἤκουσε τελευτὴν ἀμφιβαλλομένην (84), καὶ δέος ἐμποιοῦσαν τοῖς ἐργασαμένοις; τίς οὐκ ἐπαύσατο πρὸς ἐχθρὸν τὴν ψυχὴν ἀφειλάμενος; τίς οὐ κατέλυσεν ἔχθραν ἀρκεσθεὶς θανάτῳ τοῦ δυσμενοῦς; Τί ὃν ἀνήλωσας δειλιᾷς, ὦ Ἰουδαῖε; τί φοβῇ ὃν ἀπέκτεινας; τρέμεις τὸν μεταστάντα; τί δέδοικας τὸν ἀναιρεθέντα; τί ὃν ἐσταύρωσας ἀγωνιᾷς; Ἔχεις ἀπὸ τῆς σφαγῆς ἀσφάλειαν. Θάρρει. Εἰ ψιλὸς ἄνθρωπος ὁ τεθνηκὼς, οὐκ ἀνίσταται· εἰ ψιλὸς ἄνθρωπος, καλῶς ἔπηξας τὸν σταυρόν· εἰ ψιλὸς ἄνθρωπος, οὐκ ἀληθεύει, *Λύσατε τὸν ναὸν τοῦτον*, εἰπὼν, *καὶ ἐν τρισὶ ἡμέραις ἐγερῶ αὐτόν.* Εἰ ψιλὸς ἄνθρωπος,
C τῷ θανάτῳ κατέχεται· εἰ ψιλὸς ἄνθρωπος, τί τὸν τάφον σφραγίζεις, ἀνόητε; Περίμεινον τὴν τρίτην ἡμέραν, καὶ ὄψει τῆς σεαυτοῦ μανίας τὸν ἔλεγχον. Παῦσαι περιεργαζόμενος, καὶ θεάσῃ τῶν πραγμάτων τὴν ἔκβασιν. Παῦσαι λύττων κατὰ τῆς ἀληθείας. Παῦσαι Θεῷ πολεμῶν, καὶ τῷ πολεμεῖν κατατιτρώσκων σαυτόν. Παῦσαι τὸν ἥλιον τῆς δικαιοσύνης ὑβρίζων, καὶ νομίζων τὰς ἀκτῖνας ἐκείνου σβεννύειν. Παῦσαι τὴν πηγὴν τῆς ζωῆς προσχῶσαι φιλονεικῶν. Παῦσαι ἄρχουσιν ἐνοχλῶν, καὶ περὶ φρουρᾶς διαλεγόμενος. Παῦσαι τὸ ψεῦδος ὠνούμενος, καὶ τοὺς ὁπλίτας κι-
D κῶν. Μὴ κάμῃς ἀνόνητα· μὴ εἰς ἀσέβειαν ἀναλώσῃς τὰ σὰ, καὶ κατὰ Θεοῦ φαντάζου τὴν νίκην. Μὴ δῶς μισθὸν στρατιώταις ἕτερα ἀνθ' ἑτέρων εἰπεῖν. Μὴ παρακοιμίσῃς τὸν ὄχλον τῷ μνήματι. Μὴ θαρρήσῃς τοῖς ὅπλοις. Ὅπλοις ἀνάστασις οὐ κωλύεται· οὐκ ἐμποδίζεται ταῖς σφραγῖσιν, οὐκ εἴργεται στρατιώταις, οὐ κλέπτεται χρήμασιν, ἀλλὰ πίστει. Μὴ οὐκ εἶδες τὸν Λάζαρον πάλιν καθάπερ ὕπνον τὸν θάνατον ἀποσεισάμενον; Εἶδες πῶς σὺν αὐταῖς κηρίαις ἐβάδιζε, τὸ *Δεῦρο* ἀκούσας; Εἶδες πῶς ἠκολούθησε τῷ προστάγματι ὁ νεκρὸς, καὶ ὁ δεσμὸς οὐκ ἐκώλυσεν; Εἶδες πῶς ἥρμοσεν ἡ φωνὴ τῷ τὸν διαλυθέντα θανάτῳ; Ὁ ἐκεῖνα δυνηθεὶς, καὶ ταῦτα δυνήσεται· ὁ τὸν δοῦλον ἀναστήσας, αὐτὸς πολλῷ μᾶλλον ἐγείρεται. Ὁ ζωογονήσας τὸν σεσηπότα, οὐκ

[43] Luc. xxiii, 34. [44] Joan. ii, 19. [45] Joan. xi, 43.

(84) Forte ἀναμφιβ.

Digitized by Google

ἐάσει νεκρὸν ἑαυτόν. Ἀλλὰ γὰρ ἡ τυφλότης τῶν Ἰουδαίων πολλὴ, καὶ ὁρῶσα τὰ θαύματα, οὐχ ὁρᾷ. *Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσιν. Ὁ Θεὸς γὰρ τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς καρδίας αὐτῶν, πρὸς τὸ μὴ καταυγάσαι αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.* Ἀλλ' ἐκείνους μὲν τέως ἐάσωμεν τῇ ἀπιστίᾳ· ἡμεῖς δὲ λέγωμεν μετὰ τῶν περὶ Μαριὰμ τὴν πιστὴν, κατὰ διάνοιαν ἀναπλάττοντες ἑαυτοῖς τοῦ Σωτῆρος τὸν τάφον· Ἦραν τὸν Κύριον ἡμῶν, καὶ οὐκ οἴδαμεν τί ἐποίησαν αὐτόν. Αὐτῷ ἡ δόξα, σὺν τῷ ἀχράντῳ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A vox restauravit? Qui illa potuit, et hæc poterit. Qui servum suscitavit, ipse multo magis suscitatur. Qui in vitam restituit jam putrefactum, nequaquam se ipsum mortuum sinet. Cæterum Judæorum cæcitas immensa, quæ videns miracula, minime videt: *Oculos* enim *habent, et non vident, aures habent, et non audiunt* [46]. *Deus* enim *hujus sæculi corda eorum excæcavit, ut non illucescat illis Evangelium justitiæ* [47]. Sed miseros illos deinceps suæ incredulitati relinquamus; nos vero cum fideli Maria, in animo nobis Servatoris nostri sepulcrum effingentes, dicamus: Tulerunt Dominum nostrum, et nescimus quid eo fecerunt [48]. Ipsi gloria, cum intemerato Patre, et sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

[46] Psal. CXIII, 5, [47] II Cor. IV, 4. [48] Joan. XX, 13.

ΑΜΦΙΛΟΧΙΟΥ (85) ΕΠΙΣΚΟΠΟΥ ΙΚΟΝΙΟΥ

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ.

AMPHILOCHII EPISCOPI ICONII EPISTOLA SYNODICA.

Καὶ πρὶν κομίζεσθαι τὰ παρὰ τῆς ἀγάπης ὑμῶν γράμματα, περιήγγειλεν εἰς ἡμᾶς ἡ φήμη, καὶ τὸ τῆς πίστεως ὑμῶν ἀκραιφνὲς, καὶ πρὸς τοὺς κινδύνους παρατεταμένον, καὶ πρὸς τὰ παθήματα τὰ ὑπὲρ Χριστοῦ καρτερικὸν, καὶ τῆς εἰς Θεὸν ἀγάπης (86), καὶ τὸ τῆς μελλούσης ἐλπίδος ἐν ὑμῖν βέβαιον. Ἐπεὶ δὲ καὶ τοῖς γράμμασι τῆς εὐλαβείας ὑμῶν ἐντετυχήκαμεν, εἴδομεν ὄντως Ἐκκλησίας ἀποστολικῆς χαρακτῆρα, καὶ ποιμένων ἀγαθῶν ζῆλον, καὶ σπουδὴν δοκνον ἀληθινοῖς Χριστιανοῖς πρέπουσαν. Τὸ γὰρ μήτε τῆς ὁδοῦ μῆκος ὑπολογίσασθαι, μήτε διεσπασμένως τὰς πεύσεις προσαγαγεῖν, ἀλλὰ κοινῇ διὰ τῶν γραμμάτων ποιήσασθαι τὴν ἐρώτησιν, λίαν ἡμᾶς εὐέλπιδας πεποίηκεν, ὅτι συμφώνως ἐπιστείλαντες, συμφώνως καὶ τὰς ἀποκρίσεις παρ' ἡμῶν δέξασθε (87)· καὶ οἷόν τι προοίμιον τῆς τελειοτέρας ὁμονοίας τὴν ἐν τοῖς γράμμασιν ὑμῶν ὁμόνοιαν ἐδεξάμεθα. Καὶ δι' εὐχῆς μὲν ἦν ἡμῖν, καὶ τὸν θαυμασιώτατον καὶ μετὰ πάσης αἰδοῦς ὀνομαζόμενον ἐπίσκοπον Βασίλειον, καὶ παρόντα δέξασθαι τῇ συνόδῳ, καὶ κοινωνὸν, μᾶλλον δὲ ἔξαρχον τῶν πρὸς ὑμᾶς γραμμάτων (88) ἔχειν. Ἐπεὶ δὲ ἐκεῖνον ἀῤῥωστία σώματος ὑπερβάλλουσα, πρὸς τὴν ἄφιξιν διεκώλυσεν, τελείας μέν ἐστιν ἀγάπης ὑμῶν, μήτε τὰ τῆς ἡμε-

B Antequam litteræ a charitate vestra missæ afferrentur, frequens fama ad nos perduxerat vestram in fide sinceritatem, et ad pericula constantiam, nec non ad patiendum pro Christo fortitudinem, charitatis in Deum ardorem, denique erga futura spei firmitatem. Postquam autem litteras quoque pietatis vestræ accepimus, agnovimus re vera Ecclesiæ apostolicæ characterem, bonorum pastorum zelum, et impigrum studium quod veros Christianos deceat. Nam quod nec viæ longitudinem reputaveritis, nec separatim detuleritis quæstiones, sed communiter per litteras interrogaveritis, id nos bona spe replevit, futurum ut qui una voce scripsistis, unanimi etiam consensu responsionem nostram sitis recepturi; ac velut exordium perfectio-

C ris concordiæ, vestram in litteris consensionem suscepimus. Et optabamus quidem, maxime admirandum omnique cum reverentia nominandum episcopum Basilium, præsentem excipere in nostra synodo, et socium; seu potius principem habere in dandis ad vos litteris. Verum quia gravis eum morbus detinuit, ne adveniret, vestræ est perfectæ dilectionis, nostræ mediocritatis epistolam nequaquam despicere. Neque vero sanctam vestram Eccle-

(85) *Ἀμφιλοχίου.* Al. Ἀμφιλοχίῳ Βασίλειος. Insignis ista epistola non potest esse Basilii, ut legenti patebit; sed est synodica Amphilochii, qua, meo quidem judicio, respondet synodicæ episcoporum alterius provinciæ, qui circa Macedonii hæresim de Spiritu sancto fluctuabant et dissentiebant Doctrina autem tota est Amphilochiana, Basiliana, Gregoriana.

(86) Videtur deesse aliquid.

(87) *Δέξασθε.* Al. δέξεσθε.

(88) *Γραμμάτων.* Al. πραγμάτων.

Digitized by Google

siam passi sumus etiam illius voce carere; sed habentes librum ipsius, quem de hoc peculiariter argumento elaboravit, ipsum pariter nobiscum in scripto loquentem obtinemus.

Quodnam igitur est ad interrogationem responsum? Sanctum concilium Nicænorum Patrum, pro vere catholico et apostolico concilio agnoscimus, fidemque eam, quæ tunc temporis exposita fuit a Patribus servamus immotam, atque ut in perpetuum maneat inconvulsa exoptamus. Porro fuit tunc Patribus necessarium, enarrare fusius de Unigeniti dogmate; quandoquidem Arii hæresim ea tempestate recens exortam exscindere nitebantur, prima illius semina statim abolendo, antequam ad summam asperitatem perveniret spina: cumque eo tempore de quæstione circa Spiritum sanctum taceretur, ideo nihil amplius addiderunt. Verum iis qui prudenter legerint, sufficiens videbitur doctrina de Spiritu, quæ ea in fide continetur. Docuerunt enim, sicut credi debet in Patrem et Filium, ita etiam credendum esse in Spiritum: nec aliam quampiam inducentes in divina beataque Trinitate naturam; neque quidquam de Trinitate resecantes, in illa fidei expositione, sed quia nuper Ecclesias concutere aggressus Satanas, immisit quibusdam dubitationem de Spiritu, necesse est ut ad fidei fontem recurramus; e quo cum Nicææ congregati Patres etiam hausissent, fidei expositionem, confecerunt. Quænam ergo est nostræ fidei perfectio? Domini traditio, quam, postquam resurrexisset a mortuis, mandavit sanctis suis discipulis, præcipiens: *Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti* [9]. Constat accepisse nos mandatum, non solum hoc modo baptizandi, verum etiam pari modo docendi. Adeo ut per hoc præceptum, tum Sabellii intercludatur morbus, per tres hypostases pure nobis traditas; tum Anomœorum Arianorumque et Pneumatomachorum obturentur ora; tribus quidem personis ac hypostasibus declaratis, una vero natura et divinitate confessa. Quamobrem oportet eo nos modo baptizare, quo edocti sumus, atque eo credere, quo fuimus baptizati, eo autem glorificare, quo credidimus. Multis siquidem mente volutatis, et in omnes partes cogitationibus conversi, nihil possumus medium advertere Creatorem inter et creaturam. Quocirca si a divinitate Spiritum sejunxerimus, necessario illum cum creaturis debemus annumerare. Quod si ausi fuerimus creaturam dicere, qui fieri

[9] Matth. xxviii, 19.

τέρας βραχύτητος παριδεῖν γράμματα. Οὐ μέν τοι τὴν ἁγίαν ὑμῶν Ἐκκλησίαν ἄμοιρον καὶ τῆς ἐκείνου φωνῆς περιείδομεν· ἀλλ' ἔχοντες αὐτοῦ σύγγραμμα περὶ ταύτης (89) ἰδικῶς αὐτῷ τῆς ὑποθέσεως πεπονημένον, κἀκεῖνον διὰ τοῦ γράμματος ἔχομεν ἡμῖν συμφθεγγόμενον.

Τίς οὖν ἡ πρὸς τὴν πεῦσιν ἀπόκρισις; Τὴν ἁγίαν σύνοδον τῶν Πατέρων τῶν ἐν Νικαίᾳ, σύνοδον ὄντως καθολικὴν καὶ ἀποστολικὴν γνωρίζομεν, καὶ πίστιν τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν Πατέρων τηνικαῦτα, φυλάττομεν ἀκίνητον (90), καὶ πρὸς τὸ διηνεκὲς ἀσπάρακτον μένειν εὔχομαι (91). Γέγονε δὲ τότε τοῖς Πατράσιν ἀναγκαιότερον, πλατύτερον ἐξηγήσασθαι περὶ τῆς δόξης τοῦ Μονογενοῦς· ἐπειδὴ τότε νεωστὶ φυομένην τὴν αἵρεσιν τοῦ Ἀρείου διὰ σπουδῆς ἔσχον ἐκκόψαι, τὰ πρῶτα αὐτῆς προαναιροῦντες σπέρματα, πρὶν τελέως ἐκτραχυνθῆναι τὴν ἄκανθαν. Σεσιγημένου δὲ τηνικαῦτα τοῦ κατὰ τὸ Πνεῦμα ζητήματος, διὰ τοῦτο πλατύτερον μὲν οὐδὲν προσέθεσαν· τοῖς μέντοι γε συνετῶς ἀναγινώσκουσιν, αὐτάρκης καὶ ἡ περὶ τοῦ Πνεύματος ἐν ἐκείνῃ τῇ πίστει διδασκαλία. Ὥσπερ (92) εἰς Πατέρα καὶ Υἱὸν πιστεύειν, οὕτω καὶ εἰς τὸ Πνεῦμα πιστεύειν ἐδογμάτισαν· μήτε ἑτέραν τινὰ φύσιν ἐπεισάγοντες τῇ θείᾳ καὶ μακαρίᾳ Τριάδι· μήτε τι τῶν ἐκ τῆς Τριάδος ἀποτέμνοντες, εἰς τὴν τῆς πίστεως ἔκθεσιν. Ἐπεὶ δὲ πρόσφατον ὁ Σατανᾶς διασαλεύειν τὰς Ἐκκλησίας ἐπιχειρῶν, ἐνέβαλέ τισι περὶ τοῦ Πνεύματος διστα-γμὸν, ἀναγκαῖον ἐπὶ τὴν πηγὴν ἀνατρέχειν τῆς πίστεως, ἐξ ἧς καὶ οἱ κατὰ Νίκαιαν Πατέρες ἀναρυσάμενοι, τὴν ἔκθεσιν τῆς πίστεως ἐποίησαν. Τίς οὖν ἡμῶν ἡ τῆς πίστεως τελειότης; Ἡ τοῦ Κυρίου παράδοσις, ἣν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς ἐνετείλατο, προστάξας· *Πορευθέντες μαθητεύσατε* (93) *πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*. Δῆλον ὅτι τὴν ἐντολὴν ἐδεξάμεθα, οὐ μόνον εἰς τὸ βαπτίζειν οὕτως, ἀλλὰ καὶ εἰς τὸ μαθητεύειν οὕτως. Ὡς διὰ ταύτης τῆς ἐντολῆς, καὶ τὴν Σαβελλίου νόσον ἀποκλεισθῆναι, τῶν τριῶν ὑποστάσεων καθαρῶς ἡμῖν παραδοθεισῶν· καὶ τῶν Ἀνομοίων (94) καὶ τῶν Ἀρειανῶν καὶ τῶν Πνευματομάχων ἐμφραγῆναι (95) τὰ στόματα· τῶν προσώπων καὶ τῶν ὑποστάσεων τριῶν δηλουμένων, τῆς δὲ φύσεως καὶ τῆς θεότητος μιᾶς ὁμολογηθείσης. Ἀνάγκη τοίνυν οὕτως ἡμᾶς βαπτίζειν, ὡς ἐδιδάχθημεν· καὶ οὕτω πιστεύειν, ὡς ἐβαπτίσθημεν, καὶ οὕτω δοξάζειν, ὡς ἐπιστεύσαμεν. Πολλὰ γὰρ τῇ διανοίᾳ περισκοποῦντες, καὶ πανταχοῦ στραφέντες τοῖς λογισμοῖς, οὐδὲν ἐπινοῆσαι δυνάμεθα μεταξὺ τοῦ Κτίστου καὶ τῆς κτίσεως· ὥστε εἰ τῆς θεότητος τὸ

(89) Id est, *de Spiritu sancto*.
(90) Al. add. τε καὶ ἀσάλευτον.
(91) *Εὔχομαι*. Forte εὐχόμεθα.
(92) Al. ins. γάρ.
(93) *Πορευθέντες μαθητεύσατε*. Ita multi *Matth.* xxviii, 19. Alii inserunt, οὖν, alii, νῦν, ut Hilarius initio libri II *De Trinitate*, et ad *Psal.* lxv, 7. *Euntes nunc docete*.
(94) *Ἀνομοίων*. Eunomiani ita vulgo dicti sunt propter τὸ ἀνόμοιον, et Ἀνομοιουσιασταί Basilio, ob ἀνομοιούσιον, vel, ut loquitur Severus, *Anomœousiam*, id est, *dissimilem substantiam*.
(95) *Ἐμφραγῆναι*. Al. ἀποφραγῆναι.

Digitized by Google

enim verum Filium Deum, et sanctum ac vivificantem Spiritum non æternum vocant, sed creaturam, illi in has personas non credunt, quamvis se credere profiteantur; fortasse autem ne in Patrem quidem credunt: etenim Patris mandatum violant (4) sic præcipientis: *Audi* (5), *populo meus, et loquar tibi; Israel, et contestabor te; si audieris me, non erit in te deus recens, neque adorabis deum alienum*, id est, deum qui olim non exstiterit, aut deum heterousium, seu qui sit *alterius substantiæ*; et: *Dominum* (6) *Deum tuum adorabis, et illi soli servies*; et: *Non erunt* (7) *tibi dii alii præter me*; et: *Maledictus* (8) *omnis, qui habet spem in homine*, id est, in creatura. Filii quoque præceptum violant, **103** qui in Matthæo quidem ait, *Nemo* (9) *potest duobus dominis servire*, id est, duabus naturis, aut dominationibus; in Paulo autem Romanis scribente: *Coluerunt* (10) *et servierunt creaturæ magis quam Creatori*. Mosis demum legem violant sic se habentem: *Qui* (11) *sacrificaverit diis alienis, præter solum Deum, lapidabitur*. Recens autem, et alienus Deus ille exsistit, qui non est Deo et Patri consubstantialis, quique aliquando non fuit. At qui dicunt, *Gloria Patri per Filium in sancto Spiritu*, non glorificant Filium, aut Spiritum Dei: nam alteri per alterum in altero gloriam referunt, aut, ut melius dicam, nulli: quinetiam lædunt primum quidem voluntatem Patris, qui ait, *Gloriam* (12) *meam alteri non dabo*, id est, ei qui sit alterius naturæ: quique Filio similem ac sibi honorem deferri vult. Deinde vero etiam traditionem Filii transgrediuntur. Ac idem ipsi faciunt, quod ii, qui ore quidem ipsum vocabant Christum, manibus autem eum cædebant, et clamabant: *Prophetiza* (13) *nobis, Christe, quis est qui te percussit*: quique aiebant: *Credimus* (14) *ut Moyses, et prophetæ*; sed eum ipsum, qui ab his prænuntiatus fuerat, crucifixerunt. Cum ergo et Deo Patri, et Unigenito Deo inobsequentes sint, et fides in creaturam sit inutilis, ac nocere magis possit, quam salvare; reputent ipsi, an periculo careat eorum fides, dum salutem abnegant: nec enim salvus fieri is potest, qui recte non credat: nam præclara, ut aiunt, res est servari, aliorum vero alia est ra-

καὶ τὸ ἅγιον καὶ ζωοποιὸν Πνεῦμα, οὐ πιστεύουσιν εἰς τὰς ὑποστάσεις ταύτας, κἂν λέγωσι πιστεύειν· τάχα δὲ οὐδὲ εἰς τὸν Πατέρα. Παραβαίνουσι γὰρ τὴν ἐντολὴν τοῦτο μὲν τοῦ παραγγέλλοντος Πατρός· *Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτυροῦμαί σοι. Ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ*· ἀντὶ τοῦ, οὐκ ὄντι ποτὲ, ἢ ἑτεροουσίῳ. Καὶ, *Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*· καὶ, *Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ*· καὶ, *Ἐπικατάρατος πᾶς, ὃς ἔχει τὴν ἐλπίδα ἐπ' ἄνθρωπον*· τοῦτ' ἔστιν, ἐπὶ ποίημα. Τοῦτο δὲ τοῦ λέγοντος Υἱοῦ, ἐν Ματθαίῳ μέν· *Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν*· τοῦτ' ἔστιν, δύο φύσεσιν, ἢ δεσποτείαις· ἐν Παύλῳ δὲ Ῥωμαίοις ἐπιστέλλοντι· *Ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει, παρὰ τὸν κτίσαντα*. Τοῦτο δὲ τοῦ νομοθετήσαντος Μωϋσέως· *Ὁ θυσιάζων θεοῖς ἀλλοτρίοις, λιθοβοληθήσεται, πλὴν Κυρίῳ μόνῳ*. Πρόσφατος δὲ καὶ ἀλλότριος Θεὸς, ὁ μὴ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ ὢν, καὶ ποτὲ μὴ ὑπάρξας. Καὶ οἱ λέγοντες, *Δόξα Πατρὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι*, οὐ δοξάζουσι τὸν Υἱὸν, ἢ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἄλλῳ γὰρ δι' ἄλλου ἐν ἄλλῳ ἀναπέμπουσι τὴν δόξαν, μᾶλλον δὲ οὐδ' ὁποτέρῳ· καὶ παρατιτρώσκουσι τοῦτο μὲν τὸ θέλημα τοῦ Πατρὸς (λέγοντος· *Τὴν* [45 *a*] *δόξαν μου ἑτέρῳ οὐ δώσω*· ἀντὶ τοῦ, Ἑτεροφυεῖ οὐ δώσω, βουλομένου δὲ τιμᾶσθαι τὸν Υἱὸν ὁμοίως αὐτοῦ), τοῦτο δὲ καὶ τὴν παράδοσιν τοῦ Υἱοῦ· ὅμοια πάσχοντες τῶν Χριστὸν μὲν αὐτὸν τῷ στόματι καλούντων, ταῖς δὲ χερσὶ τυπτόντων καὶ κραζόντων· *Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε*· τῶν καὶ λεγόντων οὕτως· *Πιστεύομεν ὡς Μωϋσῆς καὶ οἱ προφῆται*· αὐτὸν δὲ τὸν προφητευθέντα σταυρωσάντων. Ὅτε οὖν καὶ ὁ Θεὸς Πατὴρ σὺν τῷ μονογενεῖ Θεῷ παρακούεται, καὶ ἡ εἰς κτίσμα πίστις ἀνωφελής ἐστιν, βλάπτειν μᾶλλον ἢ σώζειν δυναμένη· αὐτοὶ λογιζέσθωσαν, εἰ ἀκίνδυνον ἔχουσι πίστιν, τὴν σωτηρίαν ἀρνούμενοι· δεῖ γὰρ σωθῆναι ὀρθῶς πιστεύοντα· καλὸν γὰρ, φασὶ, τὸ σωθῆναι· τἆλλα δέ ἐστιν ἄλλως λόγος. Καὶ Μακεδονίου δὲ παῖδες, ὡς τοῦ ἁγίου Πνεύματος, οὕτω καὶ τοῦ Μο-

(4) *Mandatum violant*. Hoc ipsum hæreticis argumentum objicit in comment. *in Psalmos*, pag. 695 catenæ Corderianæ, ad vers. 9 psalmi 80: Ταῦτα τὴν Ἀρείου (inquit) καὶ Εὐνομίου παραπληξίαν ἐλέγχει. Εἰ γὰρ οὐχ ὁμοούσιος, ἀλλότριος ἄρα καλοῖτ' ἂν εἰκότως... Τὸν ὅσιον τοίνυν προφανῶς παροινοῦσι νόμον, ἀλλότριον καὶ πρόσφατον προσκυνοῦντες θεόν, id est, *Hæc Arii, et Eunomii vesaniam redarguunt: si enim consubstantialis non est* (Filius), *alienus merito vocari poterit... Manifeste itaque sanctam legem transgrediuntur, alienum ac recentem deum adorantes*.

(5) *Audi*. Ps. LXXX, vers. 7 (sen 9). Complutensis editio omittit voces, καὶ λαλήσω σοι, item ut Vulg. translatio.

(6) *Dominum*. Deut. VI, 13, ubi pro προσκυνήσεις, editio Græca habet, φοβηθήσῃ, id est *timebis*. Sed idem utrobique sensus; ex quo fit ut Matth. IV, 10, Christus Dominus eumdem locum allegans, usus sit verbo προσκυνήσεις.

(7) *Non erunt*. Exod. XX, 3. Sed Vulg. int. paulo aliter, eodem tamen sensu.

(8) *Maledictus*. Jerem. XVII, 5. Græca editio pro πᾶς, habet ὁ ἄνθρωπος.

(9) *Nemo*. Matth. VI, 24.

(10) *Coluerunt*. Rom. I, 25.

(11) *Qui*. Leguntur hæc Exod. XXII, 20. Sed pro λιθοβοληθήσεται, Græca editio habet ἐξολοθρευθήσεται, id est, *exterminabitur*. At lapidatio ipsa in Deuteronomio memoratur XIII, 10, et XVII, 5, ubi idololatram lapidibus obrui jubet Moyses.

(12) *Gloriam*. Isa. XLII, 8, et XLVIII, 11.

(13) *Prophetiza*. Matth. XXVI, 68.

(14) *Credimus*. Hæc verba in Bibliis non reperi. Respicit autem fortasse Didymus illud Joannis IX, 28: *Nos autem Mosis discipuli sumus*.

Digitized by Google

νογενοῦς τὴν δόξαν οὐ σώζουσιν, ὁμοούσιον τῷ Πατρὶ, καὶ οὐχὶ ὁμοούσιον λέγοντες αὐτόν· ὡς νοεῖσθαι, ὅτι ἄλλης ὁμοίας οὐσίας ἐστίν. Ὥστε λείπεται αἱρετικοὺς, ἢ ἀμεῖψαι ἐν ταῖς θρησκείαις αὐτῶν τὸ ὄνομα τοῦ Πατρὸς, ὡς τῇ ἀληθείᾳ παρ' αὐτοῖς οὐκ ὄντος αὐτοῦ Πατρὸς, ἔτι μὴν καὶ τοῦ μονογενοῦς Υἱοῦ, καὶ τοῦ Πνεύματος δὲ τοῦ Θεοῦ, ὡς τοῦτο οὐκ ὄντος (συγγνώτω δὲ ἡμῖν ἡ ἁγία καὶ σεπτὴ, καὶ παρ' ἡμῶν δοξαζομένη ὁμοούσιος Τριάς)· ἀμεῖψαι δὲ πρό γε πάντων τὸ ἑαυτῶν ὄνομα, καὶ μήτε καλεῖσθαι Χριστιανοὺς ἢ Πνευματικοὺς, μήτε διακεῖσθαι ὡς ὄντες αὐτοὶ ἐκεῖνοι ὁμογενεῖς υἱοὶ τῶν ἰδίων πατέρων· ἢ μὴ ἐξαλλάττειν τῆς τοῦ Πατρὸς θεότητος καὶ δόξης, τὸν ἀληθινὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα αὐτοῦ. Ἴδιον γὰρ Ἰουδαίων μὲν τὸ τὸν Πατέρα μόνον τιμᾷν, Ἑλλήνων δὲ τὸ [45 *b*] πλῆθος δαιμονίων μέγα, καὶ μικρὸν, καὶ χρονικὸν, καὶ ἑτεροούσιον σέβειν.

A tio (15-16). At Macedonii alumni (17) sicut sancti Spiritus, sic etiam Unigeniti gloriam labefactant, cum ipsum aiunt esse Patri homœusium (18), id est, similis cum eo substantiæ, non vero homousium, id est consubstantialem; ut significent (19), eum alterius similis substantiæ **104** exsistere. Itaque reliquum est, ut hæretici aut in superstitiosis ipsorum liturgiis nomen Patris immutent, quippe cum vere juxta illos non sit Pater: quin etiam nomen unigeniti Filii, et Spiritus Dei obliterent necesse est, quippe cum eorum sententia neuter sit talis (parcat vero nobis sancta, et adoranda, et a nobis glorificata consubstantialis Trinitas): sed in primis proprium nomen mutent oportet, ac neque Christiani vocentur, aut spiritales, neque se ipsi parentum suorum congeneres filios esse existiment; aut a deitate, et gloria Patris verum Filium, et sanctum ejus Spiritum non subducant. Nam Judæorum quidem proprium est, solum Patrem honorare; Græcorum vero, multitudinem dæmonum colere, qui magni sint, et parvi, et temporarii, et heterousii, hoc est, alii *alias habentes naturas*.

B

ΚΕΦ. ΛΕ'.

Ὅπως χρὴ νοεῖν τὰς θεολογίας τῶν Γραφῶν.

Συναγωνίσασθαι δὲ ὁ ἀνάξιος ἐγὼ ταῖς περὶ τοῦ μονογενοῦς Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος θεωλογίαις προήχθην, οὐδὲ κατὰ ἔννοιαν παραβλάπτων τὴν περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἄφραστον δόξαν (οὐ γὰρ ἠγνόηται, ὡσεὶ καὶ μὴ πρὸ ἀμφοῖν δεδήλωται τῶν εἰρημένων θείων ὑποστάσεων· ἀλλ' ὅμως ἄμφω αἱ ὑποστάσεις ἐξ αὐτοῦ κατὰ φύσιν συμφυῶς εἰσιν, ἡ μὲν τοῦ Υἱοῦ γεννητικῶς, ἡ δὲ τοῦ Πνεύματος αὐτοῦ ἐκπορευτικῶς)· ἀλλ' αἱρετικῶν τὰς πανολεθρίους ἐξηγήσεις ἀποσκευαζόμενος, καὶ συνιστάμενος, ὅτι δι' ὧν δοκοῦσι παρὰ τὴν Γραφὴν πλέον τιμᾷν τὸν Πατέρα, διὰ τούτων αὐτόν τε λυποῦσι, καὶ τὸν Μονογενῆ αὐτοῦ, καὶ τὸ Πνεῦμα ἐνυβρίζουσιν.

C

CAP. XXXV.

Quomodo intelligere oporteat Scripturarum de Deo testimonia.

Eo autem adductus sum ego indignus, ut in hoc certamine Scripturarum testimoniis, in quibus unigeniti Filii, et Spiritus sancti divinitas declaratur, veluti suppetias ferrem. Id porro non eo præstiti, quod ineffabilem Dei ac Patris gloriam ne cogitatione quidem labefactare vellem; nota enim ea est: et quamvis (20) ante ambas prædictas divinas personas manifestatus sit; tamen utraque hypostasis ex ipso secundum naturam, et cum ipso coexsistit, Filii quidem hypostasis per generationem, Spiritus autem ipsius per processionem. Sed hæc dictavi, ut hæreticorum perniciosissimas explicationes everterem, simulque probarem, illos per ea ipsa Patri displicere, atque Unigenitum ejus, ac Spiritum contumelia afficere, per quæ Patrem ipsum contra Scripturæ mentem magis videntur honorare.

ΚΕΦ. ΛϚ'.

Καὶ τοῦτο περὶ τοῦ αὐτοῦ.

Τοὺς τοίνυν ὀρθοδόξους χρὴ εἰδέναι μὲν, ὡς καὶ περὶ μικροῦ ἔργου τοῦ Θεοῦ (εἰ τολμήσαντα μικρὸν ἔργον ἔστι φάναι Θεοῦ) τοῖς διαλαβεῖν ἐθέλουσι, χρεία λόγων, καὶ ἔργων πρὸ τῶν λόγων, καὶ πίστεως πρὸ

D

105 CAPUT XXXVI.

De eadem re.

Illud porro orthodoxi norint oportet, eos qui vel de parvo aliquo Dei opere (si tamen ullum Dei opus sine audacia parvum vocare licet) disserere velint, eruditione indigere, sed ante eruditionem operi-

(15-16) *Alia est ratio.* Pro ἄλλως λόγος, lego ἄλλος λόγος· quam proverbialem locutionem in Atticis scriptoribus memini me legere.

(17) *Alumni.* In Græco παῖδες, seu *filii*, nempe discipuli. Simili modo alii etiam loquuntur vetusti scriptores. Ita qui philosophiæ operam dant, φιλοσόφων παῖδες vocantur a Clemente in *Protreptico*; qui vero grammatica arte eruditi sunt, in *Pædagogo* dicuntur γραμματικῶν παῖδες. Quin vocem quoque, υἱός, eodem sensu adhibuisse videtur Justinus in *Cohort. ad Græcos*, num. 5, dum Musæum Orphei υἱόν, seu *filium* nuncupat; Musæi enim pater Eumolpus fuit, non Orpheus.

(18) *Homœusium.* Doctissimi monachi S. Mauri ad Athanas. lib. *De synodis*, pag. 746, scribendum esse contendunt, ὁμοιοούσιον, sive *homœousium*. Ego lectionem Passioneiani codicis non immutavi, etsi alteram magis probem.

(19) *Ut significent.* Recte hæc Macedonianis potius, quam Macedonio tribuit Didymus. Nam Macedonii *dogma est*, ut ait Hieronymus in *Chronico*, *Patrem quidem, et Filium unius divinitatis, ejusdemque substantiæ confiteri, sed Spiritum sanctum dicens creaturam.* Macedonianorum autem opinionem Antiochena synodus anno 363 declaravit: *in qua* synodo, ut ait ibidem Hieronymus, *Homousio, Anomœoque rejecto, medium inter hæc Homoiusion Macedonianum dogma vindicaverunt.*

(20) *Et quamvis.* Utrum ea lectio, ὡσεὶ καὶ μή, recta sit, judicet lector. Ego voculam μή expungendam crediderim.

Digitized by Google

bus (21), ante opera vero, atque eruditionem flue, magnaque pietate, et exquisitissima meditatione, ut hac ratione intelligere digni fiant ne illud quidem, quod parvum sit, cogitatione capi posse, sed et hoc humanos in infinitum conatus excedere (si enim Dei opus est, etsi parvum videatur, magnum est, quatenus est Dei : *Parvis autem* (22) *magna laboribus quomodo quis assequatur? stultum est*, ut ille ait, *hæc vel optare*) : multo autem magis ut supra humanas vires esse cognoscant, ipsius ineffabilis Dei illam notionem habere, quæ archangelorum etiam sensum ac mentem superat : hæc autem cognoscentes et a periculosis inquisitionibus abstineant, talia Deo, qui solus ea novit, relinquentes, et cum Apostolo dicant : *Credidi* (23), *propter quod et locutus sum.* Scripturarum autem de Deo testimonia sic ab iis intelligi oportet, ut norint, sacros scriptores modo ex unius persona loqui, ob naturæ et voluntatis unitatem ; modo ex persona ambarum, ut in sancta et immaculata Trinitate propriam consistentiam ostendant. Aliquando enim Isaias ait : *Ego Dominus* (24) *extendi cœlum, et firmavi terram ;* et rursus, *Ego sum* (25), *et non est alius Deus præter me ;* ob deitatis unitatem et concordiam personarum, ut antea dictum est ; aliquando commemorari non videtur Spiritus sanctus, eo quod Dei, cujus ipse Spiritus est, nomen et illum complectatur ; aliquando initiationis ritum tradens Dominus ait, *Baptizantes* (26) *eos, in nomine Patris, et Filii, et Spiritus sancti ;* eo quod personæ æquali honore dignæ sint, et æquali potentia præditæ, et consubstantiales, et distinctæ ; aliquando quod alicubi de Deo et Patre dictum est, alibi de Unigenito, aut de Spiritu sancto commemoratur, **106** ob prædictas causas ; aliquando eadem opera eadem operatione ambas personas facere, diversis modis docent (27), ob rationem, quæ allata est ; aliquando, cum possit unaquæque persona creare et omnia facere, placuit Deo et Patri per Filium quidem ac Deum omnia constitui, per Spiritum autem sanctum sanctificari, eo quod una sit Trinitatis voluntas, utque ostendatur, omnia bona ab ea subministrari, et ut communem nos ei, et æqualem gratiarum actionem reddamus, et glorificationem ; aliquando Scripturæ iisdem utuntur nominibus de beata Trinitate loquentes, cujusmodi sunt, Deus, Dominus, sanctus, justus, bonus, et aliis similibus ; idque, cum de ipsa loquuntur, duntaxat faciunt, eo quod communis sit in hypostasibus natura, et

A ἀμφοῖν τούτων, καὶ πολλῆς εὐλαβείας, καὶ κατανοήσεως ἀκροτάτης· ἵνα διὰ ταῦτα γνῶναι ἀξιωθέντες, ὡς καὶ τὸ μικρὸν οὐχ ἁλώσιμον τῇ διανοίᾳ, ἀλλ' ἀπείρως καὶ αὐτὸ τῶν ἀνθρωπίνων ὑπερφέρει ἐπιβολῶν (εἰ γὰρ τοῦ Θεοῦ ἔργον, κἂν μικρὸν δοκῇ, μέγα ὡς Θεοῦ· *Μικροῖς δὲ τὰ μεγάλα πῶς ἔλοι τις ἂν πόνοισιν ; Ἀμαθὲς*, φασὶν, *καὶ τὸ βούλεσθαι τάδε*), πολλῷ δὲ μᾶλλον ἡ περὶ αὐτοῦ τοῦ ἀῤῥάστου Θεοῦ διάληψις ὑπερβαίνουσα καὶ ἀρχαγγέλων αἴσθησιν· τῶν μὲν σφαλερῶν ζητήσεων ἀναχωρήσωσιν, γινώσκειν [46 *a*] αὐτὰ μόνῳ τῷ Θεῷ ἀφιέντες, σὺν τῷ Ἀποστόλῳ δὲ εἴπωσιν· *Ἐπίστευσα, διὸ καὶ ἐλάλησα*· τὰς δὲ θεολογίας τῶν Γραφῶν νοεῖν οὑτωσί· Ὅτιπερ, ὅταν ἀπὸ ἑνὸς προσώπου λέγουσιν, διὰ τὴν μίαν φύσιν καὶ θέλησιν· ὅταν ἀπὸ ἀμφοῖν, διὰ τὸ B δείκνυσθαι τὸ ἰδιοσύστατον τῆς ἁγίας καὶ ἀκηράτου Τριάδος. Ὅταν γὰρ Ἡσαΐας λέγῃ· *Ἐγὼ Κύριος ἐξέτεινα τὸν οὐρανὸν, καὶ ἐστερέωσα τὴν γῆν*· καὶ πάλιν· *Ἐγὼ εἰμὶ, καὶ οὐκ ἔστιν ἄλλος Θεὸς, πλὴν ἐμοῦ*· διὰ τὴν μίαν θεότητα καὶ συμφωνίαν, ὡς προείρηται. Ὅταν δόξῃ μὴ μνημονεύεσθαι τὸ ἅγιον Πνεῦμα, διὰ τὸ συμπεριέχεσθαι αὐτὸ τῷ Θεῷ, οὗ Πνεῦμα τυγχάνει ὄν· ὅταν τὴν μυσταγωγίαν παραδοὺς ὁ Δεσπότης λέγῃ· *Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος*· διὰ τὸ ἰσότιμον, καὶ ἰσοσθενὲς, καὶ ὁμοούσιον, καὶ τὴν εὐκρινίαν τῶν ὑποστάσεων. Ὅταν τὸ ψῦν περὶ τοῦ Θεοῦ καὶ Πατρὸς λεχθὲν, ἑτέρωθι περὶ τοῦ Μονογενοῦς, ἢ τοῦ ἁγίου Πνεύματος ἀπομέμνηται· διὰ τὰς προλεχθείσας αἰτίας. Ὅταν τὰ αὐτὰ C ἔργα, τὴν αὐτὴν ἐνέργειαν ἀμφοτέρας ποιεῖν τὰς ὑποστάσεις διαφόρως διδάσκωσιν· διὰ τὸ ὡς προείρηται. Ὅταν ἑκάστης ὑποστάσεως δυναμένης δημιουργῆσαι, καὶ πάντα ποιῆσαι, εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ, διὰ μὲν τοῦ Υἱοῦ καὶ Θεοῦ ὑποστῆναι πάντα, διὰ δὲ τοῦ ἁγίου Πνεύματος ἁγιασθῆναι· διὰ τὸ ἓν θέλημα τῆς Τριάδος, καὶ τὸ δείκνυσθαι ἐξ αὐτῆς χορηγεῖσθαι πάντα τὰ καλὰ, καὶ διὰ τὸ ἡμᾶς κοινὴν αὐτῇ καὶ ἴσην ἀναπέμπειν εὐχαριστίαν καὶ δοξολογίαν. Ὅταν τοῖς αὐτοῖς ὀνόμασι κέχρηνται ἐπὶ τῆς μακαρίας Τριάδος· οἷον Θεὸς, Κύριος, ἅγιος, δίκαιος, ἀγαθὸς, καὶ ὅσα τοιαῦτα· πλὴν ὅτι ὁ Πατὴρ, μόνος καὶ ἀεὶ Πατήρ· καὶ ὁ ἀληθινὸς Υἱὸς καὶ Θεὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ἀνάρχως ἓν [46 *b*] καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ· διὰ τὴν τῆς φύσεως, καὶ βασιλείας, καὶ D πάντων κοινωνίαν· τοῦτο δὲ ἐπὶ αὐτῆς μόνης. Ὅταν ἐν ἀπορῥήτῳ διαλέγωνται, διὸ τὸ ἀεὶ τὸ μυστήριον τῆς πίστεως φυλάττεσθαι, μόνοις ἀποκαλυπτόμενον πιστοῖς. Ὅταν λέγωσιν, τὸν μὲν Θεὸν Πατέρα γεννή-

(21) *Operibus.* Similia inculcat lib. *De Spiritu sancto*, n. 1 et 63.

(22) *Parvis autem.* Librarius quasi ea non intelligeret, quæ hic scribebat, accentus, et spiritus omisit. Sunt autem duo iambi, quos Cyrillus quoque lib. IX *in Julianum* sic affert : *Optime autem mihi dixisse videtur quidam e poetis Græcorum :*

Σμικροῖς δὲ τὰ μεγάλα πῶς ἔλοι τις ἂν
Πόνοισιν ; Ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.

Id est,

Qui magna parvis compares laboribus?
Stultum est vel ista velle.

(23) *Credidi.* II Cor. IV, 13, ex psalmo CXV. Utrobique Græca editio voculam, καί, omittit.

(24) *Ego Dominus.* Isa. XLIV, 24. In Bibliis additur vox μόνος, id est *solus*, casu fortasse hic omissa.

(25) *Ego sum.* Isa. XLVI, 9.

(26) *Baptizantes.* Matth. XXVIII, 19.

(27) *Diversis modis.* Sic verti, ne lectionem codicis temere immutare viderer. Cæterum puto legendum ἀδιαφόρως, id est *indifferenter*, aut *sine discrimine* (*facere*).

Digitized by Google

σαντα, τὸν δὲ Υἱὸν Λόγον γεννηθέντα, τὸ δὲ ἅγιον Πνεῦμα ἐκπορευόμενον· διὰ τὸ θεϊκῶς νοεῖν ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς ἀνάρχως καὶ ἀπαθῶς, καὶ μὴ παραπλησίως τῶν κτισμάτων προεληλυθέναι τε καὶ ἡνῶσθαι. Ὅταν λέγῃ· *Ὁ πέμψας με Πατὴρ, μείζων μου ἐστίν*, καὶ ὅσα νενόμισται πρὸς θεότητα εἶναι μικρά· διὰ τὴν δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἄρρητον καὶ ἑκούσιον αὐτοῦ οἰκονομίαν. Ἐπὶ γὰρ τῆς θεότητος οὔτε τὸ μικρὸν, οὔτε τὸ μὴ εἶναι πανταχοῦ χώραν ἔχει. Ὅταν λέγῃ ὁ Υἱὸς, ὅτι *Ὁ Πατήρ μου ἐντολήν μοι δέδωκεν, τί εἴπω, καὶ τί λαλήσω, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα*· περὶ δὲ τοῦ ἁγίου Πνεύματος, *Ἀφ' ἑαυτοῦ οὐ λαλήσει*, καὶ ὅσα τοιαῦτα· διὰ τὴν συμφωνίαν τῶν θείων ὑποστάσεων, καὶ διὰ τὸ κοινὰ εἶναι τῆς μακαρίας Τριάδος τὰ δι- δάγματα καὶ χαρίσματα, καὶ οὐ διαφωνοῦντα ὡς τὰ τῶν ἀνθρώπων.

A dominatus, et omnino omnia : hoc solum excepto quod prima tantum est Pater, et semper Pater, altera tantum est verus Filius ac Deus, tertia tantum est Spiritus sanctus ab æterno, et unus atque idem Spiritus Dei; aliquando secreto loquuntur, ut fidei mysterium, quod solis fidelibus revelatum est, semper custodiatur; aliquando dicunt Deum quidem Patrem genitorem, Deum vero Verbum genitum, sanctum autem Spiritum procedentem, ut intelligamus, divino modo ex persona Patris ab æterno, et sine passione, non vero ut in creaturis contingit, duas hypostases sic processisse, ut unum essent cum Patre. Aliquando ait, *Qui misit* (28) *me Pater, major me est*, et alia, quæ deitatis respectu humilia esse videntur, ob eam, quæ propter nos, B et pro nobis facta est, ineffabilem, et voluntariam ejus incarnationem : nam in deitate neque quod humile et parvum sit, neque quod ubique non sit, locum habet; aliquando inquit Filius : *Pater* (29) *meus præceptum mihi dedit, quid dicam, et quid loquar, et a memetipso non sum locutus;* de Spiritu autem sancto, *A semetipso* (30) *non loquetur*, et alia his similia; ob divinarum personarum concordiam, et eo quod communia sint beatæ Trinitatis documenta, et dona, non vero discrepantia, ut in hominibus.

(28) *Qui misit.* Joan. XIV, 28, ubi non leguntur voces, πέμψας με, ex aliquo alio Evangeliorum loco fortasse huc translatæ. *Magnus enim* (inquit Hieronymus in præfatione *in evangelistas*) *hic in nostris codicibus error inolevit, dum quod in eadem re alius evangelista plus dixit, in alio, quia minus putaverint, addiderunt.*

(29) *Pater.* Joan. XII, 49. Sensum citat, non verba.

(30) *A semetipso.* Joan. XVI, 13.

ΒΙΒΛΙΟΝ Β'.

[47 *a*] *ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.*

ΚΕΦ. Α'. *Περὶ τοῦ τὴν ἁγίαν Τριάδα ἀκατάληπτον τῇ τε ἀοράτῳ καὶ ὁρατῇ κτίσει καθεστάναι· καὶ τοῖς πᾶσιν παρεῖναι· καὶ πᾶσαν δημιουργίαν εἶναι αὐτῆς κοινήν.*

ΚΕΦ. Β'. *Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς Πνεῦμα, ὡς ἡμῶν τὸ ἡμέτερον· καὶ παρ' αὐτοῦ ὁμουσίως ἐκπεπορεῦσθαι. Καὶ κατὰ αἱρετικῆς διδασκαλίας.*

ΚΕΦ. Γ'. *Περὶ τοῦ διάφορα ὀνόματα εἶναι τῷ Πνεύματι τοῦ Θεοῦ, σημαίνοντα τὴν θεϊκὴν αὐτοῦ φύσιν καὶ δύναμιν. Καὶ κατὰ αἱρετικοῦ φρονήματος.*

ΚΕΦ. Δ'. *Περὶ τῶν λεγόντων αἱρετικῶν·* Πνεῦμα ὁ Θεὸς, καὶ πῶς τοῦ Πνεύματος Πνεῦμα τὸ ἅγιον Πνεῦμά ἐστιν; *Καὶ πάλιν·* Οἱ ἄγγελοι οὖν, *φασὶν*, οὐκ εἰσὶν ἀπὸ τοῦ Θεοῦ, καὶ ἅγιοι, καὶ πνεύματα τοῦ Θεοῦ;

ΚΕΦ. Ε'. *Περὶ τῶν λεγόντων, ὅτι* Μονογενοῦς ὄντος, *φησὶν*, τοῦ Θεοῦ Λόγου, τί τὸ Πνεῦμα καλέσομεν; *Καὶ περὶ τοῦ μαρτυρεῖσθαι, τὸν Υἱὸν μονογενῆ· τὸ ἅγιον Πνεῦμα, ἓν καὶ μόνον· καὶ πάλιν τὸν Υἱὸν, Λόγον· τὸ ἅγιον Πνεῦμα, Ῥῆμα. Καὶ περὶ συγκρίσεως. Καὶ περὶ τοῦ μὴ εἶναι παράδειγμα τῆς ἀσυγκρίτου οὐσίας.*

ΚΕΦ. Ϛ'. *Περὶ τοῦ πάντα, ὅσα ἴδια θεότητος, μαρτυρεῖσθαι περὶ τοῦ Πνεύματος οὕτως·*

α'. *Ὅτι οὐ κατὰ αἱρετικοὺς πρῶτον κτίσμα ἐστὶν, ἀλλὰ Θεός· τὸ γὰρ πρῶτον κτίσμα ὁ Σατανᾶς τυγχάνει.*

β'. *Ὅτι πληροῖ τὴν οἰκουμένην, καὶ συνέχει τὰ πάντα.*

γ'. *Ὅτι ἄφθαρτον.*

δ'. *Ὅτι αἰώνιον.*

107 LIBER SECUNDUS.

C *IN QUO DE SPIRITU SANCTO SERMO EST.*

Cap. I. *Sanctam Trinitatem cum invisibili, tum visibili creaturæ incomprehensibilem esse; et rebus omnibus præsentem; ac omnem creationem trium communiter personarum exsistere.*

Cap. II. *Spiritum sanctum esse Dei et Patris Spiritum, sicut nostrum est noster; et ab ipso consubstantialiter processisse. Et contra hæreticam doctrinam.*

Cap. III. *Diversa esse nomina Spiritus Dei, quæ divinam ejus naturam, et potentiam significant. Et contra hæreticam opinionem*

Cap. IV. *De hæreticis qui aiunt :* Deus est Spiritus; quomodo autem Spiritus sanctus esse potest Spiritus Spiritus? *Itemque :* Ergone angeli, *inquiunt*, non sunt a Deo, et sancti, et spiritus Dei?

Cap. V. *De his qui inquiunt :* Si Unigenitus est D Deus Verbum, quomodo vocabimus Spiritum? *Et de locis, in quibus Filius dicitur unigenitus, et Spiritus sanctus unus et solus; itemque Filius* Logos *seu* Sermo, *et Spiritus sanctus* Rhema *seu* Verbum. *Et de comparatione. Et quod exemplum afferri nequit asyncritæ* (*i. e.* incomparabilis) *substantiæ.*

Cap. VI. *Omnia quæ propria sunt deitatis, dici in Scriptura de Spiritu. In hunc modum :*

1. *Quia non est, ut volunt hæretici, prima creatura, sed Deus; nam prima creatura est Satanas.*

2. *Quia implet orbem terræ, et continet omnia.*

3. *Quia est incorruptibilis.*

4. *Quia est æternus.*

Digitized by Google

5. *Quia nec virtutis, nec nequitiæ capax est utpote* A *mutationi non obnoxius.*
6. *Quia est natura sanctus, et sanctificans, et justificans.*
7. *Quia substantialiter participari potest; Dei autem duntaxat hoc proprium est.*
8. *Quia est bonus, ac per se efficiens in* **108** *creatura bonitates cum veritatis, tum sapientiæ, tum charitatis; et in ipso simul intelligitur omnis largitio bona, et omne donum perfectum.*
9. *Quia hominum amator est.*
10. *Quia est natura liber, non servus; et ut Deus, et Dominus liberat, et facit filios Dei.*

11. *Quia præcipit, non vero ministrat.*
12. *Quia robur, ac vim confert.*
13. *Quia fallere nequit; quod proprium est solius Dei.*
14. *Quia ipse est veritas, eo quod non discrepet ab* B *una Deitate.*
15. *Quia nemo scit quæ sunt Dei, nisi Spiritus sanctus. Et quia ob ejus æqualitatem cum Patre, Deus vicissim scit quæ sunt Spiritus sancti.*
16. *Quia nemo videt Deum et Patrem, nisi solus Filius, et Spiritus sanctus. Et adversus eos qui dicunt: Nonne scriptum est,* Angeli vident faciem Patris?

17. *Quia Spiritus sanctus creaturam adoptione dignatur, ipse autem ex persona Dei procedit.*
18. *Quia in hymno Deum laudare non jubetur, ut aliæ creaturæ; est enim ipse ex iis, qui in hymno celebrantur.*
19. *Quia simul cum Patre, et Filio nominatur. Et de hæreticorum objectione.*
20. *Quia sicut communem habet essentiam, sic etiam communia habet nomina cum Deo Patre,* C *et Unigenito ejus Filio.*
21. *Quia unus est, non plures, ut sunt creaturæ.*

22. *Quia ob ejus consubstantialitatem et æternitatem scriptum est, eum aquam vitæ esse ex paterno fonte procedentem.*
23. *Quia Spiritu sancto unctus est Salvator; si autem esset creatura sanctus Spiritus, non esset unctus proprio Spiritu ille qui est increatus. Et quia nos quoque unctionem ejus habemus.*

Cap. VII. *De divinis operationibus, et largitionibus sancti Spiritus. In hunc modum:*

1. *Quia vivificat.*
2. *Quia ob identitatem deitatis, et æqualem trium personarum operationem, Christum voluntarie propter nos carne passum modo dicitur in Scriptura suscitasse* **109** *Pater, modo ipse semetipsum, modo Spiritus sanctus. Et contra hæreticam expositionem.* D
3. *Quia creat, et a mortuis resuscitat. Item, quia sanctificatio est creatio, et magis necessaria est, quam creatio. Et contra hæreticam interpretationem.*
4. *Quia sanctificat, et justificat.*
5. *Quia salutem largitur.*
6. *Quia a morte liberat, et peccata dimittit.*

7. *Quia operatur simul cum Patre et Filio. Et quia Christus in virtute Spiritus signa, et prodigia fecit, et dæmones ejecit, eo quod inseparabilis sit deitas.*
8. *Quia sicut Deus ac Pater, sic etiam Spiritus sanctus divinitus revelat: quod significat eum esse Deum et Dominum.*
9. *Quia cum Christo judicaturus est omnia.*
10. *Quia Paulus in virtute Spiritus Elymam Magum excæcavit.*

ε'. Ὅτι ὡς ἄτρεπτον, ἀρετῆς τε, [47 *b*] κακίας τε ἀνεπίδεκτόν ἐστιν.
ς'. Ὅτι φύσει ἅγιον, καὶ ἁγιάζον, καὶ δικαιοῦν.

ζ'. Ὅτι μεθεκτὸν οὐσιωδῶς ἐστι· Θεοῦ δὲ μόνου ἴδιον τοῦτο.
η'. Ὅτι ἀγαθὸν, αὐτοίκτον τὰς ἐν τῇ κτίσει ἀγαθότητας, καὶ ἀληθείας, καὶ σοφίας, καὶ ἀγάπης· καὶ ἐν αὐτῷ συνεπινοεῖται πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον.

θ'. Ὅτι φιλάνθρωπον.
ι'. Ὅτι φύσει ἐλεύθερον, καὶ οὐ δοῦλον· καὶ ὡς Θεὸς καὶ Κύριος ἐλευθεροῖ, καὶ υἱοὺς Θεοῦ ποιεῖ.
ια'. Ὅτι ἐπιτάσσει, οὐχ ὑπουργεῖ.
ιβ'. Ὅτι ἐνδυναμοῖ.
ιγ'. Ὅτι ἀψευδές· ὅπερ ἴδιον μόνου Θεοῦ.

ιδ'. Ὅτι ἀλήθεια, διὰ τὸ μὴ διαφωνεῖν αὐτὸ πρὸς τὴν μίαν θεότητα.
ιε'. Ὅτι οὐδεὶς οἶδεν τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ ἅγιον Πνεῦμα. Καὶ ὅτι διὰ τὴν πρὸς τὸν Πατέρα ἰσότητα, τὸ ἀνάπαλιν ὁ Θεὸς οἶδεν τὰ τοῦ ἁγίου Πνεύματος.
ις'. Ὅτι οὐδεὶς ὁρᾷ τὸν Θεὸν καὶ Πατέρα, εἰ μὴ μόνος ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ πρὸς τοὺς λέγοντας· Οὐ γέγραπται οὕτω, φησὶν, ὅτι Οἱ ἄγγελοι βλέπουσιν τὸ πρόσωπον τοῦ Πατρός;
ιζ'. Ὅτι τὸ ἅγιον Πνεῦμα, τὴν κτίσιν υἱοθεσίας ἀξιοῖ· αὐτὸ δὲ ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ ἐκπορεύεται.
ιη'. Ὅτι οὐχ ὑμνεῖ, ὡς ἡ ἄλλη κτίσις· ἐπειδὴ αὐτὸ τῶν ὑμνουμένων ἐστί.

ιθ'. Ὅτι μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ συνορομάζεται. Καὶ περὶ αἱρετικῆς ἀντιθέσεως.
κ'. Ὅτι κοινωνεῖ, ὡς τῇ οὐσίᾳ, οὕτω καὶ τοῖς ὀνόμασιν, τῷ Θεῷ Πατρὶ καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ.
κα'. Ὅτι ἓν ἐστιν, καὶ οὐ πολλὰ, ὡς τὰ κτίσματα.
κβ'. Ὅτι διὰ τὸ ὁμοούσιον, καὶ [48 *a*] ἀρχὴν γέγραπται εἶναι ὕδωρ ζωῆς, ἐκ τῆς πατρικῆς πηγῆς ἐκπορευθέν.
κγ'. Ὅτι τῷ ἁγίῳ Πνεύματι ἐχρίσθη ὁ Σωτήρ· οὐκ ἂν δὲ εἰ κτίσμα ἦν, τῷ ἰδίῳ ἐχρίσατο ποιήματι ὁ ἄκτιστος. Καὶ ὅτι καὶ ἡμεῖς χρίσμα ἔχομεν αὐτοῦ.

ΚΕΦ. Ζ'. Περὶ τῶν θείων ἐνεργειῶν καὶ παροχῶν τοῦ ἁγίου Πνεύματος οὕτως·
α'. Ὅτι ζωοποιεῖ.
β'. Ὅτι διὰ τὴν ταυτότητα τῆς θεότητος, καὶ τὴν ἴσην ἐνέργειαν γέγραπται, ὡς ἤγειρεν τὸν ἐκουσίως δι' ἡμᾶς παθόντα σαρκὶ Χριστόν ποτε ὁ Πατὴρ, ποτὲ αὐτὸς ἑαυτὸν, ποτὲ τὸ ἅγιον Πνεῦμα. Καὶ κατὰ αἱρετικῆς ἐκθέσεως.
γ'. Ὅτι δημιουργεῖ, καὶ ἐκ νεκρῶν ἐγείρει. Ἐν ταυτῷ, ὅτι τὸ ἁγιάσαι, δημιουργῆσαί ἐστιν. καὶ ἀναγκαιότερον τοῦ δημιουργῆσαι. Καὶ κατὰ αἱρετικῆς ἐκθέσεως.
δ'. Ὅτι ἁγιάζει, καὶ δικαιοῖ.
ε'. Ὅτι σωτηρίαν χορηγεῖ.
ς'. Ὅτι θανάτου ἐλευθεροῖ, καὶ ἁμαρτίας συγχωρεῖ.
ζ'. Ὅτι συνεργεῖ τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ ὅτι Χριστὸς ἐν τῇ δυνάμει τοῦ Πνεύματος, σημεῖα καὶ τέρατα ἐποίησεν, καὶ δαιμόνια ἐξέβαλεν, διὰ τὸ ἀχώριστον τῆς θεότητος.
η'. Ὅτι, ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα χρηματίζει, σημαινόμενον Θεὸς καὶ Δεσπότης.
θ'. Ὅτι σὺν τῷ Χριστῷ κρίνειν μέλλει τὰ πάντα.
ι'. Ὅτι ὁ Παῦλος ἐν τῇ δυνάμει τοῦ Πνεύματος Ἐλύμαν τὸν μάγον ἐξετύφλωσεν.

Digitized by Google

ια'. Ὅτι τῇ δυνάμει τοῦ παναγίου Πνεύματος ἀνεῳχθέντες οἱ οὐρανοὶ ὤφθησαν τῷ ὁσίῳ Στεφάνῳ.

ιβ'. [48 b] Ὅτι προγνώστης.

ΚΕΦ. Η'. Περὶ τῆς αὐτεξουσιότητος τοῦ ἁγίου Πνεύματος οὕτως·

α'. Ὅτι αὐθεντικῶς δωρεῖται τὰ χαρίσματα, ὡς βούλεται· καὶ πνεῖ ὅπου προῄρηται. Καὶ κατὰ Μακεδονιανοῦ φρονήματος.

β'. Ὅτι ἔθετο τοὺς προφήτας καὶ ἀποστόλους· καὶ αὐθεντικῶς ἀπέστειλεν· καὶ ἐποίησεν ὡς ἠβουλήθη φθέγξασθαι αὐτούς.

γ'. Ὅτι νομοθετεῖ καὶ προστάττει ἀποφαντικῶς, ἅτε Θεός. Καὶ πρὸς τοὺς λέγοντας, ὡς καὶ περὶ ἀγγέλου ἐγράφη· Τάδε λέγει ὁ ἄγγελος.

δ'. Ὅτι μετὰ τοῦ Πατρὸς ἀποστέλλει καὶ ὁδηγεῖ αὐτεξουσίως. Καὶ πρὸς τοὺς λέγοντας· Ὁ Θεὸς πρὸς ἑαυτὸν ὁδηγεῖ, τὸ δὲ Πνεῦμα πρὸς τὴν ἀλήθειαν.

ΚΕΦ. Θ'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα εἶναι ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· σημαίνεσθαι δὲ καὶ παντοκράτορα. Ἐν ταυτῷ περὶ τῆς ἀδιαβεύτου παρθενικῆς πύλης.

ΚΕΦ. Ι'. Περὶ τοῦ μαρτυρεῖσθαι, ὅτι τὸ ἅγιον Πνεῦμα Θεὸς, καὶ Κύριος, καὶ δοξαζόμενος. Καὶ ἀντίθεσις τῆς Μακεδονιανῆς διδασκαλίας.

ΚΕΦ. ΙΑ'. Περὶ τοῦ αὐτοῦ. Καὶ ὅτι ἐπὶ τοῦ χερουβικοῦ καθέζεται θρόνου· καὶ δύναμιν ἐξαποστέλλει. Καὶ ὅτι ὁ Παῦλος αὐτὸ οἶδεν εἶναι τὸν ὀφθέντα τῷ Ἡσαΐᾳ Κύριον Σαβαώθ. Καὶ κατὰ τοῦ Μακεδονιανοῦ φρονήματος. Καὶ ὅτι ἐν ἡμῖν οἰκεῖ. Καὶ ὅτι ῥαδιουργοῦσιν αἱρετικοὶ τὰς θείας Γραφάς.

ΚΕΦ. ΙΒ'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα ἀνακαινίζειν ἡμᾶς τῷ βαπτίσματι· καὶ ὡς Δεσπότην ἐλευθεροῦν· καὶ ποιεῖν μετόχους θείας δόξης, καὶ υἱοὺς, καὶ κληρονόμους τοῦ Πατρὸς, συγκληρονόμους δὲ τοῦ Υἱοῦ καὶ ἀδελφοὺς, συνδοξασθησομένους καὶ συμβασιλεύσοντας [49 a] αὐτῷ. Καὶ περὶ τοῦ ἀόρητον εἶναι τὸ βάπτισμα τοῖς μὴ πιστεύουσιν, ὅτι Θεός ἐστι τὸ ἅγιον Πνεῦμα. Ἐν ταυτῷ, ὅτι ἄλλη ἡλίου δόξα, καὶ ἄλλη σελήνης καὶ ἀστέρων.

ΚΕΦ. ΙΓ'. Περὶ τῶν πρὸς εὐτέλειαν τοῦ Πνεύματος προφερόντων τὸ, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος.

ΚΕΦ. ΙΔ'. Καὶ περὶ τοῦ ἀπὸ καταβολῆς κόσμου τὰ τε ὕδατα ὑπὸ τοῦ ἁγίου Πνεύματος ἡγιάσθαι, καὶ προφκονομῆσθαι ἡμῖν τὴν ἀπὸ τοῦ βαπτίσματος σωτηρίαν. Καὶ περὶ τοῦ Ἰσραηλίτας σωτηρίας τετυχηκέναι ἀπὸ τῆς οὔσης ποτὲ εἰκόνος τοῦ βαπτίσματος· πολλῷ δὲ πλέον τοὺς νῦν βαπτιζομένους καὶ μακαριζομένους.

ΚΕΦ. ΙΕ'. Περὶ τοῦ τὴν Γραφὴν ἐν πολλοῖς, καὶ μάλιστα ἐπὶ τοῦ βαπτίσματος, μόνου τοῦ ἁγίου Πνεύματος, καὶ τῆς σφραγῖδος αὐτοῦ, ἧς ἔχομεν, μνημονεύειν.

ΚΕΦ. ΙΓ'. Περὶ τοῦ ἐπιτετελεκέναι ἀεὶ τυπικῶς Ἰσραηλίτας, εἰς μὲν τιμὴν καὶ δόξαν τοῦ ἁγίου Πάσχα τοῦ Χριστοῦ, τὴν ἡμέραν τῶν Ἀζύμων· εἰς δὲ τιμὴν καὶ δόξαν τῆς σεπτῆς ἐπιδημίας τοῦ ἁγίου Πνεύματος, τὴν παρ' ἐκείνοις ἡμέραν τῆς Πεντηκοστῆς· προηγορεῦσθαι δὲ διὰ τῆς ἑορτῆς τῶν Σκηνοπηγίων τὰς συνάξεις τῶν Ἐκκλησιῶν καὶ μαρτυρίων.

ΚΕΦ. ΙΖ'. Περὶ τοῦ τὸ ἅγιον Πνεῦμα συμπαρεῖναι καὶ συνεργεῖν ἀεὶ τῷ Θεῷ Πατρὶ, καὶ ἐνδυναμοῦν ἡμᾶς. Καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν διδασκαλίαν, ὁμότιμον καὶ σύμφωνον εἶναι τῆς τοῦ Υἱοῦ· καὶ εὔχεσθαι τὸν πνευματοφόρον Δαυὶδ στηριχθῆναι ὑπ' αὐτοῦ.

ΚΕΦ. ΙΗ'. Περὶ τοῦ τοὺς δώδεκα [49b] ἀποστόλους. τῇ δυνάμει τοῦ Πνεύματος καθοπλισθέντας, μόνους ἀντιστῆναι τῇ οἰκουμένῃ καὶ τῷ διαβόλῳ, λαλοῦντας καὶ νοοῦντας πᾶσαν γλῶσσαν. Καὶ περὶ τοῦ εἰπόντος εὐνούχου· Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;

11. *Quia virtute sanctissimi Spiritus apertos cœlos vidit sanctus Stephanus.*

12. *Quia Spiritus sanctus præcognoscit.*

Cap. VIII. *De potestate, quam habet propriam Spiritus sanctus. In hunc modum :*

1. *Quia propria auctoritate largitur dona, ut vult; et ubi vult, spirat. Et contra Macedonianam opinionem.*

2. *Quia posuit prophetas et apostolos, et propria auctoritate eos misit, et fecit illos loqui ut voluit.*

3. *Quia leges fert, et præcipit definitive, utpote Deus. Et contra eos, qui dicunt, etiam de angelo scriptum esse :* Hæc dicit angelus.

4. *Quia una cum Patre mittit, et in via deducit, propria potestate. Et contra eos, qui dicunt :* Deus ad semetipsum ducit, Spiritus autem ad veritatem.

Cap. IX. *Spiritum sanctum esse consubstantialem Patri, et Filio : in Scripturis vero significari, eum esse omnipotentem. Ibidem de virginea impervia porta.*

Cap. X. *Testari Scripturas, quod Spiritus sanctus est Deus, et Dominus,* **110** *et glorificatus. Et oppositio Macedonianæ doctrinæ.*

Cap. XI. *De eadem re. Et quod in cherubico throno sedet, et virtutem emittit. Et quod Paulus illum novit esse eum, quem vidit Isaias, Dominum Sabaoth. Et contra Macedonianam opinionem. Et quod in nobis habitat. Et quod hæretici divinas Scripturas dolose depravant.*

Cap. XII. *Spiritum sanctum baptismo nos renovare, et tanquam Dominum liberare, et facere nos participes divinæ gloriæ, et filios, et hæredes Patris, cohæredes autem Filii, et fratres, simul cum ipso glorificandos, et simul regnaturos. Et baptismum esse inutilem iis, qui Spiritum sanctum Deum esse non credunt. Ibidem, aliam esse solis gloriam, aliam lunæ, et stellarum.*

Cap. XIII. *De iis qui ut Spiritum deprimant, proferunt illud :* Nisi quis generatus fuerit ex aqua, et Spiritu.

Cap. XIV. *A mundi constitutione et aquas a Spiritu sancto sanctificatas esse, et præstitutam nobis eam, quæ est ex baptismate, salutem. Et Israelitas salutem consecutos fuisse ex ea, quæ olim erat, baptismi imagine ; multo autem magis illos, qui baptizantur nunc, beatique prædicantur.*

Cap. XV. *Scripturam in multis, et maxime in baptismo, solius Spiritus sancti, et obsignationis ejusdem Spiritus, quam habemus, meminisse.*

Cap. XVI. *Semper Israelitas typice celebrasse in honorem quidem et gloriam sancti Paschatis Christi, diem Azymorum ; in honorem autem et gloriam adorandi adventus Spiritus sancti, diem, quæ apud ipsos est* Pentecoste, *id est, quinquagesima. Prænuntiatas vero esse per festum Scenopegiorum, synaxes (sive collectas) Ecclesiarum et martyriorum.*

Cap. XVII. *Spiritum sanctum semper una cum Deo Patre et adesse, et operari, et nos corroborare. Et ejus manifestationem, ac doctrinam æquali honore dignam esse, ac manifestationem, doctrinamque Filii, et illam huic consonam* **111** *exsistere. Et Davidem, qui Spiritum in se ipso ferebat, orare, ut ab ipso Spiritu confirmetur.*

Cap. XVIII. *Duodecim apostolos virtute Spiritus armatos, solos resistere orbi terræ, et diabolo, loquendo, et intelligendo omnes linguas. Et de eunucho, qui dixit :* Ecce aqua : quid prohibet me baptizari ?

Digitized by Google

Cap. XIX. *De his, qui aiunt :* Quare Spiritus sanctus clare non vocatur Deus, sicut vocatur Deus Filius? *Et quod sanctæ Trinitatis commune est nomen* Deus, *et* Dominus, *sicut est una deitas, et una dominatio.*

Cap. XX. *Spiritum sanctum non habet terrenus homo, sed fidelis, et baptismum consecutus. Et talis homo potest, pro mensura naturæ nostræ, gloriam quoque sancti Spiritus oculo animæ videre.*

Cap. XXI. *De iis, qui dicunt,* in sancto Spiritu *glorificari Deum, non tamen* Spiritum sanctum. *Et de illo loco :* Nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto. *Et quod regenerare per baptismum majus est et honorificentius, quam glorificari, aut adorari.*

Cap. XXII. *Ob perfectionem fidei in Spiritum sanctum et Filium, Ecclesiam Synagoga majorem esse.*

Cap. XXIII. *Et de doxologia, seu glorificatione.*

Cap. XXIV. *De hæreticis, qui nobis adversantur, et perperam interpretantur Scripturas. Ibidem, Patres non hallucinari.*

Cap. XXV. *Epilogus, sive repetitio.*

Cap. XXVI. *De definita a Deo comminatione contra eos, qui Filium ejus, et Spiritum sanctum non agnoscunt.*

Cap. XXVII. *Græcorum quoque sapientes, ac proceres in ipsorum scriptis Spiritus sancti cum Deo consubstantialitatem, illiusque ex hoc processionem agnoscere.*

ΚΕΦ. ΙΘ'. *Περὶ τῶν λεγόντων·* Διὰ τί, ὡς ὁ Υἱὸς τρανῶς Θεὸς προσηγόρευται, μὴ καὶ τὸ ἅγιον Πνεῦμα; *Καὶ περὶ τοῦ κοινὸν ὄνομα εἶναι τῇ ἁγίᾳ Τριάδι τὸ Θεὸς καὶ τὸ Κύριος, ὡς ἡ θεότης καὶ κυριότης μία.*

ΚΕΦ. Κ'. *Περὶ τοῦ τὸν χοϊκὸν ἄνθρωπον μὴ ἔχειν τὸ ἅγιον Πνεῦμα, ἀλλὰ τὸν πιστὸν, καὶ βαπτίσματος καταξιωθέντα· αὐτόν τε δύνασθαι, πρὸς τὸ μέτρον τῆς φύσεως ἡμῶν καὶ τὴν δόξαν τοῦ ἁγίου Πνεύματος, τῷ τῆς ψυχῆς ὄμματι καθορᾶν.*

ΚΕΦ. ΚΑ'. *Περὶ τῶν λεγόντων, ὅτι* Ἐν τῷ ἁγίῳ Πνεύματι δοξάζεται ὁ Θεὸς, οὐ μὴν τὸ ἅγιον Πνεῦμα. *Καὶ περὶ τοῦ·* Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. *Καὶ περὶ τοῦ τὸ ἀναγεννᾶν τῷ βαπτίσματι τοῦ δοξάζεσθαι ἢ προσκυνεῖσθαι μεῖζον καὶ τιμιώτερον καθεστάναι.*

ΚΕΦ. ΚΒ'. *Περὶ τοῦ, διὰ τὸ τέλειον τῆς περὶ τὸ ἅγιον Πνεῦμα καὶ τὸν Υἱὸν πίστεως, μείζονα εἶναι τὴν Ἐκκλησίαν τῆς συναγωγῆς.*

ΚΕΦ. ΚΓ'. *Καὶ περὶ δοξολογίας.*

ΚΕΦ. ΚΔ'. *Περὶ τῶν ἀντιδιατεταγμένων καὶ παρερμηνευόντων τὰς Γραφὰς αἱρετικῶν. Ἐν ταυτῷ, περὶ τοῦ μὴ παραβλέπειν Πατέρας.*

ΚΕΦ. ΚΕ'. *Ἐπανάληψις, ἤγουν ἐπαναδίπλωσις.*

ΚΕΦ. ΚϚ'. *Περὶ τῆς ὁρισθείσης ὑπὸ τοῦ Θεοῦ ἀπειλῆς κατὰ τῶν ἀθετούντων τὸν Υἱὸν αὐτοῦ καὶ τὸ ἅγιον Πνεῦμα.*

ΚΕΦ. ΚΖ'. *Περὶ τοῦ καὶ Ἕλλήνων τοὺς λογάδας τὸ πρὸς τὸν Θεὸν ὁμοούσιον τοῦ ἁγίου Πνεύματος γεγραφέναι, καὶ τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι.*

112 LIBER SECUNDUS.

CAP. I.

Sanctam Trinitatem esse incomprehensibilem.

Qui templum se esse student aliquatenus dignum Spiritus sancti in fidelibus habitantis, utpote qui illucescentem ipsis inaccessibilem lucem semel habuerunt, æqualiter glorificant, eodemque honore prosequuntur, sicut Dominus in mystica baptismi institutione præcepit, cum ingenitum Deum ac Patrem, tum ipsi ex ipso coexsistentem dilectum, et unigenitum Filium Verbum, tum commemoratum Spiritum sanctum, qui solus ex ejus hypostasi ab æterno, et continue processit : consubstantialitati quidem Trinitatis fidem non denegantes, modum vero ac discrimen generationis et processionis non investigantes : id enim vel cœlestibus Deo inservientibus potestatibus ignotum est, ineffabile, et ad cogitandum formidabile; nec modum inquirentes, quo in semetipsa ab æterno substiterit sancta, et uno semper eodemque modo se habens Trinitas, quæ ex æterno, ubi considet, solio abyssos inspicere potest, et tacens audiri, et tacentes audire, et quæ futura sunt, antequam fiant, scire, et verbo duntaxat, imo verbo citius, et sola voluntate omnia producere, et priusquam in corde tuo consideres quid petas, dummodo fideliter, et juste petas, statim postulata concedere, et omnibus tempus ad beneficia eis conferenda disponere, et ad iram quidem tarda esse, ad benefaciendum vero prompta, et irasci quidem ob nostra de-

50 *a*] ΚΕΦ. Α'.

Περὶ τοῦ τὴν ἁγίαν Τριάδα ἀκατάληπτον εἶναι.

Οἱ σπουδάζοντες εἶναι ναὸς κἂν ποσῶς ἄξιος τοῦ οἰκοῦντος ἐν τοῖς πιστοῖς ἁγίου Πνεύματος, ὡς ἅπαξ ἔχοντες ἐλλάμπον αὐτοῖς τὸ ἀπρόσιτον φῶς, δοξάζουσιν, ὡς ὁ Δεσπότης, ἐν τῇ μυσταγωγίᾳ τοῦ βαπτίσματος, ἐθέσπισεν ἰσοτίμως τόν τε αὐτογενῆ Θεὸν καὶ Πατέρα, καὶ τὸν ἐξ αὐτοῦ συνυπάρχοντα αὐτῷ ἀγαπητὸν καὶ μονογενῆ Υἱὸν Λόγον, καὶ τὸ μνημονευθὲν ἅγιον Πνεῦμα, τὸ μόνον ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἀνάρχως καὶ ἀδιαστάτως ἐκπορευθέν· τῷ μὲν ὁμοουσίῳ τῆς Τριάδος μὴ ἀπιστοῦντες, τρόπον δὲ καὶ διαφορὰν γεννήσεως καὶ ἐκπορεύσεως οὐ ζητοῦντες· ἐπειδὴ καὶ ταῖς οὐρανίοις λειτουργικαῖς δυνάμεσιν ἄγνωστον, ἄφραστον, καὶ φοβερὸν ἐνθυμήσει καθέστηκεν τοῦτο, καὶ τὸ πῶς ἑαυτῇ συνυφέστηκεν ἀνάρχως ἡ ἁγία Τριὰς, ἔχουσα ἀεὶ ὡσαύτως καὶ κατὰ ταυτά· καὶ οἷά τε οὖσα ἐπὶ τοῦ αἰωνίου καθημένη θώκου, ἐπιβλέπειν ἀβύσσους, καὶ σιωπῶσα ἀκούεσθαι, καὶ σιωπώντων ἀκούειν· καὶ πρὸ τοῦ πρακτέου ἐπίστασθαι τὸ μέλλον· καὶ λόγῳ, καὶ θᾶττον λόγου, καὶ μόνῳ τῷ θέλειν πάντα παραγαγεῖν· καὶ πρὶν διαθρήσῃ τις ἐν τῇ καρδίᾳ, μόνον δὲ πιστῶς καὶ δικαίως, τὴν ψῆφον εὐθὺς τὴν ἐπὶ τῇ αἰτήσει παρέχειν, καὶ πᾶσι καιρὸν εἰς εὐεργεσίαν ἁρμόζεσθαι· καὶ βραδεῖαν μὲν εἶναι εἰς ὀργὴν, εἰς εὐποιΐαν δὲ ἕτοιμον· καὶ χαλεπαίνειν μὲν δι' ἡμετέραν πλημμέλειαν, ἀφιέναι δὲ δι' οἰκείαν φιλ-

Digitized by Google

ανθρωπίαν τὴν τιμωρίαν. Ἔτι γε μὴν ἀκατάληπτον αὐτῆς ἐστιν καὶ τὸ πῶς ἓν ἔχει θέλημα, καὶ λαλεῖ, καὶ παρέχει κοινὸν ἑαυτῆς· καὶ ἐπισκέπτεται οὐ μᾶλλον εὐξίαν σωμάτων, ἀλλ' αὐτὴν συντετριμμένην καρδίαν. Καὶ μὲν δὴ καὶ τοῦτο, πῶς ὑπάρχει ἀόρατος, καὶ σεραφικοῖς ὀφθαλμοῖς ἀπερίληπτος, λόγῳ καὶ τόπῳ ἀχώρητος, δυνάμει ἀμερής, ἀναφής, ἀμεγέθης· ἀβαθὴς, ἀπλατὴς, ἀνείδεος· [50 *b*] παντεπίσκοπος, παντεπήκοος, καὶ πάντων ἐλπίς· φωτὸς οὐρανίου ὑπὲρ τὸ πολὺ φωτεινοτέρα, καὶ παντὸς ὕψους, ὅσον οὐκ ἔστιν εἰπεῖν, ὑψηλοτέρα· καὶ παντὸς νοῦ ἀπείρῳ λόγῳ νοητικωτέρα. Πῶς γὰρ οὐκ ἔμελλεν τὰ τῆς Τριάδος πᾶσιν ἀκατάληπτα τυγχάνειν, ὅτε αὐτὴ πάντων ἐστὶ γενεσιουργὸς, καὶ ἀνωτάτω πάσης νοερᾶς, ἔτι μὴν καὶ νοητῆς κτίσεως, μεθ' ἣν ἐπέκεινα παντελῶς οὐδὲν, πάντα δὲ μᾶλλον ὑπ' αὐτῇ, καὶ δι' αὐτὴν, καὶ ὑπὸ πόδας αὐτῆς, ὡς ποιήματα; Προκατήρξατο γὰρ εὐδοκήσας ὁ Πατήρ· ἐδημιούργησεν δὲ ὁ Μονογενής· ἡγίασεν δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ τῷ ἁγιασμῷ αὐτοῦ ἐτελείωσεν, ἐφώτισεν, ἐνεδυνάμωσεν, ἐζωοδότησεν· ἐν πᾶσιν καὶ ἐν ἑκάστῳ ὅλον ὑπάρχον, καὶ ὑπὸ ὅλων ὅλον μετεχόμενον καὶ χωρούμενον δι' ἀγαθότητα· καὶ μὴ μεριζόμενον, μήτε μετερχόμενον, ἢ μεταβαλλόμενον· ἀλλ' ἀεὶ πᾶσιν ἐπιπνέον ὁμοίως, καὶ οὐκ ἐν μέρει, καὶ φυλάττον τὴν οἰκείαν ἄχραντον ἀπὸ τῶν σωμάτων καθαρότητα, πάντα τε θείως

A licta, pœnam autem ob propriam ipsius benignitatem condonare. Ac ne illud quidem in ipsa comprehendi potest, quomodo et unam habeat voluntatem, et ita loquatur, largiaturque, ut loquela, ac largitio tribus personis communis sit, et non tam bonam corporum habitudinem spectet, quam ipsum contritum cor. Insuper ne hoc quidem intelligere licet, quomodo ipsa vel seraphicis oculis invisibilis sit, incomprehensibilis exsistat, ratione, aut loco capi nequeat, individuam potentiam habeat, tangi non possit, magnitudinis ([51] id est, quantitatis) expers sit, profunditate, **113** latitudine, et forma careat, omnia inspiciat, omnia audiat, et omnium spes in ea sita sit, ac cœlesti luce supra modum splendidior, et omni celsitudine, ultra quam dici possit, excelsior

B exsistat, et cujusvis mentis infinita ratione intelligentiam excedat. Quomodo enim ea quæ ad Trinitatem pertinent, omnibus incomprehensibilia non esse possunt, cum ipsa rerum omnium creatrix sit, et supra quamlibet intelligentem, imo et intelligibilem creaturam quam longissime extollatur, ac post eam nihil omnino ulterius sit, sed omnia potius sub ipsa sint, et propter ipsam, et sub pedibus ejus (32), utpote creata? Auspicatus est enim Pater complacendo, creavit autem Unigenitus, et sanctificavit Spiritus Dei, et sanctificando perfecit, illuminavit, corroboravit, vivificavit, totus in omnibus, et in singulis

(31) *Magnitudinis... expers.* In Græco, ἀμεγέθης. Censor autem ille, de quo not. 65, pag. 59, et not. 62, pag. 84 jam dixi, ex eo quod Theologus noster Deum dicat ἀμεγέθη, colligit eum non esse Didymum. At (pace ipsius dictum sit) ex hoc ipso hujus auctorem operis potius se prodit Didymus. Didymo enim peculiare est, ut Deum vocet ἀμεγέθη· adeo ut cum in innumerabilia inciderim Patrum loca, qui Deo magnitudinem tribuunt, neminem hactenus repererim, qui illum magnitudine carentem clare appellet. Nimirum alii eum dicunt ἀπειρομεγέθη, id est, « infinite magnum, » alii μεγέθει ἀπεριόριστον· alii, ut Tertullianus, ipsum sic definiunt, ut sit « summum magnum; » cui definitioni maxime is innititur Marcionem refellens; alii, ut Athanasius, μέγεθος ei tribuunt; alii demum alias habent hujusmodi locutiones. At Didymus in commentariis *in Psalmos* ad versiculum quartum psalmi XXXIII (pag. 604, tom. I Catenæ Corderianæ) sic aperte

C loquitur : Τὸ δὲ, Μεγαλύνατε τὸν Θεὸν, οὐκ αὐξῆσαι μέγεθός ἐστιν αὐτοῦ (ἀμεγέθης γάρ)· σωμάτων γὰρ ἴδιον τοῦτο, ὁ δὲ Θεὸς ἀσώματος, id est, « Illud autem, « Magnificate Deum, » non denotat, magnitudinem ejus augendam esse : Deus enim est expers magnitudinis; siquidem hæc corporum est propria, Deus autem incorporeus exsistit. » Simili tamen modo magnitudinis vocabulum adhibuisse videri potest Origenes in libro primo *De principiis* : nam cap. I, num. 7, « Visui, » inquit, « subjacent colores, habitus, magnitudo. » Et cap. 2. num. 4, sic loquitur : « In nulla harum intelligi corporale aliquid potest, quod vel magnitudinem designare videatur, vel habitum, vel colorem. » Idem autem fere, ut puto, Didymus hic voluit, quod Irenæus Deum vocans « immensurabilem, » ac Rufinus Palæstinus inquiens in libro *De fide*, ipsum esse « sine circumdatione. » Nam μέγεθος, seu « magnitudinem, » alio tamen sensu acceptam, Deo tribuere videtur etiam Didymus segm. 133 *b*, et enarratione *in primam Petri* ad cap. III, ubi ait : « Qui magnificat eum, magnitudinis ejus (nempe Dei) participium suscipit in semetipsum. » Quanquam non constat, utrum Didymus ibi, et Origenes in citato loco voce μέγεθος, an alia usi sint. Scriptura sane Deo ipsi μέγεθος nusquam tribuit, ni fallor.

D (32) *Sub pedibus ejus.* Nimis absona ac dura, Latinis præsertim auribus, videtur hæc translatio, qua omnia dicuntur esse « sub pedibus Trinitatis. » Respicit fortasse Didymus Isa. VI, 2, aut I Cor. XV, 27. In libro tamen etiam *De Spir. sancto* num. 39, sic loquitur : « Ipsos quoque dæmones... habebunt sub pedibus suis. » Et post pauca : « Cum autem titillantem subjecerimus nostris pedibus luxuriam. » Quin etiam dæmonem Christus « divinitatis pede » percussisse dicitur in homilia necdum edita (*a*), quæ in Naniano XII sæculi codice sic inscribitur : Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θαυματουργοῦ λόγος εἰς τοὺς ἁγίους πάντας, id est, « Sancti Patris nostri Gregorii Thaumaturgi sermo in omnes sanctos : » Ibi enim hæc exstant : Πάλαι μὲν Ἰακὼβ κλίμακα ἐστηριγμένην ἕως τοῦ οὐρανοῦ ἐθεάσατο, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας· νυνὶ δὲ διὰ τὸν ἄνθρωπον ἄνθρωπος γενόμενος ὁ φιλάνθρωπος, τὸν ἀπάνθρωπον λακτίσας τῷ ποδὶ τῆς θεότητος, καὶ τὸν ἄνθρωπον βαστάσας τῇ χειρὶ τῆς χριστότητος (seu χρηστότητος), τὸν ἄβατον αἰθέρα ποσὶν ἀνθρωπίνοις πεζεύσασθαι παρεσκεύασεν, id est, « Olim quidem Jacobus scalam vidit usque ad cœlum pertingentem, ibique firmatam, et angelos Dei ascendentes ac descendentes : nunc vero propter hominem homo factus ille qui hominum amator est, ac benignus, eum qui hominum hostis est, et inhumanus, divinitatis pede percutiens, et manu benignitatis (seu dignitatis qua Christus est) hominem portans, pedibus humanis invium æthera calcari fecit. »

(*a*) Hanc postea edidit Mingarelli; exstat inter Opera S. Gregorii Thaumaturgi, hujusce *Patrologiæ* tom. X. EDIT.

Digitized by Google

exsistens, et totus ab omnibus propter ipsius bonitatem participatus, et receptus, non tamen divisus, neque alio transmigrans, neque mutationem subiens, sed omnibus eodem semper modo, non vero ex parte, inspirans, et propriam puritatem a corporibus incontaminatam servans, et omnia divino modo illuminans, et ubique sanctificationem, charitatem, pacem, sapientiam, gaudium, securitatem, et omne bonum **114** adaugens, utpote qui ex paterno fonte (33) subsistenter emanavit ac eluxit : per quem, et propter quem nobiscum versatur Deus et Pater, cum quo Spiritus ipse et in cœlis est, et apud nos manet; nam potest quidem unaquæque divina persona omnia perfecte sine ullius indigentia facere; verum ut eadem ostendatur operatio, eademque cum essentia ipsarum, tum adoratio, et gloria, et gratiarum actio, quæ eis reddi a nobis debet, ideo communiter a sancta Trinitate creatio completa fuit. Ut hunc porro creatarum rerum ornatum atque ordinem a tota Trinitate esse demonstret David, sic psallit : « Verbo (34) Domini cœli firmati sunt, et Spiritu oris ejus omnes virtutes eorum. » Etenim Dominum quidem dicit Deum Patrem; Verbum vero, Unigenitum Filium, per quem, et a quo creati sunt cœli; Spiritum autem, sanctum Dei subsistentem Spiritum, a quo et sanctificati (35) et corroborati sunt : ipse enim est divinum nomen ; ipse omnipotentia, et excellentissima dignitate præditus; qui simul cum Patre ac Filio et commemoratur, et conglorificatur; qui sanctificat, et vivificat, et cœlestis lucis participes facit; qui singulorum in concordia perseverantiam custodit; qui prophetis et apostolis inspiravit, et martyribus, ut tyrannicæ crudelitati resisterent, vim dedit; qui renovat, et liberat ut Dominus, et filios Dei nos facit ut Spiritus adoptionis; qui dæmonum acies per illuminationem, id est per baptisma, repellit, et adversarium, seu Satanam, ignominia afficit; qui cœlorum portas nobis reserat, et ad salutis aditum (36) nos ducit, et angelicæ conversationis, hymnodiæque participes facit; qui semita nobis fit, ad ipsum cœlestem Deum ac Patrem deducens; qui serenissimo adventu suo nobis sese liberrime et excellentissime manifestavit ; qui est **115** fecunda, et infinita, et servatrix vis ; magnitudine, seu dimensione quavis carens, et

καταλάμπον, καὶ πανταχοῦ πληθύον ἁγιασμὸν, ἀγάπην, εἰρήνην, σοφίαν, χαρὰν, ἀσφάλειαν, καὶ πᾶν ἀγαθὸν, ἅτε ἐκ τῆς πατρικῆς ἐνυποστάτως ἐκλάμψαν πηγῆς· δι' οὗ καὶ δι' ὃ ἡμῖν πλησιάζει ὁ Θεὸς καὶ Πατὴρ, μεθ' οὗ καὶ ἐν οὐρανοῖς ἐστιν, καὶ παρ' ἡμῖν μένει· δυναμένης μὲν ἑκάστης θείας ὑποστάσεως ἀπροσδεῶς πάντα ποιῆσαι τελείως· ἵνα δὲ δειχθῇ τὸ συμπρακτικὸν καὶ ἀπαράλλακτον τῆς τε οὐσίας αὐτῶν, τῆς τε προσκυνήσεως, καὶ δόξης, καὶ εὐχαριστίας τῆς ὀφειλούσης παρ' ἡμῶν γίνεσθαι, διὰ τοῦτο κοινῇ παρὰ τῆς ἁγίας Τριάδος τῆς κτίσεως πληρωθείσης. [51 *a*] Παριστῶν γοῦν τὸ τριαδικῶς διακεκοσμῆσθαι τὴν κτίσιν, ψάλλει· « Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν. » Εἶπεν γὰρ Κύριον μὲν τὸν Θεὸν Πατέρα· Λόγον δὲ τὸν μονογενῆ Υἱὸν, δι' οὗ καὶ παρ' οὗ ἐκτίσθησαν· Πνεῦμα δὲ τὸ ἐνυπόστατον ἅγιον Πνεῦμα τοῦ Θεοῦ, παρ' οὗ ἁγιασθέντες ἐνεδυναμώθησαν. Αὐτὸ γάρ ἐστιν τὸ θεῖκὸν ὄνομα, τὸ παντοκρατορικὸν καὶ ὑπερέχον ἀξίωμα, τὸ σὺν Πατρὶ καὶ Υἱῷ μνημονευόμενον καὶ συνδοξαζόμενον· τὸ ἁγιαστικὸν, καὶ ζωοποιὸν, καὶ φωτὸς οὐρανίου μεταδοτικόν· τὸ φρουρητικὸν ἑκάστων τῆς ἐν ταυτότητι διαμονῆς· τὸ προφήταις καὶ ἀποστόλοις ἐνηχῆσαν, καὶ μάρτυρας ἀντιστῆναι τυραννικῇ ὠμότητι ἐνισχύσαν· τὸ ἀνακαινίζον καὶ ἐλευθεροῦν ὡς Κύριος, καὶ υἱοὺς Θεοῦ ἡμᾶς ποιοῦν ὡς Πνεῦμα υἱοθεσίας· τὸ ἀπελαῦνον τῷ φωτίσματι δαιμόνων στίφη, καὶ τὸν ἀντικείμενον καταισχύνον· τὸ ἀναπετάζον ἡμῖν τὰς οὐρανῶν πύλας, καὶ ἄγον ἐπὶ τὴν εἴσοδον τῆς σωτηρίας, καὶ τῆς ἀγγέλων πολιτείας καὶ ὑμνῳδίας ἐργαζόμενον κοινωνούς· τὸ γινόμενον ἡμῖν τρίβος ἀποφέρουσα πρὸς αὐτὸν τὸν ἐπουράνιον Θεὸν καὶ Πατέρα· ἡ αὐτεξούσιος καὶ ὑπερβάλλουσα γαληνοτάτη ἐπιφάνεια· ἡ γόνιμος, καὶ ἄπειρος, καὶ σωστικὴ δύναμις· ἡ ἀμεγέθης, καὶ ἀσύγκριτος, καὶ σεπτὴ ὑπόστασις· ἡ ἄχραντος, καὶ ἔγκριτος, καὶ πάναγνος δόξα· ἡ θεία χάρις, ἡ τὰ λείποντα ἀναπληροῦσα, καὶ τὰ ἀσθενῆ ἰωμένη· ἡ ἄῤῥητος καὶ ἀΐδιος ἀγαθότης· ἡ πηγὴ τῶν ἀνεκλείπτων χαρισμάτων, καὶ παντὸς ἀγαθοῦ νοῦ πρόοδος· ἡ μελλόντων καὶ ἀγνώστων ἀληθὴς φανέρωσις· ἡ [51 *b*] σωτήριος σφραγὶς, καὶ τὸ θεῖον χρίσμα· ὁ ἀῤῥαβὼν τῶν ἀϊδίων ἀγαθῶν· παρ' οὗ πᾶσα κτίσις, ὁρατὴ καὶ ἀόρατος, λογικὴ καὶ μὴ λογικὴ, ἐνδυναμοῦται· παρ'

A ἔλκουσιν. Γέγραπται γάρ, φησίν, ἐν ταῖς ἀποστολικαῖς Πράξεσιν· « Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεὸν, μαρτυρούμενός τε ὑπὸ παντὸς ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου, μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. » Ὑμεῖς μὲν οὖν, εἰ ἐσιωπήσατε, καὶ ἀπερράψατε συκοφαντίας τὰ στόματα, ἐπράττετε ἂν πολλῷ λυσιτελέστερον. Ἡμεῖς δὲ, ἐπὶ τὸν τελειότερον σκοπὸν ἀναπέμποντες καὶ τὸ κεφάλαιον τοῦτο, καὶ εὐθυμίαν τοῖς ἐντευξομένοις παρέχοντες. καὶ πλείονα τὸν ὀρθόδοξον ζῆλον ἐμβάλλοντες, φαμὲν, ὅτι Ὡς οὐδεμία κοινωνία φύσεως κτίσματι πρὸς τὴν ἄκτιστον φύσιν ἐστὶν, οὕτως οὐδὲ χρηματισμοῦ. Ὁ μὲν γὰρ ἀγγέλλει, ὃ δ' ἂν οὐκ εἰδὼς ὑπὸ τοῦ ἁγίου Πνεύματος εἰπεῖν ἐνεργηθείη· καὶ ἐντεῦθεν αὐτῷ ἄγγελος τοὔνομα· τὸ δὲ ἅγιον Πνεῦμα, ἅτε πάντα εἰδὸς τὰ τοῦ Θεοῦ, ὡς διαβεβαιοῦται ὁ Παῦλος, χρηματίζει θεϊκῶς, ὡς ὁ Πατὴρ, ἅπερ ἂν τοῖς τῆς θεότητος ἀκοιμήτοις ὄμμασιν ὁρᾷ βουλόμενον, καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ οὐ διακονικῶς, καθάπερ ὁ δορυφόρος ἄγγελος. « Ὁ γὰρ δοῦλος οὐκ οἶδεν, τί ποιεῖ ὁ Κύριος αὐτοῦ, » οὐδέ γε ὁ ἑτερούσιος τὴν αὐτὴν τῷ ἑτέρας ὄντι οὐσίας κεκτῆσθαι [89 *b*] δύναται γνῶσιν· φύσει γὰρ ἑκάστῃ ἡ ἀνήκουσα γνῶσις καὶ μνήμη συμπαρομαρτεῖ· ἀλλὰ καὶ τὸ γνωσθὲν τῇ γενητῇ φύσει ἐσθ' ὅτε τῷ χρόνῳ ἀφίπταται. Ὅθεν κἀνταῦθα τὴν ἀρχὴν τοῦ χωρίου ἐκόντες ἐν τῇ διαμάχῃ τοῦ λόγου παραλελοίπασιν οἱ ἀγνώμονες. Ἔχει γάρ· « Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ῥήματος, εἶπεν αὐτῷ τὸ ἅγιον Πνεῦμα· Ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσίν σε. Ἀλλὰ ἀναστὰς πορεύθητι σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· Ἰδοὺ ἐγὼ, ὃν ζητεῖτε· τίς ἡ αἰτία, δι' ἣν πάρεστε; Οἱ δὲ εἶπαν· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος, » καὶ τὰ ἑξῆς, ὡς πρόκειται. Ὥστε παρὰ κριταῖς ἀγαθοῖς, κἀνταῦθα παρὰ τοῦ ἁγίου Πνεύματος φαίνεται τὸν χρησμὸν ὁ ἄγγελος μαθών. Θεότητος γὰρ ἔκκριτον γνώρισμα, τὸ προλέγειν ἀσφάλτως· καὶ τοῦτο ἐπ' ἀγαθῷ τῶν ἀκουόντων, ἵν' ἀσφαλισάμενοι σωθῶσιν. Εἶτα οὐ νομίζετε, τοιαῦτα εἰσηγούμενοι, βασκαίνειν μέν πως τῇ κτίσει, μέμφεσθαι δὲ οἷον τῷ δι' ἀφθονίαν ταῖς περὶ αὐτοῦ εἰρημέναις λέξεσιν κοσμήσαντι τὰ ἑαυτοῦ ποιήματα; ὡς ἐπομένου πάντως τῷ τοιούτῳ πράγματι καὶ τῆς αὐτοῦ χάριτος. Ἐκ γὰρ καὶ τούτου, ὥρισεν μὲν ἑαυτὸν

B

C

D

(63) *Cum angelos.* Codex : ἢ καὶ αὐτοί, et reliqua. Equidem pro ἢ, quod mendosum est, lego ᾗ, id est, « qua, » vel, « quatenus. » At si ita legamus, mutanda fortasse erit vox, ἀγγέλου, ac legendum, ἀγγέλων, hoc est « angelorum, » ut eo referatur pronomen αὐτοί. Quod si quis pro ἢ, vel ᾗ, legere mallet ἤ, ac vertere : « Papæ ! et ipsi (hæretici scilicet) oracula fundere videntur, » is mea quidem sententia Didymi mentem probe non assequeretur.

(64) *Temere depravant.* In Græco, εἰς περιπετείας ἐξέλκουσιν. Legendum forsitan quis conjiciat, εἰς περπερείας ἐξέλκουσιν. Verum Passioneiani apographi lectio immutanda non est; nam vocem, περιπέτεια, simili modo accipit Epiphanius in *Panario* hæres. 64, pag. 528, aliique nonnulli.

(65) *Cornelius.* Act. x, 22. Græca editio : ὑπὸ ὅλου τοῦ ἔθνους, pro, ὑπὸ παντὸς ἔθνους.

(66) *Paulus.* I Cor. II, 10 et 11.

(67) *Satelles.* Sive, « hastifer. » Vide lib. IV Reg. XIX, 35, et lib. II Reg. XXIV, 17, et Jesue V, 14, et Luc. XVI, 22.

(68) *Novit.* Joan. XV, 15.

(69) *Omiserunt.* Ex hoc etiam loco apparet, certum quoddam Macedonianum opusculum a Didymo refelli.

(70) *Petro.* Act. X, 19, 22. Nonnulla intermedia omittuntur, quæ habet Græca editio.

(71) *De verbo.* Græca editio : περὶ τοῦ ὁράματος, id est « de visione. »

Digitized by Google

οὐδαμῶς, μᾶλλον δὲ καὶ ἐπαινετὸν ἔδειξεν, τὰ δὲ ἔργα αὐτοῦ συνήθως ἐφαίδρυνεν. Ἡμεῖς δὲ, εἰ καὶ σεμνότητά τινα θείαν τῇ πάσῃ ὑποθέσει φέρει τὸ χρηματίζειν τὸ ἅγιον Πνεῦμα, καὶ ἀρκεῖ καθ' ἑαυτὸ παραλαμβανόμενον εἰς μαρτυρίαν· ὅμως οὐ μόνον αὐτὸ, ἀλλὰ γὰρ καὶ πλῆθος ἄλλο ὑψηλῶν καὶ ἀναμφισβητήτων ἀποδείξεων παρηγάγομεν· οἷς εἰ προσέχετε ἀντιπαθείας ἄνευ, ἀφωνότεροι [90 *a*] πάντως ἔσεσθε τῶν ἰχθύων. Διελέγχει τοίνυν τὴν πειθανουργίαν ὑμῶν σαφέστατα καὶ ὁ Παῦλος, Ἐφεσίοις γράψας· « Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου, τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι· ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις, ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. » Κατανοεῖτε οὖν, πόσον ἐξῃρηται ἡ ἀγγέλων φύσις τοῦ ἀφ' ἑαυτῆς εἰδέναι τι τῶν ἐσομένων, καὶ τοῦ χρηματίζειν· ὅτι καὶ διὰ τῆς ἐν τῷδε τῷ κόσμῳ Ἐκκλησίας τοῦ Θεοῦ, ἥτις ἐσμὲν ἡμεῖς, τὰ μεγαλεῖα μανθάνει. Πρὸς πειθὼ δὲ τὴν περὶ τοῦτο, δύναταί τι συλλαμβάνειν καὶ ἅπερ Κολοσσαεῦσιν ἔγραψεν τοιῶσδε· « Τὸ μυστήριον τοῦτο τὸ ἀποκεκρυμμένον πρὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ὃ νῦν ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ. » Πρὸ τούτου γὰρ, φησὶ, τῷ Θεῷ ἔγνωστο μόνῳ. Πρὸς τούτοις, καὶ ἅπερ περὶ τῶν ἐνεγκόντων πᾶσιν ἀνθρώποις ὄφελος, τῶν περὶ τὴν ἄλεκτον οἰκονομίαν φημὶ, τοῖσδε παρὰ Πέτρου ἀνείρηται τοῖς ῥητοῖς, ὡς προελέχθη· « Εἰς ἃ, φησὶν, ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. » Εἰ δέ τινα ἔμφυτον γνῶσιν εἶχον, οὐκ ἂν ἱμείροντο τοῦ κἂν διακύψαι εἰς αὐτά. Ἀλλ' ἐπειδὴ μὴ ἔχουσιν, εἰς ὑπερβάλλοντα, ὡς οἱ ἄνθρωποι, τρόπον τινὰ ἐκπίπτουσιν ἔρωτα ἐκείνων, ὧν τῆς γνώσεως τυχεῖν αὐτοῖς μὴ ὕπεστιν. Πέφυκε γὰρ καὶ τηνάλλως, ὑπεροράσθαι μὲν τὰ εὑρεθῆναι ῥᾴδια, ποιεῖσθαι δὲ τὰ σπανιώτερα. Καὶ μέντοι καὶ τοῦτο οὐ κατὰ γνώμην οἰκείαν, τῷ κοινῷ δὲ τῆς φύσεως αὐτῶν λόγῳ (οὐ πάντας φημὶ) ὑπόχρεοι ὄντες τινές. « Εἰ [90 *b*] γὰρ, φησὶν, ἀγγέλων ἁμαρτησάντων ὁ Θεὸς οὐκ ἐφείσατο, » ποίαν ἔμφυτον γνῶσιν τῶν μελλόντων, ἢ αὐθεντείαν τοῦ χρηματίζειν, ὡς ὁ Θεὸς, ἔχειν δύνανται; Εἰ δὲ οὐκ ἴσασι μὲν οὗτοι ἀφ' ἑαυτῶν, οὐδὲ κατ' ἐξουσίαν ἰδίαν χρηματίζουσιν, ὡς ἔστι καὶ δίχα συστάσεώς τινος τὸ πρᾶγμα αὐταπόδεικτον, διὰ δὲ τὸ τὴν λέξιν μόνην κατὰ κοινοῦ κατηγορεῖσθαι, ἐπὶ τὴν μέμψιν καὶ τὴν κατηγορίαν παρηγγείλατε· προπετῶς καὶ ἀδιασκέπτως ἐπράξατε, καὶ οὐδὲν πρὸς τὸ

A dixit ei Spiritus sanctus (72): Ecce viri tres quærunt te. Sed surge, et vade cum eis, nihil dubitans, quia ego misi illos. Descendens autem Petrus ad viros (73), dixit: Ecce ego sum quem quæritis: quæ causa est propter quam venistis? Illi autem dixerunt: Cornelius centurio, vir justus, » et reliqua, ut antea posita sunt. Itaque apud probos quidem judices constat, angelum hic quoque a Spiritu sancto ea didicisse, quæ chrematizavit, id est, *revelavit*. Eximius enim divinitatis character ac nota est, prædicere infallibiliter, idque ita facere, ut in eorum, qui audiunt, commodum atque utilitatem cedat; ut nempe sibi caveant, et salvi fiant. Dum itaque hujusmodi interpretationes, et commenta profertis, nunquid illud non reputatis, quod et creaturæ B ipsi quodammodo invidi estis, et eum, qui liberalitatis ac munificentiæ causa suas ipsius creaturas iis ipsis vocabulis, quæ de illo dicta sunt, honestavit ornavitque, veluti (74) criminamini? cum hujusmodi rem, chrematismum scilicet Spiritus sancti, cœlestemve ejus admonitionem, gratia quoque ipsius comitetur (75). Ex hoc enim ipso chrematismo non modo is nullum plane sibimet ipsi dedecus comparat, sed etiam laude dignum se ostendit, atque opera sua, ut solet, exhilarat. **197** Nos vero etsi divinam Spiritus sancti amplitudinem ac majestatem in tota hac disputatione ex eo tantum confirmare potuissemus, quod ipse *chrematizet*, id est, *oracula fundat*, aut responsa det, aut cœlitus revelet, atque hoc vel C solum, ac seorsum sumptum, eam satis demonstret ac testetur: tamen non hocce duntaxat argumentum attulimus, sed plura etiam alia, eaque splendida ac sublimia, et cujusvis dubitationis expertia, Scripturarum loca: ad quæ si absque aversatione ac fastidio attenderitis, magis quam pisces (76), ut aiunt, muti, omnino evadetis. Jam vero captiosam argumentationem vestram manifestissime diluit ac redarguit etiam Paulus Ephesiis scribens: « Mihi (77) omnium sanctorum minimo data est gratia hæc, in gentibus evangelizare ininvestigabiles divitias Christi, et illuminare omnes, quæ sit dispensatio (78) mysterii absconditi a sæculis in Deo, qui omnia creavit (79): ut innotescat nunc principatibus et potestatibus in cœlestibus, per Ecclesiam, D multiformis sapientia Dei. » Animadvertite ergo, quam alienum ab angelorum natura sit, ut eorum, quæ futura sunt, aliquid per seipsos sciant, et chrematizent, id est, *revelent*; eum etiam per Ecclesiam Dei, quæ in hoc mundo est (hæc vero Eccle-

(72) *Sanctus.* Vox ἅγιον deest in Bibliis.

(73) *Ad viros.* Græca editio hic addit: τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτόν, id est « missos a Cornelio ad eum. » At hæc non modo Didymus, sed et Vulgatus interpres omittit.

(74) *Veluti.* Codex: οἷον τό. Lego, οἷον τῷ... κοσμήσαντι.

(75) *Comitetur.* Cod. ἐπομένου. Legend. fort. ἐπομένης. [Bene se habet, ἐπομένου... χάριτος: sic enim aliquando occurrit apud Alexandrinos. Sic etiam infra, ῥᾳθυμίᾳ τῇ οὐκ ἐνδέοντι, pro ἐνδεούσῃ. EDIT.]

(76) *Magis quam pisces.* Proverbialis locutio, quam Pollux quoque habet lib. VI, cap. 34.

(77) *Mihi.* Ephes. III, 8, 9 et 10. Vide not. 10 ad pag. 28.

(78) *Dispensatio.* Vulgatus interpres legit ut Didymus. At Græca editio habet: ἡ κοινωνία, id est, « communio. »

(79) *Creavit.* Græca editio hic addit, διὰ Ἰησοῦ Χριστοῦ, id est, « per Jesum Christum. » Sed hæc verba omittit, præter Didymum, Vulg. etiam interpres. Vide Segm. 14 *a*.

Digitized by Google

sia nosmet ipsi sumus) Dei *magnalia* perdiscant. Atque ut id ipsum adversariis persuadeatur, illa etiam efficere possunt, nonnullamque ad hoc vim habere, quæ Colossensibus scripsit in hunc modum (80): « Mysterium (81) hoc absconditum ante sæcula, et a generationibus, quod nunc manifestatum est sanctis ejus. » Antea enim, inquit, a Deo tantum cognoscebatur. Præterea huc etiam illud facit, quod de iis, quæ omnibus hominibus utilitatem attulerunt, de iis scilicet, quæ ad ineffabilem Incarnationem spectant, hisce (82) a Petro verbis, ut antea diximus, prædicatum fuit (83): « In quæ, inquit, desiderant angeli prospicere. » Si quam vero innatam cognitionem haberent (84), illa per rimas saltem perspicere non optarent; **198** sed quia eam non habent, in vehementissimum quodammodo, ut homines, amorem incidunt eorum quorum cognitionem assequi nequeunt. Solent enim quæ inventu quidem facilia sunt, obiter (85) cerni et despici; quæ autem sunt rariora, æstimari. Neque vero id ex propria quorumdam voluntate repetendum est, sed ex communi (86) eorum naturæ ratione. Porro de omnibus angelis id non dico, sed de quibusdam, qui veluti debitores sunt, ac supplicio obnoxii (87). Nam Scriptura inquit · « Si enim (88) angelis peccantibus Deus non pepercit. » Quomodo ergo innatam futurorum cognitionem habere, aut propria auctoritate chrematizare (hoc est, *cœlitus admonere*) possunt ut Deus? Quod si ipsi nec scientiam (89) ex seipsis habent, nec ex propria potestate chrematizant, ut est etiam sine ulla probatione per se manifestum; vos vero, quia unum idemque chrematizandi verbum communiter de Spiritu sancto et de angelis prædicatur, ad reprehensionem accusationemque conversi estis (90): temere et inconsulte egistis, ac nihil ad rem. Nam ne si Deum quidem Patrem chrematizare (id est, *oracula fundere*, aut *revelare*), et bonum esse aliqui alii forte dixerint, decet nos contrarium affirmare. An quiddam aliud vobis dicam? Videte, quæso, num per angelum, qui centurioni chrematizavit, seu *cœleste responsum dedit*, Sanctus sanctorum, id est Salvator, significetur. Nam hoc etiam nomine arcano sensu multa cum emphasi ac divina Scripturam, ubi de eo loquitur, usam esse constat, propterea quia is in Incarnatione, quatenus Filius Verbum, paternam voluntatem ἤγγειλε, hoc est, *annuntiavit*. Nec enim dixit nominatim, ut solet dicere, Michael, Gabriel, nec certum aliud hujusmodi nomen adhibuit. Quidnam ergo in omnibus doctrinis nostris merito criminari quis po-

πρᾶγμα. Οὐδὲ γὰρ εἰ τὸν Θεὸν Πατέρα φαῖεν τυχὸν ἄλλοι τινὲς, ὅτι χρηματίζει καὶ ἀγαθός ἐστιν, ἡμᾶς τὸ ἐναντίον λέγειν πρέπον. Εἶπω τι ὑμῖν καὶ ἕτερον; Βλέπετε μὴ τὸν χρηματίσαντα τῷ ἑκατοντάρχῃ ἄγγελον, τὸν ἅγιον τῶν ἁγίων Σωτῆρα εἶπεν. Τῷ γὰρ ὀνόματι τούτῳ προσχρησαμένῃ ἐπικεκρυμμένως σὺν ἐμφάσει πολλῇ καὶ θείᾳ περὶ αὐτοῦ φαίνεται ἡ Γραφὴ, διὰ τὸ ἀγγεῖλαι ἐν τῇ οἰκονομίᾳ ὡς Υἱὸν Λόγον τὸ πατρικὸν βούλημα. Οὐ γὰρ εἶπεν ὀνομαστὶ, ὡς εἴωθε λέγειν · Μιχαὴλ, Γαβριὴλ, ἤ, ὁ δεῖνα. Τί τοίνυν ἐξ ἁπάντων τῶν ἡμετέρων λόγων αἰτιάσαιτ' ἄν τις εὐλόγως; τί δὲ μέμψαιτο τῇ οὐδαμόθεν ἐχούσῃ τὸ εὐθύνεσθαι ὀρθοδόξων πίστει; πῶς δὲ οὐ πιστεύειν ἄξιον, ὡς τὸ ἅγιον Πνεῦμα βασιλικῶς, ἤτοι θεϊκῶς, χρηματίζει · οἱ δ' ἄγγελοι λειτουργικῶς, ἤτουν διακονικῶς; ὡς χαλεπὸν οὖν, καθά φησιν, οἰάκων ἔχεσθαι, ὅτῳ κυβερνητικῆς οὐκ ὕπεστιν · οὕτω χαλεπὸν καὶ διδάσκειν, ὅτῳ ἡ χάρις τοῦ θείου Πνεύματος, ἡ τῶν ἀνθρώπων σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐργαζομένη τὴν σωτηρίαν, οὐ πάρεστιν, οὔτε ἐστὶν τὸ εἰδέναι τὴν καὶ ἐν τοῖς αἰνίγμασιν τῶν λογίων εὑρισκομένην [91 *a*] ἀσφάλειαν, καὶ τὴν ἀπὸ τῆς ἐπιστήμης τῶν πιστῶν ἀνδρῶν διδομένην ἀπόκρισιν · καὶ ὅτῳ ἐριστικῆς, καὶ ἀντιλογικῆς, καὶ ποικίλης προαιρέσεως ἄνευ οὐκ ἔστι λόγου προφορά. Οἶδα δὲ σαφῶς, ὦ εὐδόκιμοι, καὶ τὸ οὐράνιον φῶς κατοικοῦντες ἄγγελοι τοῦ Θεοῦ, ὅτιπερ ὑμεῖς, ὡς ἄμεμπτοι καὶ τέλειοι, οὐκ ἠχθέσθητε ἐπὶ τοῖς λεχθεῖσι παρ' ἐμοῦ, ἕνεκα τῶν κατὰ τὴν φύσιν, οὐ κατὰ τὸ ἐπαινετὸν τῆς γνώμης, ὁμοίων ὑμῖν ἀγγέλων · οἷς ἐξ ἀρχῆς μέμψις παρηκολούθησεν, ὡς καὶ αἱρετικοῖς, τοῖς εἰς μέσον ἄγουσιν, ὡς οὐκ ἐχρῆν, τὰ ἄρτι μνημονευθέντα · οἵτινες ὑμῖν μάλιστα ἀπίθανοί τινες πρὸς τὸν κατὰ τῆς ἀληθείας ἀγῶνα φαίνονται. Ὁ γὰρ λόγος μοί ἐστιν ὑπὲρ τοῦ θεϊκοῦ Πνεύματος, τοῦ φωτίζοντος ἅπαντα, καὶ φιλοτιμουμένου τὰ θεϊκὰ τοῖς κτίσμασι · τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς αὐτοῦ ἐφάμιλλα, τοῦ ἁγιάσαντος καὶ ὑμᾶς, καὶ συνδοξαζομένου παρ' ὑμῶν, ἅμα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, διὰ τοῦ τρισαγίου αἴνου. Μᾶλλον δὲ καὶ συνεπενεύσατε, Πνεῦμα τοῦτο τῆς ὑποστάσεως τοῦ Θεοῦ ἕν, καὶ μόνον, καὶ Θεὸν ἀνευφημήσαντί μοι · καὶ ἐβούλεσθε ἂν τάχα (πανηγυρίζει δέ μοι ἐν τῷ μέρει τούτῳ τὸ βιβλίον), δι' ὑπερβολὴν εὐνοίας ὑμῶν, τῆς περὶ τὴν σεπτὴν καὶ ὁμοούσιον Τριάδα, ὑμέτερά τε εἶναι ῥήματα τὰ ἐκ τῆς τῶν Γραφῶν διανοίας λεχθέντα παρὰ πολλῶν, καὶ νῦν παρ' ἐμοῦ, καὶ μηδέποτε σιωπὴν τούτοις ἐπιβληθῆναι, καὶ πάντας δὲ τοὺς ἀνθρώπους τὴν ἀπὸ τῶν πραγμάτων σχολὴν δαπανᾷν εἰς ὑπόθεσιν τοιαύτην. Τοιγαροῦν διὰ τοῦτο, κρίσει τῇ ὑπερτάτῃ, σὺ μὲν,

(80) *In hunc modum.* Codex τοιῶσδε, non vero τοιώσδε. Ita alibi habet τοιῇδε, τοιῷδε, etc. Simili modo Æschylus initio *Promethei vincti* habet τοιᾶς, et vers. 237, τοιῶσδε, et similia alibi.

(81) *Mysterium.* Coloss. I, 26. Græca editio paulo aliter, eodem tamen sensu. Vide segm. 160 *a*.

(82) *Hisce.* Codex τοῖς δέ, pro τοῖσδε.

(83) *In quæ.* In prima Petr. I, 12. Vide not. 5, pag. 169, et quæ Didymus habet enarratione *in primam Petri* ad hunc versiculum.

(84) *Haberent.* Codex, ἔχον. Lego εἶχον.

(85) *Obiter.* Codex, τὴν ἄλλως. Lego, τηνάλλως.

(86) *Ex communi.* Leg. lib. *De Sp. s.* num. 12 et 13.

(87) *Obnoxii.* Totus hic locus paulo perplexior est in Græco. Deest fortasse aliqua dictio.

(88) *Si enim.* In secunda Petr. II, 4.

(89) *Scientiam.* Codex, εἴσασι. Lego, ἴσασι.

(90) *Conversi estis.* Ludere videtur in duplici significatione vocum κατηγορεῖσθαι et κατηγορία.

Digitized by Google

ὦ ἅγιε Μιχαήλ, ἄρχειν τῶν ἀσωμάτων στρατιῶν προεχειρίσθης, καὶ ζώνῃ οἷον νοερᾷ [91 *b*] ἐτιμήθης, καὶ εὐωδία τις τῆς πάντων δεσποζούσης παναγοῦς καὶ οἰκτίρμονος Τριάδος ὑπάρχεις· σὺ δὲ, ὦ ἅγιε Γαβριὴλ, διακονήσασθαι τῷ μυστηρίῳ τῆς ἀφράστου οἰκονομίας, ὡς ἐχέμυθος καὶ πιστὸς, ἐξελέγης· ἄλλος δὲ ἄλλῳ, οὐδὲ αἰτήσας, θεοσδότῳ χαρίσματι τετίμηται, οἷῳ μὴ καὶ ἕτεροι, καὶ οἷῳ μὴ καὶ ἡμεῖς· ἀλλὰ καὶ ἡμεῖς, οἷῳ μὴ καὶ ὑμεῖς. Ὁ γὰρ Θεὸς Λόγος, οὐ διὰ τοὺς ἁμαρτήσαντας ἀγγέλους ἄγγελος, ἀλλὰ διὰ τοὺς ἐν ἁμαρτίᾳ ἀνθρώπους ἄνθρωπος, ἄτρεπτος, ἀσυγχύτως, ἀναμαρτήτως, ἀφράστως, ὡς οἶδε καὶ ἠβουλήθη, ἐκ τῆς Παρθένου, καὶ κατὰ τὴν σάρκα αὐτῆς καὶ πάντων ἡμῶν ἐγένετο, μείνας ὃ ἦν, καὶ ἔστι, καὶ ἔσται, εἷς καὶ ὁ αὐτός. « Εἷς γὰρ, φησὶν, ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. » Καὶ οὕτως, ὡς ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνέβη, ἥξει τὸ δεύτερον, διακονουμένων αὐτῷ ἀγγελικῶν εὐδοκίμων φαλάγγων μυρίων μυριάδων, καὶ ἔτι καὶ κρινεῖ καὶ ποιήσει κατὰ τὴν φιλανθρωπίαν αὐτοῦ. Διὸ μετὰ τὰς Ἐκκλησίας, καὶ οἶκοι εὐκτήριοι τῷ Θεῷ, τῆς προσηγορίας ὑμῶν ἐπώνυμοι, ὦ εὐάρεστος ξυνωρὶς ἀρχαγγέλων, οὐκ ἐν μόναις ταῖς πόλεσιν, ἀλλὰ καὶ στενωποῖς ἰδίᾳ, καὶ οἰκίαις, καὶ ἀγροῖς ἱδρύσθησαν, χρυσῷ, καὶ ἀργύρῳ, ἢ καὶ ἐλέφαντι κοσμηθέντες· ἴασίν τε οἱ ἄνθρωποι καὶ εἰς τὰ ἀπωτέρω τῆς ἐνεγκαμένης αὐτοὺς χωρία τὰ ἔχοντα οἷον ὡς πρυτάνια ἐπιτευγμάτων τὰ εὐκτήρια προβεβλημένα, οὐκ ὀκνοῦντες καὶ πέλαγος διαλαβεῖν, ἢν δέοι, μακρὸν, καὶ πολλῶν ἐφεξῆς ἡμερῶν ὁδὸν ἔσθ' ὅτε καὶ ἀργαλέαν ἐξανύσαι, ὡς πειραθησόμενοι πλείονος εὐνοίας μὲν τῆς περὶ τὴν πρεσβείαν ἀπὸ ὑμῶν, μετουσίας δὲ τῆς τῶν φιλοτιμουμένων ὑπὲρ τοῦ εὖ [92 *a*] ἀγαθῶν παρὰ τοῦ Θεοῦ. Ἐν γὰρ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις, καὶ τοῖς εὐκτηρίοις, καὶ μαρτυρίοις, ὡς ἐν ἄλλοις οὐρανοῖς, τὰ ἀνέκλειπτα αὐτοῦ προῦθηκεν ἀγαθά· καὶ ἀφ' ὧν οὗτος αὐτὸς ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, δέδωκέ τε καὶ ὁσημέραι δίδωσιν ἑκάστοις, ἀπὸ τούτων, εὐσεβῶς καὶ ὁσίως προσφερομένην, δέχεται ἀναίμακτον θυσίαν, καὶ πάντα ἔχει τὰ παρὰ ἀνθρώπων γέρα. Νομίζω δὲ εἰς τὰ κατὰ αἱρετικῶν, καὶ εἰς τὰ περὶ θεολογίας, καὶ τὰ ἄλογα ζῶα, μενοῦνγε τοὺς λίθους αὐτοὺς, τῇ προθυμίᾳ συμφθέγγεσθαι ἡμῖν. Τί γὰρ οὐ ποιεῖ ὁ περὶ Θεὸν ἔρως; ἢ τίνι παραχωρεῖ φίλτρον ἀληθὲς καρδίας; Ἴστε γὰρ (σὺν Θεῷ δὲ πάντα εἰρήσθω), οὕτω μεθ' ὑμῶν τε καὶ τῶν ἐκ τῆς ἡμετέρας φύσεως γεγονότων ἁγίων πρεσβευόντων πεπραχέναι, ὡς μηδέν πω, μέχρι καὶ τήμερον, οἷον δίκην τινά μοι καὶ κακηγορίας ἐλέσθαι λαχεῖν ὑπὲρ ὑμῶν τῶν ἡμετέρων πρέσβεων, τῶν τιμὰς τὰς πρὸς τὸ μέτρον ὑμῶν παρὰ πᾶσιν ἐχόντων· μηδὲ ὀνόματι καλέσαι με εἰς ἀγῶνα τὸν περὶ τούτου, καὶ κρίσιν, καίτοι εὑρισκομένων τῶν τὰ μὴ ὄντα κατηγορούντων· ἀλλὰ μηδέ τινα πειραθῆναι διελέγξαι με, ὡς εἴην λόγους ἀκούσας

test? aut quid est, in quo orthodoxorum fidem, nulla ex parte emendationis indigentem, accusare quis possit? Quomodo autem credendum non erit, Spiritum quidem sanctum ut Regem sive ut Deum, angelos vero ut administros, sive ut famulos, chrematizare? Sicut ergo difficile est, ut **199** aiunt, ut gubernacula teneat is qui gubernandi arte caret: ita difficile est ut is doceat cui divini Spiritus gratia, quæ hominum salutem una cum Patre et Filio operatur, non adest; et cui præterea cognoscere non datur illam, quæ vel in ipsis divinorum oraculorum ænigmatibus invenitur, certam sententiam atque interpretationem, et eam, quæ ex scientia fidelium virorum profertur, responsionem; qui demum sine contendendi et contradicendi libidine, ac sine versutia loqui nescit. Novi autem optime, o inclyti, ac cœlestem lucem habitantes angeli Dei, iratos mihi vos non esse, utpote irreprehensibiles ac perfectos, ob ea quæ a me dicta sunt illorum angelorum causa, qui natura quidem vobis similes sunt, laudabili vero mente non item; quique ab initio reprehensionem meruerunt, sicut hæretici etiam, qui ea in medium inconsulte afferunt, quæ nuper commemorata sunt, quosque maxime ineptos, ad certamen contra veritatem ineundum, esse cognoscitis. Mihi enim sermo est pro divino Spiritu, qui omnia illuminat; qui creaturis divina, non secus ac Pater et Unigenitus ejus, largitur; qui vos etiam sanctificavit; quique a vobis per trisagium hymnum una cum Patre et Filio glorificatur. Sed mihi potius Spiritum hunc hypostasis Dei unum et solum, et Deum prædicandi consensistis: ac fortasse ob immodicum vestrum erga augustam et consubstantialem Trinitatem amorem [mihi autem meus hac in parte liber panegyricus evadit] vestra esse velletis verba, quæ ex Scripturarum sententia a multis, atque in præsens a me dicta sunt, et nunquam hæc silentio obrui, sed omnes homines, cum a negotiis vacant, in hocce argumento tempus impendere exoptatis. Hanc igitur ob causam tu quidem, o sancte Michael, supremo judicio ad imperandum incorporeis exercitibus electus, ac veluti spiritali cingulo honestatus es, et suavis quidam odor exsistis sanctissimæ rerum omnium dominæ, et misericordis Trinitatis. Tu vero, o sancte Gabriel, utpote arcani taciturnus ac fidelis custos, legatus (91) ad præstandum ineffabilis Incarnationis mysterio ministerium electus es. Alii autem **200** aliis donis, vobis a Deo datis, ne petentes quidem, ornati estis; quorum donorum nonnullis quidem alii honestati non sunt, nonnullis autem honestati non fuimus nos: sed nos quoque nonnullis decorati sumus, quibus vos honestati non fuistis. Nam Deus Verbum non propter peccantes angelos angelus, sed propter peccatores homines homo, citra mutationem, citra confusio-

(91) *Legatus.* Lucianus quoque verbo διακονεῖσθαι simili fere sensu usus videtur in *Dialogis fabulosis selectis*, Dialogo II, pag. 66; nam Mercurius ait diis διακονεῖσθαι, id est, ut ego interpretor, deorum « legatum esse. »

Digitized by Google

nem (92), citra peccatum, ineffabiliter, sicut ipse novit, et voluit, ex Virgine, et cum carne carni ipsius Virginis, omniumque nostrum simili, factus est, manens quod erat, et est, et erit, unus, et idem. « Unus (93) enim Sanctus, inquit, unus Dominus Jesus Christus in gloria Dei Patris. » Atque uti ex terra in cœlos ascendit, ita iterum veniet, myriadibus myriadum phalangum bonorum angelorum ipsi inservientibus : ac præterea tum judicabit, tum aget juxta suam in homines benignitatem. Idcirco post ecclesias, ædes etiam oratoriæ (94), quæ a vobis, o gratiosum archangelorum par (95), nomen habent, Deo erectæ (96) sunt non solum in civitatibus, sed et in vicis privatim, et domibus, et agris, eæque auro, et argento, aut etiam ebore ornatæ : et pergunt homines in loca etiam a regione, in qua orti sunt (97), longius dissita, **201** quod oratoria in iis exposita sint veluti totidem prytanea (98), curiæve, in quibus voti compotes fiunt : nec eos piget longum quoque, si opus sit, pelagus trajicere, ac multorum deinceps dierum iter, idque interdum etiam difficile ac molestum, perficere, utpote majorem experturos a vobis in intercedendo pro illis benevolentiam, et bonorum, quæ maxime benefice (99) Deus elargitur, copiosius participes

κατὰ τοῦ Θεοῦ Λόγου καὶ τοῦ ἁγίου Πνεύματος. καὶ δι' αἰδῶ τυχὸν ἢ φόβον τοῦ λέγοντος ἐπινεύσας, καὶ τὰ μὴ καλὰ ἐπαινέσας· ἢ ὅλως ὀλιγωρήσας ποτὲ, καὶ ἐν ῥαθυμίᾳ τῇ οὐκ ἐνδέοντι θέρμενος τὸ πρὸς δύναμιν ἀντιτάξασθαι· μενοῦνγε ἐκ τοῦ ἐναντίου φάναι πολλοὺς, ὡς ἀεὶ παρῆλθον εὔτονος καὶ ἥρεμος εἰς τὰ τοιαῦτα, ἢ δώσων δίκην, ἢ ληψόμενος. Κέρδος γὰρ μέγιστον καὶ αἰώνιον ἑμαυτοῦ, καὶ τῶν ἐξ ἐμοῦ, καὶ τῶν σὺν (92 *b*] ἡμῖν ἡγοῦμαι καλῶς, τὸ πάντα πόνον, εἰ δεήσοι, καὶ κίνδυνον ἐλέσθαι ὑπὲρ τοῦ ποιήσαντος ἡμᾶς καὶ σώζοντος, καὶ κρῖναι, καὶ φιλανθρωπεύσασθαι αὐτοῦ ἕνεκα ἔχοντος Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Εἰδότες οὖν, ὡς ἐκλεκτοὶ λατρευταὶ μὲν τῆς παναγοῦς Τριάδος, πρεσβευταὶ δὲ τοῦ ἀνθρώπων γένους, μηδὲν μετ' αὐτὴν, τὴν πάντων αἴτιον καὶ ζωοποιὸν, αἰδοῦς εἰς ὑμᾶς ἐλλελεῖφθαί μοι, τῆς ὀφειλομένης εἰς τοὺς συναγορευοντάς με ταύτῃ, τῇ χορηγούσῃ ἐνθυμήσεις καὶ φράσεις σοφὰς, αὐτῇ τε ἀρεσκούσας καὶ ἡμᾶς εὐεργετούσας· ἔπειτα καὶ ὑμῖν· καὶ τοσούτῳ « ἔπειτα, » ὅσῳ πρέπει, μετὰ τὴν ἄκτιστον κτιστῆς εὐπρεπῶς μνημονεύειν φύσεως τάξαντας· ἱκετεύσατε ἰδικῶς ὑπὲρ ἐμοῦ καὶ τῶν ἐξ ἐμοῦ, καὶ σὺν ἐμοὶ, καὶ πάντων (τούτου γὰρ πλέον παρέχειν ἡμῖν οὐκ ἐπετράπητε), τήν τε ἐπὶ τούτῳ γνώμην διατηρηθῆναί μοι ἀκίνητον, τήν τε εὐχὴν

(92) *Citra mutationem.* Codex, ἄτρεπτος. Legendum videtur ἀτρέπτως.

(93) *Unus.* Quamvis textus iste, prout hic affertur, non exstet in Bibliis, tamen sæpius eum citat Didymus. Vide not. 1, pag. 161, et segmm. 175 *a*, 177 *b*, 197 *b*, et 198 *a*.

(94) *Ædes oratoriæ.* Hac ipsa appellatione seu locutione utitur S. Athanasius in comment. *in Matthæum*, pag. 29 tom II Collectionis novæ Patrum Græcorum, et Socrates lib. v *Histor. ecclesiast.*, cap. 20, ubi ἔξω τῶν πόλεων (inquit) συνεχώρησε εὐκτηρίους οἴκους κατασκευάζειν, id est, « ut extra urbes exstruerent (Ariani et Macedoniani) ædes oratorias, » sive « oratoria, permisit (Theodosius). » Quin et ecclesias ab oratoriis, ac martyriis distinguunt, ut Didymus, cum Rufinus lib. II *Hist. eccl.*, cap. 27, tum idem Socrates lib. v cap. 10, ac post utrumque Theophilus antecessor lib. II *Institutionum*, tit. I, pag. 213 editionis anni 1751 : ubi sacra esse ait quæ justo ritu, et per sacerdotes Deo sunt consecrata, ὁποῖαι αἱ ἐκκλησίαι, καὶ τὰ μαρτύρια, καὶ τὰ εὐκτήρια, id est, « cujusmodi sunt ecclesiæ, martyria et oratoria. » Quæ vero Didymus ipse hoc in loco de sacris ædibus Deo in archangelorum honorem erectis dictavit, iis consentanea sunt quæ Sozomenus tradidit lib. II *Hist. eccles.*, cap. 3 de ecclesia in Hestiis extra Constantinopolim a Constantino erecta, quæ ab archangelo Michaele nomen habebat, et Μιχαήλιον, seu « Michaelium » vocabatur.

(95) *Par.* In Græco, ξυνωρίς. Ξυνωρὶς vero, sive συνωρὶς inter talorum jactus recensetur a Polluce lib. VII, cap. 33, etsi aliqui codices ibi habeant συνορικῶς. Interpres autem vertit, « conveniens. » At συνωρὶς Hesychio est δυάς, sive « dyas, » id est, ut nonnulli ex veteribus Patribus, ac nominatim S. Paschasius diaconus, loquuntur, aut vertunt, « dualitas, » nimirum « par, » aut « biga. » Quo sensu Theodoretus *Hist. eccles.* lib. II, cap. 8 de duobus loquens ait : τῶν ἀρχιερέων ἡ ξυνωρὶς, id est, « par illud episcoporum; » et cap. 24 : ἡ δὲ ἁξιάγαστος ξυνωρὶς Φλαβιανὸς καὶ Διόδωρος, id est, « Par autem illud admirabile, Flavianus, et Diodorus. » Imo Lucianus ipse in *Timone* ait : νενίκηκε... συνωρίδι πωλικῇ· quæ interpres vertit : « equestri certamine vicit. » Sed συνωρὶς πωλικὴ sensu proprio est « equulorum par, » aut « biga. »

(96) *Deo erectæ.* Ita loquitur Didymus, ut Theologum decet; soli enim Deo templa eriguntur, non angelis, non sanctis, etsi in istorum honorem erigantur. Præclare Augustinus *in Collatione cum Maximino Ariano* (tom. VIII, pag. 660) : « Nonne, si templum (inquit) alicui sancto angelo excellentissimo de lignis et lapidibus faceremus, anathemaremur a veritate Christi, et ab Ecclesia Dei : quoniam creaturæ exhiberemus eam servitutem, quæ uni tantum debetur Deo? Si ergo sacrilegi essemus faciendo templum cuicunque creaturæ, quomodo, » etc. Pseudo-Athanasius vero dial. 3 *De Trinitate :* Πᾶς ναὸς, Θεοῦ ναός ἐστι, id est, « Omne templum, Dei templum est. » Atque, ut alios præteream, S. Paschasius lib. II *De Spiritu sancto*, cap. 12 : « Quem templo, inquit, perspicis dignum, divinis honoribus noveris adorandum, celebrandum votis, sacrificiis excolendum. »

(97) *A regione in qua orti sunt.* In Græco, τῆς ἐνεγκαμένης. Simili modo « patria » a Libanio vocari solet ἡ ἐνεγκοῦσα.

(98) *Prytanea.* Satis eleganter oratoria illa vocat Didymus ἐπιτευγμάτων πρυτανεῖα, sive, ut habet codex, πρυτάνια· quemadmodum enim Athenis in Prytaneo sportulæ ex publico ærario dabantur, aut victus quotidianus præbebatur, ita in oratoriis illis ædibus ea passim « consequebantur » fideles, quæ postulassent. « Idque ipse quoque (ait Sozomenus de Michaelio prope Constantinopolim sito loquens) maximo affectus beneficio, verissimum esse testor... Quidam... in gravissimas calamitates, aut inevitabilia pericula prolapsi, alii morbis... oppressi, precibus illic ad Deum fusis, statim malis liberati sunt, » et cætera.

(99) *Benefice.* In Græco, ὑπὲρ τοῦ ευ, quod positum videtur pro ὑπέρευ. Simili modo Aristophanes in *Acharn.*, act. II, voculæ εὖ articulum addidit in anapæstis illis, quos lib. VIII *ad Attic.*, epist. VIII, affert Cicero :

Τὸ γὰρ εὖ μετ' ἐμοῦ, καὶ τὸ δίκαιον
Σύμμαχον ἔσται.

Digitized by Google

μου πᾶσαν, ἣν οἶδεν αὐτὴ ἡ τὰ πάντα μόνη εἰδυῖα, καὶ εἰς αἶσιον, καὶ ἐπ' ἄπειρον κατορθοῦσα ἀγαθωτάτη, καὶ αὐτοτελὴς, καὶ ἀδιαίρετος Τριὰς προσδεχθῆναι· καὶ καταξιωθῆναι ἡμᾶς παντεχνεῖ, πανοικεῖ, παγγενεῖ, καὶ παμφιλεῖ (φίλοι δὲ ἡμῖν οἱ ὀρθόδοξοι), σὺν ὑμῖν τε καὶ πᾶσιν τοῖς ἁγίοις, ἁγιοτρισσολογῆσαι αὐτὴν ἐν οὐρανοῖς εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· καὶ τῆς ἐπηγγελμένης, καὶ πρὸς ἡμῶν πιστευομένης ἀτελευτήτου καὶ ἀδιαιρέτου αὐτῆς βασιλείας, χάριν αὐτῆς, τυχεῖν. Ἀμήν. Ἀμήν. Ἀμήν.

A futuros. Etenim in sanctis suis ecclesiis, et oratoriis, et martyriis, sicut in aliis sacellis (1), indefícientia sua bona proposuit : et ex quibus rebus hic ipse Rex regnantium, ac Dominus dominantium et dedit, et quotidie dat singulis, ex his pie et sancte oblatum accipit incruentum sacrificium (2), et omnia habet, quæ ab hominibus **202** dari possunt, munera. In his autem quæ contra hæreticos, et in iis, quæ de Trinitatis unitate diximus, vel ipsa irrationalia animantia, imo ipsos lapides prompte nobiscum consentire puto. Quid enim non facit amor qui in Deum fertur? aut cui cedit verum cordis philtrum (3)? Ut enim vos nostis (omnia autem Deo favente dicta sint), sic vobiscum, et cum omnibus sanctis, qui ex nostra (4) fuerunt natura, quique pro nobis intercedunt, me gessi, ut usque ad hanc diem nemo ullam mihi veluti convicii actionem intenderit pro vobis, qui nostri estis intercessores, atque honores pro modulo vestro apud omnes habetis : ac nemo me nominatim in certamen ac judicium de hac re vocavit; quamvis non desint qui falso etiam accusent : sed ne ullus quidem me redarguere tentavit, quod sermones contra Deum Verbum, et sanctum Spiritum audiverim, et præ verecundia fortasse, vel loquentis timore annuerim, ac ea quæ recta non erant, laudaverim, aut quod om-

(1) *Sacellis.* Videat eruditus lector, an verba illa, ὡς ἐν ἄλλοις οὐρανοῖς, ita accipi queant, ut sensus sit, Deum « sicut in cœlis, ita in ecclesiis indefícientia sua bona proponere : » an vero potius, quod mihi magis arridet, conjiciendum sit, dictatum quidem fuisse a Didymo ἱεροῖς, aut ναοῖς, id est « templis ; » nam Didymi ævo, « templi » vocabulo, a quo antea abhorrebant, assuescere cœperunt Christiani : librarios vero vocem ἱεροῖς, aut ναοῖς mutasse in compendiariam notam οὐνοῖς, hoc est, οὐρανοῖς. Quod si retinenda sit lectio codicis, οὐρανοῖς, nihil aliud designari crediderim, quam θείους οἴκους, nempe « sacras ædes, » eo sensu οὐρανούς dictas, quo in iis versibus, quos Antiochiæ in magna ecclesia inscribi jussit Constantius, teste Joanne Malala lib. XIII, templum illud dicitur οὐρανίαις ἀψῖσι πανείκελον, id est, « cœlestibus apsidibus persimile : » aut quo sensu Pollux lib. II, cap. 4, ait : Τοῦ δὲ στόματος τὸ ἄνω, οὐρανός, id est, « Superior vero oris pars, vocatur cœlum : » quod autem nos dicimus « capiti impendere, » id Ægyptii, Alexandrini videlicet, dicebant, μεσουρανεῖν· quorum tamen dialectum ii despiciebant, quibus nihil sapiebat, nisi quod Atticismum saperet. Didymus ergo cum tria sacrarum ædium nomina recensuisset, ne omnia quæ in usu tunc erant, recenseret (quæ enim recentioribus sæculis in Græcam linguam invecta sunt, huc non pertinent), generatim subjunxit : « sicut in aliis sacris ædibus. » Hujusmodi sunt, exempli gratia, ναοί, seu θεῖοι ναοί, id est, « templa Dei ; » Βασιλικαί, seu « Basilicæ ; » Cyriacum, seu « Dominicum, » ut ecclesiam vocat Hilarius lib. I *ad Constantium :* οἱ τῶν μαρτύρων σηκοί, « aulæ, » etc. Quinetiam nonnullarum propria, ac veluti singularia erant nomina, ut « Anastasis, Analepsis, » sive Assumptio, id est Ascensio, « Crux, Anastasia, Michaelium, » τὸ Μνῆμα, seu « Sepulcrum » Domini, Ἀποστολεῖον, τὸ Καισάριον, seu Καισάρειον, aliaque hujusmodi id temporis usitata. Porro vox, οὐρανός, hoc sensu accepta nondum alibi mihi occurrit. Aliquod fortasse ejus vestigium exstare suspicetur quis in Philostorgio, seu potius in compendio Philostorgianæ Historiæ, quod Photius nobis reliquit. Nam lib. IX, hæc impius ille Eunomii laudator ac patronus narrabat : Ὁ μὲν Εὐζώιος, εἰς τὸ κακολογεῖν τοὺς ἄνδρας, ὧν ὑπερήσπισεν, ἀπετρέπετο οὐνοβόστας ἐπ' ἐκκλησίας εἰρωνευόμενος τοὺς ἀμφὶ τὸν Ἀέτιον, Αἰθιοπά τε τὸν Θεόφιλον ἐξυβρίζειν· ὥσπερ οὐκ εὐσεβείας καὶ πίστεως ἀγώνων ὄντων, ἀλλὰ χρωμάτων ἐκλογῆς καὶ γένους, id est, ut vertit Valesius, « Euzoius quidem conviciari cœpit

B iis, quorum patrocinium susceperat, οὐρανοβάτα in ecclesia per ludibrium appellans sectatores Aetii, et Theophilum Æthiopem : prorsus quasi non de religione ac fide ageretur, sed de colorum ac generis delectu. » Porro vocem οὐνοβόστας meridosam esse omnes fatentur. Valesius legendum censet οὐρανοβάτας. « Sic autem (inquit) Euzoius Aetium et Eunomium per ludibrium appellabat ob audaciam ac dementiam, quod instar gigantum in cœlum conscendere tentarent, et de divinitate temere garrire præsumerent. » Gothofredus οὐρανοβόσκας legendum putat : « allusione (inquit) ad Aetianorum ecclesias facta, quasi pascua cœlestia incolerent haberentque. » Demum Jacobus Basnagius, « Observat (inquit) Philostorgius has ironia indicari Eunomianorum ecclesias. At ecclesiæ non tentabant in cœlum conscendere, nec dici poterant cœli pascua : sed ipsas appellabat Euzoius ridendo ὀνοβόσκας, « asinorum pascua. » Jam vero ex hoc C Didymi loco conjiciet quis legendum esse οὐρανοβόσκους, aut quid simile; Aetianos vero ab Euzoio conciones in Ecclesia habente ideo sic vocatos esse, quia in templo viderentur totidem βοσκοί.

(2) *Incr. sacrificium.* Sacrosanctum Missæ sacrificium sine dubio intelligit, quod eodem modo vocat etiam in commentariis *in Psalmos* ad vers. 39 psalmi VII, pag. 748 catenæ Corderianæ : Ἀντεισάγει δὲ (inquit) τὴν ἀναίμακτον θυσίαν καὶ λογικὴν τοῦ Κυριακοῦ σώματος καὶ αἵματος, id est, « Ex opposito autem introducit incruentum ac rationale sacrificium Dominici corporis et sanguinis. » Ad versiculum vero 22 psalmi CVI, Missæ sacrificia vocat τὰς τῆς Καινῆς Διαθήκης θυσίας, ἃς καὶ εὐχαριστίας ὀνομάζειν ἡμῖν ἔθος, τὰς λογικὰς καὶ ἀναιμάκτους, id est, « Novi Testamenti sacrificia, quæ Eucharistias etiam nominare consuevimus, rationalia et incruenta. » Ideo autem ea appellat « rationalia, » ut a cruentis sacrificiis Veteris Testamenti secernantur, quæ alibi dicit αἰσθητὰς θυσίας, id est, « sensibilia sacrificia. »

D (3) *Philtrum.* De rerum terrenarum amore econtrario ait Clemens in secundo *Pædagogi :* Πτηναὶ γὰρ αἱ τῶν ἐρώντων καρδίαι, καὶ σβέννυται μεταναίοντα τὰ φίλτρα, id est, « Amantium enim corda sunt volucria, amorisque irritamenta, » seu « philtra, exstinguuntur sæpe pœnitentia. »

(4) *Ex nostra.* In *Epistola ad Archintum præsulem*, ubi hæc attuli, impressum Venetiis fuit, ἐκ τῆς ὑμετέρας, id est, « ex vestra. » Id quomodo contigerit, ignoro : hoc tantum scio, in codice clare legi, ἐκ τῆς ἡμετέρας, id est, « ex nostra. »

Digitized by Google

nino unquam neglexerim eis pro virili parte obsistere, et, contra quam deceat (5), socors fuerim. Quinimo e contrario plerique aiunt me pro hujusmodi rebus in medium semper prodiisse magna vi et voce, ac sine perturbatione (6), ad litem aut intentandam aut sustinendam (7). Nam lucrum maximum et æternum puto mei ipsius, et eorum qui ex me sunt (8), eorumque, qui nobiscum exsistunt, omnem laborem strenue, ac, si opus fuerit, periculum subire pro Patre, et Filio, et Spiritu sancto, qui nos fecit, et salvat, et judicaturus est, ac sui ipsius (9) causa benignitate prosecuturus. Cum ergo noveritis, utpote electi adoratores sanctissimæ Trinitatis, et humani generis legati atque oratores, nulla me in re obsequio illi defuisse, quod vobis post hanc (10) Trinitatem rerum omnium causam, atque omnia vivificantem **203** debetur, utpote qui mihi apud eamdem Trinitatem patrocinamini, a qua cogitationes locutionesque sapientes, et ei gratæ atque acceptæ, nobisque utiles, ac deinde vobis quoque placentes subministrantur : tantoque libentius dico « deinde, » quanto convenientius est naturam creatam post increatam collocari, atque ita a nobis decenter commemorari : supplicate peculiariter pro me, et pro iis qui orti sunt ex me, ac pro iis qui mecum sunt, et pro omnibus (nec enim vobis concessum est, ut quidquam amplius, quam hoc, nobis præbeatis), ut et in mea de hac re sententia immobilis permaneam, et omnes meæ preces, quas novit illa, quæ sola novit omnia, et cui omnia prospere in æternum cedunt (11), optima, et per se perfecta et individua Trinitas, acceptæ sint, et benigne audiantur; nosque cum omnibus filiis (12), cum tota domo, cum tota familia, et cum omnibus amicis [amici vero nobis sunt orthodoxi] vobiscum una, et cum omnibus sanctis eam laudare, trisagium hymnum canendo, in cœlis per infinita sæcula sæculorum, et promissum, atque a nobis creditum interminabile, et individuum ejus regnum per gratiam ipsius consequi mereamur. Amen. Amen. Amen.

IX. Sed jam tempus est ad inceptum argumentum reverti. Quia una cum Christo, utpote Deus et Conditor, judicaturus est omnia Spiritus sanctus. Cujus est enim omnia judicare, nisi ejus qui Deitatis et regiæ dominationis communionem cum illo habet, qui ipsa fecit? Ita prophetat Isaias : « Egredietur (13) virga ex radice Jesse, et flos ex radice (14) ascendet. Et requiescet super eum Spiritus Dei (15), Spiritus sapientiæ et intellectus, Spiritus consilii et fortitudinis, Spiritus scientiæ et pietatis; et replebit eum Spiritus timoris Dei. Non secundum opinionem judicabit, neque secundum loquelam arguet. Sed judicabit humili **204** judicium, et arguet superbos (16), et liberabit humiles terræ, et percutiet terram verbo oris sui, et in Spiritu per labia interficiet impios (17). » Virgam et florem ex radice Jesse illum dicit, qui ex ipsa quasi germen prodiit in incarnatione, ac sui odoris suavitate terram corroboravit : super quem etiam quiescentem vidimus in Evangeliis Spiritum sanctum : quem demum

Θ'. Ἀλλ' ὥρα γὰρ εἰς τὴν ἀρχθεῖσαν ὑπόθεσιν αὖθις οὖν τείνεσθαι [93 *a*]. Ὅτι σὺν τῷ Χριστῷ, ἅτε Θεὸς καὶ Δημιουργός, τὸ ἅγιον Πνεῦμα κρίνειν μέλλει τὰ πάντα. Τίνος γὰρ καὶ ἔστιν κρῖναι, ἢ τοῦ κοινωνίαν ἔχοντος πρὸς τὸν ποιήσαντα αὐτὰ θεότητος καὶ βασιλείας; ὡς προφητεύει. Ἡσαΐας μέν· « Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει αὐτὸν Πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ὑπερηφάνους, καὶ ἐξελεῖται τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς. » Ῥάβδον καὶ ἄνθος ἐκ τῆς ῥίζης Ἰεσσαὶ λέγει, τὸν ἐξ αὐτῆς ἐν τῇ ἐνανθρωπήσει βλαστήσαντα, καὶ τῇ ἑαυτοῦ εὐωδίᾳ τὴν ὑφήλιον ῥώσαντα, ἐφ' ὃν ἴδομεν ἐν Εὐαγγελίοις ἀναπαυσάμενον τὸ ἅγιον Πνεῦμα· κριτὴν

(5) *Deceat.* Didymus, οὐκ ἐνδέοντι. Qua voce eodem sensu utitur Dio Cassius, pag. 855 editionis Reimari. Aliis vero, ut Clementi in VII *Stromatum*, τὸ ἐνδέον dicitur « id quod deest. »

(6) *Perturbatione.* Codex, ἤρεμος, cum aspero spiritu.

(7) *Sustinendam.* Verti etiam potest : « ad judicium dandum, aut accipiendum. »

(8) *Ex me sunt.* Vide segm. 148 *b*.

(9) *Sui ipsius.* Codex, αὐτοῦ. Legere malim αὐτοῦ.

(10) *Post hanc.* Codex, μηδέν με ταύτην. Lego μηδὲν μετ' αὐτήν.

(11) *Cedunt.* In Græco, εἰς αἴσιον καὶ ἐπ' ἄπειρον κατορθοῦσα. Quæ verba non satis perspicua sunt. In *Epistola ad Archintum præsulem* transtuli, « infinite beata : » nam vox ἄπειρον sine dubio valet hic « infinitum, » aut « æternum : » ac frigide, meo judicio, quis verteret, « inexperto, » aut « ignoto modo. » Simili ratione in commentariis *in Psalmos.* ad postrema verba psalmi CX, quod Psaltes ait, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, Didymus aliter dicit, ἐπ' ἄπειρον, id est, « in æternum. » Ἡ αἴνεσις αὐτοῦ (inquit) μένει ἐπ' ἄπειρον, id est, « laudatio ejus manet in æternum, » sive « infinitum. » Cum vero verbum, κατορθοῦν, duplicem habeat significationem, verti fortasse etiam posset : « quæ omnia ad prosperum exitum in æternum dirigit. »

(12) *Filiis.* Codex, παντεχνεῖ, et reliqua. Utrum autem scribendum sit πανδημεί, exempli causa, παμψηφεί, πανσυδεί, et cætera, an vero πανδημὶ, παμψηφὶ, πανσυδί, disputant grammatici. Ego codicis scripturam retinui, in quo similium vocabulorum postrema syllaba circumflectitur.

(13) *Egredietur.* Isa. XI, 1-4.

(14) *Ex radice.* Græca Biblia habent : « ex radice ejus. » Didymus segm. 123 *b*, habet ἐξ αὐτῆς, id est, « ex ipsa. »

(15) *Dei.* Compl. editio, Κυρίου, id est « Domini. »

(16) *Superbos.* Verba ista, τοὺς ὑπερηφάνους· καὶ ἐξελεῖται, id est, « superbos; et liberabit, » sive « eruet, » desunt in omnibus editionibus.

(17) *Impios.* Biblia Græca : ἀσεβῆ, id est, « impium. »

Digitized by Google

δὲ αὐτὸν σὺν τῷ ἁγίῳ Πνεύματι ἐν τῇ δευτέρᾳ αὐ- A una cum sancto Spiritu judicem in secundo ejus
τοῦ παρουσίᾳ ἰδεῖν περιμένομεν. Τοῦτο γὰρ σημαί- adventu videre speramus; id enim significant tum
νει τό τε, « Ἐν Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσε- verba illa, « In Spiritu per labia interficiet im-
βεῖς, » καὶ τὸ ἀλλαχοῦ εἰρημένον τῷ αὐτῷ προφήτῃ· pios, » tum id, quod alibi ab eodem propheta di-
« Ἐν Πνεύματι κρίσεως, καὶ ἐν Πνεύματι καύσεως. » ctum est: « In Spiritu (18) judicii, et in Spiritu ardo-
Δαυὶδ δὲ ἐν ρλη' ψαλμῷ φησιν· « Ποῦ πορευθῶ ἀπὸ ris. » David vero in CXXXVIII psalmo ait: « Quo ibo (19)
τοῦ Πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου a Spiritu tuo, et a facie tua quo fugiam? » Illud,
ποῦ φύγω; » Τὸ, « Ποῦ πορευθῶ, » καὶ, « Ποῦ φύγω, » « Quo ibo, » et, « Quo fugiam, » latam habet em-
πλατεῖαν ἔχει ἔμφασιν· σημαίνει γὰρ πανταχοῦ phasim: Spiritum enim sanctum ubique præsen-
παρεῖναι καὶ κριτὴν ὑπάρχειν τὸ ἅγιον Πνεῦμα. tem esse, ac judicem exsistere significat. Revera
« Φοβερὸν » γὰρ ὡς ἀληθῶς, κατὰ τὸν Ἀπόστολον, enim « terribile (20) est, » ut Apostolus ait, « in-
« ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, » τοῦ λέγοντος ἐν cidere in manus Dei viventis: » illius nempe, qui
μθ' ψαλμῷ· « Ἐλέγξω καὶ παραστήσω κατὰ πρόσωπόν in XLIX psalmo inquit: « Arguam (21), et statuam
σου τὰς ἁμαρτίας σου. » Καὶ τοῦ Μιχαίου δὲ ἡ contra faciem tuam peccata tua. » Quin Michææ
μικρῷ πρόσθεν [93 *b*] λεχθεῖσα προφητεία, καὶ εἰς quoque prophetia, quæ paulo ante (22) allata est,
τόδε συντελεῖ τὸ κεφάλαιον. Ποίαν δὲ ἀπόδειξιν ἂν B hoc ipsum capitulum argumentumve confirmatur.
εἴποι τις ἰσχυροτέραν εἰς τοῦτο, τοῦ καὶ τὸν Σωτῆρα Quænam vero validior ad hoc probandum demon-
παρ' Ἰωάννῃ λέγειν περὶ τοῦ ἁγίου Πνεύματος· stratio afferri potest, quam quæ ducitur ex eo,
« Ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας, quod Salvator apud Joannem de Spiritu sancto sic
καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως; » loquatur: « Ille (23) veniens arguet mundum de
peccato, et de justitia, et de judicio? »

Ι'. Ὅτι ἐν τῇ ὑπερβαλλούσῃ δυνάμει τοῦ ἁγίου X. Quia in suprema Spiritus sancti virtute Ely-
Πνεύματος, ὁ Παῦλος ἐν Κύπρῳ Ἐλύμαν τὸν μά- mas ille magus sanctorum hostis, ac veritatis cor-
γον, ἐπιστρατεύοντα τοῖς ἁγίοις, καὶ λυμαινόμενον ruptor, verbo a Paulo in Cypro excæcatus est.
τῇ ἀληθείᾳ, ἐξετύφλωσε λόγῳ. Τοῦ Πνεύματος γὰρ Scriptura enim ut illam virtutem ostendat esse Spi-
εἶναι τὴν δύναμιν δεικνῦσα ἡ Γραφὴ, λέγει αὐτοῖς ritus sancti, hisce verbis loquitur: « Tunc (24) Pau-
ὀνόμασιν οὕτως· « Τότε ὁ Παῦλος πλησθεὶς Πνεύμα- lus repletus Spiritu sancto dixit ad eum: Ecce
τος ἁγίου, εἶπε πρὸς αὐτόν· Ἰδοὺ χεὶρ Κυρίου ἐπὶ manus (25) Domini super te, et eris cæcus non vi-
σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον. » Ἀληθῶς dens solem. » Revera enim fieri non poterat, ut
γὰρ οὐκ ἦν αὐτὸν, μὴ ἔχοντα τοῦ Πνεύματος τὴν Paulus, nisi virtutem Spiritus habuisset, quæ om-
πάντα ἐνεργοῦσαν δύναμιν, ἀνθρώπου μαγγανείαις C nia operatur, verbo visum hominis exstingueret,
συζῶντος καὶ δαίμοσι πεποιθότος τὸ βλέπειν ῥήματι incantamentis dediti, et dæmonibus confidentis.
ἀποσβέσαι.

ΙΑ'. Ὅτι τῇ δυνάμει καὶ χάριτι τοῦ ἁγίου Πνεύ- XI. Quia virtute et gratia Spiritus sancti factum
ματος ἀναπτυχθέντες οἱ οὐρανοὶ, ὤφθησαν τῷ δι- est, ut reseratos cœlos conspiceret **205** is, qui
πλοῦς στεφάνους ἀναδησαμένῳ ἀποστολῆς καὶ μαρτυ- duplici corona redimitus est, apostolatus et marty-
ρίου. Φησὶ γάρ· « Στέφανος πλησθεὶς Πνεύματος rii. Ait enim Scriptura: « Stephanus (26) plenus
ἁγίου ἶδε τοὺς οὐρανοὺς ἀνεῳγμένους. » Ὥστε εἶναι Spiritu sancto vidit cœlos apertos. » Adeo ut de
τὸ ὑπὸ ἀρχαίου εἰρημένον· ipso verum fuerit quod a vetusto poeta dictum est:

Οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ. *E cœlo* (27) *autem discissus est immensus æther.*

ΙΒ'. Ὅτι προγινώσκει, ὡς ὁ Πατὴρ καὶ ὁ Υἱός· XII. Quia præscit ut Pater et Filius: futura
μόνης δὲ θεϊκῆς φύσεώς ἐστιν, ἀκριβῶς εἰδέναι τὰ autem probe nosse, divinæ tantummodo naturæ
μέλλοντα. Ἡ γὰρ κτίσις, πάντα μὲν τὰ ἀφ' ἑαυτῆς est. Quidquid enim per seipsam prænoscit crea-
στοχαστικὰ προφέρει, ἐκεῖνο δὲ μόνον ἁπλανῶς καὶ tura, id conjecturis ducta assequitur, ac profert,
ἀπαραβάτως προβλέπει, ὃ αὐτὴν διδάξῃ τὸ ἅγιον et illud tantum infallibiliter, ac sine ullo deceptio-
Πνεῦμα. Ταῖς γὰρ θείαις ἀκτῖσιν αὐτοῦ μονονουχὶ τὰς D nis periculo prævidet, quod ipsam docuerit Spiri-
ἐν οὐρανῷ καταλάμπον δυνάμεις, ἀλλὰ καὶ τῶν ἡμε- tus sanctus. Nam divinis suis radiis non solum
τέρων ψυχῶν ἀπολαμπρύνον τὰ ὄμματα, ὑποδείκνυσί cœlestes illuminans virtutes, sed etiam nostrarum

(18) *In Spiritu.* Isa. IV, 4.
(19) *Quo ibo.* Psal. CXXXVII, vers. 6 (seu 7).
(20) *Terribile.* Hebr. X, 31.
(21) *Arguam.* Psal. XLIX, vers. 22 (seu 21). Biblia: ἐλέγξω σε.
(22) *Ante.* Segm. 88 *a*.
(23) *Ille.* Joan. XVI, 8.
(24) *Tunc.* Act. XIII, 9 et 11. Sacri scriptoris verba in compendium redigit.
(25) *Manus.* Codex, ut solet, χεῖρ, pro χείρ.
(26) *Stephanus.* Act. VII, 55 et 56. Sensum potius affert quam verba, omittens ea quæ ad rem non faciunt.

(27) *E cœlo.* Hemistichium est Homeri ex *Iliad.* cant. VIII, vers. 554. Alii etiam Patres, cum profanum aliquem poetam citant, sæpe nomen omittunt. Ita Clemens Alexandrinus, exempli gratia, duos in *Protreptico* ex Euripide versus afferens, λέλεκται (inquit) τινί, id est, « a quodam dictum fuit. » Cyrillus vero Alexandrinus dialogo 1 *De sancta Trinitate* proferens ex *Iliad.* cant. XVIII, vers. 104 ea verba, ἑτώσιον ἄχθος ἀρούρης, quæ ab Horatio ita conversa sunt, « telluris inutile pondus, » hac utitur locutione: Καθάπερ τις ἔφη τῶν παρ' Ἕλλησι ποιητῶν, id est « Sicut quidam ait Græcorum poetarum. » Vide not. 50, pag. 69.

Digitized by Google

animarum oculos illustrans, diversis sæpe modis suggerit (28) futura, et ob propriam bonitatem et benignitatem concedit, ut creatura aliquando ea quæ humanæ naturæ conducibilia sunt atque utilia, eloquatur : quæ quidem interdum non ei, qui per creaturam concessit, sed ipsi (29) creaturæ accepta refert (30) materialis nostra natura. Testimonia vero de præscientia Spiritus ex apostolicis Actis desumpta, hæc sunt. Ex persona Petri ad Judæos : « Viri (31) fratres, oportebat impleri Scripturam (32), quam prædixit Spiritus sanctus per os David de Juda, qui factus est dux eorum (33), qui comprehenderunt Jesum. » Recte autem dixit, « oportebat ; » nam solius Dei sermo talis est omnis, ut non compleri non possit. Et **206** ex persona Pauli : « Spiritus (34) sanctus per singulas civitates mihi protestatur dicens, quod vincula et tribulationes me manent. » Per prophetam vero Agabum frumenti egestatem (35) in terra ob hominum delicta futuram prænuntiavit (36) utpote bonus, sicut fecerat etiam in Ninive, ut scilicet timore perculsi, per pœnitentiam malum effugerent. Contigit vero ea fames multo post tempore sub Claudio. Quin etiam in Evangelio Christus de Spiritu ait : « Et quæ (37) veniunt, annuntiabit vobis ; » id est, quæ futura sunt.

τε πολλάκις διαφόρους τὰ [94 *a*] μέλλοντα, καὶ συγχωρεῖ, δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν, τὰ πρὸς τὸ χρήσιμον συντελοῦντα τῇ ἀνθρωπείᾳ φύσει ἐκλέγειν ποτὲ τὴν κτίσιν· ἅπερ ἔσθ' ὅτε ἡ ἔνυλος ἡμῶν φύσις, οὐ τῷ χορηγήσαντι διὰ μέσης τῆς κτίσεως, ἀλλ' αὐτῇ ἐπιγράφει. Αἱ δὲ περὶ τῆς προγνώσεως τοῦ Πνεύματος ἀπὸ τῶν ἀποστολικῶν Πράξεων μαρτυρίαι εἰσὶν ἐν τούτοις. Ἀπὸ τοῦ Πέτρου πρὸς τοὺς Ἰουδαίους· « Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ τῶν συλλαβόντων Ἰησοῦν. » Εὖ τοίνυν εἶπε τὸ, « ἔδει· » Θεοῦ γὰρ μόνου πᾶς λόγος οὐκ ἀτελεύτητος. Καὶ ἀπὸ τοῦ Παύλου· « Τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεταί με λέγον, ὅτι δεσμὰ καὶ θλῖψεις με μένουσιν. » Καὶ διὰ τοῦ προφήτου δὲ Ἀγάβου, σιτοδείαν ἐσομένην τῇ ὑπ' οὐρανὸν, διὰ τὰς ἀνθρώπων πλημμελείας, προεμήνυσεν, ὡς ἀγαθὸς, καθὰ καὶ ἐπὶ τῆς Νινευῆ· ὡς ἂν εὐλαβηθέντες, μετανοίᾳ φύγοιεν τὸ κακόν. Ἦτις καὶ συνέβη πολλοῖς ὕστερον χρόνοις ἐπὶ Κλαυδίου. Καὶ ἐν Εὐαγγελίῳ δὲ ὁ Χριστὸς περὶ τοῦ Πνεύματός φησιν· « Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν· » τοῦτ' ἔστι, τὰ μέλλοντα.

CAP. VIII.

De præscientia, et potestate, quam per se habet Spiritus sanctus.

Post divinam porro Spiritus Dei naturam, atque energiam, sive operationem, manifestissime omnino auctoritatem, quam per se ipse habet, et voluntariam ejus distributionem Scripturarum oracula exponunt.

I. Quia non ut minister, sed propria auctoritate omnia facit, et, prout vult, subministrat charismata, quotcunque ineffabilis, et supersubstantialis, et unica largitur natura : et quæcunque vult,

ΚΕΦ. Η'.

Περὶ τῆς προγνώσεως καὶ αὐτεξουσιότητος τοῦ ἁγίου Πνεύματος.

Μετὰ δὴ τὴν θείαν φύσιν καὶ ἐνέργειαν τοῦ Πνεύματος τοῦ Θεοῦ, τρανέστατα κομιδῇ περὶ τῆς αὐτεξουσιότητος αὐτοῦ καὶ ἐθελουσίου διανομῆς τὰ λόγια διαλέγονται.

Α'. Ὅτι οὐ διακονικῶς, ἀλλ' αὐθεντικῶς, πάντα ποιεῖ καὶ παρέχει, καθὼς βούλεται, τὰ χαρίσματα, ὅσαπερ ἂν ἡ ἄφραστος, καὶ ὑπερούσιος, καὶ μόνη χαρίσαιτο φύσις· καὶ ἐνεργεῖ ὅσα ἐθέλει, καὶ πνεῖ

(28) *Suggerit.* In Græco, ὑποδείκνυσι. Sunt autem qui censeant, præpositionis ὑπό eam esse in compositione vim, ut æque valeat interdum, atque πρό, id est « ante. » Ita Phavorinus in Lexico : Ὑπειπεῖν (inquit) ἀντὶ τοῦ προειπεῖν, καὶ ὑπολαβὼν ἀντὶ τοῦ προλαβών. Ac sane commodius in hoc Didymi loco verteretur, « prænonstrat, » quo modo vertunt vulgata Lexica, quam « subindicat ; » ut perspicuum est. Verum haud scio, an id quod Phavorinus ait, ullo certo exemplo confirmari queat.

(29) *Ipsi.* Codex, αὐτῇ. Lego, αὐτῇ. Nisi quis malit, αὑτῇ, id est « sibi ipsi. »

(30) *Accepta refert.* In Græco, ἐπιγράφει. Nimirum ἐπιγραφεῖς dicebantur, qui τὰ ὀφειλόμενα ἐφ' ἑκάστου ἑκάστῳ ἐπέγραφον, id est, « qui singulorum debita adnotabant. »

(56) *Tanquam prodigium factus sum multis.* Merito hisce Psaltis verbis orat Didymus, « multorum » nomine Arianos, ut puto, quorum acerrimus adversarius fuit, intelligens. At nobis alio etiam sensu hæc licet accipere. Quis enim eum « multis prodigium factum » merito dici neget, qui, cum a quinto circiter ætatis anno oculis captus, atque omnino cæcus esset, tam multa tamen didicit, ac dictavit? Recte de illo Sozomenus lib. III *Hist. ecclesiastic.*, cap. 15, « Fuit autem, inquit, non vulgare miraculum : multique fama ejus impulsi Alexandriam se contulerunt, alii ejus audiendi, alii tantum videndi causa. »

(57) *Domine.* Vox a Didymo addita : nec enim exstat in Græcis Bibliis.

(58) *Cantem.* Biblia, ὑμνήσω. Didymus, ἀνυμνήσω.

(59) *Senectutis.* Francofurtensis editio, γήρως.

Digitized by Google

ἡμαρτημένων ἡμῖν ψυχικῶν καὶ σωματικῶν ἐν γνώσει καὶ ἀγνοίᾳ, ἐν λόγῳ καὶ ἔργῳ, ὧδε καὶ « ὅτε νικᾷς ἐν τῷ κρίνειν » τὰ κρυπτὰ τῶν ἀνθρώπων, τῶν τε ἐν κόσμῳ ἐπαχθῶν, καὶ τοῦ τοῖς ἀγαθοῖς ἀεὶ φθονοῦντος καὶ ἐναντίου ἱσταμένου δαίμονος, καὶ παντὸς πνεύματος πονηροῦ καὶ ἀκαθάρτου, καὶ τοῦ μισοκάλου Ἀντιχρίστου, οὗτινος, ὡς τεκμηριοῖ τὰ πράγματα, ὁ ἀγωνίας δεινῆς γέμων χρόνος ἤγγικεν ἤδη· ὥστε μηδένα, μὴ τῶν νῦν, μὴ τῶν τότε εὑρισκομένων ἀπολέσθαι. Οὕτως ἂν πᾶν κακὸν ἐκποδὼν γένηται, διοικηθείη τε καλῶς καὶ ἡσύχως, κατὰ τὸ σὸν ἄφθονον καὶ φιλόψυχον θέλημα, τά τε κοινὰ, τά τε ἰδιωτικὰ πράγματα· καὶ αἱρετὴ λοιπὸν καὶ εὐκταία πᾶσιν ἔσται ἡ ἐν ἑκάστῃ πόλει, μενοῦνγε ἡ ἐν ἀγρῷ εὐσεβὴς καὶ ἰδιοπράγμων οἴκησις· καὶ ὑπάρξῃ παντὶ, ὡς τοῖς ὁσίοις πατράσιν καὶ τοῖς πρὸ ἐκείνων, τὸ ὡς ἐᾷ καὶ βούλεται κατ' ἐξουσίαν πλεῖν, ὁδοιπορεῖν, οἴκοι μένειν, γεωργεῖν, ἐπιμελῶς εἰς πανηγύρεις παραβάλλειν, λαλεῖν χαρίεντα καὶ ἐπιεικῆ, καὶ τὸ μεῖζον τούτων, τὸ ἀπερισπάστως καὶ νηφαλέως μεμνῆσθαί σου, καὶ παντὸς πράγματος ἐκ σοῦ ἀρχὴν ποιεῖσθαι καὶ τελευτὴν, μεταδιδόναι τε πρὸς δύναμιν τοῖς ἐνδεομένοις, ἀρχόμενον ἀπὸ τῶν πρὸς γένος καὶ τῶν οἰκείων, καὶ παρὰ σοῦ τὸ [142 *a*] δάνειον εἰς τὸ μέλλον ἐκδέχεσθαι, καὶ ἐπίμετρον ζωὴν αἰώνιον. « Νηστεία » γὰρ, φησὶν, « καὶ προσευχὴ ἐκ θανάτου ῥύεται· ἐλεημοσύνη δὲ, ὑπὲρ τὰ ἀμφότερα. » Ὡς γὰρ καὶ οἱ ἔξω φασίν·

A ne derelinquas me. » Sic enim per te (60), quæ nihil habes, quod sese tibi opponat, dum nostrum etiam, qui peccatores sumus, misereri statuis, o optima et omnipotens Trinitas, a qua, et ex qua est omne bonum, et in qua omnis omnium spes semper sita est, et post quam nihil omnino est, a peccatis nostris, quæ anima et corpore, cognitione et ignorantia, verbo et opere peccavimus, liberabimur nunc, et cum « vincis in judicando (61) » abscondita hominum, et ab iis, qui nobis in mundo molesti sunt, et a dæmone, qui bonis semper invidet, eorumque adversarius est, et ab omni spiritu malo atque immundo, et ab honesti osore Antichristo, cujus, ut eventa indicant, plenum gravi conflictu tempus jam appropinquavit (62); adeo ut

B nemo eorum, **307** qui nunc sunt, nemo eorum, qui tunc invenientur, pereat. Sic procul absit omne malum, et præclare ac quiete, juxta munificam tuam voluntatem (63), atque amorem, quo animas prosequeris, dirigantur cum communes, tum privatæ res; et ita omnes in posterum in unaquaque civitate, imo et in agro, pie ac religiose, et sua tantum curantes vivant, ut gratum atque optabile fiat iisdem in locis domicilium; et liceat nunc etiam unicuique, sicut pridem sanctis nostris patribus, et iis, qui ante illos fuerunt, pro libito quod quisque amat, et vult, libere agere, navigare, peregre iter facere, domi manere, agros colere, studiose ad panegyres ac festa confluere, jucundos et honestos sermones habere, et, quod his majus (64) est, sine ulla distractione, tui vigilanter meminisse, et cujusvis rei initium a te, ac finem facere, et iis, qui indigent, largiri pro viribus, a propinquis, et consanguineis, ac domesticis incipiendo, et fenus a te in posterum sumere, et auctarii loco vitam æternam accipere. Nam « jejunium (65), » inquit, « et oratio liberat a morte: eleemosyna vero est supra utrumque. » Sicut enim etiam profani aiunt,

Εὐσεβίης οὐδὲν προφερέστερον ἐν μερόπεσσιν. C *Pietate nihil utilius est hominibus.*

Οὕτως ἂν πρὸς τούτοις ἐγγένηται τὸ μὴ νοσεῖν ὑπερηφανίαν καὶ τῦφον, μηδ' εἶναι καυχηματίαν· δι' ἃ ἄφυκτα πάθη, ὁ μὲν ἔχθιστος Σατὰν τοῦ ἄνω φω-

Sic illud etiam insuper nobis concedas, ut in superbiæ atque arrogantiæ morbum ne incidamus, ac ne unus quidem sit gloriosus homo, atque ostentator;

Aliæ, γήρους, ut Didymus. Qui suam ipsius ætatem hic respicere videtur; erat enim, ut puto, jam senex, dum ista dictaret.

(60) *Sic enim per te.* Quemadmodum Didymus secundum hunc librum oratione, seu precatione concludit, ita Clemens quoque Alexandrinus *Pædagogum*, et Hilarius primum *De Trinitate* librum simili modo concluserant. Quorum exempla imitatus Augustinus in extremo opere *De Trinitate*, « Librum itaque istum, inquit, jam tandem aliquando precatione melius, quam disputatione concludam. Domine Deus noster, » et reliqua.

D

(61) *Vincis in judicando.* Ex psal. L.

(62) *Jam appropinquavit.* Antichristi adventum proximum fuisse, plures ante Didymum eodem sæculo suspicati sunt. Ut Basilius Magnus epist. 139 *ad Alexandrinos* anno 373 data: ubi postquam de cruciatibus, quibus Alexandriæ catholici ab hæreticis vexabantur, sermonem habuit, hæc subjicit num. 2, pag. 251: « Ad has cogitationes illa etiam accessit: Num Dominus Ecclesias suas reliquit? Num novissima hora est, et defectio per hæc ingreditur, ut reveletur tandem iniquus ille filius perditionis, qui adversatur, et effertur adversus omnem, qui dicitur Deus, aut numen? » Ac similia scripserant cum Hilarius tom. II, pag. 595 ed. Veronensis, tum Cyrillus Hierosolymitanus catechesi XV, num. 18. Paulo autem post, quam hæc dictavit Didymus, nempe annis plus minus octo ante quadringentesimum Christi annum, aiebat Joannes Chrysostomus in commentario *in Joannem* tom. VIII, pag. 200: « Si tot annorum quadringentesimum esse finem dixerimus, non aberrabimus. » Quinimo nonnulli circa ea tempora Antichristum jam natum censuerunt, idque a S. Martino Turonensium episcopo affirmatum dixere, ut constat ex Sulpicii Severi Dialogo II, cap. 14, pag. 122 edit. Veronensis.

(63) *Voluntatem.* Codex, θελήματά τε κοινά. Sed patet legendum esse, θέλημα τά τε κοινά.

(64) *Majus.* Codex, μεῖζω, pro μεῖζον. Vide not. 72 pag. 40.

(65) *Jejunium.* Duo Scripturæ loca affert, aut respicit. Alter exstat Tobiæ XII, 8 et 9, ubi legitur: Ἀγαθὸν προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης... ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, id est « Bona res est oratio cum jejunio, et cum eleemosyna... nam eleemosyna a morte liberat. » Alter exstat Ecclesiastic. XL, 26: καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται, id est, « et super utrumque eleemosyna liberabit. »

Digitized by Google

cum propter fœdas (66) hasce, ac plane abominandas passiones, Satan ille nobis inimicissimus ex cœlesti luce et bonorum angelorum societate exciderit, et in obscurissimos tartareos recessus prolapsus sit : cumque Pharisæus (67) ille sub lege educatus, quamvis et jejunaret, et sua ipsius bona decimaret, et petentibus opem ferret, suæ tamen superbiæ causa inanem ex his operibus in mundo spem habuerit, ut legitur **308** in sacris Litteris. Illud præterea concede, ut a contentione ac pugna alieni simus; ut cum libris vivamus, ut mundam habentes conscientiam, ab ecclesiasticis synaxibus (68), in quibus (69) modo magis speciali omnibus proponeris (70), nunquam separemur. Sic ignominiosa amplius non sit, nec contemptu digna, sed, sicut pridem ac jam pridem, laudabilis Christianorum consensio, ac symmetria, quæ virtutis omnisque disciplinæ magistra ab initio fuit : et tanto sapientior appareat recens, quam prisca gubernandi ac vivendi ratio, quanto magis Christianæ leges omnibus beneficæ illam perfecerunt. Et jucunda lux oriatur, ac splendida. Et recta administratio in universa terra, ac mari, et profunda pax omni modo, et ratione sit : et Nili (71) fluenta plena : et maxima annonæ ubertas (72) : et magna e contrario, imo omnimoda ambitiosorum (73-74) penuria : nec alter amplius alteri lugendi occasionem præbeat ; et quam mihimetipsi imposui legem, eam observare possim cum decore, et gratia, et gravitate vitæ, ac sermonum : et undecunque nobis, omnibus filiis nostris, et omnibus domibus nostris, et omnibus familiis nostris, et generatim (75) omnibus eve-

A τὸς καὶ τῆς τῶν δοκίμων ἀγγέλων ἑταιρίας ἐξέπεσεν, καὶ εἰς τοὺς ζοφωδεστάτους ταρταραίους μυχοὺς κατωλίσθησεν· ὁ δ' ὑπὸ νόμον τραφεὶς, καὶ νηστεύων, καὶ ἀποδεκατῶν τὰ ἑαυτοῦ ὑπάρχοντα, καὶ ἐπικουρῶν τοῖς προσαιτοῦσιν Φαρισαῖος, ἀνόνητον ἔσχε τέως ἐν κόσμῳ, ὅσον ἐν γράμμασιν ἱεροῖς, τὴν ἐντεῦθεν ἐλπίδα. Ἔτι δὲ ὑπάρξῃ τὸ μάχης ἀφεστάναι, ζῆν ἐν βιβλίοις, καὶ ἀχώριστον εἶναι μετὰ καθαροῦ συνειδότος τῶν ἐκκλησιαστικῶν συνάξεων, ἐν οἷς ἰδικώτερον πρόκεισαι πᾶσιν οὕτως ἔσται, οὐκ ἔτι ἐπονείδιστος καὶ διεπτυσμένη, ἀλλὰ καὶ, ὡς πάλαι καὶ πρόπαλαι, ἐπαινετὴ ἡ τῆς ἀρετῆς καὶ πάσης ἐπιστήμης γενομένη παρὰ τὴν ἀρχὴν διδάσκαλος ἡ συμμετρία. Καὶ σωφρονεστέρα φανείη τῆς ἀρχαίας ἡ ἐξῆς πολιτεία, ὅσῳ καὶ ὑπὸ τῆς Χρι-
B στιανῆς, τῆς πάντ' εὖ πεποιηκυίας, κατανύττεται θεσμοθετήσεως. Καὶ γλυκὺ φῶς ἀνατείλῃ καὶ λαμπρόν· καὶ εὐαρχία μὲν καὶ εἰρήνη ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν, κατὰ πάντα τρόπον καὶ λόγον, ἔσται βαθεῖα· καὶ μεστὸν τοῦ Νείλου [142 *b*] τὸ ῥεῖθρον, καὶ εὐετηρία πλείστη· σπάνις δὲ πολλὴ καὶ παντοία τῶν σπουδαρχιδῶν· καὶ οὐκ ἔτ' ὀδύρηται ἄλλος ἐπ' ἄλλῳ· καὶ ὃν ἐμαυτῷ νόμον ἔθηκα, φυλάξαι δυνηθῶ σὺν ὥρᾳ, καὶ χάριτι, καὶ σεμνότητι βίου καὶ λόγων· πανταχόθεν τε ἡμῖν παντεκνεῖ, καὶ πανοικεῖ, καὶ πιγγενεῖ, καὶ ὁλικῶς ἐκβῇ τὰ πράγματα, εὐχῆς καλλίω καὶ τῶν πρότερον βελτίω. Καὶ πάντα ταῦτα ναὶ, ναὶ, ναὶ, τετελεσμένα καὶ τελεσθησόμενα ἔσται· ὅπως ἐς ἀεὶ ἐργάζηται τὸ ἐν Ἡσαΐᾳ παρηγορικὸν καὶ ἰαματικὸν ῥῆμά σου, τὸ περιέχον οὕτως·
C « Ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν· πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς εὐαγγελιζόμενος ἀγαθά· ὅτι ἀκουστὴν

(66) *Propter fœdas*, etc. Librarius primum interpunctionis notam posuit post voces νοσεῖν, et εἶναι· quam interpunctionem in translatione sequi non potui : deinde scripsit, διὰ ἄφυκτα πάθη. Sed lego διὰ ἃ φυκτὰ πάθη, vel δι' ἃ φυκτὰ πάθη.

(67) *Pharisæus*. Codex habet, Φαρισαίοις, id est, « Pharisæis petentibus opem ferret. » Sed lego, Φαρισαῖος, quod hæc lectio multo concinnior videatur.

(68) *Synaxibus*. Vide not. 2, pag. 280. Nihil porro crebrius in veterum Patrum scriptis occurrit, quam ut omnes Christianos sacris synaxibus interesse cupiant.

(69) *In quibus*. Codex, ἐν οἷς. Legendum videtur potius ἐν αἷς, id est « in quibus synaxibus. » Quod si legas, ἐν οἷς, nempe βιβλίοις, vix ac ne vix quidem sensus constabit. Si vero legas, ἐν οἷς πᾶσιν, id est « in quibus rebus omnibus, » nimis dura erit oratio. Similiter delenda est, ut puto, interpunctionis nota post voces οὕτως ἔσται.

(70) *Proponeris*. Respicit, ut puto, eucharisticum sacrificium Nam simili modo pag. 201 ait : « Indeficientia sua bona proposuit, » id est, « proponere consuevit. » Et quæ nos dicimus « Oblata, » ea Chrysostomus Didymi æqualis in homilia I *De sancta Pentecoste*, tom. II, pag. 463, vocat τὰ προκείμενα, id est « proposita, » et τὰ προκείμενα δῶρα, id est « proposita dona. »

(71) *Nili*. Quis Ægyptium, Alexandrinumve auctorem hic non agnoscat? Ægyptii enim soli ubertas ex copiosa Nili irrigatione, aut potius inundatione dependet, qui cum mense Julio circiter sensim augeatur, maximæ tunc ubertatis causa est, Plinio teste, cum ad sexdecim cubitorum altitudinem fluminis aqua pervenerit. Quod satis eleganter in vetustis nummis repræsentatur, cum in jacentis Nili corpore tot pueri salientes exhibentur, quot cubitis aqua creverit, ut videre licet in nummo Marci Aurelii, quem in Musæo nostro asservamus. Didymi porro ætate aquarum intumescentis Nili partitio cædium occasio erat, teste Palladio in *Historia Lausiaca*, cap. 38, adeo ut vicus in vicum irrueret. Itaque hac etiam fortasse de causa, præcipue vero ob episcoporum discordias, et bella Theodosio imperatori illata, orat Didymus, ut sit ubique profunda pax.

(72) *Annonæ ubertas*. In Græco, εὐετηρία. Quam vocem in Didymi libro *De Sp. sancto*, num. 14, fortasse vertit Hieronymus, ubi legitur : « ut fecunde annus fluat. » Εὐετηρίαν nominat etiam Aristoteles
D in θαυμ. ἀκούσμ., cap. 127, eique opponit ἀκαρπίαν.

(73-74) *Ambitiosorum*. Optime quadrant hæc omnia in ætatem Didymi, ut norunt qui in Ecclesiæ historia versati sunt : illud vero maxime in eam quadrat, quod hic de ambitiosis ait. Ut enim nihil dicam de hæreticis episcopis, qui catholicis passim ab Arianis subrogabantur, tunc et Romæ ambitiosus homo Ursinus Damasum sibi prælatum non ferens pontificatum invasit, et Antiochiæ duo creati sunt episcopi Meletius ac Paulinus, duo itidem Tyri. Alexandriæ quoque, Hierosolymis, et Constantinopoli omnia ambitiosi turbaverant. « Sed et in multis aliis urbibus Orientis (ut Rufini verbis utar ex lib. II *Hist. ecclesiastic.*, cap. 21, desumptis) hujusmodi confusiones contentio genuit sacerdotum. »

(75) *Generatim*. In Græco, ὁλικῶς, quod adverbium in vulgaribus lexicis exemplo caret. Citatur tantum in ipsis Alexandrini grammatici Hesychii

Digitized by Google

ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιὼν, βασιλεύσει σου ὁ Θεός. » Καὶ σχοίημεν ἀτελεύτητον καὶ μετὰ τελευτὴν τὴν ζωὴν καὶ τὴν χάριν διαιωνίζουσαν, διὰ τὸ ἀγαθώτατον, καὶ μεγαλοπρεπέστατον, καὶ σωστικώτατον, καὶ δεδοξασμένον, καὶ εὐχαριστούμενόν εἰς ἀπεράντους αἰῶνας αἰώνων ὄνομά σου, τοῦ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν Θεοῦ Πατρὸς παντοκράτορος, καὶ τοῦ μονογενοῦς Υἱοῦ σου, καὶ τοῦ παναγίου, καὶ ζωοποιοῦ, καὶ δημιουργοῦ Πνεύματός σου. Ἀμὴν, ἀμὴν, ἀμήν. Καὶ ἐροῦσι πάντοτε πάντες πανταχοῦ οἱ ὀρθοδόξων Χριστιανῶν λαοί· Γένοιτο, γένοιτο, γένοιτο.

A niant res præclarius quam precatus sum, et felicius **309** quam antea. Et hæc omnia utique, utique, utique, perficiantur nunc, et perficiantur in posterum : ut tuum illud dictum consolationis plenum, ac salutiferum impleatur, quod in Isaia exstat, et ita se habet : « Ego (76) sum ipse, qui loquor : adsum ut pulchritudo in montibus, ut annuntians bona : quia auditam faciam salutem tuam, dicens : Sion, regnabit in te Deus. » Et interminatam, post vitæ quoque terminum (77), vitam habeamus, et gratiam sempiternam propter beneficum maxime, et magnificentissimum, et summopere salutare, et in infinita sæculorum sæcula glorificatum, atque cum gratiarum actione celebratum nomen tuum, quæ es super omnia, et per omnia, et in omnibus Deus Pater omnipotens, et unigenitus Filius, et sanctissimus, et vivificans, et creator Spiritus. Amen, amen, amen : et omnes ubique orthodoxorum Christianorum populi semper dicant : Fiat, fiat, fiat.

lexicon. At ea voce usus est etiam, ut alios præteream, M. Aurelius imperator lib. XI, num. 18, pag. 110 ed. Londinensis.

(76) *Ego.* Isai. LII, 6 et 7. Nonnulla omittit Didymus post vocem, ὀρέων. Vide Græca Biblia : habent enim aliquam lectionum varietatem.

(77) *Terminum.* Ludit in antithetis, ἀτελεύτητον, et τελευτήν.

[143 a] ΒΙΒΛΙΟΝ Γ.

310 LIBER TERTIUS.

ΠΡΟΒΛΗΜΑΤΑ ΑΙΡΕΤΙΚΩΝ ΑΠΟ ΤΩΝ ΔΙΑΓΟΡΕΥΟΥΣΩΝ ΓΡΑΦΩΝ ΤΑ ΥΠΟΤΕΤΑΓΜΕΝΑ ΡΗΜΑΤΑ. ΚΑΙ ΑΝΤΙΘΕΣΕΙΣ ΟΡΘΟΔΟΞΩΝ.

OBJECTIONES HÆRETICORUM DUCTÆ EX SCRIPTURIS, IN QUIBUS LEGUNTUR VERBA, QUÆ SUBJICIUNTUR ET RESPONSIONES ORTHODOXORUM.

Κεφ. Α'. *Πρόλογος περὶ παθῶν τῶν ἐκ σώματος καὶ προαιρέσεως ψυχῆς.*

Cap. I. *Prologus de passionibus, quæ sunt ex corpore et ex animæ electione.*

Κεφ. Β'. *Θεολογιῶν κεφάλαια ε'.*

Cap. II. *Theologica argumenta, seu capitula, quinque et quinquaginta.*

Κεφ. Γ'. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

Cap. III. Dominus creavit me initium viarum suarum in opera ipsius.

Κεφ. Δ'. Πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς.

Cap. IV. Primogenitus omnis creaturæ : quia in ipso creata sunt omnia quæ in cœlis et quæ in terra.

Κεφ. Ε'. Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος.

Cap. V. Ego sum principium et finis.

Κεφ. Ϛ'. Γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε· *καὶ*, Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ· *καὶ*, Δέξασθε τὸν ἀρχιερέα· *καὶ*, Ὃς ἐγενήθη σοφία ὑμῖν ἀπὸ Θεοῦ· *καὶ*, Ἐκλελοχισμένος ἀπὸ μυριάδων.

Cap. VI. Cognoscat omnis domus Israel, quod et Dominum ipsum et Christum Deus fecit; *et*, Ego vero constitutus sum rex ab eo; *et*, Suscipite sacerdotem magnum; *et*, Qui factus est Sapientia vobis a Deo; *et*, Electus ex millibus.

Κεφ. Ζ'. *Χριστὸν* Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

Cap. VII. *Christum* Dei virtutem, et Dei sapientiam.

Κεφ. Η'. *Πρὸς τὸ γεγράφθαι ἄμπελον τὸν Χριστὸν, κλήματα ἀνθρώπους, γεωργὸν τὸν Θεὸν Πατέρα.*

Cap. VIII. *In id quod scriptum est, Christum esse* vitem, *homines* palmites, *Deum Patrem* agricolam

Κεφ. Θ'. Μέγα σοί ἐστιν κληθῆναί σε παῖδά μου· *καὶ*, Ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης· *καὶ* Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης· *καὶ*, Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Θεόν μου.

Cap. IX. Magnum est tibi vocari te puerum meum; *et*, Qui definitus est Filius Dei in virtute secundum Spiritum sanctitatis; *et*, Deus Domini nostri Jesu Christi, Pater gloriæ; *et*, Ascendo ad Patrem meum, et Deum meum.

Κεφ. Ι'. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὕψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· *καὶ*, Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.

Cap. X. Ideo et Deus ipsum exaltavit, et donavit illi nomen, quod est super omne nomen; *et*, In similitudine hominum factus, et habitu inventus ut homo

Κεφ. ΙΑ'. [143 b] Ἐγὼ ζῶ διὰ τὸν Πατέρα.

Cap. XI. Ego vivo propter Patrem.

Κεφ. ΙΒ'. Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός.

Cap. XII. Descendi de cœlo, non ut faciam voluntatem meam, sed ejus, qui misit me, Patris

Κεφ. ΙΓ'. Διὰ τοῦτο ἔχρισέ σε, Θεὲ, ὁ Θεός σου· *καὶ*, Ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον.

Cap. XIII. Propterea unxit te, o Deus, Deus tuus; *et*, Quem Pater sanctificavit, et misit in mundum.

Κεφ. ΙΔ'. Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου· *καὶ περὶ τοῦ*, Τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν.

311 Cap. XIV. Non derelinques animam meam in inferno; *et de illo textu :* Christum Jesum Deus suscitavit a mortuis.

Κεφ. ΙΕ'. Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός.

Cap. XV. Nemo bonus, nisi unus Deus.

Κεφ. ΙϚ'. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀόρα-

Cap. XVI. Regi autem sæculorum incorruptibili, in-

Digitized by Google

visibili, soli sapienti Deo honor et gloria; *et*, Solus habens immortalitatem; lucem habitans inaccessibilem, *et de iis qui dicunt :* Nonne ergo sunt animæ et angeli immortales et invisibiles ?

Cap. XVII. Sicut enim Pater vitam habet in semetipso, sic dedit Filio vitam habere in semetipso; *et*, Potestatem dedit ipsi judicium faciendi, quia Filius hominis est; *et rursus :* Quos dedisti mihi ex mundo, tui erant, et mihi eos dedisti; *et rursus :* Omnia mihi tradita sunt a Patre; *et rursus :* Data est mihi omnis potestas in cœlo, et in terra. *Et observa similia. Et illud Davidis :* Postula a me, et dabo tibi gentes hæreditatem tuam.

Cap. XVIII. Qui misit me Pater, major me est. *Ibidem de Montanistis et Manichæis.*

Cap. XIX. Pater mandatum mihi dedit, quid dicam, et quid loquar. *De Spiritu autem sancto :* A semetipso non loquetur; *et*, A memetipso non sum locutus; *et*, Sicut præcepit mihi Pater, sic facio; *et*, Sermo, quem auditis, non est meus, sed ejus qui misit me.

Cap. XX. Cum tradet regnum Deo et Patri, et cum subjecta fuerint ei omnia, tunc et ipse Filius subjicietur ei qui subjecit illi omnia; ut sit Deus omnia in omnibus. *Ibidem, quod quando Incarnatio nota hominibus facta est, tunc angeli quoque propter homines eam cognoverunt.*

Cap. XXI. Pater, si possibile est, transeat calix iste; *et de hoc textu*, Salva me ex hac hora; *et*, Deus meus, Deus meus, utquid dereliquisti me ? *et*, Tristis est anima mea usque ad mortem. *Et de fletu super Lazaro, et de defatigatione, et oratione, et fame, et somno Christi, et aliis id genus. Ibidem, quod cum ipso erat Pater, et Spiritus sanctus.*

Cap. XXII. *Nemo scit norissimum diem*, nec angeli, nec Filius.

312 Cap. XXIII. Quoniam nullus est Deus, nisi unus: nam quamvis sunt qui dicuntur dii sive in cœlo, sive in terra, sicut sunt dii multi, et domini multi : nobis vero unus Deus Pater, ex quo omnia, et unus Dominus Jesus Christus, per quem omnia. *Ibidem, quod nomen* Deus *non est præstantius nomine* Dominus : *sed ambo tribus conveniunt hypostasibus ; sæpius vero etiam præponitur nomen* Dominus *nomini* Deus.

Cap. XXIV. *Quod Græci juxta eorum errorem intelligunt illud :* Si qui sunt qui dicuntur dii sive in cœlo, sive in terra.

Cap. XXV. Glorifica me tu, Pater, apud temetipsum gloria quam habui, antequam mundus esset, apud te.

Cap. XXVI. Quando venerit in gloria Patris sui.

Cap. XXVII. Mediator Dei, et hominum Dominus noster Jesus Christus.

Cap. XXVIII. *Quod sine Filio non sunt donata juxta aliquos charismata, quæ data sunt ante ejus adventum in mundum.*

Cap. XXIX. *De eo quod petenti matri filiorum Zebedæi, ut constituerentur a dextris ejus, et a sinistris in futuro judicio duo filii ejus, dixit :* Non est meum dare, sed quibus paratum est a Patre.

Cap. XXX. Pater, in manus tuas deponam spiritum meum.

Cap. XXXI. Præpara te ut invoces Deum tuum, Israel, quia ecce ego firmans tonitru, et creans Spiritum, et annuntians in hominibus Christum ejus

Cap. XXXII. *De iis, qui dicunt :* Omnia per Filium facta sunt. *Nonne inter* omnia *est etiam Spiritus sanctus ?*

Cap. XXXIII. *De eo, quod dixit Christus :* Et quomodo David in Spiritu sancto vocat eum Domi-

τῳ, μόνῳ σοφῷ Θεῷ τιμη καὶ δόξα· *καὶ*, Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· *καὶ περὶ τῶν λεγόντων·* Οὐκ εἰσὶν οὖν αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι ἀθάνατοι καὶ ἀόρατοι;

Κεφ. ΙΖ'. Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· *καὶ*, Ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου· *καὶ πάλιν·* Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας· *καὶ πάλιν·* Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός· *καὶ πάλιν·* Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. *Καὶ θέα τοιαῦτα. Καὶ τὸ τοῦ Δαυΐδ·* Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.

Κεφ. ΙΗ'. Ὁ πέμψας με Πατὴρ μείζων μου ἐστίν. *Ἐν ταυτῷ περὶ Μοντανιστῶν καὶ Μανιχαίων.*

Κεφ. ΙΘ'. Ὁ Πατὴρ ἐντολήν μοι δέδωκε, τί εἴπω καὶ τί λαλήσω. *Περὶ δὲ τοῦ ἁγίου Πνεύματος·* Ἀφ' ἑαυτοῦ οὐ λαλήσει· *καὶ*, Ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα· *καὶ*, Καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ, οὕτω ποιῶ· *καὶ*, Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με.

Κεφ. Κ'. [144 *a*] Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, καὶ ὅτ' ἂν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. *Ἐν ταυτῷ, ὅτι τὴν οἰκονομίαν, ὅτε ἄνθρωποι, τότε καὶ ἄγγελοι διὰ τοὺς ἀνθρώπους ἔγνωσαν.*

Κεφ. ΚΑ'. Πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο· *καὶ περὶ τοῦ*, Σῶσόν με ἐκ τῆς ὥρας ταύτης· *καὶ*, Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με; *καὶ*, Περίλυπός ἐστιν ἡ ψυχή μου μέχρι θανάτου. *Καὶ περὶ τοῦ δακρῦσαι ἐπὶ Λαζάρῳ, καὶ κοπιάσαι, καὶ προσεύξασθαι, καὶ πεινῆσαι, καὶ ὑπνῶσαι, καὶ ὅσα τοιαῦτα. Ἐν ταυτῷ, ὅτι μετ' αὐτοῦ ἦν ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα.*

Κεφ. ΚΒ'. *Οὐδεὶς οἶδε τὴν ἐσχάτην ἡμέραν*, οὐδὲ οἱ ἄγγελοι, οὔτε ὁ Υἱός.

Κεφ. ΚΓ'. Ὅτι οὐδεὶς Θεὸς, εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί· ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. *Ἐν ταυτῷ, ὅτι ὁ Θεὸς οὐ πρωτεύει τοῦ ὁ Κύριος, ἀλλ' ἀμφότερα ταῖς τρισὶν ἁρμόζει ὑποστάσεσιν πολλάκις δὲ καὶ προτάττεται τὸ ὁ Κύριος τοῦ ὁ Θεός.*

Κεφ. ΚΔ'. *Περὶ τοῦ Ἕλληνας πρὸς τὴν ἰδίαν πλάνην νοεῖν τὸ*, Εἴ τινές εἰσι λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς.

Κεφ. ΚΕ'. Δόξασόν με σὺ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

Κεφ. ΚΖ'. Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ.

Κεφ. ΚΖ'. Μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Κεφ. ΚΗ'. [144 *b*] *Περὶ τοῦ ἄρευ τοῦ Υἱοῦ μὴ δεδωρῆσθαι κατ' ἐνίους τὰ πρὸ τῆς ἐν κόσμῳ παρουσίας αὐτοῦ χαρίσματα.*

Κεφ. ΚΘ'. *Περὶ τοῦ, αἰτούσῃ τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου ὥστε καθεσθῆναι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν ἐν τῇ μελλούσῃ κρίσει τοὺς δύο αὐτῆς υἱοὺς, εἰπεῖν τὸ*, Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός.

Κεφ. Λ'. Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.

Κεφ. ΛΑ'. Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ.

Κεφ. ΛΒ'. *Περὶ τῶν λεγόντων·* Πάντα διὰ τοῦ Υἱοῦ ἐγένετο· *εἰς πάντα οὖν ἐστιν καὶ τὸ ἅγιον Πνεῦμα.*

Κεφ. ΛΓ'. *Περὶ τοῦ τὸν Χριστὸν εἰρηκέναι·* Καὶ πῶς Δαυΐδ ἐν Πνεύματι ἁγίῳ καλεῖ αὐτὸν Κύριον,

Digitized by Google

λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου;

Κεφ. ΛΔ'. *Περὶ τοῦ, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη.*

Κεφ. ΛΕ'. *Περὶ τοῦ γράφειν·* Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν, τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ὑπερεντυγχάνει ὑπὲρ ἁγίων.

Κεφ. ΛϚ'. Αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· *καὶ πάλιν·* Πιστεύετε εἰς τὸν Θεόν; καὶ εἰς ἐμὲ πιστεύετε. *Οὐκ εἶπε δὲ, φησὶν,* Καὶ εἰς τὸ ἅγιον Πνεῦμα.

Κεφ. ΛΖ'. Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός· οὐδὲ τὸν Υἱόν τις ἐπιγινώσκει, εἰ μὴ ὁ Πατήρ. *Καὶ πρὸς τοὺς λέγοντας,* ἐρευνᾶν τὸ ἅγιον Πνεῦμα τὰ βάθη τοῦ Θεοῦ, *ὡς ἔσθ' ὅτε ἀγνοοῦν.*

Κεφ. ΛΗ'. [145 *a*] *Περὶ τοῦ ἀφορίζειν αὐτοὺς μόνῳ τῷ ἁγίῳ Πνεύματι τὸ ὄνομα τοῦ* Παρακλήτου· *λέγειν δὲ, ὅτι καὶ ἀπεστάλη παρὰ τοῦ Υἱοῦ. Καὶ περὶ τοῦ καὶ τὸν Υἱὸν ἀπεστάλθαι παρὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Ἐν ταὐτῷ καὶ περὶ Μοντανοῦ.*

Κεφ. ΛΘ'. *Περὶ τοῦ,* Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κράζον· Ἀββᾶ, ὁ Πατήρ.

Κεφ. Μ'. *Πρὸς τὸ εἰπεῖν τὸν Υἱὸν περὶ τοῦ Πνεύματος·* Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

Κεφ. ΜΑ'. *Περὶ Μοντανιστῶν οὑτωσί·*

Ὅτι τὸν αὐτὸν λέγουσιν εἶναι Πατέρα, καὶ Υἱὸν, καὶ Παράκλητον.

Ὅτι λέγουσιν Μοντανὸν ἐσχηκέναι τὸ τέλειον τοῦ Παρακλήτου.

Ὅτι λέγουσιν· Ὑμεῖς, φησὶν, οὐ πιστεύετε μετὰ τὴν ἐν κόσμῳ ἐπιδημίαν τοῦ Δεσπότου γεγερῆσθαι προφήτας.

Κεφ. ΜΒ'. *Περὶ παραινέσεως.*

Περὶ τοῦ προειρῆσθαι τὴν αἱρετικὴν ἀσέβειαν.

A num, dicens : Dixit Dominus Domino meo?

Cap. XXXIV. *De illo :* Nondum enim erat Spiritus sanctus, quia Jesus nondum glorificatus fuerat.

Cap. XXXV. *De eo, quod scriptum est :* Ipse Spiritus postulat pro nobis gemitibus inenarrabilibus. Qui autem scrutatur corda, scit quid sapiat Spiritus, quia secundum Deum postulat pro sanctis.

Cap. XXXVI. Hæc enim est vita æterna, **313** ut cognoscant te solum verum Deum; *et rursus :* Creditis in Deum? et in me credite. *Non dixit vero, inquiunt,* Et in Spiritum sanctum.

Cap. XXXVII. Nemo novit Patrem, nisi Filius, neque Filium quis novit, nisi Pater. *Et contra eos, qui dicunt,* scrutari Spiritum sanctum profunda Dei, *quod aliquando ea ignoret.*

Cap. XXXVIII. *Quod hæretici nomen* Paracleti *soli Spiritui sancto tribuunt : et dicunt, missum esse etiam a Filio. Et de eo, quod aiunt, Filium quoque missum esse a Patre, et a Spiritu sancto.* B *Ibidem etiam de Montano.*

Cap. XXXIX. *De illo textu :* Emisit Deus Spiritum suum in corda nostra, clamantem : Abba, Pater.

Cap. XL. *In illud, quod dicit Filius de Spiritu :* Ille me glorificabit, quia de meo accipiet, et annuntiabit vobis.

Cap. XLI. *De Montanistis, in hunc modum :*

Quod eumdem dicunt esse Patrem, et Filium et Paracletum.

Quod Montanum habuisse inquiunt perfectionem Paracleti.

Quod aiunt : Vos non creditis, post adventum Domini in mundum, fuisse prophetas.

Cap. XLII. *De exhortatione.*

Prænuntiatam esse hæreticam impietatem.

LIBER TERTIUS.

—

ΚΕΦ. Α' [145 *b*].

Ψυχὴ καθ' αὑτὴν ἐν τῷ νοητῷ ἀπαθὴς ὑπάρχουσα, τοῦ παθαίνεσθαί ποτε αἰτίαν ἔχει τὸ σώμασι συνεῖναι, καὶ τὴν ἰδίαν αὐτῆς προαίρεσιν, ἤτουν τῆς γνώσεως τὴν ἔφεσιν. Τὸ μὲν γὰρ σῶμα ἐναποκεκλεισμένην ἔχον αὐτὴν ἐν ἑαυτῷ, ὡς ἐν τυφλῷ φρουρίῳ, διὰ τῶν ὑλικῶν παθῶν ἀποδιηγνύει τῆς τοῦ Θεοῦ ὁμι-

314 CAP. I.

Anima cum per se ipsam in intellectuali parte C sit impatibilis (78), cur patiatur aliquando in causa est ejus conjunctio cum corpore, et propria ipsius voluntas, atque electio, aut cognitionis appetitus. Nam corpus cum eam in se ipso, velut in cæca custodia (79), inclusam habeat, per materiales pas-

(78) *Impatibilis.* Animam a corpore sejunctam pati non posse censuit olim Tertullianus in *Apologetico*, cap. 48. Sed hunc errorem postea abjecit, eumque in extremo libro *De anima* refellit. « Nonne et de suo, inquit, sufficit sibi (anima) ad... titulum passionis? » In eumdem porro hic Didymum incidisse non existimo : nam primum quidem animam ex corporis conjunctione duntaxat pati non ait, sed ex eo etiam, quod scientiam appetat, et eligendi, ac volendi facultate prædita sit : deinde illam non absolute impatibilem dicit, sed ἐν τῷ νοητῷ, id est, quatenus intelligens est, aut « in eo, quod intellectuale in ipsa est. » Demum impatibilem potius vocat, ut puto, quod passionis expers sit, ipsa secundum se ipsam spectata, quam quod pati omnino nequeat.

(79) *Velut in cæca custodia.* Locutio ista, quam Plato, ac Platonici usurparunt, Origeniana videri potest, ac talis reipsa visa est S. Methodio, ut testatur Photius in Bibliotheca cod. 224. Hieronymus tamen cum ea usus esset in commentariis Epistolæ ad Ephesios, eamdem lib. I *in Rufinum* defendit, quamvis ab Origene adhibitam dicat. Totum Hieronymi locum non affero, utpote longiorem. Legat lector num. 25 ejus libri : ubi prius fatetur se in commentariis Epistolæ ad Ephesios hæc scripsisse : « Vel certe quia in plurimis locis lectum est, vinculum animæ corpus hoc dici, quo quasi clausa teneatur in carcere, dicimus propterea Paulum corporis nexibus coerceri. » Deinde vero subjungit, se ibi Origenis interpretationem posuisse. Ac demum addit : « Et tamen vinctam dici animam corpore, donec ad Christum redeat, et in resurrectionis gloria corruptivum, et mortale corpus incorruptione et immortalitate commutet, non absurdæ intelligentiæ est. Unde et Apostolus : «Miser ego, inquit, «homo : quis me liberabit de corpore mortis hujus?» Corpus mortis appellans, quod vitiis, et morbis, et perturbationibus, et morti subjaceat, donec cum Christo resurgat in gloria. » Fortasse vero Di-

Digitized by Google

siones ipsam a Dei consortio abducit, ac deorsum in terram, atque in terrenas, ut puto, sollicitudines ipsam inclinat; atque ita imperare conatur ei, quæ natura præstantior est, et tanto præstantior, quanto id, quod immortale est, excellentius est eo, quod est mortale. Desiderium insuper propriæ ipsius explendæ voluntatis, aut acquirendæ cognitionis, illuc eam trahit, eoque tendit, ut quædam scire velit : sed cum rectum ac tutum viæ ductorem non habeat, aut pravorum hominum consuetudine utatur, aberrat, et anceps hæret, ac tandem ad quam forte appulsa fuerit opinionem, eam inconsiderate amplectitur : atque ita summopere miserabilis fit, ac misera ; quippe quæ dum bonam cognitionem aucupatur, eamque se invenisse putat, in pravas incidens sententias depravatur. Quod enim nos omnes natura ita comparati simus, ut scientiam appetamus, ostendit, ut inquit Aristoteles (80), etiam **315** sensuum desiderium, quod nulla urgente necessitate ad se ipsum nos attrahit. Itaque videre aliquid, aut agere aliquando optamus, etsi omnino necessarium non sit, sed potius noxium quod conspicitur, aut efficitur. Quod autem hæc ita se habere aperte affirmaverint sacræ Litteræ, declarant divini scriptores (81), qui sic locuti sunt. Jacobus inclytæ memoriæ vir : « Non est (82), inquit, sapientia ista desursum descendens, sed terrena, animalis, diabolica. » Et subdit : « Quæ enim (83) desursum est sapientia, primum quidem pura est, pacifica (84), æqua, docilis, plena misericordia et fructibus operum bonorum (85), non dijudicans, simulationis expers. » Ac præterea duplicis animæ eos homines vocat, qui rudes, et gregarii sunt, nec mundam cognitionem, aut stabilem (86) animæ electionem propositumve habent, dum hæc scribit : « Appropinquate (87) Deo, et appropinquabit vobis, emundate manus, o peccatores, et purificate corda, o duplices animo. » Quin

λίας, καὶ καταφέρει πρὸς γῆν καὶ τὰ γῆς, οἶμαι, φροντίσματα· καὶ οὕτω κατακρατεῖν ἐπιχειρεῖ τῆς φύσει κρείττονος, καὶ τοσούτῳ κρείττονος, ὅσον τὸ ἀθάνατον τοῦ θνητοῦ. Ἡ δέ γε τῆς ἰδίας αὐτῆς προαιρέσεως, ἢ γνώσεως πάλιν ἐπιθυμία, ἔλκει μὲν εἰς τὸ θέλειν εἰδέναι τι αὐτὴν, καὶ ἐπὶ τοῦτο πορεύεται, μὴ ἔχουσα δὲ ὁρθὸν τῆς πορείας ἀγωγὸν, ἢ κακῶν χρησαμένη ὁμιλίαις ἀνθρώπων, πλανᾶται καὶ ἀπορεῖ, καὶ τέλος, ἐφ' ἣν τύχοι προσορμήτασα δόξαν, ἀμαθῶς ταύτην ἀνείλετο· καὶ οὕτω δὴ γέγονεν οἰκτίστη τε καὶ ἀθλία, ἐν γνώσεως ἀγαθῆς ὑποψίᾳ καὶ δόξῃ θηρασαμένη κακόνοιαν. Ὅτι γὰρ πάντες ἄνθρωποι κατὰ φύσιν τοῦ γινώσκειν ὀρεγόμεθα, δηλοῖ τοῦτο, ὥς φησιν Ἀριστοτέλης, καὶ ἡ τῶν αἰσθήσεων ἐπιθυμία, πέρα τῆς χρείας ἡμᾶς ἐφ' ἑαυτὴν παραπέμπουσα. Ὁρᾷν γοῦν, ἢ ποιεῖν ἔσθ' ὅτε ἐπιθυμοῦμεν, κἂν μὴ πάνυ ἀναγκαῖον, ἀλλὰ καὶ ἐπιβλαβὲς τὸ ὁρώμενον, ἢ πραττόμενον ἦ. Ὅτι δὲ ταῦτα οὕτως ἀντικρυς εἴρηται, τῶν θείων Γραφείων διασαφοῦσιν οἱ ἀξιώσαντες εἰπεῖν τοιῶσδε· Ἰάκωβος ὁ τῆς εὐκλεοῦς μνήμης· « Οὐκ ἔστιν ἡ σοφία αὕτη ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαιμονιώδης. » Ἐπιφέρει τε· « Ἡ γὰρ ἄνωθεν σοφία, πρῶτον μὲν ἁγνή ἐστιν, εἰρηνική, ἐπιεικὴς, [146 *b*] εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἔργων ἀγαθῶν, ἀδιάκριτος, ἀνυπόκριτος. » Καὶ ἔτι διψύχους προσαγορεύει τοὺς ἀγελαίους, καὶ οὐ καθαρὰν γνῶσιν καὶ σταθερὰν ψυχῆς προαίρεσιν ἔχοντας τῶν ἀνθρώπων, φάσκων τοιάδε· « Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. » Ἀλλὰ καὶ πρὸς τοὺς μισοπόνηρον ζῆλον ψυχῆς ἔχοντας, καὶ νικηφόρους ὄντας ἀρετῆς, οὓς οὐ διαφεύγει τῶν τιμίων οὐδὲ ἕν, διαλέγεται, ὥστε εἴργειν τῶν μὴ τοιούτων ἀνθρώπων τὸ ἀκόλαστον, καὶ μεταδιδόναι καὶ ἄλλοις, ὧν αὐτοὶ ἔχουσιν ἀγαθῶν, ῥήμασιν αὐτοῖς· « Ἀδελφοὶ, ἐάν τις παρ' ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. »

dymus, dum sic loquitur, respicit illud psal. CXLI, vers. 8 : « Educ de custodia animam meam, » sive, ut legitur apud Hieronymum lib. *adv. Joannem Hierosolymitanum*, num. 7, « Educ de carcere animam meam. » Lege, si placet, S. Zenonis lib. I, tract. 16, pag. 120.

(80) *Aristoteles.* Primum *Metaphysicorum* librum sic exordiuntur philosophus Stagirita : Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει· σημεῖον δ' ἡ τῶν αἰσθήσεων ἀγάπησις. Καὶ γὰρ χωρὶς τῆς χρείας, ἀγαπῶνται δι' ἑαυτὰς, καὶ μάλιστα τῶν ἄλλων ἡ διὰ τῶν ὀμμάτων. Οὐ γὰρ μόνον ἵνα πράττωμεν, ἀλλὰ καὶ μηθὲν μέλλοντες πράττειν, τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων, ὡς εἰπεῖν, τῶν ἄλλων. Αἴτιον δ', ὅτι μάλιστα ποιεῖ γνωρίζειν τι ἡμᾶς αὕτη τῶν αἰσθήσεων. Quæ sic vertit Bessarion : « Omnes homines natura scire desiderant. Signum autem est sensuum dilectio : nam et absque usu propter se ipsos amantur. Præ cæteris autem, qui per oculos fit : non enim ut agamus solum, verum etiam nil acturi, ipsum videre præ omnibus aliis eligimus. Causa autem est, quod sensuum hic vel maxime nos cognoscere quidquam facit. »

(81) *Divini scriptores.* Codex, τῶν θείων Γραφείων. Legendum fortasse τῶν θείων γραφέων, cum nomen γραφεῖον neutrius generis sit, verbum vero ἀξιώσαντες masculini : ac præterea nomen illud tertiæ partis Testamenti Veteris proprium videatur, cujus, ut Epiphanius hæresi XXIX, cap. 7, testatur, tres istæ numerabantur partes, νόμος, προφῆται, et γραφεῖα, id est « lex, prophetæ, et hagiographa. »

(82) *Non est.* Epist. Jacob. III, 15.

(83) *Quæ enim.* Ibidem vers. 17. Græca editio habet : Ἡ δὲ ἄνωθεν, id est « Quæ autem desursum est. »

(84) *Pacifica.* Biblia habent, ἔπειτα εἰρηνική, id est « deinde pacifica. »

(85) *Fructibus operum bonorum.* Græca editio caret voce, ἔργων, id est « operum. » Quam cum ne Vulgatus quidem interpres legerit, vertit, « fructibus bonis. »

(86) *Stabilem*, etc. Simili fere modo διψύχους interpretatur Clemens in primo *Stromatum* ex *Pastoris* libro, id est « ancipites, ac dubios. »

(87) *Appropinquate.* Epist. Jacob. IV, 8.

Digitized by Google

Οὐδὲν δὲ ἧττον καὶ Πέτρος διδάσκων, πόθεν ἀπαθὴς τυγχάνουσα ψυχὴ, παθῶν ἀνάπλεώς ποτε γίνεται, ἐπιστρέφων δὲ εἰς τὸ μνημονεύειν τῆς ἀποδιώσεως ἡμῶν, ἔγραφεν· « Ἀπέχεσθε ἀπὸ τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς. » Καὶ Σολομὼν δὲ ὁ τοῦ Δαυὶδ φησιν· « Ὥσπερ οὐχ ὅμοια πρόσωπα ἀνθρώπων, οὕτως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ταῖς καρδίαις ὅμοιαι. » Ὑπεισι δέ με καὶ ἐκ τῶν τοῦ μεγάλου ἀθληφόρου Παύλου, ἅπερ τοιῷδε τρόπῳ ἀνείρηκεν· « Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· [146 *b*] μωρία γὰρ αὐτῷ ἐστιν· » καὶ πάλιν· « Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντας. αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. »

A etiam eos, quorum anima zelo incensa malum odit, quique in virtutis agone certantes palmam retulerunt, et quos nulla fugit ex rebus æstimatione dignis, hisce ipsis verbis alloquitur, ut hominum, qui eis similes non sunt, intemperantiam coerceant, et alios etiam bonorum, quæ ipsi habent, participes faciant : « Fratres (88), inquit, si quis apud vos erraverit a veritate, et converterit quis eum, sciat, quod qui converterit peccatorem ab errore viæ ejus, salvabit animam ipsius (89) a morte, et operiet multitudinem peccatorum. » Pari modo Petrus quoque nos docens, quanam ex causa (90) anima cum sit impassibilis, passionum tamen plena aliquando exsistat, et per quamdam veluti digressionem interitum nostrum (91) commemorans, hæc scripsit : « Abstinete (92) vos a carnalibus desideriis, **316** quæ militant adversus animam. » Davidis vero filius Salomon ait : « Sicut (93) non sunt similes vultus hominum, ita nec corda hominum cordibus similia. » Ex his vero etiam, quæ magnus, invictusque athleta Paulus conscripsit, ea mihi in mentem veniunt, quæ sic promulgavit : « Animalis (94) autem homo non recipit ea quæ sunt Spiritus Dei ; stultitia enim ipsi sunt ; » et rursus : « Spiritalis (95) autem judicat quidem omnes, ipse vero a nemine judicatur. »

Ἀλλ' ὅπερ μὲν ἔλεγον, ἡ προαίρεσις αὕτη καὶ τὸ σῶμα πολλάκις καθέλκειν ἐπὶ τὰ πάθη πέφυκε τὴν ψυχήν· ποτὲ δὲ καὶ συνεισφέρει, αὐτῇ φημι τῇ ψυχῇ, ἀγαθὰ οὐκ ὀλίγα· τὸ μὲν σῶμα, τὴν τῶν αἰσθητῶν γνῶσιν καὶ τὴν ἄλλην ὑπηρεσίαν· ἡ δὲ προαίρεσις αὐτῆς, τὴν ἀπὸ τῆς εὐβουλίας καὶ ὀρθοδοξίας μακαριότητα· ὥσπερ πάλιν ἡ ψυχή, ὅταν εὖ ζῇ μετὰ σώματος, καὶ κατακρατῇ, καὶ πρὸς Θεὸν ἐπιστρέφηται, καὶ τῶν αὐτοῦ πληροῦται νοήσεων, πλείονα καὶ σεμνότερα δίδωσιν. Τὸ μὲν γὰρ γήινον, ἁπαθὲς οἷον ἀποφαίνειν σπουδάζει, κοσμοῦσα αὐτὸ ἱδρῶτι, καὶ καρτερίᾳ, καὶ πᾶσιν τοῖς ἐξ ἀρετῆς πόνοις, καὶ διακυβερνῶσα, καὶ διὰ τῆς τῶν ἀλγεινῶν πείρας, ἐπὶ τὴν θεοσεβῆ ζωὴν ἀνεγείρουσα· τὴν δὲ ἰδίαν προαίρεσιν, καὶ τὴν πίστιν, ἄπταιστον διακρατεῖ, καὶ τὸν ἄνθρωπον ὑπὲρ ἄνθρωπον ποιεῖ, πίστει καὶ λόγοις αὐτὸν εἰς τὸ σεμνὸν προβιβάζουσα, καὶ πρὸς ἱκεσίαν τῆς Τριάδος ῥέπουσα, καὶ τροφὴν ποιουμένη τὴν ἀπὸ τούτων ὠφέλειαν. Εἰ γὰρ νομιοῦμεν ψυχὴν, κοσμεῖσθαι καὶ τρέφεσθαι οὐκ ἄλλοις, ἀλλ' ἢ λόγοις καὶ πίστει πέφυκεν. Ἀνθρώπῳ γὰρ τροφὴ ἄμφω, ἥ τε ἐκ τῆς γεωργίας, ἥ τε ἐκ τῶν λόγων καὶ τῆς πίστεως· ἀλλ' ἡ μὲν τὸ σῶμα εἶναί τε καὶ ἀντέχειν, ἡ δὲ ταῖς ψυχαῖς τὸ ἑτέρων προέχειν δίδωσιν, καὶ διὰ πίστεως καὶ λόγων καὶ ἡ ἄλλη σύμπασα κατορθοῦται ζωή. [147 *a*] Φωρᾷν ἔνεστι ταῦτα μὴ ἄλλως ἔχειν, ἐπιπορευόμενον τῷ νῷ, ὡς αὐτίκα τῷ τοιούτῳ ἐπιλάμπει καὶ συνεργεῖ ὁ ἐπιδεδηκὼς τοῖς ὅλοις Υἱὸς

B Sed, ut modo dicebam, isthæc (96) quidem volendi eligendique facultas et corpus, sæpe animam quoque deorsum trahere, et ad passiones inclinare consueverunt ; aliquando tamen etiam bona important ipsi animæ non mediocria ; nempe corpus quidem, sensilium cognitionem, et alium omnem famulatum, quem præstat animæ ; eligendi vero facultas, quæ ipsi animæ inest, felicitatem illam, quæ ex sana deliberatione et ex orthodoxia derivatur. Ac vicissim anima si recte vixerit cum corpore, et illud sibi obtemperans, ac subjectum teneat, et ad Deum convertatur, et Dei cogitationibus impleatur, plura et augustiora præbet : nam quod terrenum est, id ea reddere nititur veluti passionis expers, sudore illud ac tolerantia, et C omnibus, quos virtutis causa sustinet, laboribus exornans, et ipsum regens ac moderans, et per molestiarum dolorumque, quos experitur, perpessionem, ad religiosam ac piam vitam illud excitans, ac veluti sursum erigens : propriam vero voluntatem sibi subjectam tenet, ac fidem servat inculpatam, et hominem supra hominem evehit, fide et doctrinis eum venerandum reddens, et ad supplicandum Trinitati se inclinans, et adjumentum, quod ex hisce rebus percipit, suum veluti cibum faciens ; nam si animam recte æstimemus ; nulla alia re ornari ipsa ac nutriri potest, quam doctrina et fide : homini enim ambo hæc cibus sunt,

(88) *Fratres.* Jac. v, 19 et 20. Græca editio D pro παρ' ὑμῖν habet ἐν ὑμῖν, id est « in vobis, » sive, « inter vos. »

(89) *Ipsius.* Deest hæc vox in Græcis Bibliis. Sed eam legit Vulg. interpres, ut Didymus.

(90) *Quanam ex causa.* Codex, ποθέν. Lege. πόθεν.

(91) *Interitum nostrum.* Libro quoque *De Sp. S.* num. 39, « Carnis sapientia, inquit, illico morte sibi sociata, interficit eos, qui juxta carnem gradiuntur, et sapiunt.

(92) *Abstinete.* I Petr. II, 11. Biblia Græca : Ἀπέχεσθαι τῶν σαρκικῶν, etc.

(93) *Sicut.* Hæc in Vulgata translatione Latina non exstant, sed Græca editio ea habet Prov. XXVII, 19, ubi legitur : Ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ὅμοιαι.

(94) *Animalis.* I Cor. II, 14.

(95) *Spiritalis.* Ibidem vers. 15. Græca editio pro πάντας habet πάντα, id est « omnia. »

(96) *Isthæc.* Codex sine spiritu atque accentu, αυτη. Itaque lege αὕτη, aut αὐτή, ut mavis.

Digitized by Google

nempe cum ille, qui ex agricultura, tum ille, qui ex doctrina et fide comparatur : sed ille quidem corpori hoc tribuit, ut exsistat, et perduret, iste vero hoc animabus confert, ut aliis antecellant : ac per fidem insuper, doctrinamque universa vita nostra, quoad alia etiam, felix evadit, et recta. Non aliter hæc se habere, **317** quam dixi, perspicue comperiet quis, si illud animo reputet, tali homini statim illucescere, et cooperatorem adesse eum, qui omnia pervadit, ac supra omnia extollitur, Dei Verbum Filium, qui neminem, ne ex iis quidem, a quibus spernitur, contemnit, quique animæ, in qua per insufflationem sanctum suum Spiritum habitare fecit, rationem, quæ res est omnium præstantissima, inseruit. Ideo a profanis quoque præclare in cujusdam versus extrema parte dictum fuit :

A Λόγος τοῦ Θεοῦ, ὁ μηδενὸς μηδὲ αὐτῶν τῶν καταφρονούντων αὐτοῦ καταφρονῶν, ὁ τῇ ψυχῇ, εἰς ἣν διὰ τοῦ φυσήματος τὸ ἅγιον αὐτοῦ Πνεῦμα κατῴκισεν, τὸν λόγον τῶν πάντων τὸ τιμιώτατον κατασπείρας. Διὸ καὶ θαυμαστῶς ὑπὸ τῶν ἔξω εἰς στίχου τινὸς ἀκροτελεύτιον εἴρηται·

Ubicunque est homo, ibi est ratio.

B *Πανταχοῦ λόγος, ἔνθα καὶ ἄνθρωπος.*

Sed ita quidem hæc se habent. Hæretici vero nihil nisi quod immundum sit, spirantes, allata de Redemptore Deo Verbo rerum omnium Conditore sublimia testimonia, ejusque dona et magnifica opera non attendentes, ad ipsius deitatem referunt atque applicant ea Scripturæ loca, quæ de summe ineffabili, et summam ejus immutabilitatem non lædente benigna Incarnatione dicta sunt, quæque illis humilia videntur, atque indecora : et quibus ex rebus gloriam Dei perspicere, ejusque in homines benignitatem magis celebrare deberent per has ipsas longe a veritate alieni deprehenduntur, ac eo deveniunt, ut benefactorem ac Salvatorem contumeliis afficiant : nec eum placare student ut judicem, sed e contrario ostendere C conantur, ipsum, utpote creatum, judicio subjectum esse nunc quoque, postquam et in cœlos ascendit, et ad dexteram Patris sui considet æquali ac ille honore afficiendus. Quin etiam sæpenumero quæ de ipso Filio, aut ab ipso dicta non fuerunt aut quæ arcano atque ænigmatico sensu scripta sunt, ea sine examine, quasi contra ipsum, aut ab ipso pronuntiata proponunt, et pravam quamlibet atque infirmam interpretationem plurimi faciunt : ac semetipsos nihil ab irrationalibus animalibus discrepantes exhibent huic optatissimo Domino, qui credentes ducit sine violentia in Patris, et sui ipsius, et sancti Spiritus unum individuum regnum, quique ob suam erga nos indulgentiam nos ita hortatur : « Nolite (97) fieri sicut equus et D mulus, quibus non est intellectus. » Quasi dicat : nam ratione destituta animantia, quorum anima est sanguis materialis, juxta eum, qui ait in Genesi (98) : « Sanguis ejus est anima ejus, » in **318** terram prona sunt semper, ventri tantum servientia, neque corpore ac mente eriguntur ut homo, qui et terrena sentit, et sublimia videt, et ad cœlestem serenissimum, et cujusvis plane passionis expertem statum festinat, atque in mundo velut in publico quodam hospitio hospitem se diversari putat, et quotidie sese (99) ad exitum ex hac vita sapienter agendo præparat; ideoque fide et mente

Ἀλλὰ ταῦτα μὲν ὧδέ πη ἔχει. Αἱρετικοὶ δὲ, μηδὲν ἀναπνέοντες καθαρὸν, ταῖς κειμέναις περὶ τοῦ λυτρωτοῦ Θεοῦ Λόγου, τοῦ πάντων γενεσιουργοῦ, ὑψηλαῖς μαρτυρίαις τε καὶ δωρεαῖς, καὶ μεγαλουργίαις οὐ προσέχοντες, τὰ περὶ τῆς ἀῤῥητοτάτης καὶ ἀτρεπτοτάτης φιλανθρώπου ἐνανθρωπήσεως αὐτοῦ νομιζόμενα ἐκείνοις εἶναι μικροπρεπῆ ῥήματα, τῇ θεότητι αὐτοῦ προσάπτουσιν· καὶ ἀφ' ὧν ὤφειλον, τήν τε δόξαν διειδέναι τοῦ Θεοῦ, καὶ ἀνυμνεῖν πλέον τὸ φιλάνθρωπον αὐτοῦ, διὰ τούτων ἔξω τε τῆς ἀληθείας φερόμενοι ἁλίσκονται, καὶ ὑβρίζειν τὸν εὐεργέτην καὶ Σωτῆρα προάγονται· φροντίς τε αὐτοῖς, οὐχ ὅπως ἐξιλεώσωνται αὐτὸν ὡς κριτήν· ἀλλ' ὅπως ὑπὸ κρίσιν ὄντα, ὡς κτιστὸν, καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐκ δεξιῶν τοῦ ἑαυτοῦ Πατρὸς ἰσότιμον συνεδρίαν ἀποδείξωσιν. Πολλάκις δὲ καὶ τὰ περὶ αὐτοῦ, ἢ παρ' αὐτοῦ μὴ λεχθέντα, ἢ δι' ἐπικρύψεως ᾐνιγμένα, ὡς κατ' αὐτοῦ, ἢ παρ' [147 *b*] αὐτοῦ ἀποπεφασμένα ἀβασανίστως διατιθέασιν, καὶ πάντα σαθρὸν καὶ ἀναλκιν ἐκτετιμήκασι νοῦν· οὐδὲν καλλίους ἀλόγων ζώων ἑαυτοὺς προσάγοντες τούτῳ τῷ περιποθήτῳ Δεσπότῃ, τῷ ἄγοντι δίχα βίας τοὺς πειθομένους εἰς τὴν τοῦ Πατρὸς, καὶ ἑαυτοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, μίαν ἀδιαίρετον βασιλείαν, καὶ φειδοῖ τῇ πρὸς ἡμᾶς παραινοῦντι· « Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις. » Τὰ γὰρ ἄλογα ζῶα, φησὶν, οἷς ἡ ψυχὴ τὸ ἐξ ὕλης αἷμα, κατὰ τὸν εἰπόντα ἐν τῇ Γενέσει, « Τὸ αἷμα αὐτοῦ ἡ ψυχὴ αὐτοῦ, » εἰς γῆν νένευκεν, ἀεὶ τῇ γαστρὶ μόνῃ δουλεύοντα, καὶ οὐκ ἀνέστηκεν τῷ σώματι καὶ τῷ νῷ, ὡς ὁ ἄνθρωπος, ὁ καὶ τῶν ἐπιγείων αἰσθανόμενος, καὶ τὰ μετέωρα βλέπων, καὶ ἐπὶ τὴν ἄνω γαληνοτάτην καὶ ἀπαθεστάτην κατάστασιν σπεύδων, καὶ ὡς ἐν πανδοκίῳ τινὶ ἐν τῷ κόσμῳ ἡγούμενος καταλελυκέναι, καὶ παρασκευαζόμενος ἵν' εὐφρονῇ ἐφ' ἑκάστης πρὸς τὴν ἐκ τούτου ἔξοδον· διά τε τοῦτο ἁπλοῦς τὴν πίστιν καὶ τὴν γνώμην ὁ σοφὸς ὑπάρχει. Παντὶ γάρ τῳ δῆλον, ὡς πάσης τῆς διὰ λόγων καὶ ἐν λόγοις τέχνης ἡ ἀλήθεια κρείττων ἀεὶ, ἥτις συμπέφυκεν τῇ ἁπλότητι. Ταράττειν δὲ καὶ ταράττεσθαι δοκοῦσιν οἱ τεχνικοὶ λόγοι, οἳ πλεονάζουσιν αἱρετικοῖς τοῖς τῆς θεολογικῆς θεωρίας, ὡς καὶ Ἕλληνες

(97) *Nolite.* Psal. xxxi, 11 (seu 9).

(98) *In Genesi.* In Genesi hæc non inveni. Respicit, ut puto, Levitic. xvii, 11 et 14, ubi legitur : Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι, id est, « anima enim omnis carnis est sanguis ejus. »

(99) *Hospitio.* Codex, πανδοκίῳ. Alii πανδοχεῖον scribunt. Phrynichus mavult πανδοκεῖον.

Digitized by Google

ἀλλοτρίοις. Θεὸν μὲν γὰρ, καὶ Κύριον, καὶ Υἱὸν καλοῦσιν αὐτὸν, οὐκ ἔτι δὲ ὡς μὲν Θεὸν καὶ Κύριον ἄκτιστον, ἄναρχον, αὐτεξούσιον, καὶ ἴσον τῷ Θεῷ Πατρί· ὡς δὲ μονογενῆ Υἱὸν [148 *a*] ὁμοούσιον τῷ γεννήσαντι λέγουσιν· καὶ ταῦτα ἐκφαίνοντα καὶ προφαίνοντα τὸ ὁμότιμον καὶ ἰσοσθενὲς τῆς ἁγίας Τριάδος εἰς τὸ περὶ τὸ βάπτισμα θεῖον αὐτοῦ δόγμα, καὶ ἐν ἄλλοις δὲ πολλοῖς, ὡς εἴρηται· ἀλλ' Ἕλλησι τρόπον τινὰ συμφερόμενοι, διαφορότητας καὶ ὑφέσεις οὐσιῶν καὶ δόξης, κατὰ νόας ἰδίους, τῶν θείων καὶ ὁμοουσίων τριῶν ὑποστάσεων ὑφιστᾶσιν καὶ διανοοῦνται περί τε τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τοῦ Θεοῦ.

A simplex est sapiens; unicuique enim manifestum est, artificiosa quamvis ratiocinatione, dicendive facultate veritatem, quam naturaliter simplicitas comitatur, præstantiorem semper esse ac prævalere; artificiosas vero argumentationes, quibus abundant hæretici qui a theologica doctrina et speculatione item ut Græci, id est ethnici, alieni sunt, et turbare constat et turbari. Nam Deum quidem ipsum, et Dominum, et Filium vocant, sed illum quatenus Deum quidem, et Dominum, non aiunt increatum esse, æternum, propria ac libera potestate præditum et æqualem Deo Patri; quatenus vero unigenitum Filium, consubstantialem Genitori non agnoscunt; quamvis hæc unam sanctæ Trinitatis, et æqualem majestatem, et potentiam manifestent, et clare patefaciant cum in divino ejus dogmate de baptismo, tum in aliis multis, ut dictum est: sed Græcis quodammodo consentiendo, discrepantias, et inferiores essentiarum et gloriæ gradus, secundum propria ipsorum commenta, in tribus divinis et consubstantialibus hypostasibus constituunt, et ea discrimina excogitant, cum de Filio ac de Spiritu sancto Dei sermonem habent.

Καὶ εἰς ἕτερα δὲ θεῖα ῥητὰ διηνέχθησαν πρὸς τὴν ἀλήθειαν, καὶ ἔτι διαφέρονται· οἷον εἰς τὸ τῆς προφητείας Ἡσαΐου, ἔνθα ὁ Πατὴρ ἔφη· « Μέγα σοί ἐστι κληθῆναί σε παῖδά μου· » καὶ εἰς τὸ Παύλῳ γεγραμμένον· « Ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης. » Καὶ ταῦτα γὰρ τῇ θεότητι αὐτοῦ ἐπιῤῥιπτοῦσι, λεχθέντα περὶ τῆς ἐκ Μαρίας δουλικῆς μορφῆς, περὶ ἧς ὁ ἄγγελος εἶπεν αὐτῇ· « Πνεῦμα ἅγιον ἐπελεύσεται (172 *a*) ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. Ἔτι μὴν διαφέρονται καὶ εἰς τὸ, « Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης· » τὸ πᾶν τῇ θεότητι αὐτοῦ ἀπονέμοντες. Λέγει δὲ ἐνταῦθα Πατέρα μὲν, τοῦ μὴ ὁρωμένου· Θεὸν δὲ, τοῦ ὁρωμένου. Περὶ οὗ ὁ αὐτὸς ἄγγελος καὶ μικρῷ πρόσθεν φαίνεται ἐπὶ προσήκοντι καιρῷ, καὶ νεαροῖς τοῖς μνημονευθεῖσιν ὀνόμασιν εὐαγγελισάμενος οὕτωσί· « Τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται. » Προσέτι διαφέρονται (λώδη γάρ ἐστι τὰ νοήματα καὶ ῥήματα αὐτῶν) καὶ εἰς τήνδε τὴν λέγουσαν δεσποτικὴν ῥῆσιν· « Πορεύου πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν. » Κἀνταῦθα γὰρ Πατέρα καλεῖ, ἑαυτοῦ μὲν κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· Θεὸν δὲ, ἑαυτοῦ μὲν διὰ τὴν πρόσφατον αὐτοῦ μορφὴν, ἡμῶν δὲ κατὰ ἀλήθειαν· ἵνα καὶ τὸ ἀρχαῖον καὶ τὸ πρόσφατον σημαίνηται. Συγκαταβὰς γὰρ εἰς ὅλα τοῖς δούλοις ὁ Δεσπότης, τὸν ἑαυτοῦ Πατέρα, ἡμῶν δὲ Θεὸν, Πατέρα μὲν καὶ ἡμῶν δι' ἀγαθότητα ἐποίησεν, οὐκ ὄντων φύσει υἱῶν, Θεὸν δὲ καὶ ἑαυτοῦ ἐκάλεσε διὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, ἣν σαφέστερον προανεφώνησεν, εἰπών· « Ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ. » Πῶς γὰρ ἂν καὶ ἐγχωρεῖ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ ἀληθινοῦ καὶ μεγάλου Θεοῦ, εἶναι Θεός ; Ὥσπερ οὖν ἡμῶν ἐστι Θεὸς τῇ ἀληθείᾳ, καὶ οὐ Πατὴρ κατὰ φύσιν· οὕτως αὐτοῦ μόνου ἀληθῶς κατ' οὐσίαν ἐστὶ Πατὴρ, καὶ οὐ Θεὸς κατὰ τὴν ἄνω γέννησιν· καὶ ἡμεῖς [172 *b*] μέτοχοι τοῦ Χριστοῦ γεγονότες, καταξιούμεθα τὸν ἐπουράνιον Θεὸν ἐπικαλεῖσθαι· « Πάτερ

B

C

tione, Apollinarium, aut Apollinaristas nominat, quod fortasse eorum nomina nondum ita infamia ei viderentur, ut ipsis quodammodo parcendum adhuc non esset. Vide not. 1, pag. 175.

D

(68) *Magnum.* Isa. XLIX, 6, juxta Græcam editionem : ex qua Hieronymus quoque cap. 4 comment. *in Ecclesiastem* ita hunc locum citat : « Magnum tibi est vocari te puerum meum. » Latina Biblia habent : « Parum est ut sis mihi servus. »

(69) *Vocari te.* Græca ed., τοῦ κληθῆναί σε.

(70) *Qui definitus.* Rom. I, 4. Biblia : τοῦ ὁρισθέντος Υἱοῦ, etc.

(71) *Spiritus sanctus.* Luc. I, 35.

(72) *Deus.* Ephes. I, 17.

(73) *Paries.* Luc. I, 31 et 32.

(74) *Vade.* Joan. XX, 17.

(75) *Ex ventre.* Psalm. XXI, 11. Græca editio pro ἐκ κοιλίας, habet eodem sensu ἀπὸ γαστρός.

Digitized by Google

ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· » οὕτω καὶ ὁ ἀγαπητὸς Υἱὸς, μετασχὼν, κατὰ Παῦλον Ἑβραίοις ἐπιστέλλοντα, παραπλησίως τοῖς παιδίοις αἵματος καὶ σαρκὸς, καλεῖ τὸν Πατέρα Θεόν. Πρὸς οἷς καὶ τὸ μὴ μίξαντα εἰπεῖν, Πατέρα ἡμῶν καὶ Θεὸν ἡμῶν, ἀλλὰ κεχωρισμένως, « Πατέρα μου καὶ Πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν, » ἔδειξε τὴν προλεχθεῖσαν διαφορὰν αὐτοῦ τε καὶ ἡμῶν. Οὐχ εὑρίσκεται γὰρ ἑαυτοῦ καὶ ἀνθρώπων ἐπικοίνως εἰρηκώς· Πατέρα ἡμῶν. Ἀλλὰ καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, περὶ τῶν μετὰ παῤῥησίας καὶ ἐλευθεροστομίας ὁμολογούντων αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων Θεὸν καὶ Υἱὸν τοῦ Θεοῦ μονογενῆ, ὅ ἐστιν ὁμοούσιον, ὑπισχνεῖται· « Κἀγὼ, φησὶν, ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου· » οὐ, τοῦ Πατρὸς ἡμῶν. Οὗ τί ἂν εἴη μεῖζον, ἐν μὲν ἀγαθοῖς, τοῦ ὁμολογηθῆναι ἡμᾶς ὑπ' αὐτοῦ· ἐν δὲ αἰσχίοις, τοῦ ἀρνηθῆναι ἐκείνοις τὴν ἀπὸ τοῦ Θεοῦ γνῶσιν, ὡς ἀντὶ τῆς ἀληθείας ἀνθῃρημένοις ψεῦδος; Καὶ τὸ, « Ἀναβαίνω » δὲ « πρὸς τὸν Πατέρα, » διὰ τὴν οἰκονομίαν εἶπεν, εὐαγγελιζόμενος τοὺς μαθητὰς, οὓς φιλῶν ἀδελφοὺς ἐκάλει, ὅταν ἀναβιβάζηται ἡ ἐξ ἡμῶν ἀπαρχὴ, ἀναβαίνοντος τοῦ ἀεὶ ὄντος πρὸς τὸν ὄντως ὄντα αὐτοῦ Πατέρα. Ἐπείτοιγε λέγει· « Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ ὢν ἐν τῷ οὐρανῷ· » διὰ τῶν τοιούτων λέξεων τῇ θεότητι μυστικῶς ἅμα καὶ λευκῶς σημαίνων εἶναι αὐτόν.

secundum naturam; sic ipsius tantum vere secundum essentiam Pater est, non vero Deus secundum cœlestem generationem. Et ut nos Christi participes facti, digni efficimur qui cœlestem Deum sic invocemus: « Pater noster, qui es in cœlis: » ita etiam dilectus Filius cum juxta Paulum ad Hebræos (76) scribentem, participaverit, similiter ac pueri, sanguini et carni, vocat Patrem Deum. Ad hæc cum indiscriminatim non dixerit, Patrem nostrum, et Deum nostrum, sed separatim, « Patrem meum et Patrem vestrum, Deum meum et Deum vestrum, » ostendunt hæc prædictum discrimen, quod interest inter eum ac nos. Nec enim usquam invenimus, ipsum de seipso, et de hominibus communiter loquentem dixisse, Patrem nostrum. Quin apud Joannem in Evangelio de iis loquens qui libere aperteque coram hominibus ipsum esse confitentur Deum, et Filium Dei unigenitum, id est, consubstantialem, hæc pollicetur: « Et ego (77), inquit, confitebor eum (78) coram Patre meo. » Non ait, coram Patre nostro. Quodnam vero majus bonum, quam quod nos ipse confiteatur? quid contra magis ignominiosum (79), quam quod illi ea cognitione priventur, quæ est a Deo, utpote qui veritati mendacium prætulerunt? Verba autem, « Ascendo ad Patrem, » propter Incarnationem dixit, discipulis, quos diligebat, et fratres appellabat, bonum nuntium afferens: quoniam sursum ascendebat primitia nostra, dum ascendebat ille, qui semper est, ad eum qui vere est, nempe ad suum Patrem; ait enim ipse: « Nemo (80) ascendit (81) in cœlum, nisi qui descendit **363** de cœlo, is qui est in cœlo. » Quibus verbis mystice simul et clare significavit se deitate esse (82).

[173 *a*] ΚΕΦ. Ι'.

Καὶ Παύλου δὲ Φιλιππησίοις γράψαντος περὶ τῆς ἀσυγκρίτου καὶ οἰκονομικῆς τοῦ Θεοῦ Λόγου δι' ἡμᾶς κενώσεως· « Τοῦτο δὴ λογιζέσθω ἐν ὑμῖν, ὅπερ καὶ

CAP. X.

Cum vero Paulus de incomparabili et dispensatoria Dei Verbi propter nos exinanitione scripserit ad Philippenses: « Hoc sane (83) reputetur in vobis,

(76) *Ad Hebræos.* Cap. II, vers. 14.

(77) *Et ego.* Non in Joanne hæc exstant, sed in Matth. X, 32.

(78) *Eum.* Græca editio: ἐν αὐτῷ, id est, « in ipso. » Sed Vulg. interpres legit ut Didymus.

(79) *Magis ignominiosum.* Codex, ἐν αἰσχίοις. Legendum, ἐν αἰσχροῖς, vel ἐν αἰσχίστοις, vel ἐν αἰσχίοσι.

(80) *Nemo.* Joan. III, 13.

(81) *Ascendit.* Græce, ἀναβέβηκε, quæ vox etsi præteritum tempus significare videatur, tamen præsenti nonnunquam respondet, ut fortasse hoc in loco, et in alio, qui interpretes vexavit, nempe apud Joannem versiculo 17 capitis XX, ubi Vulgata editio habet: « Dicit ei (Mariæ) Jesus: Noli me tangere: nondum enim ascendi ad Patrem meum. » Quamvis porro instituti mei non sit Scripturæ loca a Didymo allata explicare, tamen hanc a lectore veniam peto, ut pauca saltem de voce ἀναβέβηκα addere liceat, utque ea tanquam parva is ne despiciat: ut enim ait S. Hieronymus, « non sunt parva, sine quibus magna constare non possunt. » Puto ergo vocem illam aliquando significare, « ascendo, » non vero « ascendi: » sicut temporis præsentis sensum habent Græca verba, πέφυκα, μέμηλα, εἴληθα, et Latina, « odi, novi, memini. » Nimirum vox, ἀναβέβηκα in Veteris Testamenti translatione Græca nusquam, in Novo autem bis tantum, ni fallor, legitur, etsi millies utrobique legatur ἀνέβην, id est, « ascendi. » In duobus autem hisce locis, nempe Joan. XX, 17, et III, 13, eam significare, « ascendo, » non veno, « ascendi, » multis rationibus probare possem; sed eas facile quisque videbit Græca Biblia percurrens, et duo hæc loca expendens. Illud tantum animadverto, in libro Sap. XVIII, 16, legi: Καὶ οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δὲ ἐπὶ γῆς, quæ in Latinis Bibliis sic leguntur: « et usque ad cœlum attingebat stans in terra. Jam vero perspicuum est, vocem βεβήκει hic poni pro ἔβαινε, ideoque vocem βέβηκε idem valere ac vocem βαίνει. Quæ si ita se habent, clarus est sensus verborum Christi apud Joannem, nempe: ne tempus nunc teras, Maria, in exploranda per tactum corporis mei veritate: id alias præstare poteris: nondum enim ascendo (id est ascendam), ad Patrem meum; sed statim vade ad fratres meos, etc. Simili modo, ut alia exempla omittam, accipitur vox ἀμφιβέβηκας in *Iliad.* cant. I, vers. 37.

(82) *Esse.* Aut deest aliqua vox in Græco, puta, ἐν οὐρανῷ, id est, « in cœlo, » aut vox εἶναι, id est, « esse, » eo sensu sumitur quo Deus dicitur esse is qui « est. » His consentanea sunt quæ Didymus ipse tradidit in commentariis ad hunc Joannis locum, pag. 49 catenæ in Joannem: Δηλουμένης (inquit) τινὸς ὑπεροχῆς ἁρμοζούσης Θεῷ τῷ ὀνόματι τοῦ οὐρανοῦ, κ. τ. λ., id est, « Significante cœli nomine quamdam Deo convenientem præcellentiam, » etc. Lege etiam quæ ipse Didymus de his Domini verbis disputat apud Wolfium, tom. IV *Anecdotorum*, pag. 8.

(83) *Hoc sane.* Philipp. II, 5-11. Græca editio: Τοῦτο γὰρ φρονείσθω.

Digitized by Google

quod et in Christo Jesu, qui, cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit formam servi accipiens, in similitudinem hominum factus, et habitu inventus ut homo : humiliavit semetipsum factus obediens usque ad mortem, mortem autem crucis. Propter quod et Deus exaltavit illum, et donavit illi nomen, quod est super omne nomen : ut in homine Jesu omne genu flectatur cœlestium, terrestrium, et infernorum : et omnis lingua confitebitur, quod Dominus Jesus in gloria est Dei Patris : » verba quidem, quibus dicitur Christus, cum in forma Dei esset, et æqualis Deo, semetipsum exinanivisse non ab alio coactus, sed libere, dum ita formam servi accepit, et ad hominum abjectionem venit, ut simul etiam principatus et potestates exspoliaverit (84), negligunt (85) isti hæretici ; verbis vero hisce, « Ideo et Deus exaltavit illum, et donavit illi nomen, quod est super omne nomen, » immobiliter insistunt : etsi vox « ideo » significet, Christum, quia similiter ac pueri, communicavit carni et sanguini, ideo tunc, non vero alias, exaltatum esse supra servilem conditionem, et donatum illi fuisse nomen, quod est super omne nomen, ac omnium præstantissimum : non tamen significat, quod Unigenitus (quem aiunt **364** tonitrui quidem filius (86) esse verum Deum et verum Filium Dei (87) ; Paulus vero, ante exinanitionem fuisse in forma et æqualitate Dei Patris) hæc sibi data acquisiverit : plura enim valde absurda inde inferrentur. Nam primo si Filius nuda et sola Dei appellatione a creaturis distingueretur, has aut parum, aut nihil plane antecelleret. Secundo hujusmodi donum ad nihilum redigeretur, si id quidem attendatur, quod fieri posset, aut in mentem nostram venire : quod enim donatum fuit, non est omnino stabile ac permanens, sed ejusmodi fere, ut amitti facile queat. Tertio si Filium secundum Deitatem divinum nomen tunc accepisse concipiamus, cum in mundo apparuit ; sequetur ut ipse id antea non habuerit, quod postea accepit, sed velut quoddam donum, aut mercedem pro suo ad nos adventu id retulerit. At vero ipse et ex infinita altitudine sese propter nos, carnem nostræ similem assumens, exinanivit, et cum esset naturaliter et Filius Verbum, et in forma Dei, et æqualis Deo, et Deus in principio exsistens apud Deum, neque singulare illud et incomparabile nomen extrinsecus ascitum (88) haberet, ac veluti adulterinum, nec eodem posterius decoratus altitudinem, in qua semper et in principio erat, et propriam consessionem a dextris Patris sui.

A ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός· » οὗτοι τῷ μὲν, ὅτι ἐν μορφῇ Θεοῦ, καὶ ἴσα τῷ Θεῷ ὑπάρχων, ἑαυτὸν ἐκένωσεν, ἐν τῷ λαβεῖν μὲν δούλου μορφὴν, καὶ ἐν ταπεινώσει ἀνθρώπων γενέσθαι, ἀπεκδύσασθαι δὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, οὐχ ἑτέρου ἀνάγκῃ, ἀλλ' ἑκουσίως·
B ἔχουσιν· τῷ δὲ, « Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, » ἀτρέπτως ἐπιβάλλουσι, καίτοι τῆς « διὸ » λέξεως σημαινούσης, ὡς διὰ τὸ παραπλησίως τῶν παιδίων κεκοινωνηκέναι σαρκὸς καὶ αἵματος, τότε, καὶ οὐκ ἄλλοτε, ὑπερυψώθη τὸ δουλοπρεπὲς μέτρον, καὶ ἐχαρίσθη αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ πάντων προφερέστατον· οὐ μὴν ὅτι ὁ Μονογενὴς (περὶ οὗ λέγουσι τῆς τε βροντῆς ὁ υἱὸς, ὡς ἀληθινὸς Θεὸς καὶ ἀληθινὸς Υἱὸς Θεοῦ· καὶ Παῦλος, ὡς πρὸ τῆς [173 *b*] κενώσεως ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς ἦν) δοτὰ ἐκτήσατο ταῦτα. Ἐπεῖτοι καὶ ἄτοπα λίαν ἐκ τούτου εἰσφέρεται· ἓν μὲν, ὅτιπερ, εἰ ἐν ψιλῷ καὶ μόνῳ τῷ ὀνόματι διακέκριται Θεὸς ὁ Υἱὸς, πλεονεκτήσει τὴν κτίσιν, ἢ μικρὸν, ἢ τὸ σύμπαν οὐδέν·
C δεύτερον δὲ, ὅτι ἐξυλισθήσειεν αὐτοῦ κατά γε τὸ ἐγχωροῦν, καὶ ὅσον ἦκεν εἰς λογισμὸν τὸ χάρισμα· ἐπείπερ τὸ δοτὸν οὐκ εἰς πᾶν ἐρειρισμένον καὶ διαμένον, ἀλλ' εὐαπόβλητόν πως· τρίτον, ὅτιπερ, εἰ κατὰ τὴν θεότητα νοηθείη εἰληφέναι τὸ θεῖον ὄνομα τὸ τηνικαῦτα, ὅτε ἐν κόσμῳ ἐφάνη, εὑρεθήσεται μὴ ἐσχηκὼς πρὸ τούτου, ὃ ὕστερον ἔλαβεν, ἀλλ' ὥσπερ τι χάρισμα, ἢ μισθὸν κομισάμενος ὑπὲρ τῆς πρὸς ἡμᾶς ἀφίξεως. Αὐτὸς δὲ καὶ ἐξ ἀπείρου ὑψώματος δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς ἑαυτὸν ἐκένωσε· καὶ διὰ τὸ εἶναι φυσικῶς Υἱὸς Λόγος, καὶ ἐν μορφῇ Θεοῦ, καὶ ἴσα Θεῷ, καὶ Θεὸς ἐν ἀρχῇ ὢν πρὸς τὸν Θεὸν, οὔτ' ἔξωθεν εἰσκεκριμένον καὶ νόθον οἷον ἔχων τὸ ἀπαράβλητον ὄνομα, οὔθ' ὕστερον τούτῳ ἐκτετιμημένος, ἐπανῆλθε πάλιν εἰς ὅπερ ἦν ἀεὶ καὶ ἐν ἀρχαῖς
D ὑπερανέχον ὕψος, καὶ εἰς ἔμφυτον τιμὴν καὶ δόξαν, καὶ εἰς ἰδίαν τὴν ἐκ δεξιῶν τοῦ ἑαυτοῦ Πατρὸς συνεδρίαν.

sit ; reversus est rursus ad eminentissimam (89) ad naturalem sibi honorem, ac gloriam, et ad

(84) *Exspoliaverit.* Coloss. II, 15.

(85) *Negligunt.* Cod., ἔχουσι. Itaque addendum est adverbium aliquod, ut ὀλιγώρως, aut ἀμελῶς, legendumque in superioribus τῶν pro τῷ· nisi forte vox ἔχουσι mendosa sit.

(86) *Tonitrui... filius.* Vide Ep. I Joan. v, 20.

(87) *Dei.* Codex, ἐφ' οὗ. Lego Θεοῦ.

(88) *Ascitum.* In Græco, εἰσκεκριμένον, id est, « introductum. » Hoc sensu, ut puto, Pollux lib. II, cap. 4, segm. 76, ait : εἰσκρίνεται κατὰ τὰς ῥῖνας τὸ πνεῦμα. Quamvis enim interpres transtulerit, « per nares discernitur vapor, tamen vertendum censeo : « per nares introducitur flatus, » seu « spiritus. »

(89) *Eminentissimam.* Librarius scripserat ὑπερανέχων· tum inducta littera ω fecit o. Itaque lego et ipse, ὑπερανέχον. Nec enim Filius semper ὑπερανεῖχε ἐν ἀρχαῖς, id est, non semper « inter angelos

Digitized by Google

Πῶς δὲ καὶ ὑπερύψωσε καὶ ἐχαρίσατο ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; Ἐρῶ, ὅτι καὶ δουλικὴν περιφέροντι αὐτῷ εἰκόνα ἔλεγέ τε, « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, » καὶ ἤθελε Θεὸν καὶ τότε καλεῖσθαι αὐτὸν, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ὡς προείρηται. Πρὸ τῆς ἐν κόσμῳ γὰρ ἐπιφανείας τοῦ Υἱοῦ, τὰ ἐπουράνια [174 *a*] μόνον γόνυ ἔκλινεν αὐτῷ, καὶ ἐδόξαζεν αὐτὸν, εἰδότα τῆς ἁγίας Τριάδος τὴν ἰσόθεον δόξαν· ὡς τὰ σεραφὶμ τρίτον βοᾷν, « Ἅγιος, » καὶ ἅπαξ, « Κύριος· » ἵνα καὶ ἑκάστῃ ὑποστάσει τὸν ὕμνον ὁμοίως ἀναπέμψῃ καὶ μίαν αὐταῖς εἶναι κυριότητα καταγγείλῃ· τὰ δὲ ἐπίγεια καὶ τὰ καταχθόνια οὐκ ᾔδει αὐτὸν οὕτως, ὡς ἐν τῇ οἰκονομίᾳ ἔγνω. Ἐξ ἐκείνου οὖν ἤρξατο καὶ αὐτὰ γόνυ κλίνειν αὐτῷ, καὶ δοξάζειν, καὶ Θεὸν καλεῖν· καὶ ἐν ἀθρόαις περιστάσεσι, τῇ ὀξύτητι τῶν συμβαινόντων φθανόμενα, οὐ πολλῇ κεχρῆσθαι προσευχῇ, οὐδὲ κατὰ τὸ σύνηθες βαττολογεῖν, ἀλλ' ἐπικαλεῖσθαι· « Χριστὲ, βοήθει· » ὡς τοῦ ὀνόματος τούτου ὄντος πᾶσιν εἰς σωτηρίαν. Τῷ δὲ εἰρῆσθαι, « Ἐν ὁμοιώματι ἀνθρώπων καὶ σχήματι εὑρεθείς, » οὐ φάντασμα ὑποδηλοῖ τὴν ἐνανθρώπησιν αὐτοῦ, ὡς ὑπετόπασάν τινες· τὸ ἐναντίον μὲν οὖν, ὅτι Θεὸς Λόγος ὁμοιότητα καὶ σχῆμα ἀνθρώπων ὄντως ἔφερεν. Νοητέον δὲ καὶ ἄλλως· Ἀπὸ τῆς ὄψεως, καὶ φορέσεως, καὶ ἀναστροφῆς δείκνυται ἕκαστος, ὅπερ ἐστὶ, καὶ ὃ βούλεται πράττειν. Κἂν γὰρ μὴ βοῶν περιέρχοιτο τοῦτο, ἀλλ' ὅμως κατήγορον τὴν φύσιν ἔχει τοῦ πράγματος, κἂν μὴ λέγῃ. Καὶ ὁ Σωτὴρ οὖν βουληθεὶς διὰ τῆς ἀτρέπτου ἐνανθρωπήσεως σῶσαι ἡμᾶς, καὶ πάντα ἐσχηκὼς τὰ ἡμέτερα δίχα ἁμαρτίας, ἀνάγκῃ τὴν ἀπὸ γνώμης καὶ ἔργων τοῖς ἀνθρώποις προσοῦσαν ἁμαρτίαν ποιεῖν ὑπελαμβάνετο. Ὁ γὰρ τλημαθέστατος Ἰὼβ ἀπὸ πάντων ἡμῶν κέκραγεν· « Οὐδεὶς ἀναμάρτητος, οὐδ' ἂν μιᾶς ὥρας ὁ βίος αὐτοῦ. Τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτὸν, ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτὸν, ἢ ἐπισκοπὴν αὐτοῦ ποιεῖς [174 *b*] ἕως πρωΐ, καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρίνεις; » Αὐτὸς δὲ, τοῦτ' ἔστιν ὁ Δεσπότης, « ἁμαρτίαν, » ὡς προείρηται, « οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Τὸ δὲ

A At quonam modo Deus illum exaltavit, et donavit ei nomen, quod est super omne nomen? Respondeo, Scripturam ideo sic loqui, quia et ipsi servilem imaginem circumferenti dixit Pater, « Hic est Filius meus dilectus, » et eum voluit etiam tunc vocari Deum, ut in nomine Jesu omne genu flectatur, sicut modo dictum est. Antequam enim Filius in mundo appareret, genu ei cœlestia tantum inclinabant, eumque glorificabant, quod sanctæ Trinitatis unam Deitatem, et æqualem gloriam esse scirent, et proinde seraphimi ter clamabant « Sanctus, » et semel « Dominus; » ut unicuique hypostasi hymnum simili **365** modo offerrent, et unam trium dominationem esse nuntiarent, terrestria vero, et inferna eum non ita noverant, ut cognoverunt in B Incarnatione. Tunc igitur cœperunt et ipsa genu ei flectere, illumque glorificare, ac Deum vocare, et in repentinis calamitatibus, cum eventuum celeritate præoccupantur, non longa uti oratione, nec multiloqui, ut solent, ac verbosi esse (90), sed breviter eum invocare clamando, « Christe, adjuva (91) : » quippe cum hoc nomen sit omnibus salutare. Quod vero dictum fuit, « In similitudine hominum, et habitu inventus, » non significat, phantasma esse illius Incarnationem, ut quidam suspicati sunt; sed contra denotat, gestatam vere a Deo Verbo esse similitudinem, et habitum hominum. Sed aliter etiam intelligi potest. Ex aspectu (92), ex corporis motione ac gestu, et ex conversatione cognoscitur unusquisque qualis sit, et quid velit facere : nam C etsi urbem ipse circumiens hoc non evulget, tamen ex ipsa rei natura, eo vel tacente, arguitur. Itaque Salvator etiam cum per œconomiam, qua sine ulla sui mutatione incarnatus est, nos salvare voluerit, et omnia, quæ nostra sunt, habuerit, excepto peccato, necessario videbatur hominibus peccati illius expers non esse, quod ex voluntate, et ex operibus (93) inest nobis. Nam patientissimus Job ex persona omnium nostrum clamavit : « Nemo (94) expers peccati, ne si unius quidem horæ sit vita ejus. Quid enim (95) est homo, quia magnificasti

ac principatus supereminuit, » cum principatus non sint æterni. Cæterum verbo ἀνέχειν eodem sensu usus est Pollux lib. II, cap. 4, segm. 50, ubi ait : Ὀφρύας δὲ καλοῦσι, τὰ ἀνέχοντα τῆς γῆς, id est, « supercilia autem vocant, eminentiora terræ loca. » Conjicit quidem Flackenburgius legendum ibi esse τὰ ὑπερέχοντα, pro τὰ ἀνέχοντα, sed nullius codicis auctoritate fulcitur ejus conjectura.

(90) *Verbosi esse.* Respicit illud Christi apud Matth. VI, 7 : Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, id est, « orantes autem nolite multum loqui. » De quo capitulo legenda sunt quæ post alios nuperrime scripsit vir ingenio et doctrina præstantissimus Xaverius Mattei agens de Hebræorum Græcorumque poesi, tom. I, pag. 56.

(91) *Christe, adjuva.* Hanc precandi formulam in repentinis maxime casibus Didymi ætate usitatam fuisse, confirmat *Lausiaca* Palladii *historia*, cap. 150, ubi legimus : « Nobis autem magna voce Dominum nominantibus, » Christe, adjuva nos, « statim belluæ... se ipsas in aquam sunt jaculatæ. »

(92) *Ex aspectu.* Respicit, ut puto, illud Ecclesiastic. XIX, 25 : Ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνὴρ... καὶ βῆμα ἀνθρώπου ἀναγγέλλει τὰ περὶ αὐτοῦ, id est, « ex aspectu cognoscetur vir... et incessus hominis enuntiat de illo. » D

(93) *Et ex operibus.* An sic loquitur, ut peccatum, quod designat, distinguat ab eo, de quo agit Paulus, cum ait, Christum « factum esse peccatum pro nobis? » An potius intelligit peccatum originale?

(94) *Nemo.* Duo ex Jobo loca affert, etsi unum citare videatur. Primus locus non exstat in Latinis Bibliis, sed Græca eum habent Job XIV, 4 et 5, ubi tamen sic legitur : Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ' οὐδεὶς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς, id est, « quis enim mundus erit a sorde? sed nemo, etsi una sit dies vita ipsius in terra. » Vetustissimus vero codex, quem Junius in sua Jobi editione expressit, pro, μία ἡμέρα, habet μιᾶς ἡμέρας, id est, « unius diei. » Alii aliter legerunt.

(95) *Quid enim.* Ab his verbis incipit alter, quem modo dixi, locus. Exstat Job VII, 17 et 18, ubi cum præcedant hæc verba, κενὸς γάρ μου ὁ βίος, id est,

Digitized by Google

eum? aut quia intendis mentem in ipsum? aut inspectionem ejus facis (96) usque ad diluculum, et in requie eum judicas? » Ipse vero, id est, Dominus, **366** « peccatum (97) non fecit, » et antea dictum est, « nec inventus est dolus in ore ejus. » Qui autem est peccati expers, est supra homines (98). Hac de causa divinum oraculum ait: « In similitudine et habitu hominum. »

A ἀναμάρτητον, ὑπεράνθρωπόν ἐστι. Διὰ τοῦτο κεχρημάτισται τὸ, « Ἐν ὁμοιώματι καὶ σχήματι ἀνθρώπων.

CAP. XI.

Ne illud quidem, quod in Joanne legitur, « Ego vivo (99) propter Patrem, » hæreticorum causam ullo modo juvare potest. Sic enim loquitur Salvator aut propter prædictum Incarnationis modum, aut quia ipse genitus est vita ex vita paterna, et lux e luce, et Deus ex Deo. Itaque et hoc ab eo audivimus apud eumdem Joannem: « Ego sum (1) vita, et lux; » et rursus: « Filius (2), quos vult, vivificat. » Si ergo Pater quoque vita est, et lux vera, profecto is qui est vita vitæ, et lux lucis, nihil ab eo differt; nam vita et lux omnino est; ac nullam plane habet probabilitatem illa hæreticorum formula, « Aliquando non erat, » si de eo dicatur, qui est ipsa creatrix vita et indeficiens lux. Aliter etiam respondere licet. Qui propter alterum vivit, non potest ipse unquam esse vita æterna, sicut ne is quidem, qui participatione Dei sanctus est, potest esse per se sanctus: est vero ipse sua potestate etiam alios sanctificans cum per semetipsum, tum per alios.

ΚΕΦ. ΙΑ'.

Καὶ τὸ παρὰ Ἰωάννῃ, « Ἐγὼ ζῶ διὰ τὸν Πατέρα, » οὐδαμόθεν ἔχει λῆμμα. Ἡ γὰρ ἕνεκα τοῦ προλεχθέντος τῆς οἰκονομίας εἴρηται τρόπου, ἢ διὰ τὸ πεφηνέναι αὐτὸν ζωὴν ἐκ ζωῆς πατρικῆς, ὡς καὶ φῶς ἐκ φωτὸς, καὶ Θεὸν ἐκ Θεοῦ. Τοιγαροῦν καὶ τοῦτο ἠκούσαμεν αὐτοῦ παρ' αὐτῷ Ἰωάννῃ· « Ἐγώ εἰμι ἡ ζωὴ καὶ τὸ φῶς· » καὶ πάλιν· « Ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. » Εἰ οὖν καὶ ὁ Πατὴρ ζωή ἐστι καὶ φῶς ἀληθινόν· ζωὴ ζωῆς, καὶ φῶς φωτὸς οὐδὲν διαφέρει. Ζωὴ γὰρ καὶ φῶς ἁπλῶς ἐστί· καὶ οὐδὲ πειθανότητος ἐγγὺς τὸ, « Ἦν, ὅτε οὐκ ἦν, » ἐπὶ αὐτῆς τῆς δημιουργοῦ ζωῆς καὶ τοῦ ἀνεκλείπτου φωτός. Καὶ ἄλλως· Ὁ δι' ἕτερον ζῶν, αὐτὸς οὐκ ἂν εἴη ποτὲ ζωὴ αἰώνιος· ὡς οὐδὲ ὁ μεταδόσει Θεοῦ ἅγιος, αὐτοάγιος· αὐτὸς δὲ κατ' ἐξουσίαν καὶ ἄλλους ἁγιάζων δι' ἑαυτοῦ τε καὶ δι' ἑτέρων.

B

CAP. XII.

Verba quoque illa, « Ego descendi (3) de cœlo, non ut faciam voluntatem meam, sed ejus qui misit me, Patris, » ita accipienda sunt, quasi dicat: Non ut humanitatis voluntatem faciam in Incarnatione, sed voluntatem deitatis. Nec enim est voluntas dilecti Filii a voluntate Dei et Patris separata; una enim et eadem voluntas est Trinitati. Sua porro hac mira prorsus obedientia, qua pro nobis, id est vice nostrum, obedivit, antiquam nostram inobedientiam abolevit: et quemadmodum in similitudinem hominum, eo modo quo ipse novit ac voluit, descendens passus est, sic et nos sibi conformes faciens in impassibilitatem (4) transtulit. **367** Quare, « Descendi, » inquit: nempe propria sponte ac voluntate veni, inquit, non vero ut minister ac famulus. Sicut et in alio loco similiter ait: « Ego (5) sum panis qui de cœlo descendi; » id est, non missus (6) fui.

ΚΕΦ. ΙΒ'.

Καὶ τὸ « Ἐγὼ καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τοῦ πέμψαντός με Πατρὸς, » τοῦτο δηλοῖ· Οὐχ ἵνα τὸ τῆς ἀνθρωπότητος, φησὶ, θέλημα πράττω ἐν τῇ ἐνανθρωπήσει, ἀλλὰ τὸ τῆς θεότητος. Οὐ γάρ ἐστι θέλημα τοῦ ἀγαπητοῦ Υἱοῦ, θελήματος τοῦ Θεοῦ καὶ Πατρὸς κεχωρισμένον. Ἓν [175 *a*] γὰρ καὶ τὸ αὐτὸ θέλημά ἐστι τῇ Τριάδι. Ταύτῃ γοῦν τῇ παραδόξῳ αὐτοῦ ὑπακοῇ τῇ ἀνθ' ἡμῶν, ἔλυσε τὴν ἡμῶν ἀρχαίαν παρακοήν· καὶ ὃν τρόπον εἰς ὁμοίωσιν ἡμῶν, ὡς οἶδε καὶ ἠβουλήθη, καταβὰς ἔπαθεν· οὕτω καὶ ἡμᾶς συμμόρφους ποιήσας ἑαυτοῦ, εἰς ἀπάθειαν μετέστησεν. Ὅθεν, « Καταβέβηκα, » ἔφη· αὐθαιρετικῶς, φησιν, οὐχ ὑπουργικῶς. Καθὰ καὶ ἐν ἑτέρῳ μέρει ὁμοίως φάσκει· « Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· » ὅ ἐστιν, οὐ πεμφθείς.

C

CAP. XIII.

Eodem sensu accipiendum est illud Psaltis: « Ideo (7) unxit te Deus Deus tuus oleo lætitiæ præ participibus tuis; » et quod legitur apud Joannem in Evangelio: « Quem (8) Pater sanctificavit, et mi-

ΚΕΦ. ΙΓ'.

Καὶ το τοῦ Ψαλμῳδοῦ· « Διὰ τοῦτο ἔχρισέ σε Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· » καὶ τὸ παρ' Ἰωάννῃ ἐν Εὐαγγελίῳ κείμενον, « Ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς

D

« inanis enim est vita mea, » fortasse nomen illud, ὁ βίος, in causa fuit, cur isthæc antecedentibus hic citatis jungeret librarius, aut Didymus.

(96) *Facis.* Juniana editio habet, ποιῇ τοπρωΐ, id est, « facis diluculo. » Complutensis vero, ποιήσῃ ἕως τοπρωΐ, id est, « facies usque ad diluculum. » Quæ paulo post etiam pro κρίνεις habet κρινεῖς, id est, « judicabis. »

(97) *Peccatum.* I Petr. II, 22.

(98) *Supra homines.* Codex, ὑπερανον. Legi potest cum ὑπεράνθρωπον, aut potius ὑπὲρ ἄνθρωπαν, tum ὑπερανθρώπινον.

(99) *Ego vivo.* Joan. VI, 57.

(1) *Ego sum.* Vide Joan. XIV, 6, et XII, 46.

(2) *Filius.* Joan. V, 21.

(3) *Ego descendi.* Joan. VI, 38 et 39.

(4) *In impassibilitatem.* De sensu hujus loci agimus in commentario de Didymo lib. II.

(5) *Ego.* Joan. VI, 51. Biblia: ὁ ἄρτος ὁ ζῶν, id est, « panis vivus, qui, » etc.

(6) *Non missus.* Nempe instar famuli.

(7) *Ideo.* Psal. XLIV, 9 (sive 8). Biblia: ὁ Θεὸς ὁ Θεός σου.

(8) *Quem.* Joan. X, 36.

Digitized by Google

τὸν κόσμον, » παραπλησίως εἴρηται. Οὐκ ἄλλοτε γὰρ ἐχρίσθη καὶ ἡγιάσθη ὁ ἅγιος καὶ ἁγίοις ἀναπαυόμενος, « ὁ εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν· » εἰ μὴ ὅτε οὐκ ἀποθέμενος ὃ ἦν, ἐγένετο ἀτυγχύτως καὶ ὃ οὐκ ἦν· ἵν' ἡμᾶς μετόχους ἑαυτοῦ ποιήσῃ καὶ ἁγιάσῃ, καθὰ εἶπεν· « Ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ. »

A sit in mundum. » Qui enim sanctus est, et in sanctis requiescens (9), « unus sanctus (10), unus Dominus Jesus Christus in gloria Dei Patris. Amen, » non alias unctus fuit et sanctificatus, nisi quando, non deponens quod erat, factus est sine confusione (11) etiam quod non erat, ut nos sui ipsius participes faceret et sanctificaret, ut ipsemet inquit : « Pro ipsis (12) sanctifico me ipsum, ut sint ipsi sanctificati in veritate. »

ΚΕΦ. ΙΔ'.

Ἀκολούθως τούτῳ θεωρεῖται καὶ τὸ ἐν ψαλμῷ εἰρημένον· « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· » καὶ τὸ πολλαχοῦ γεγραμμένον, ὅτι τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. Οὐ γὰρ χάριν ἔλαβεν αὐτὸς τὴν ἀνάστασιν, ἀλλὰ χάριν αὐτὸς δέδωκεν ἡμῖν τὸ καθ' ὁμοιότητα τῆς ἀναστάσεως αὐτοῦ ταύτης [175 *b*] πάλιν ἀνίστασθαι. Ἐπείτοιγε τὸ πρὸς τὸν Πατέρα ἰσότιμον καὶ ἰσοδύναμον καὶ ἐν τούτῳ διδάσκων τῷ κεφαλαίῳ, παρὰ Ματθαίῳ καὶ Λουκᾷ εἶπε· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· » καὶ, « Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. »

368 CAP. XIV.

Sensu his, quæ dicta sunt, consentaneo intelligendum est etiam quod in psalmo legitur : « Non derelinques (13) animam meam in inferno (14), nec dabis Sanctum tuum videre corruptionem : » et quod multis in locis (15) scriptum est, quod nempe B Christum Jesum Deus suscitavit a mortuis. Nec enim ex gratia accepit ipse resurrectionem, sed gratiam ipse nobis dedit, dum nobis concessit, ut secundum similitudinem suæ ipsius resurrectionis rursum resurgeremus. Æqualem enim sibi cum Patre majestatem ac potentiam hac quoque in re esse docens apud Matthæum (16) et Lucam inquit : « Solvite (17) templum hoc, et ego in tribus diebus suscitabo illud; » et : « Potestatem (18) habeo animam meam ponendi, et potestatem habeo rursus capiendi eam. »

(9) *Sanctus... et in sanctis requiescens.* In sacra Græcorum Liturgia oratio, quæ dicitur « Trisagii, » sic incipit : Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, id est, « Deus sanctus, et in sanctis requiescens. » Quin etiam in oratione ab episcopo recitanda, quæ exstat lib. VIII *Constitutionum apostolicarum*, cap. 11, legimus : Ἅγιε, ἐν ἁγίοις ἀναπαυόμενε, id est, « Sancte, qui in sanctis requiescis. » Hæc autem sacræ Liturgiæ locutio, a Didymo hic adhibita, deprompta est ex Isa. LVII, 15. Cæterum codex Passionianus mendose habet ἁγίοις, pro ἐν ἁγίοις.

(10) *Unus sanctus.* Vide not. 9, pag. 161. In libro VIII *Constitutionum apostolicarum*, cap. 13, legitur : Ὁ ἐπίσκοπος προσφωνησάτω τῷ λαῷ οὕτω· Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ ὁ λαὸς ὑπακουέτω· Εἷς ἅγιος, εἷς Κύριος, εἷς Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν· id est, « Episcopus ita ad populum proloquatur : Sancta sanctis. Populusque respondeat : Unus sanctus, unus Dominus, unus Jesus Christus, in gloria Dei Patris, benedictus in sæcula. Amen. » Quæ verba etsi in Liturgiis Chrysostomi ac Basilii non legantur, a populo tamen recitari in Missa, postquam D sacerdos dixit, « Sancta sanctis, » colligo ex Theodori Antidensis episcopi explicatione Missæ nondum, ni fallor, edita, quæ exstat in Naniano codice manu scripto : Ὁ ἀρχιερεὺς (ait Theodorus) λέγει· Τὰ ἅγια τοῖς ἁγίοις... Οἱ δὲ ἀκροαταὶ... λέγουσιν· Εἷς μόνος ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, id est, « Episcopus dicit : Sancta sanctis... Auditores vero inquiunt : Unus solus sanctus, unus Dominus Jesus Christus. » Joannes autem Veccus Constantinopolitanus patriarcha in opusculo, quod inscribitur *Συναγωγὴ ῥήσεων γραφικῶν*, quodque a Petro Arcudio inter opuscula aurea theologica editum fuit, hæc habet, pag. 156 : Ὁμοίως καὶ ἐν τῇ δοξολογίᾳ τοῦ, « Δόξα ἐνὺψίστοις, » ἐν τῷ τέλει ᾄδουσιν οἱ Γραικοί· « Ὅτι σὺ εἷ μόνος ἅγιος, σὺ εἷ μόνος Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός· » id est, « Similiter in hymno, « Gloria in excelsis, » in fine canunt Græci : « Quoniam tu solus sanctus, tu solus Dominus Jesus Christus in gloria Dei Patris. » Verisimile itaque est, Didymum hæc e sacra Liturgia protulisse, aut potius ex hymno angelico « Gloria in excelsis, » qualis primis etiam sæculis recitabatur a Christianis matutino tempore : qua de causa libro VII *Constit. apostolic.*, cap. 47, vocatur « Oratio matutina. » Fateor in *Constitutionibus apostolicis* loco verborum, « in gloria Dei Patris. Amen, » aliam legi clausulam aliquando longiorem; sed fieri facile potuit, ut ejusdem hymni non eadem esset ubique aut semper clausula. Ac sane in membraneo codice sæculi XI, quem servat Veneta Naniorum Bibliotheca, post psalmos et Cantica legitur iste hymnus multo quam apud Latinos auctior; nam post verba : εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν, adduntur alia plura, nempe καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, et reliqua, hoc est, « singulis diebus benedicam te. » Quod si hunc hymnum respiceret Didymus, credibile vix foret, eum ab Hilario Pictaviensi episcopo compositum fuisse : quod tamen non pauci scripserunt, ut monent Maurini monachi in præfatione in Hilarii Opera, pag. 7, tom. I. Facilius crediderim, a S. Hilario eumdem hymnum Latine duntaxat conversum fuisse, et, cum ipse ab exsilio rediit, in Latinam Ecclesiam invectum, nisi prius a Telesphoro papa invectus fuerat.

(11) *Sine confusione.* Naturarum scilicet divinæ et humanæ. Similia dictavit Didymus Enarratione *in primam Joannis Epistolam* ad cap. 4, Eutychianorum blasphemiam, quæ Ecclesiam postmodum turbavit, in antecessum profligans. Vide, si libet, Tertullianum in libro *adv. Praxeam*, cap. 27 et 29, atque Ambrosium in libro *De Incarnationis Dominicæ sacramento*, cap. 6, num. 44 et seqq.

(12) *Pro ipsis.* Joan. XVII, 19.

(13) *Non derelinques.* Psal. XV, 10.

(14) *In inferno.* Græca editio, εἰς ᾅδην. Didymus, εἰς ᾅδου.

(15) *Multis in locis.* Rom. IV, 24 ; Act. II, 4, etc.

(16) *Apud Matthæum.* Matth. XXVI, 61.

(17) *Solvite.* Non in Luca exstant hæc, sed Joan. II, 19.

(18) *Potestatem.* Joan. X, 18.

Digitized by Google

CAP. XV.

Ejusdem modi est etiam responsum, quod legisperito datum fuit. Cum enim is Domino ut homini, eum tentans, dixisset, « Magister (19) bone, » respondit Christus : « Quid me dicis bonum ? Nemo bonus, nisi unus Deus. » Nempe illud, « Nemo bonus, » refertur ad genus hominum; et illud, « Nisi unus Deus, » ad consubstantialitatem divinarum hypostasium. Quasi dicat : Si enim nosti me bonum, confitere (20) me esse Deum æqualem, et similem Patri ut secundum bonitatem, ita et secundum essentiam. Humanitas enim participatione bonitatem possidet; Deitas vero est apex bonitatis, et vita, et lux, et veritas, et pax, et charitas. Subjungit autem : « Ego lux (21) in mundum veni, ut omnis qui sequitur me (22), in tenebris non maneat. » Utque hæc ita esse persuadeat legisperito, ait : « Vende (23) omnia quæ habes, et veni, et sequere me. » Quod tamen non fecit legisperitus voluntati succumbens suæ innatam bonitatem non habenti. Filium porro bonum esse, Scripturæ testimoniis probatum est in primo λόγῳ (24). Quid autem ad demonstrandam **369** Filii bonitatem majus afferri potest, quam quod ipse operibus magis, quam verbis se natura bonum esse ostendit, juxta illum, qui ait : « Cœpit (24*) Jesus et facere, et docere ? » Nimirum « facere » quidem cœpit, cum semetipsum exinanivit, et formam servi pro servis accepit, et quemlibet morbum, omnemque infirmitatem sanavit, et dæmones ejecit, et mare hominibus pervium fecit, et famelicas turbas in deserto saturavit, et servorum pedes lavit, et propter suarum manuum figmentum injurias sibi a figmenti ipsius manibus illatas perpessus est, et centupla (25) benefacientibus bona subministravit, et vitam æternam addidit. « Docere » autem cœpit, cum ait : « Vende (26) omnia, quæ habes, et da pauperibus, et veni, sequere me; » et : « Quod tu (27) odisti, alteri ne fe-

(19) *Magister.* Marc. x, 17 et 18; et Matth. xix, 16 et 17; et Luc. xviii, 18 et 19.

(20) *Confitere.* Codex, ὁμολόγησέν με. Lego ὁμολόγησόν με.

(21) *Ego lux.* Joan. xii, 46.

(22) *Qui sequitur me.* Græca editio : ὁ πιστεύων εἰς ἐμέ, id est, « qui credit in me »

(23) *Vende.* Luc. xviii, 22. Vide etiam Matth. xix, 21 et Marc. x, 21.

(24) *In primo λόγῳ.* Vide not. 2, pag. 137. Porro de Filii bonitate nonnulla dictavit Didymus in libro *De Spiritu sancto*, num. 53, plura vero superius lib. i, cap. 18, pag. 50 et seqq. Affirmare tamen non ausim, eum hic, dum « primum » λόγον citat, alterutrum ex duobus iis locis spectare. Ambrosius quoque in libro ii *De fide*, cap. 2, ostendit, Filium esse « bonum. »

(24*) *Cœpit.* Act. i, 1. Lege, si libet, Didymi fragmentum a Joanne Damasceno in *Parallelis* allatum tit. 17, pag. 515; quod affertur etiam ab Antonio Melissa in *Sententiis* sermone, seu cap. 48.

(25) *Centupla.* Respicit illud Matth. xix, 29 : « Centuplum (Græce ἑκατονταπλασίονα) accipiet, et vitam æternam possidebit. »

(26) *Vende.* Luc. xviii, 22.

ΚΕΦ. ΙΕ'.

Καὶ ἡ πρὸς τὸν νομικὸν ἀπόκρισις, τὸν πειραστικῶς εἰπόντα ὡς ἀνθρώπῳ τῷ Κυρίῳ, « Διδάσκαλε ἀγαθὲ, » καὶ ἀκούσαντα, « Τί με λέγεις ἀγαθόν, Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, » τοιαύτη τίς ἐστιν. Τὸ, « Οὐδεὶς ἀγαθὸς, » εἰς τὸ γένος τῶν ἀνθρώπων· τὸ, « Εἰ μὴ εἷς ὁ Θεὸς, » εἰς τὸ ὁμοούσιον τῶν θείων ὑποστάσεων φέρει. Εἰ γὰρ οἰδάς με, φησὶν, ἀγαθὸν, ὁμολόγησόν με Θεὸν ἴσον καὶ ὅμοιον, ὡς κατὰ τὴν ἀγαθότητα, οὕτως καὶ κατὰ τὴν οὐσίαν ὑπάρχοντα τοῦ Πατρός. Ἡ γὰρ ἀνθρωπότης μεταλήψει τὴν ἀγαθότητα κέκτηται· ἡ δὲ θεότης ἄκρα ἀγαθότητος, καὶ ζωὴ, καὶ φῶς, καὶ ἀλήθεια, καὶ εἰρήνη, καὶ ἀγάπη ἐστίν. Καὶ ἐπάγει· « Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ ἀκολουθῶν μοι ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. » Πείθων τε τὸν νομικὸν ταῦθ' οὕτως ἔχειν, εἶπε· « Πώλησον πάντα, ὅσα ἔχεις, καὶ δεῦρο, ἀκολούθει μοι. » Ὅπερ οὐκ ἐποίησεν ἡττώμενος τῆς γνώμης, οὐκ ἐχούσης ἔμφυτον τὸ ἀγαθόν. Ἐμαρτυρήθη μὲν οὖν ἡ ἀγαθότης αὐτοῦ ἐν τῷ α' λόγῳ. Τί δὲ ἂν εἴη εἰς ἀπόδειξιν μεῖζον τοῦ ἔργοις μᾶλλον ἢ λόγοις δεικνύντος τὸ ἑαυτοῦ φύσει ἀγαθὸν, κατὰ τὸν λέγοντα· « Ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν; »—« ποιεῖν » μὲν, ἐν τῷ κενῶσαι ἑαυτὸν [176*a*], καὶ μορφὴν δούλου ὑπὲρ τῶν δούλων λαβεῖν, θεραπεῦσαί τε πᾶσαν νόσον καὶ πᾶσαν μαλακείαν, καὶ δαίμονας ἀπελάσαι, καὶ θάλασσαν ἀνθρώποις ποιῆσαι βατὴν, καὶ πεινῶντας ὄχλους ἐπ' ἐρημίας ἐμπλῆσαι, καὶ δούλων νίψαι τοὺς πόδας, καὶ διὰ τὸ πλάσμα τῶν ἰδίων χειρῶν, ὑπὸ τῶν χειρῶν τοῦ πλάσματος παθεῖν, καὶ ἑκατονταπλασίονα τοῖς εὖ ποιοῦσι χορηγεῖν ἀγαθὰ, καὶ προστιθέναι ζωὴν αἰώνιον· « διδάσκειν » δὲ, « Πώλησον, ὅσα ἔχεις, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι· » καὶ, « Ὃ σὺ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς· » καὶ, « Μὴ ἀποδῶτε κακὸν ἀντὶ κακοῦ· » καὶ, « Ὅς ἐὰν ποιήσῃ ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησεν· » καὶ, « Παντὶ τῷ αἰτοῦντί σε δίδου· » καὶ, « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς

(27) *Quod tu.* In libro quidem Tobiæ legitur cap. iv, vers. 19 : Ὃ μισεῖς, μηδενὶ ποιήσῃς, id est : « Quod odio habes, nemini feceris. » Quorum verborum loco Vulgata translatio eodem capite vers. 16, hæc habet : « Quod ab alio oderis fieri tibi, vide ne tu aliquando alteri facias. » Atque hunc ipsum Tobiæ locum spectans fortasse Didymus in lib. *De Spiritu sancto*, num. 39 ait : « Quod tibi non vis fieri, » et cætera. Verum in præsenti segmento non tam Tobiæ librum respicere videtur, quam Evangelium, aut certe Novum Testamentum : in quo etsi eadem non exstent verba, idem tamen fere exstat sensus. Nam Matth. vii, 12, legitur : « Quæcunque vultis, ut faciant vobis, et vos facite illis, » et Luc. vi, 31 : « Prout vultis, ut faciant vobis homines, et vos facite illis similiter. » Quin imo in Actis cap. xv, versiculo cum 20, tum 29, nonnulla olim exemplaria habebant, et nunc quoque aliqui codices, et Complutensis editio habent hoc additamentum : Καὶ ὅσα ἂν μὴ θέλουσιν ἑαυτοῖς γίνεσθαι, ἑτέροις μὴ ποιεῖν, id est, « et quæcunque nolunt sibi fieri, aliis non facere. » Quæ verba citantur ab Irenæo lib. ii, cap. 12, num. 14, atque a Cypriano lib. iii *Testimoniorum ad Quirinum* cap. 119, dum citant eum Actorum locum.

Digitized by Google

ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν·» καὶ, « Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. » Καὶ πῶς δὲ οὐκ ἔστιν, ὦ αἱρετικὲ, ἀγαθὸς ἴσα τῷ ἑαυτοῦ Πατρὶ, ὅς γε ταῦτά σοι λέγοντι συγγνώμην ἔχει;

A ceris; » et : « Nolite (28) reddere malum pro malo; » et : « Quicunque (29) fecerit uni ex his minimis, mihi fecit; » et : « Omni (30) petenti a te, da; » et : « Diliges (31) Dominum Deum tuum (32) ex tota anima tua et ex totis viribus tuis et ex tota mente tua, et proximum tuum sicut te ipsum; » et : « In hoc (33) cognoscent omnes, quod mei discipuli estis, si diligitis invicem (34). » Quomodo autem, o hæretice, bonus non est æque ac ejus Pater, cum tibi hæc dicenti parcat?

ΚΕΦ. ΙϚ'.

Διὰ πάντων αἱρεσιομαχεῖν ἐγνωκότες, καὶ τὴν πρὸς Τιμόθεον τοῦ Παύλου φωνὴν, τὴν λέγουσαν· « Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν· » καὶ τὴν, « Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· » καὶ τὴν ἐν Εὐαγγελίῳ κειμένην· « Ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· » καὶ τὴν διαγορεύουσαν προφητείαν· « Ἐγὼ ἐξέτεινα [176 *b*] τὸν οὐρανὸν μόνος· » οὐκ εἰς δέον ἐκδέχονται· φάσκοντες τὴν « μόνος » καὶ τὴν « ἀληθινὸς Θεὸς » λέξιν μὴ ἐπιδέχεσθαι δευτέραν, ἢ τρίτην ὑπόστασιν, ἔχειν δὲ τὴν ἀναφορὰν εἰς μόνον τὸν Πατέρα. Ἡ δὲ « μόνος » καὶ ἑνός ἐστι λέξις, ὁσάκις ἂν εἴρηται ἐπὶ τῆς Τριάδος τῇ Γραφῇ, διὰ τὸ ἐν μονάδι θεότητος ὑπάρχειν αὐτὴν, καὶ « μοναρχίαν » ἔχειν εἴρηται. Διὸ ἡ ταυτότης « μόνος, » ἢ ἐκείνης, ἢ ἅμα τῶν δύο, ἢ τῶν τριῶν ἀχράντων ὑποστάσεων μνημονεύει, ἢ χωρίς. Ἔτι δὲ οὕτω, ἐρρήθη πρὸς ἀντεξέτασιν τῶν καλουμένων ψευδωνύμων θεῶν, ὥσπερ ἀεὶ τὴν δαιμόνιον πολυκοιρανίαν ἐκβάλλει, ἀκουσάντων· « Θεοί ἐστε· » ἵνα μηκέτι ὦμεν δεδουλωμένοι ὑπὸ ταλαὰ, καὶ πολύμορφα, καὶ τρεπτὰ, καὶ ἑτερόγνωμα στοιχεῖα, ἐπὶ τὴν πορνείαν ταύτην σκορπίζοντες τὰ νοήματα ἡμῶν, κατὰ τὸν λέγοντα· « Πρώτη πορνεία, ἐπίνοια εἰδώλων. » Πρὸς τούτοις, καὶ ὅτι οὐχ ἁρμόττει κτίσματι κυρίως καὶ καθ' ἅπαξ ἡ « μόνος » καὶ ἑνὸς λέξις, τῷ εἶναι πάντων, ἢ πολλῶν ἅμα κοινόν τι, διὰ τὸ πάντα ἔχειν πολλὰ ὁμοούσια καὶ ὁμοειδῆ, ὡς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ τοῦ πρώτου ἐρρήθη λόγου. Ἡ δὲ, « Μόνος ἔχων ἀθανασίαν, » καὶ ἡ, « Ἀοράτῳ μόνῳ σοφῷ Θεῷ, » φωνὴ ἐγράφη, διὰ τὸ μηδὲν κτίσμα ἔχειν ἀφ' ἑαυτοῦ καὶ παντὶ τὸ ἀθάνατον καὶ ἀόρατον, καὶ σοφὸν, ἀλλ'

370 CAP. XVI.

Cum pro sua hæresi omnibus modis (35) pugnare statuerint, Pauli quoque ad Timotheum scribentis sententiam perperam accipiunt, quæ sic se habet : « Regi (36) autem sæculorum incorruptibili, invisibili, soli sapienti, Deo honor et gloria in sæcula (37). Amen; » et hanc aliam : « Qui solus (38) habet immortalitatem, lucem habitans inaccessibilem; » et illam, quæ est in Evangelio : « Ut cognoscant (39) te solum verum Deum, et quem misisti Jesum Christum; » et prophetæ verba : « Ego (40) extendi cœlum solus. » Aiunt enim vocibus « solus, » et « verus Deus, » secundam, aut tertiam hypostasim excludi; habere autem eas voces relationem ad solum Patrem. At vero vox « solus » quotiescunque etiam de Trinitate in Scripturis dicitur, de uno dicitur, eo quod hæc sit in unitate deitatis : unde Trinitatis dicta est « monarchia, » quod est, unius regnum, sive una regnantium majestas. Itaque (41) vocabulo « solus » Trinitatis identitas denotatur, et hanc Scripturæ significant, sive deitatem commemorent, sive duas simul ex perfectissimis illis hypostasibus, aut omnes tres, aut seorsum singulas. Præterea dum sic loquitur in allatis locis Scriptura, eos respicit, qui falso dicuntur dii : qua ratione dæmoniacam multorum dominationem (42) semper excludit, et ab ea nos, quibus dictum est, « Dii estis (43), » avertit; ne simus servientes (44) sub miseris (45), et multiformibus, et mutabilibus, et discordibus elementis, cogitationes nostras in hac fornicatione dissipando, juxta illum, qui ait : « Prima (46) fornicatio est excogitatio idolorum. » Insuper in objectis textibus ideo sic loquitur Scriptura, quia vox « solus, » illius propria,

(28) *Nolite.* Rom. XII, 17 : Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. Vide etiam I Petr. III, 9, et Matth. V, 39, 40, 41, 44.

(29) *Quicunque.* Matth. XXV, 40. Sensum citat.

(30) *Omni.* Luc. VI, 30.

(31) *Diliges.* Luc. X, 27.

(32) *Tuum.* Biblia hic addunt : ἐξ ὅλης τῆς καρδίας σου, id est, « ex toto corde tuo. »

(33) *In hoc.* Joan. XIII, 35.

(34) *Si diligitis invicem.* Græca editio eodem sensu : ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

(35) *Omnibus modis.* In Græco, διὰ πάντων. Ita Alexander Alexandrinus tom. II Conciliorum pag. 16, ed. Venetæ ait : διὰ πάντων ἀνενδεής, id est, « nullius plane rei indigens. »

(36) *Regi.* I Tim. I, 17.

(37) *In sæcula.* Biblia : « in sæcula sæculorum. »

(38) *Qui solus.* I Tim. VI, 16.

(39) *Ut cognoscant.* Joan. XVII, 3.

(40) *Ego.* Isa. XLIV, 24.

(41) *Itaque.* Codex hoc in loco, a voce διό usque ad ἡ χάρις, adeo depravatus est, ut non pauca de meo addere aut immutare coactus fuerim in versione. Pro ἡ χάρις lego ἢ χωρίς.

(42) *Multiorum dominationem.* Codex mendose πολυκυρανίαν pro πολυκοιρανίαν. Opponitur vero ista monarchiæ. Illa multitudinem deorum, hæc Dei unitatem significat.

(43) *Dii estis.* Psal. LXXXI, 6.

(44) *Servientes.* Ex ep. ad Gal. IV, 3, ubi legitur : Ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι, id est, « sub elementis mundi eramus servientes. »

(45) *Miseris.* Codex, τὰ λά. Pro λά non lego λᾶ, id est, « lapidis, » quia nimis dura esset ea lectio. Sed pro τὰ λά lego ταλαά. Simili modo Paulus in Ep. ad Gal. IV, 9, hujusmodi elementa, nempe ethnicorum deos, vocat ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, id est, « infirma et egena elementa. »

(46) *Prima.* Sap. XIV, 12. Biblia pro πρώτη πορνεία habent ἀρχὴ πορνείας.

Digitized by Google

qui unus sit, creaturæ proprie et absolute non convenit : est enim creatura quid omnium simul, aut multorum commune; **371** nulla est enim, quæ multas non habeat ejusdem cum ipsa substantiæ, et formæ, sicut in XIV capite primi sermonis (aut libri) dictum fuit. Verba vero illa, « Solus habens immortalitatem, » et illa « Invisibili, soli sapienti (47) Deo, » ideo in Scriptura dicta sunt, quia nulla creatura habet ex seipsa et omnimode (48), ut sit immortalis, et invisibilis, et sapiens; sed a creatore Filio, qui solus modo quodam unico cum Patre, et Spiritu est hæc, accepit ut exsisteret immortalis et invisibilis : adeo ut Paulus in prima ad Corinthios scribat : « Quid autem (49) habes quod non accepisti? Si autem accepisti, quid gloriaris quasi non acceperis? » Atque ob hanc rationem hæ voces proprie ne conveniunt quidem creaturæ. Quod enim de suo non habet immortalitatem, potentia mortale est; quin etiam potest, si forte voluerit Conditor, exstingui, juxta id, quod in Evangelio legitur : « Timete (50) autem magis eum, qui potest corpus et animam perdere in gehenna. »

Cum hæc ita se habeant, nihil prohibet, quominus ad majorem doctrinæ perspicuitatem unumquodque capitulum peculiariter persequamur. Illud ergo, « Regi sæculorum incorruptibili, invisibili, soli sapienti, Deo, » scripsit Paulus, postquam multa prius mundana enarraverat in Epistola; et illa omnia respiciens, quæ enarravit, ea verba subjunxit, ut manifestum erit unicuique Epistolæ sensum attendenti. Illud vero, « Solus habens immortalitatem, lucem habitans inaccessibilem, » relate ad creaturam scripsit, ut dictum est; nam vita æterna, et incorruptibilitas, est immortalitas. Ac vocabula, « veritas, » et « sapientia, » æquivalent vocabulis « verus, » et « sapiens; » hæc autem absolute ac simpliciter sunt solius Dei; Filium vero, et Spiritum sanctum hæc esse, sapientiam nempe, ac veritatem, testantur Scripturæ. Ac si, quemadmodum Pater creat, sanctificat, justificat et deificat eos ad quos venit, eodem modo etiam Unigenitus, et Spiritus Dei hæc facit; proprie ergo cum Filio, tum Spiritui Dei convenient nomina illa, « solus, » et « verus, » et « sapiens, » et « invisibilis Deus, » et « solus habens immortalitatem, » quomodo conveniunt Patri : similique ratione ipsi conveniet locus etiam Scripturæ, in quo **372** de Unigenito dicitur : « Hic est (51) Deus noster, non reputabitur alter in comparatione illius. » Quibus enim rebus, ut ita loquar, Pater differt a creatura, iis omnibus etiam Filius, et Spiritus Dei similiter ab ea differt. Nam quomodo solus Pater ea quæ diximus, habere potest? si vera sunt quæ de Filio, et Spiritu sancto ait Scriptura, ac si verum est illud : « Sicut Pater vitam habet, sic dedit Filio vitam habere, » ut capitulo etiam proxime sequenti dicemus. Illud vero, « Ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum, » Filium simul comprehendit, et æqualem ostendit Patri, cum quo

A εἰληφέναι παρὰ τοῦ δημιουργήσαντος Υἱοῦ, τοῦ μόνως σὺν Πατρὶ καὶ Πνεύματι ὑπάρχοντος ταῦτα, ὕπαρξιν ἀθανασίας καὶ ἀορασίας· ὡς Παῦλον γράφειν Κορινθίοις τὸ πρῶτον· « Τί δὲ [177 *a*] ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; » Καὶ διὰ τοῦτο μηδὲ τὰς λέξεις ταύτας κυρίως πρέπειν ποιήματι. Ἔστι γὰρ θνητὸν δυνάμει, τὸ μὴ ἔχον οἰκοθεν τὸ ἀθάνατον, ἀλλὰ καὶ δυνάμενον, εἰ θελήσοι τυχὸν ὁ ποιήσας, καὶ τὸ ἀποσβεσθῆναι, καθὰ ἐν Εὐαγγελίῳ εἶπεν· « Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. »

B Τούτων οὕτως ἐχόντων, οὐδὲν κωλύσει πρὸς πλείονα εὐμαθίαν ἕκαστον ἰδιαζόντως ἐξεργάσασθαι ῥητόν. Τὸ μὲν οὖν, « Τῷ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ » ἔγραψε, πολλὰ προδιηγησάμενος κοσμικὰ ἐν τῇ Ἐπιστολῇ, καὶ κατὰ πάσης τῆς διηγήσεως ἐπαγαγὼν τοῦτο, ὡς ἔσται σαφὲς παντὶ τῷ προσέχοντι τῇ ἐννοίᾳ τῆς Ἐπιστολῆς. Τὸ δὲ, « Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, » ὡς πρὸς τὴν κτίσιν ἐπέστειλε, καθὰ εἴρηται. Ἡ γὰρ αἰώνιος ζωὴ, καὶ ἡ ἀφθαρσία, ἀθανασία ἐστί· καὶ ἡ « ἀλήθεια, » καὶ « σοφία » λέξις ἰσοδυναμεῖ τῷ « ἀληθινῷ » καὶ « σοφῷ » ῥήματι· καθάπαξ δὲ ταῦτά ἐστι μόνου Θεοῦ· μεμαρτύρηται δὲ ταῦτα εἶναι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ εἰ, ὥσπερ ὁ Πατὴρ δημιουργεῖ, ἁγιάζει, δικαιοῖ καὶ C θεοποιεῖ τοὺς πρὸς οὓς γίνεται, τὸν ἴσον τρόπον καὶ ὁ Μονογενὴς, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ποιεῖ· κυρίως ἄρα τῷ τε Υἱῷ, τῷ τε Πνεύματι τοῦ Θεοῦ τὸ, « μόνος, » καὶ « ἀληθινὸς, » καὶ « σοφὸς, » καὶ « ἀόρατος Θεὸς, » καὶ « μόνος ἔχων ἀθανασίαν, » ὡς τῷ Πατρὶ ἐφαρμόσει· καθάπερ καὶ αὐτῷ πρέψει ἡ περὶ τοῦ Μονογενοῦς λέγουσα Γραφή· « Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς [177 *b*] αὐτόν. » Πᾶσιν γὰρ, ἵν' οὕτως φράσω, οἷς ὁ Πατὴρ τῆς κτίσεως διαφέρει, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ὁμοίως διαφέρει. Πῶς γὰρ λοιπὸν μόνος ἔχει τὰ προλεχθέντα ὁ Πατὴρ, εἰ ἀληθεύει τὰ περὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος γεγραμμένα, καὶ τὸ, « Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν, » ὡς καὶ τὸ προσεχὲς τούτῳ κεφάλαιον ἐπιδείξει; Τὸ δὲ, « Ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, » συμπεριέχει καὶ τὸν Υἱὸν, καὶ δείκνυσιν ἴσον τῷ Πατρὶ, μεθ' οὗ νοεῖται καὶ τὸ Πνεῦμα αὐτοῦ. Ἡ δὲ ἀποστολὴ τὴν οἰκονομίαν δηλοῖ. Ἡ δὲ, « Ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος, » φωνὴ, οὐκ ἔστι τοῦ Πατρός. Ἐπεὶ πῶς ἀληθες τὸ πάντα διὰ

D

(47) *Soli sapienti.* In libro *De Spiritu sancto* num 21, eodem modo hæc Pauli verba explicat : ait enim : Deus vero non alterius sapientiæ participatione, neque aliunde sapiens effectus, dictus est « Solus sapiens, » et (*rectius codex noster pro* et *habet* sed) generans sapientiam, et alios faciens sapientes.

(48) *Omnimode.* Codex, παντί. Malim, πάντη.

(49) *Quid autem.* I Cor. IV, 7.

(50) *Timete.* Matth. X, 28.

(51) *Hic est.* Baruch, III, 36.

Digitized by Google

τοῦ Υἱοῦ γεγενῆσθαι; Ἢ γνώτωσαν καὶ περὶ τοῦ Υἱοῦ ὁμοιότροπον ἐν τῷ Ἰὼβ προφητικῶς εἰρῆσθαι· « Ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπὶ ἐδάφους ἐπὶ θαλάσσης. » Αὐτὸς γὰρ, ὡς πᾶσιν καταφανὲς, ἀεὶ μὲν, οὐχ ἧκιστα δὲ ἐν τῇ ἐνανθρωπήσει ἐθαυματούργησεν, καὶ ὡς ἐν πεδίῳ ἐβάδισεν ἐπὶ τῆς ὑγρᾶς.

A δεύσας, αἴτιος. Οὐ γὰρ οὕτως ἐδίδαξεν, ἵν' οὕτως ποιῇ. Πράττει γὰρ οὐχ ὡς ἔμαθεν ποιεῖν. Πάλιν νόμους παιδεύομέν τινας, ἵνα συνιστῶνται τῷ δικαίῳ, καὶ τὴν ἀδικίαν παραιτῶνται. Ἀλλὰ κακοήθως ἔνιοι αὐτῶν τοῖς νόμοις προσιόντων, τὸ ἀνάπαλιν ποιοῦσιν. Καὶ οὔτε τὸν νόμον, οὔτε τὸν νομοθέτην αἰτιώμεθα. Εἰ γὰρ αὐτοὶ τῆς ἀδικίας αἴτιοι ἦσαν, οὐκ ἂν ἐκόλαζον τοὺς ἀδίκους. Καὶ γὰρ καὶ τοῦτο τοῦ βουλήματος αὐτῶν ὑπάρχει, *Τὸ κολαστέον τὸν ἄδικον εἶναι* · καὶ ὁ Θεὸς κολάζει τὸν σατανᾶν, καὶ τοὺς παραβάντας τοὺς ἀπὸ Θεοῦ τεθέντας νόμους. Τισὶν γὰρ φαύλοις λέγει · *Ὑπάγετε εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.*

CAP. XIV. *Inconsona Manichæorum deliria. Peccatum diaboli, non ingenita malitia, sed sponte longe a creatione assumpta.*

Sciant igitur qui his contradicunt, sibi ipsis pugnantia dicere. Si enim diabolus secundum substantiam malus erat et a bono Deo alienus, ac qui pari illi robore certare posset, nec illi supplicium parare, nec in ipsum eum mittere potuisset. Dicit tamen esse ignem diabolo paratum. Quin hoc dicendum : Si Deus bonus immutabilis est, ut quidem est, et iisdem semper fretus viribus, neque alias aliter, alias aliter valet ; cum futurum esset ut post multam noxam acceptaque ab eo damna æterno eum igni traderet ; quidni hoc a principio fecit, cum se ille in ipsum extulit, et partem ipsius occupavit ? Justius enim tunc in eum pœnas decrevisset, ut qui in majorem deliquisset. Nam nunc quidem hominibus nocet ; tunc autem, illorum sententia et ut existimant, ipsi noxam intulit deitati. Legis vero districtio ac indignatio justior est, si quis in regem, quam si in subditos, injuria procax exsistat. Si enim sic illi de his sentiant, aut dicturi sunt, nescivisse tunc Deum, quomodo ulturus esset et malum impediturus, aut non potuisse. At neutrum horum bono Deo tribuendum est ; non igitur nulla origine Dei inimicus in eum se extulit ; sed qui factus esset ut bonus esset, facultate capessendæ virtutis imperfecta ac manca retenta, quod in vitium pronum erat illique idoneum, ad actum perduxit. Quamobrem dignus supplicio est, ac merito diu post illi est mancipatus.

B Ἴστωσαν τοίνυν οἱ τούτοις ἀντιλέγοντες, μαχόμενα ἑαυτοῖς λέγοντες. Εἰ γὰρ κατ' οὐσίαν κακὸς ἦν ὁ διάβολος, καὶ ἀλλότριος τοῦ ἀγαθοῦ Θεοῦ, δυνάμενος αὐτῷ ἰσοσθενὴς εἶναι · οὐδὲ κόλασιν ἡτοίμαζεν αὐτῷ, οὐδὲ βάλλειν αὐτὸν εἰς τὴν κόλασιν ἠδύνατο · λέγει δὲ ἡτοιμάσθαι πῦρ τῷ διαβόλῳ. Καὶ τοῦτο δὲ ῥητέον · Εἰ ἄτρεπτος ὁ ἀγαθὸς Θεός ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν, καὶ ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν, ὡς μὴ ἄλλοτε ἄλλως ἰσχύειν, καὶ ἄλλοτε ἄλλως · ἔμελλε δὲ μετὰ πολλὴν βλάβην καὶ ἀπώλειαν, πολλὴν πυρὶ αἰωνίῳ παραδιδόναι τὸν σατανᾶν, διά τί μὴ ἐξ ἀρχῆς τοῦτο ἐποίει, ὅτε ἐπανῆλθεν αὐτῷ, καὶ μέρος ἔλαβεν αὐτοῦ ; Δικαιότερον γὰρ τότε μᾶλλον τιμωρίαν ὥριζεν κατ' αὐτοῦ, ὡς κατὰ μείζονος πλημμεληθέντος. Νῦν μὲν γὰρ ἀνθρώπους βλάπτει · τότε, κατ' αὐτούς, αὐτὴν ἔβλαψεν C τὴν θεότητα, ὥσπερ καὶ φρονοῦσιν. Νόμος δὲ καὶ ἀγανάκτησις δικαία ἐστὶ μᾶλλον ἡ κατὰ τῶν κατὰ βασιλέως τολμώντων, ἢ τινων τῶν ὑπηκόων. Εἰ γὰρ ταῦτα οὕτως φρονητέα, ἢ ἄγνοιαν προσάψουσι τῷ Θεῷ τότε, τοῦ πῶς τιμωρήσεται καὶ ἐμποδίσῃ τὸ κακὸν, ἢ ἀδυναμίαν. Ἀλλ' οὐδέτερον τούτων περὶ τὸν ἀγαθὸν Θεόν · οὐκ ἄρα ἀγενήτως ἐχθρὸς ἂν Θεοῦ ἐπανέβη κατ' αὐτοῦ · ἀλλὰ γενόμενος ἐπὶ τῷ εἶναι ἀγαθὸς, τὴν μὲν δύναμιν τῆς ἀρετῆς ἀτελῆ ἐφύλαξεν, τὴν δὲ τῆς κακίας ἐπιτηδειότητα εἰς ἐνέργειαν ἤγαγεν · δι' ὃ καὶ κολαστέος, καὶ εἰκότως μετὰ πολὺ τιμωρίᾳ ὑπεβλήθη.

CAP. XV. *Eorum pœnitentia, quibus malum a voluntate est.*

Si vero illud objecerint, quod dictum est a Joanne Baptista, his qui ficte veniebant ad baptismum, in hæc verba : *Serpentes, progenies viperarum, quis ostendit vobis fugere a ventura ira ? Facite ergo fructum dignum pœnitentiæ : et ne velitis dicere intra vos, patrem habemus Abraham. Potens est enim Deus de lapidibus istis suscitare filios Abrahæ. Jam porro securis ad radicem arborum posita est. Omnis ergo arbor quæ non facit fructum bonum, exciditur et in ignem mittitur* [85]. Audiant isti, non posse eos objicere quæ non recipiunt. Non enim recipiunt Joannem Baptistam, qui unus sit e Veteri Testamento.

D Εἰ δὲ κἀκεῖνο προφέροιντο, τὸ λεχθὲν ὑπὸ τοῦ Βαπτιστοῦ Ἰωάννου τοῖς μεθ' ὑποκρίσεως εἰς τὸ βάπτισμα ἐλθοῦσιν, οὕτως ἔχον · *Ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς ; Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ. Δύναται γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.* Ἀκουέτωσαν, ὅτι οὐ δύνανται προφέρειν, ἀφ' ὧν μὴ παραδέχονται.

[84] Matth. xxv, 41. [85] Matth. III, 7-10 ; Luc. III, 7-9.

Digitized by Google

Οὐ γὰρ δέχονται τὸν Βαπτιστὴν Ἰωάννην, τυγχάνοντα ἕνα τῆς Παλαιᾶς Γραφῆς. Ὅμως δὲ καὶ οὕτως ῥητέον πρὸς αὐτούς· Διὰ πάσης τῆς συμφράσεως ἀναιρεῖ τὸ φύσει ἀγαθοὺς καὶ φύσει εἶναι κακούς. Λέγει γὰρ πρὸς αὐτούς· *Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας.* Μετάνοια δὲ καὶ καρπὸς αὐτῆς οὐ πίπτει, οὔτε πρὸς τὸν κατ' οὐσίαν κακὸν, οὔτε πρὸς τὸν φύσει ἀγαθὸν ὄντα. Πῶς γὰρ ὁ αἰεὶ ἀγαθὸς χρῄζει μετανοίας; ἢ πῶς ὁ φύσει κακὸς χρήσηται τῷ ἀγαθῷ τῆς μετανοίας; Ὁ γὰρ κατ' οὐσίαν ὢν κακὸς, ἐκτραπῆναι τῆς ἁμαρτίας οὐ δύναται· ἀλλ' οὐδὲ ἐπ' ὠφελείᾳ μετάνοια γίνεται τοῦ ἀγαθοῦ. Ἔτι μὴν καὶ ἐκ τῶν λίθων, τῶν δεικνυμένων ὑπ' αὐτοῦ, λέγει τέκνα ἐγερθήσεσθαι τῷ Ἀβραάμ· λίθους δὲ λέγων τοὺς ἠλιθίους, καὶ ἔτι ἐμμένοντας τῇ κακίᾳ ἀνθρώπους. Εἰ γὰρ μετανοήσαιεν οὗτοι, καὶ πιστεύσαιεν τῷ Θεῷ, τέκνα τοῦ Ἀβραὰμ ἔσονται, ὃς διὰ τοῦτο ἄνθρωπος Θεοῦ (53) ἐχρημάτισεν, ὅτι ἐπίστευσεν εἰς αὐτὸν τὸν Θεὸν, ὡς τὴν πίστιν αὐτοῦ εἰς δικαιοσύνην λογισθῆναι.

A Sic tamen illis respondendum est. Toto Joannes contextu destruit, esse natura bonos, et malos natura. Ait enim ad illos: *Facite ergo fructum dignum pœnitentiæ.* Atqui pœnitentia ejusque fructus non cadunt, neque in eum qui per essentiam malus sit, nec qui natura bonus. Quomodo enim eget pœnitentia, qui est semper probus? aut quomodo is qui natura malus est, bono pœnitentiæ utetur? Nam qui per essentiam malus est, a peccato mutari non potest; sed nec ulla utilitas est pœnitere de bono. Præterea ex ostensis ab ipso lapidibus suscitandos ait filios Abrahæ; nempe lapides vocans stolidos et vecordes, ac qui adhuc in malitia permanerent. Hos enim si pœnituerit ac Deo crediderint, filii Abrahæ erunt; qui propterea homo Dei audivit, B quod in Deum crediderit, adeo ut fides reputata sit ei ad justitiam [86].

Cap. XVI. *Genimina viperarum facti, qui posteri Abrahæ.*

Ἐπεὶ δὲ κἀκεῖνο ἠκούσαμεν λεγόμενον ὑπ' αὐτῶν πρὸς τοὺς ἐκ τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων ἁγίων ἀνδρῶν γεγεννημένους, τὸ, *Ὄφεις, γεννήματα ἐχιδνῶν*, λεγόμενον, ἐχίδνας τοὺς ἀμφὶ τὸν Ἀβραὰμ δηλοῖ· ἱστωσαν μαχόμενα τῇ ἀκολουθίᾳ τοῦ κεφαλαίου λέγοντες. Ἐλέγχει γὰρ αὐτοὺς, ὡς μὴ τοῦ Ἀβραὰμ ὄντας, ἀλλ' ἐχιδνῶν γεννήματα, προσποιουμένους καὶ μάτην αὐχοῦντας εἶναι τοῦ Ἀβραάμ. Λέγει γὰρ ἐν ἑτέρῳ κεφαλαίῳ ὁ Σωτὴρ πρὸς αὐτούς (54)· *Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν* (ὃν λέγετε πατέρα ὑμῶν εἶναι ψευδόμενοι). *Εἰ γὰρ τέκνα ἦτε τοῦ Ἀβραὰμ, ἐποιεῖτε ἂν τοῦ Ἀβραὰμ τὰ ἔργα. Ἀλλ' ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν ἐστε τοῦ διαβόλου, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν.* Εὖ δὲ καὶ τὸ εἰπεῖν, *Οὐκ ἔστηκεν*, δεικνὺς αὐτὸν πρότερον ἱστάμενον ἐν τῇ ἀληθείᾳ. Πατέρα δὲ αὐτῶν λέγει τὸν διάβολον, διὰ τὴν ὁμοίωσιν τῆς τροπῆς καὶ τῆς ποιότητος. Ὥστε οὐ τὸν Ἀβραὰμ καὶ τοὺς σὺν αὐτῷ ἁγίους ἐχίδνας εἶπεν. Ἐκ μεταβολῆς γὰρ ἔσχον τοῦτο, τὸ υἱοὶ ἐχιδνῶν εἶναι, διὰ τὸ αὐτοὺς πονηροῖς κεχρῆσθαι διδασκάλοις, ὡς εἴρηται, κατὰ ἰδίαν προαίρεσιν. Λέγει τοίνυν ὁ Ἰωάννης αὐτοῖς· Ἐπεὶ κατὰ μεταβολὴν τὴν ἐξ ἀρετῆς ὄφεις ἠθελήσατε γενέσθαι (οὐδὲ γὰρ καθ' οὐσίαν ἦσαν τοιοῦτοι), παύσασθε τοῦ εἶναι ἐχιδνῶν γεννήματα, ὧν ἐθελήσατε τὴν ποιότητα ἔχειν. Πονηροὶ γὰρ ἐκ πονηρῶν, καὶ ἄδικοι ἐξ ἀδίκων ἐσπουδάσατε εἶναι. Ἀλλ' ἐπεὶ, διὰ τὸ ἐπὶ τὸ βάπτισμα ἔρχεσθαι, μετανοίας λέγετε σημεῖον φέρειν, προσποιητῶς δὲ τοῦτο ποιεῖτε, λέγω ὑμῖν· *Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;* Ὁ γὰρ μετανοῶν, διὰ τοῦτο μετανοεῖ, ἵνα μηκέτι ἁμαρτάνων φεύγῃ τὴν ἐσομέ-

Quia vero illud etiam ab istis dictum audivimus, in eos qui ex Abraham et aliis sanctis viris generati sunt; quasi nimirum dicendo, *Serpentes, progenies viperarum*, Abrahamum nepotesque significet; discant isti pugnantia se loqui consequentiæ capitis. Arguit enim et vituperat, quod non essent filii Abrahæ, sed qui progenies viperarum, frustra semen Abrahæ præferrent, eoque gloriarentur ac sibi placerent. Ait enim ad eos Salvator in alio capitulo: C *Hoc Abraham non fecit*, quem vos falso patrem vestrum esse dicitis. *Si enim filii Abrahæ essetis, opera Abrahæ faceretis. Sed vos ex patre vestro diabolo estis, et desideria patris vestri vultis facere. Ille enim homicida erat ab initio, et in veritate non stetit* [87]. Hoc quoque præclare dictum, *In veritate non stetit*, quo prius in veritate stetisse significat. Patrem autem eorum vocavit diabolum, quod pari cum illo ratione mutati sunt ac qualitate imbuti. Quamobrem non Abraham sanctosque illi asseclas viperas appellavit. Ut enim filii viperarum essent, ex mutatione habuerunt, idcirco quia sua sponte, malis magistris, sicut dictum est, usi sunt. Ait igitur illis Joannes: Quandoquidem aversi a virD tute, serpentes fieri voluistis (non enim per essentiam tales erant), desinite esse proles viperarum, quarum qualitatem voluistis habere. Mali enim ex malis, exque iniquis iniqui esse studuistis. Sed quia dicitis vos pœnitentiæ signum ferre, quod ad baptismum venitis; hoc autem simulate facitis; dico vobis, *Quis ostendit vobis fugere a ventura ira?* Quem enim pœnitet, ideo pœnitet, ut, dum non amplius peccat, iram quæ futura est adversus peccatores effugiat. Rogat autem, *Quis vobis ostendit?* ut dicat,

[86] Rom. IV, 3. [87] Joan. VIII, 39-44.

(53) *Ἄνθρωπος Θεοῦ.* In nostro exemplari, *amicus Dei* legitur. Turrianus. — Jac. II, 23: Καὶ φίλος Θεοῦ ἐκλήθη. Sic et II Parat. XX, 7, nec non Isa. XLI, 8.

(54) *Πρὸς αὐτούς· τοῦτο Ἀβρ.* Ex textu Joan. VIII, 40, hunc locum sic distinximus, ejusque versionem reformavimus. Perperam uterque interpres, Turrianus et Combefisius: πρὸς αὐτοὺς τοῦτο. Ἀβρ. — In alio capitulo: *Abraham non fecit.*

Digitized by Google

qui docet vere a malo recedere, non rem simulate præstare; vos autem cum simulatione facitis, dum ad baptismum acceditis. Non igitur mundabimini. Qui enim vult vere mundari, a peccatis desistit, et hujusmodi fructum pœnitentiæ affert, faciens opera habitui peccati contraria. Vos enimvero hoc non fecistis, qui ipsi vos ipsos condemnastis, dum habere vos Abraham patrem dicitis. Non enim hoc vos juvabit, quod Abrahæ filii æstimemini, sed quod ejus filii sitis ea ratione, quod ipsius fidem et ab idolis fugam æmulemini. Quamobrem, tametsi aliquando filii Abrahæ fuistis, non hoc vos salvos faciet. Nam et eos qui non sunt nunc ejus filii, potest Deus ipsius filios facere. Quare salutem consequitur qui virtutis rationibus Abrahæ filius est, non qui ejus secundum carnem solum exstitit filius. Quod si exstitit, ne glorietur sibique placeat: est enim res ejusmodi quæ sit alia alio decidua ac proclive mutetur. Denique quibus etiam id non obtigit, poterunt comparare. Nam et Paulus his quos carne non genuerat, dicit: *In Christo per Evangelium ego vos genui* [88].

A

B

νην κατὰ τῶν ἁμαρτανόντων ὀργήν. Πυνθάνεται δὲ τὸ, *Τίς ὑμῖν ὑπέδειξεν;* ἵνα εἴπῃ ὁ γνησίως ὑποδεικνὺς κακίας ἀναχωρεῖν, οὐ προσποιήσει τοῦτο γίνεσθαι. Ὑμεῖς δὲ τοῦτο ποιεῖτε μεθ' ὑποκρίσεως, ἐπὶ τὸ βαπτίζεσθαι ἐρχόμενοι. Οὐκ ἄρα καθαρθήσεσθε. Ὁ γὰρ ἀληθῶς καθαρθῆναι βουλόμενος ἀφίσταται ἁμαρτημάτων, καὶ τῆς τοιαύτης μετανοίας καρπὸν φέρει, τὰ τῆς ἐναντίας τῇ ἁμαρτίᾳ ἕξεως ἔργα ποιῶν. Ἀλλὰ τοῦτο μὲν ὑμεῖς οὐ πεποιήκατε, ἑαυτοὺς κατακρίναντες, φάσκοντες πατέρα τὸν Ἀβραὰμ ἔχειν. Ἀλλ' οὐ τοῦθ' ὑμᾶς ὠφελήσει, τὸ οἴεσθαι τέκνα τοῦ Ἀβραὰμ εἶναι, ἀλλὰ τὸ εἶναι αὐτοῦ τέκνα, καὶ τῇ πίστει καὶ τῇ ἀπὸ εἰδώλων φυγῇ. Κἂν τοίνυν ποτὲ τέκνα τοῦ Ἀβραὰμ γεγόνατε, οὐ τοῦτο ὑμᾶς σώσει. Καὶ γὰρ τοὺς νῦν μὴ ὄντας αὐτοῦ τέκνα δύναται ὁ Θεὸς τέκνα αὐτοῦ ποιῆσαι. Ὥστε σώζεται ὁ ὢν τοῦ Ἀβραὰμ τέκνον κατὰ τὴν ἀρετὴν, οὐχ ὁ γενόμενος αὐτοῦ τέκνον κατὰ σάρκα μόνον, κἂν δὲ γένηται, μὴ μέγα φρονείτω· μετάπτωτον γὰρ τὸ τοιοῦτο. Ἀμέλει γοῦν καὶ οἱ μὴ ἔχοντες αὐτὸ κτήσασθαι αὐτὸ δυνήσονται. Καὶ γὰρ ὁ Παῦλος, οὓς τῇ σαρκὶ οὐ γεγέννηκεν, λέγει· *Ἐν γὰρ Χριστῷ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.*

Cap. XVII. *Peccator, in eo ipso quod peccat, præsens habet supplicium quo est afficiendus.*

Verum cum hæc auditis, ne contemnatis, quasi ira in peccatores retardetur. Jam enim malus in eo ipso quod peccat, præsens supplicium habet, qui ejus reus exsistat ac pœnæ obnoxius. Quamobrem scitote jam securim radices arborum prope C attingere. Arbores autem vocat, non quas sensu percipimus, sed homines vitio depravatos. Harum autem arborum radix pessima dispositio est, ex qua non edulus fructus, sed venenatus oritur. Hunc igitur vocavit fructum non bonum. Itaque, quamvis securis supplicium denotat, ac mala arbor hominem peccatorem, non sunt duæ hæ naturæ pugnantes. Intentantur enim minæ, ut arbores mutentur. Nam qui minas peccatoribus intentat, ipsa minarum intentatione satagit ad meliorem frugem transferre. Quare, si intentata per securim effetas arbores ac clanguidas excisuram comminatione, ipsis auctor est, inducitque, ut non malum, sed fructum bonum ferant; nec arbor mala natura est, nec natura malum supplicium.

Ἀλλὰ ταῦτ' ἀκούοντες μὴ καταφρονεῖτε, ὡς βραδυνούσης τῆς κατὰ τῶν ἁμαρτανόντων ὀργῆς. Ἤδη γὰρ δι' αὐτοῦ τοῦ ἁμαρτάνειν ὁ φαῦλος παροῦσαν ἔχει τὴν κόλασιν, κολαστέος ὑπάρχων. Δι' ὃ ἴστε τὴν ἀξίνην ἤδη ταῖς ῥίζαις ἐγγίζουσαν τῶν δένδρων. Δένδρα δὲ οὐκ αἰσθητὰ λέγει, ἀλλ' ἀνθρώπους κατὰ κακίαν πεποιημένους. Ῥίζα δὲ τῶν δένδρων τούτων ἡ χειρίστη ἕξις, ἀφ' ἧς καρπὸς οὐκ ἐδώδιμος, ἀλλὰ δηλητήριος γίνεται. Αὐτὸν οὖν οὐ καλὸν καρπὸν εἶπεν. Κἂν τοίνυν ἡ ἀξίνη τὴν κόλασιν σημαίνει, τὸ δὲ κακὸν δένδρον τὸν ἁμαρτάνοντα ἄνθρωπον, οὐ μαχόμεναι φύσεις αὗται· ἀπειλεῖται γὰρ ἡ κόλασις ἐπὶ τῷ μεταβαλεῖν τὰ δένδρα. Ὁ γὰρ ἀπειλῶν τοῖς ἁμαρτάνουσιν, δι' αὐτῆς τῆς ἀπειλῆς μεταποιῆσαι βούλεται. Εἰ τοίνυν διὰ τῆς ἀπειλῆς τῆς ἀξίνης, τῆς μελλούσης ἐκκόπτειν τὰ σαπρὰ δένδρα, πείθει αὐτοὺς παύσασθαι τοῦ μὴ κακὸν καρπὸν φέρειν, ἀλλὰ καλόν· οὐ φύσει κακὸν τὸ δένδρον, οὐδὲ φύσει κακὴ ἡ κόλασις.

D

Cap. XVIII. *Promissio et supplicium sunt bona.*

Sed fortasse dicent: Si pœna mutat malos, bonum est pœnam esse. Si autem castigatio bona est, huicque contraria promissio est, nec contraria simul bona esse possunt; ergo mala est promissio. Sin autem non mali est promissio, sed boni, mala erit ultio ac pœna. Si autem mala ultio, non eam Deus, sed Satanas, infert. Infert autem Satanas pœnam, non suis: sunt enim sicut ipse, mali; ac necesse est ipsum quoque pœnæ subjici. Restat igitur ut bono pœnam inferat. Sed hoc est impossibile. Non ergo malus pœnam infligit, sed Deus. Quidquid autem a Deo infligitur, utiliter infligitur,

Ἀλλ' ἴσως ἐροῦσιν· Εἰ μεταποιεῖ φαύλους ἡ κόλασις, ἀγαθὸν αὐτὴν εἶναι· εἰ δὲ ἡ κόλασις ἀγαθὸν, ἐναντία δὲ ταύτῃ ἡ ἐπαγγελία, τὰ δὲ ἐναντία οὐ δύνανται ἅμα ἀγαθὰ εἶναι· ἡ ἄρα ἐπαγγελία κακόν. Μὴ κακοῦ δὲ τῆς ἐπαγγελίας, ἀλλ' ἀγαθοῦ οὔσης, ἡ κόλασίς ἐστι κακόν. Εἰ δὲ κακὸν ἡ κόλασις, οὐχ ὁ Θεὸς, ἀλλ' ὁ Σατανᾶς αὐτὴν ἐπιφέρει. Ἐπιφέρει δὲ ὁ Σατανᾶς τὴν κόλασιν οὐ τοῖς ἑαυτοῦ· εἰσὶν γὰρ, ὡς αὐτὸς, πονηροὶ, καὶ ἀνάγκη καὶ αὐτὸν ὑποπίπτειν τῇ κολάσει· τῷ ἄρα ἀγαθῷ ἐποίσει αὐτήν. Ἀλλ' ἀδύνατον τοῦτο· οὐκ ἄρα ὁ πονηρὸς αὐτὴν ἐπιφέρει, ἀλλὰ Θεός. Πᾶν δὲ τὸ ὑπὸ Θεοῦ ἐπιφερόμενον, χρησίμως

[88] I Cor. IV, 15.

Digitized by Google

ἐπιφέρεται, τυγχάνον ἢ ἀγαθοῦ ποιητικὸν, ἢ κωλυτικὸν κακοῦ. Ὁ ἄρα Θεὸς κωλύειν τὸ κακὸν βουλόμενος, ἐπιφέρει τοῦτο· οὐκ ἂν δ' ἐπεχείρει κωλύειν τὸ κακὸν, εἰ μὴ δυνατὸν ἦν κωλύεσθαι τὸ κακόν. Κωλυόμενον δὲ τοῦτο οὐ δύναται εἶναι φύσει καὶ ἀγένητον. Ἐσφάλησαν δὲ καὶ ἐν τούτῳ οἱ ἀμαθεῖς, νομίσαντες ἐναντίον εἶναι τὴν κόλασιν τῇ ἐπαγγελίᾳ· ἑκατέρα γὰρ ἀνταπόδοσίς ἐστιν, ἡ μὲν τοῖς ἀγαθοῖς μισθὸν φέρουσα, ἡ δὲ τιμωρίαν κατὰ τῶν ἑκουσίως παραβεβηκότων τοὺς θείους νόμους.

A cum sit bonum, aut boni parens, aut arcens malum. Deus igitur, cum velit malum impedire, supplicium constituit. Non autem tentaret malum impedire, nisi illud posset impediri : hoc autem quod impeditur, esse natura non potest ac ingenitum. In hoc vero præterea imperiti homines errore lapsi sunt, existimantes contrariam esse animadversionem promissioni. Utraque enim remuneratio est; altera quidem, quæ bonis mercedem afferat; altera vero, quæ pœnam dignamque ultionem in eos qui divinas leges voluntarie trangressi sunt, rependat.

FRAGMENTA

EX DIDYMI LIBRIS DEPERDITIS.

I. *Ex libro cui titulus :* Συμβουλὴ ἠθική. *Apud Socrat.*, Hist. eccles. *lib.* IV, *cap.* 23.

Τοὺς περὶ Προνοίας καὶ κρίσεως κατὰ σαυτὸν ἀεὶ γύμναζε λόγους, φησὶν ὁ μέγας καὶ γνωστικὸς διδάσκαλος Δίδυμος, καὶ τούτων τὰς ὕλας διὰ μνήμης φέρειν πειράθητι. Ἅπαντες γὰρ σχεδὸν ἐν τούτοις προσπταίουσι. Καὶ τοὺς μὲν περὶ κτίσεως λόγους ἐν τῇ διαφορᾷ τῶν σωμάτων καὶ κατὰ τὸν κόσμον εὑρήσεις· τοὺς δὲ περὶ Προνοίας, ἐν τοῖς τρόποις τοῖς ἀπὸ κακίας καὶ ἀγνωσίας ἐπὶ τὴν ἀρετὴν ἢ ἐπὶ τὴν γνῶσιν ἡμᾶς ἐπανάγουσι.

B Sermones de Providentia et de judicio Dei assidua meditatione tecum ipse recole, ait magnus ille doctor et spiritali scientia instructus Didymus; eorumque sermonum materias fac in memoria circumferas. Omnes enim fere in his labuntur. Et sermones quidem ac rationes de judicio in differentia corporum et in partibus mundi reperies. Sermones autem de Providentia in modis illis quibus a vitio et ignorantia ad virtutem et cognitionem ducimur deprehendes.

II. *Ex libro* Πρὸς φιλόσοφον *inscripto. Apud Joan. Damascen.* in Parallelis, p. 643 :

Ἐκ μελέτης πολλῆς καὶ ἀσκήσεως ἡ βία καὶ ἀγριότης τῶν παθῶν ἀσθενεῖς.

Diuturno studio et meditatione concitatorum animi motuum vis et feritas debilitantur.

III. *Ex libro* Περὶ ἀσωμάτου. *Apud eumdem ibid., pag.* 780.

Διδύμου, ἐκ τοῦ Περὶ ἀσωμάτου. Ἀνύουσι παρὰ διδασκάλου παιδεύσεις τε καὶ προτροπαὶ πρὸς ὠφέλειαν τῶν ἀκροωμένων, οὐχ ὅταν λόγῳ μόνῳ διδάσκῃ ὁ παιδευτὴς, ἀλλὰ καὶ πράξει καταλλήλῳ καὶ συναφεῖ τοῖς ἐπαγγελλομένοις. Πάλιν δεῖ τὸν γνήσιον διδάσκαλον βίον κατάλληλον ἔχειν τοῖς ὑπ' αὐτοῦ νομοθετουμένοις, ἵνα ᾖ τὸ ἔργον αὐτοῦ συνηρμοσμένον τῷ λόγῳ.

C *Didymi, ex libro De incorporeo.* Magistri disciplina et exhortationes auditorum utilitati conferunt, non quando magister solo sermone docet, sed quando actione etiam dictis consentanea, rebusque promissis affini. Rursum sincerum doctorem vitam iis quæ ipse statuit, congruentem agere oportet, ut ejus actio cum sermone recte conveniat.

Aliud fragmentum dedit Mingarelli in not., pag. 277.

IV. Βιβλίον πρὸς Ῥουφῖνον διατί ἀποθνήσκουσι τὰ βρέφη, καίπερ διὰ τὰς ἁμαρτίας αὐτοῦ ἀναλαβόντα σώματα.

Vide Opera Hieronymi ed. Migne, tom. II, *pag.* 478 D.

Digitized by Google

DIDYMI ALEXANDRINI

OPERUM PARS ALTERA. -- EXEGETICA.

—

FRAGMENTA EX CATENIS.

—

IN GENESIN.

Ex Catena cui titulus : Σειρὰ ἑνὸς καὶ πεντηκοντα ὑπομνηματισμῶν εἰς τὴν Ὀκτατευχὸν καὶ τὰ τῶν Βασιλείων, ἤδη πρῶτον τύποις ἐκδοθεῖσα ἀξιώσει μὲν τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡγεμόνος πάσης Οὐγκροβλαχίας Κυρίου Κυρίου Γρηγορίου Ἀλεξάνδρου Γκικᾶ· ἐπιμελείᾳ δὲ Νικηφόρου ἱερομοναχοῦ τοῦ Θεοτόκου. Ἐν Λειψίᾳ τῆς Σαξονίας, ἐν τῇ τυπογραφίᾳ τοῦ Βρειτκόπφ. Ἔτει ,αψοβ' (1772).

—

CAP. I, vers. 14. *Dixit autem Deus : Fiant luminaria in firmamento cœli ut illuminetur terra et dividant diem ac noctem.*

Didymi.—Unde et luminarium creatio, quæ quarta die facta est, propter majorem eorum utilitatem et excellentiam, huic quartæ diei attribuitur. *Tetras* enim, ut quæ virtualiter sit *decas*, in maximo honore habetur : siquidem *monas*, *duas*, *trias* et *tetras*, sibi invicem additæ, decadem efficiunt; in toto autem Scripturæ decursu *decas* celebratur . *decem* enim mandata dedit Moyses, *decimæque* sacerdotibus offeruntur. Sicut autem aquam in principio super faciem universæ terræ diffusam, deinde tertia die congregans Deus, fecit ex ea maria, flumina et fontes; ita et lumen, in principio creatum priusque diffusum, deinde quarta die Deus colligens, fecit ex eo solem, lunam cæteraque astra. Sol autem a die non differt.

CAP. III, vers. 19. *Spinas et tribulos germinabit tibi, et comedes herbam terræ.*

Didymi. Quid enim mali non consequitur ex natura corporis, quæ voluptatum et ærumnarum fomes exsistit? Has enim Salvator spinas esse innuit quæ sementem, ut ait, suffocant, si quis eam suscipiens non in profundo cordis recondit.

VERS. 25. *Et collocavit ante paradisum voluptatis cherubim et flammeum gladium atque versatilem ad custodiendam viam ligni vitæ.*

Didymi. — Gladius *versatilis* dictus est, ut significetur, hunc gladium, si quidem homo ex vitio ad virtutem *vertatur*, ipsum *versum iri*, jam ingressum permittens. Si quem igitur ingrediendi desiderium subit, illos introductores habebit : cherubim vide-

ΚΕΦ. Α', στ. ιδ'. *Καὶ εἶπεν ὁ Θεὸς, Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός.*

Διδύμου. Ὅθεν καὶ οἱ φωστῆρες τῇ τετάρτῃ ἡμέρᾳ γενόμενοι, διὰ τὸν περὶ αὐτοὺς λόγον, ἅτε μείζους ὄντες ἐν ταύτῃ λέγονται γεγενῆσθαι. Ἡ γὰρ τετρὰς, δυνάμει οὖσα δεκάς, τιμία ὑπάρχει· μονὰς γὰρ, καὶ δυὰς, καὶ τριὰς, καὶ τετρὰς, ἀλλήλοις συντεθεῖσαι τὴν δεκάδα ποιοῦσι· διὰ πάσης γὰρ τῆς Γραφῆς ἡ δεκὰς ὑμνεῖται· καὶ γὰρ δέκα λόγους Μωσῆς δέδωκε, καὶ δεκάται παρέχονται. Ὥσπερ δὲ τὸ ὕδωρ, πρότερον διακεχυμένον κατὰ πρόσωπον πάσης τῆς γῆς, ὕστερον τῇ τρίτῃ ἡμέρᾳ συναγαγὼν ὁ Θεὸς εἰς συναγωγὴν μίαν, ἐποίησε τὰς θαλάσσας, καὶ τοὺς ποταμοὺς, καὶ τὰ φρέατα· οὕτω καὶ τὸ φῶς, τὸ ἐν ἀρχῇ κτισθὲν, πρότερον διακεχυμένον, ἀθρόως ὕστερον τῇ τετάρτῃ ἡμέρᾳ συναγαγὼν ὁ Θεὸς, ἐποίησεν ἐξ αὐτοῦ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς λοιποὺς ἀστέρας. Οὐχ ὅτι ἄλλο τι παρὰ τὴν ἡμέραν ὁ ἥλιος.

ΚΕΦ. Γ', στ. ιθ'. *Ἀκανθας καὶ τριβόλους ανατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ.*

Διδύμου. Τί γὰρ ἐκ τῆς τοῦ σώματος ἀκολουθίας οὐκ ἐπώδυνόν ἐστιν, ἡδονῶν τε καὶ μεριμνῶν ἐξ αὐτοῦ φυομένων; Ταύτας γὰρ εἶναι τὰς ἀκάνθας ὁ Σωτὴρ ἐμήνυσεν, αἵτινες συμπνίγουσι τὸν ὑπ' αὐτοῦ καλούμενον σπόρον, ἐὰν ὁ δεξάμενος μὴ εἰς βάθος τοῦτον ὑποδέξηται.

Στ. κε'. *Καὶ ἔταξε τὰ χερουβὶμ, καὶ τὴν φλογινην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.*

Διδύμου. Ῥομφαία εἴρηται *στρεφομένη*, ἵνα *στραφέντος* ἀπὸ κακίας εἰς ἀρετὴν τοῦ ἀνθρώπου, καὶ αὐτὴ *στραφῇ* τὴν εἴσοδον παρέχουσα. Εἰ τοίνυν τῆς εἰσόδου τινὶ γένοιτο πόθος, διὰ τούτων χειραγωγεῖται· τῶν μὲν χερουβὶμ, αἰνιττομένων τὴν γνῶσιν

Digitized by Google

τῆς ἀληθείας, ἧς μετέχειν εἰκὸς τὸν εἰσιέναι βουλόμενον (ἑρμηνεύεται γὰρ *πλῆθος γνώσεως*)· τῆς δὲ ῥομφαίας, τὴν ἐπίπονον ἀγωγήν. Διὰ πολλῶν γὰρ θλίψεων τῆς εἰσόδου τῆς βασιλείας ἔστιν ἐπιτυχεῖν.

licet, quibus significatur cognitio veritatis, quam participare decet eum qui ingredi appetit (*cherubim* enim interpretatur *multitudo cognitionis*); et gladium, quo laboriosa vita innuitur. Non nisi enim per multas tribulationes ingressum in regnum assequi licet.

ΚΕΦ. Ϛ', στ. κβ'. *Σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμάτων, ἃ ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτόν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν.*

CAP. VI, vers. 22. *Tolles igitur tecum ex omnibus escis quæ mandi possunt, et comportabis apud te, et erunt tam tibi quam illis in cibum.*

Διδύμου. Ἡ δὲ περὶ τῶν σκυβάλων τῶν ζώων πάροδος καλῶς παρασεσώπηται, καὶ τοῦ Νῶε ἅμα τοῖς υἱοῖς δυναμένων τὸ ἀκόλουθον περὶ τούτου σκοπῆσαι, καὶ ἡμῶν τὰ παραλελειμμένα στονάσασθαι καὶ ἀναπληρῶσαι.

Didymi. Quæ autem ad stercora animalium pertinent, recte silentio prætermissa sunt, siquidem huic rei Noe cum filiis convenienter providere potuit, nobisque, quæ prætermissa sunt, conjicere et supplere obvium est.

ΚΕΦ. Η', στ. α'. *Καὶ ἐμνήσθη ὁ Θεὸς τοῦ Νῶε*, κ. τ. λ.

CAP. VIII, vers. 1. *Et recordatus est Deus Noe*, etc.

Διδύμου. Τὸ, *Ἐμνήσθη ὁ Θεὸς τοῦ Νῶε*, θεοπρεπῶς ἀκουστέον. Οὐχ ὡς ἐκ λήθης, ἀλλ' ὥσπερ περὶ τῶν ἀσεβῶν λέγει, *Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ*, τουτέστι, Οὐδέποτε ἔγνων ὑμᾶς, ὡς ἐνταῦθα δηλοῦσθαι τὸ, Οὐδέποτε ὡς ἡμετέρους ὑμᾶς ἔσχον. Οὕτω κἀνταῦθα τὸ ἐμνήσθη, ἀντὶ τοῦ, Ἐπεισήγαγεν αὐτῇ ἀρχὴν γενέσθαι τοῦ γένους.

Didymi. Illud, *Recordatus Deus Noe*, sic intelligendum est, ut naturæ divinæ conveniat. Non oblivionem passus, sed impios aversatus, dicit: *Nescio vos unde sitis* (*Luc.* XIII, 27), id est, Nunquam novi vos; quasi dicat: Nunquam vos in nostrorum numero habui. Sic etiam illud, *Recordatus est*, idem est ac si diceret: Statuit illum principium fore novæ generationis.

FRAGMENTA IN EXODUM.

(*Ex eadem Catena.*)

ΚΕΦ. ΚΔ', στ. ι'. *Καὶ εἶδον τὸν τόπον οὗ ἑστήκει ἐκεῖ ὁ Θεὸς τοῦ Ἰσραὴλ· καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον πλίνθου σαπφείρου, καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαριότητι.*

CAP. XXIV, vers. 10. *Et viderunt Deum Israel: et sub pedibus ejus quasi opus lapidis sapphirini, et quasi cœlum cum serenum est.*

Διδύμου. Δηλοῦται γὰρ καὶ ἐν τῇ λέξει ταύτῃ, ὡς ἔνθα Θεοῦ παρουσία νόησιν ἔσχε, τόπον εἰρῆκασιν εἶναι τῶν ποδῶν αὐτοῦ, βεβαίως ἱδρυμένων ἔνθα ἀρετὴ πρακτική. Ἢ δηλοῦται, διὰ τῆς πλίνθου τῆς σαπφειρίνης, καὶ σοφία, ἥτις, διὰ τῶν νοητῶν θεωρία ὑπάρχειν, τῇ καθαριότητι παραβάλλεται.

Didymi. — Ex hac enim lectione manifestum fit quod, sicubi Deus spiritualiter adest, ibi locum esse pedum ejus dicitur, firmiter hic stantium ubi practica est virtus. Forte etiam, per *opus sapphirini lapidis*, sapientia designatur, quæ, quia in intellectualium contemplatione consistit *cœlo sereno* comparatur.

ΚΕΦ. ΛΓ', στ. ιγ'. *Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἵνα ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου οὗτος, τὸ ἔθνος τοῦτο.*

CAP. XXXIII, vers. 13. *Si ergo inveni gratiam in conspectu tuo, ostende mihi faciem tuam ut per cognitionem videam te et inveniam gratiam ante oculos tuos, et cognoscas quia populus tuus est gens ista.*

Διδύμου. Τὸ γνωστῶς ὁρώμενον, εὔδηλον ὡς θεωρίᾳ μόνον, καὶ οὐκ αἰσθήσει καταλαμβάνεται. Ὥσπερ γὰρ καὶ ὀφθαλμὸς τῶν αἰσθητῶν ἀντιλαμβάνεται δι' ὁράσεως οὕτως ὁ νοῦς, διὰ γνώσεως, Θεοῦ θεωρίαν δέχεται.

Didymi. — Quod per cognitionem videtur, ab intellectu tantum, minime vero a sensibus apprehendi manifestum est. Sicut enim oculus per visionem sensibilia percipit, sic mens, per cognitionem, Dei visionem recipit.

Στ. ιθ'. *Καὶ εἶπεν, Ἐγὼ παρελεύσομαι πρότερόν σου τῇ δόξῃ μου, πορεύσομαι πρὸ προσώπου σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματι Κυρίου ἔναντίον σου.*

VERS. 19. *Et dixit: Ego transibo prior te cum gloria mea; præibo ante faciem tuam cum gloria mea, et vocabo nomine Domini coram te.*

Διδύμου. Μετ' αὐτὴν γὰρ ὑπάρχεις. Ὑπάρχων γὰρ πρὸ τῶν αἰώνων, εὑρίσκεται ἡ ἐμὴ δόξα, ὁ μονογενής μου Υἱὸς οὖσα. Ὅταν ἐνὼ προδιαβῶ, ἔχων

Didymi. — Posterior enim illa (*gloria mea*) es. Nam ante sæcula exsistit gloria mea, quæ est Filius meus unigenitus. Cum ergo prior transiero, habens glo-

Digitized by Google

riam nostram, tu subsequeris, sicut servus dominum.

VERS. 23. *Tollamque manum meam et videbis posteriora mea : faciem autem meum videre non poteris.*

Didymi. — Divina natura, qualis ab æterno ante mundi constitutionem exsistebat, per *faciem* indicatur; creatio autem et providentia per *posteriora* significantur.

CAP. XXXIV, vers. 2. *Esto paratus mane ut ascendas statim in montem Sinai, stabisque mecum super verticem.*

Didymi. — Non enim cum alio stat nisi cum Deo, cui prædictum profectum perficiet. Quid est autem *stare* cum Deo, nisi paratum esse ad audienda Dei præcepta?

VERS. 3. *Et nullus ascendat tecum nec videatur quispiam per totum montem : boves quoque et oves non pascantur e contra.*

Didymi.—Quicunque Moyse imperfectiores erant, eos sub monte stare imperavit.

A τὴν ἡμετέραν δόξαν, τότε σὺ ἐπακολουθήσεις. οἷα θεράπων δεσπότῃ.

Στ. κγ'. *Καὶ ἀφελῶ τὴν χεῖρα, καὶ τότε ὄψει τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.*

Διδύμου. Ἡ μὲν προκόσμιος ὕπαρξίς τε καὶ θειότης δηλοῦται διὰ τοῦ προσώπου· ἡ δὲ δημιουργία καὶ πρόνοια, διὰ τῶν ὀπίσω (1).

ΚΕΦ. ΛΔ', στ. β'. *Καὶ γίνου ἕτοιμος εἰς τὸ πρωΐ, καὶ ἀναβήσῃ τὸ πρωΐ εἰς τὸ ὄρος τὸ Σινᾶ, καὶ στήσῃ μοι ἐκεῖ ἐπ' ἄκρου τοῦ ὄρους.*

Διδύμου. Οὐ γὰρ ἑτέρῳ τινὶ ἵσταται, ἀλλ' ἢ Θεῷ, ᾧ τὴν δηλωθεῖσαν προκοπὴν διανύσει. Τί δέ ἐστι τὸ ἑστάναι Θεῷ, ἢ τὸ ἕτοιμον γενέσθαι πρὸς τὸ ἀκροᾶσθαι Θεοῦ διδασκαλίαν;

Στ. γ'. *Καὶ μηδεὶς ἀναβήτω μετὰ σοῦ, καὶ μηδεὶς ὀφθήτω ἐν παντὶ τῷ ὄρει· καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν πλησίον τοῦ ὄρους.*

Διδύμου. Τοῖς ἀπολειπομένοις τῆς τοῦ Μωϋσέως τελειότητος μένειν κάτω τοῦ ὄρους προσέταξε.

(1) Huic commentario sequentia in codice subjunguntur : *Idem et Gregorius Nyssenus.* Hæc autem in editis mox leguntur.

FRAGMENTA IN REGUM LIB. II.

(*Ex Catena Nicephori supra laudata, tom. II.*)

CAP. XXII. Vers. 5. *Quia circumdederunt me contritiones mortis : torrentes iniquitatis terruerunt me.*

Didymi. — Vel etiam *torrentes iniquitatis* dicit, quia in iniquitatem incidunt qui non viriliter resistunt tentationibus.

VERS. 6. *Dolores inferni circumdederunt me prævenerunt me afflictiones mortis.*

Didymi. — Dolores mortis et inferni peccata sunt letalia.

VERS. 9. *Ascendit fumus in ira ejus, et ignis de ore ejus vorabit; carbones accensi sunt ab eo.*

Didymi. — *Ascendit fumus in ira ejus,* dum consumitur perniciosa materia, analogiam habens ad *lignum, fenum, stipulam,* quæ ab improbis hominibus superædificantur super verum fundamentum Christi (*I Cor.* III, 12). Hæc autem sunt pravæ actiones vel perversa dogmata. *Carbones* vero aliquando designant castigationes, v. c., cum dicit Apostolus : *Si esurierit inimicus tuus, ciba illum ; si sitit, potum da illi : hoc enim faciens, carbones ignis congeres super caput ipsius ;* et David : *Cadent super eos carbones, in ignem dejicies eos.* Illi carbones erunt tibi auxilio. Aliquando autem *carbones* designant ignitos Dei sermones, quibus cogitationes animæ purificantur; quod manifestum facit Isaias, dicens : *Et missus est unus ex seraphim, et forcipe carbonem*

C ΚΕΦ. ΚΒ', στ. ε'. *Ὅτι περιέσχον με συντριμμοὶ θανάτου, καὶ χειμάρροι ἀνομίας ἐξεθάμβησάν με.*

Διδύμου. Ἢ καὶ χείμαρροι ἀνομίας, διὰ τὸ εἰς ἀνομίαν ἔρχεσθαι τοὺς μὴ γενναίως ὑφισταμένους τὰ πειρατήρια.

Στ. ς'. *Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με θανάτου σκληρότητες*

Διδύμου. Ὠδῖνες θανάτου καὶ ᾅδου τὰ πρὸς θάνατον ἁμαρτήματα.

Στ. θ'. *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται· ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ.*

Διδύμου. *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ*, τῆς μοχθηρᾶς ὕλης δαπανωμένης, ἀναλογίαν ἐχούσης D πρὸς τὰ ἐποικοδομούμενα ἐπὶ τῷ Χριστοῦ θεμελίῳ ὄντι ὑπὸ φαύλων ἀνθρώπων, *ξύλα, χόρτον, καλάμην*. Φαῦλαι δὲ ταῦτα πράξεις καὶ γνῶμαι. Οἱ δὲ ἄνθρακες ποτὲ μὲν κολάσεις σημαίνουσιν, ὡς ἐν τῷ· *Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. Τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ·* καὶ τῷ, *Πεσοῦνται ἐπ' αὐτοῖς ἄνθρακες πυρός, καὶ καταβαλεῖς αὐτούς.* Οὗτοι ἔσονταί σοι βοήθεια. Ποτὲ δὲ τοὺς διαπύρους τοῦ Θεοῦ λόγους, καθαίροντας τοὺς τῆς ψυχῆς λογισμούς. Καὶ δῆλον ἐξ Ἡσαΐου, φήσαντος· *Καὶ ἀπεστάλη ἓν τῶν σεραφὶμ, καὶ ἔλαβεν ἄνθρακα τῇ λαβίδι ἀπὸ τοῦ θυσιαστηρίου.*

Digitized by Google

Πυρὶ τοίνυν εἰς φαιδρότητα τοὺς λογισμοὺς τῆς ἑτοίμου πρὸς τοῦτο ψυχῆς, ἁμαρτωλοὺς δὲ καθαίρει, τὰς πράξεις αὐτῶν καταφλέγον τόδε πῦρ· εἰ μὴ δέξωνται τοῦτο, καταφλέξει τὸ πῦρ αὐτοὺς τὸ αἰώνιον.

Στ. ι'. *Καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ.*

Διδύμου. Ἡ δὲ κατάβασις τῇ τοῦ Σωτῆρος ἀκόλουθος οἰκονομίᾳ. Κατέβη δὲ οὐ τοπικῶς, *ἀλλ' ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν δούλου λαβών.* Τὸ δὲ ἀσαφὲς καὶ λανθάνον τῆς τοῦ Θεοῦ γνώσεως διὰ τοῦ γνόφου παρίσταται. Εἰς τοῦτον γὰρ καὶ Μωϋσῆς, ὡς ἦν ἀνθρώπῳ δυνατὸν, εἰσελήλυθε. Τοιαύτη καὶ ἡ δεῦρο ἐπιδημία, τῷ μὴ δι' ὅλων ἐγνῶσθαι τοῖς γενητοῖς.

Στ. ια'. *Καὶ ἐπεκάθισεν ἐπὶ χερουβεὶμ, καὶ ἐπετάσθη, καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμων.*

Διδύμου. Τὸ δὲ *χερουβὶ* ἑρμηνεύεται *πληθυσμὸς γνώσεως.* Τοῖς οὖν λογικοῖς τούτοις ζώοις, ἢ καὶ ταῖς τοιαύταις ψυχαῖς ἐπιβὰς ὁ Θεὸς, ἵπταται διὰ τῆς ὀξυτάτης νοήσεως. *Ἀνέμους* δὲ, εἰ μὲν τοὺς αἰσθητοὺς λάβοις, τῷ λόγῳ τῆς προνοίας ἐπιβαίνει τούτων Θεὸς, ἄγων αὐτοὺς ὡς βούλεται· *Ἐξάγων* γάρ ἐστιν *ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.* Εἰ δὲ τοὺς πνεύματι μετεωριζομένους, καὶ ὡς ἀνέμους πνοὰς ἐκπέμποντας, σοφοὺς ἄνδρας νοήσεις, καὶ τούτων ταῖς πτέρυξι, τουτέστι ταῖς ὑψιπετέσι νοήσεσιν ὁ Θεὸς ἐπιβαίνων ἵπταται πανταχοῦ. *Καὶ ἀνέμους δὲ διδασκαλίας,* περὶ ἑτεροδόξων λέγων εἶπεν ὁ Ἀπόστολος· *Ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι, καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης.*

Στ. ιδ'. *Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.*

Διδύμου. Ἐκβάσεως τετυχηκότων τῶν περὶ Χριστοῦ προφητευομένων, ὁ Θεὸς εὐθὺς οὐρανόθεν βροντᾷ· τοῦτο μὲν, τῷ τῇ ἐκβάσει μεγαλοφώνους δεδεῖχθαι τὰς προφητείας· τοῦτο δὲ, τῷ θεολογίας ὕψος τὸν Θεὸν ταῖς διανοίαις περὶ τοῦ μονογενοῦς ἐμβαλεῖν Υἱοῦ, καὶ λέγειν· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.* Τοιγαροῦν *οὐκ αἷμα καὶ σὰρξ* αὐτοῖς *ἀπεκάλυψεν,* ἀλλ' *ὁ Πατὴρ ὁ οὐράνιος,* τὸν ἴδιον Υἱὸν παρασκευάσας, πρὸς ὑποδοχὴν τῆς θείας βροντῆς ἐν γῇ σωματικῶς γεγονέναι, καὶ τὴν ἰδίαν ψυχὴν νόμῳ θνητότητος προέσθαι ὑπὲρ τοῦ πλάσματος, ὡς ἂν ἐκ τῆς οὐρανόθεν ἐρχομένης βροντῆς μετεωρισθέντες τῶν γηΐνων, προσπελάσωσι τῷ οὐρανίῳ, *τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦντες.*

Στ. ιε'. *Καὶ ἀπέστειλε βέλη, καὶ ἐσκόρπισεν αὐτούς· καὶ ἤστραψεν ἀστραπὴν, καὶ ἐξέστησεν αὐτούς.*

Διδύμου. Τοῖς ἐναντίως διακειμένοις ἐξαποστέλλει βέλη, συνταράξαι δυνάμενα τοὺς ὁμονοοῦντας ἐν τῷ κακῷ. Λέγει δὲ νῦν βέλη τοὺς προαναφωνουμένους

tulit de altari (*Isa.* VI, 6). Porro ignis ille animæ ad hoc paratæ cogitationes probat ut illa pulchrior evadat; purificat autem peccatores pravas eorum actiones consumens : quem ignem nisi receperint, æterno igne comburentur.

VERS. 10. *Inclinavit cœlos et descendit, et caligo sub pedibus ejus.*

Didymi. — Descensio ad œconomiam referenda est. Descendit autem non locum mutando, sed *formam servi accipiendo, cum in forma Dei esset* (*Philipp.* II, 6, 7). Quod vero obscurum et abditum est in cognitione Dei, per *caliginem* designatur : quam quidem caliginem, quantum homini possibile est, penetravit Moyses. Talis fuit Dei inter nos adventus, siquidem ex parte tantum cognitus est a mortalibus.

VERS. 11. *Et sedit super cherubim, et volavit, et apparuit super pennas ventorum.*

Didymi. — *Cherub* interpretatur *multitudo cognitionis.* Illis igitur rationalibus animalibus, vel etiam animabus quæ ipsis similes sunt, insidens Deus, per acutissimam eorum intelligentiam volat. Quod si ventos sensibiles intellexeris, illis per providentiam insidet Deus, ipsos pro arbitrio dirigens : *Producit* enim, inquit, *ventos de thesauris suis* (*Psal.* CXXXIV, 7). Si autem *ventorum* nomine eos intellexeris qui Spiritu in sublime feruntur, virosque sapientes ventis flatus suos emittentibus similes esse volueris, illorum etiam alis, id est sublimibus cogitationibus, Deus invehens ubique volat. Sed et *ventos doctrinæ* inducit Apostolus, cum, de heterodoxis loquens, dicit : *Ut jam non simus parvuli fluctuantes, et circumferamur omni vento doctrinæ, in nequitia hominum, in astutia ad circumventionem erroris* (*Ephes.* IV, 14).

VERS. 14. *Et intonuit de cœlo Dominus, et Altissimus dedit vocem suam.*

Didymi. — Impletis omnibus quæ de Christo prædixerant prophetæ, protinus de cœlo Deus intonat : tum altitonarum prophetiarum veritatem ipso rerum exitu demonstrando, tum etiam altissimum de divina Filii sui unigeniti natura sensum omnium mentibus injiciendo, cum de ipso dicit : *Hic est Filius meus dilectus, in quo mihi bene complacui* (*Matth.* XVII, 5). *Caro* equidem *et sanguis non revelavit* illis, *sed Pater cœlestis :* qui, ut divini tonitru susceptionem præpararet, Filium suum corporaliter in terra conversari statuit, propriamque animam dimittere propter creaturam, quo scilicet, per illud cœlitus superveniens tonitru a terrenis sublime abstracti, homini cœlesti appropinquarent, *cœlestis* (ut ait Apostolus) *imaginem ferentes.*

VERS. 15. *Misit sagittas et dissipavit eos, et fulguravit fulgur, et obstupefecit eos.*

Didymi. — In inimice affectos mittit sagittas, quæ illos conturbent, in malo unanimes. Hic autem sagittas vocat verba superius de ultione prolata.

Digitized by Google

Turbantur enim cum illam ultionem Deus eis minatur.

περὶ κολάσεως λόγους. Ταράττονται γὰρ ταῖς περὶ αὐτῆς ἀπειλαῖς.

FRAGMENTA IN JOB.

(*Ex Catena Nicetæ ed. Yung anni* 1637.)

CAP. I. Vers. 1. *Homo quidam erat in regione Ausitide, cui nomen Job.*

Didymi. — Sublimius autem interpretando, Ausitis Græca lingua *consilium* significat, in quo justus habitabat. Qui enim ad iram promptus est, sine consilio agit : unde ut catulus canes, sic ille dicta ac facta cæca producit, hic autem justus nihil non ex consilio administrabat, prudenti illi præcepto obtemperans : *Cum consilio omnia fac* (*Eccli.* XXXII, 24). Jobi vero nomen, patientia est, atque intelligitur, ita ut id jam fuerit quod ante vocabatur, aut id vocatus sit, quod postea exstitit.

Vers. 2. *Facti sunt autem ei filii septem, et filiæ tres.*

Didymi. — Catalogum liberorum, qui mysticis rationibus convenit, Scriptura hoc in loco dignum esse existimat, qui recenseatur. Quis enim ignorat numerum septenarium esse septem charismatum indicem, sicut trium appellatio ad id quod est perfectius atque divinius referri solet? Nimirum ut sciamus Trinitatis fidem, tanquam caput aliquod reliquis virtutibus impositam, sentem donorum opificem esse.

Vers. 3. *Et erat homo ille nobilis, inter eos qui a solis ortu.*

Didymi. — Dicitur ad litteram, genere clarus inter orientales, quoniam secundum carnem Abrahamo cognatus fuit, ad sensum autem anagogicum quod attinet, lucis et Dei filii a lucidis operibus vocati illi sunt, qui orientem incolunt. Justus enim non ab hominibus, sed a splendore solis justitiæ, splendescentem assequitur nobilitatem.

Vers. 5. *Et postquam consummati essent dies convivii, mittebat Job et purificabat eos exsurgens mane*, etc.

Didymi. — Quemadmodum ille dixit : *De nocte ad te de mane vigilat spiritus meus, o Deus* (*Isa.* XXVI, 9). Et : *Deus, Deus meus, ad te de luce vigilo* (*Psal.* LXII, 1), ita Job nullam aliam ob rem diluculo surgebat, quam ut Deo sacrificia pro liberis offerret, *juxta numerum eorum*, hoc est, pro unoquoque et singulis ordine; nihil enim perturbate homo sanctus agebat. Ad hæc, vitulum pro omnibus immolabat, peculiari suo more, ut ad eam rationem filios quoque suos assuefaceret. Sic igitur finito convivio eos purgabat; cum purgatione scilicet quæ sub sensum cadit, etiam ea quæ ad animum purgandum conducerent ostendit. Prophetice enim

ΚΕΦ. Α', στ. α'. *Ἄνθρωπος τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ.*

Διδύμου. Ὑψηλότερον δὲ, Αὐσῖτις *βουλὴ* ἑρμηνεύεται, κατὰ τὴν Ἑλλάδα φωνὴν, ἐν ᾗ ᾤκει ὁ δίκαιος. Ὀξύθυμος μὲν γὰρ μετὰ ἀβουλίας πράσσει· διὸ τυφλὰ παρ' αὐτῷ γεννᾶται, καθάπερ τοῖς κυσὶ, καὶ τὰ πράγματα καὶ τὰ ῥήματα· ὁ δὲ δίκαιος οὐδὲν ἀβούλως ποιεῖ, τῷ σοφῷ παραγγέλματι ἐκείνῳ πειθόμενος· *Μετὰ βουλῆς πάντα ποίει.* Τὸ δὲ Ἰὼβ ὄνομα ὑπομονὴ νοεῖται καὶ ἔστιν, ὡς γενέσθαι τοῦτον ὃ προεκλήθη, ἢ κληθῆναι ὅπερ ἐνένετο

Στ. β'. *Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς*

Διδύμου. Ἐνταῦθα δὲ καὶ ὁ τῶν παίδων κατάλογος τίμιος παρὰ τῇ Γραφῇ, καὶ λόγοις σύμφωνος μυστικοῖς. Τίς γὰρ οὐκ οἶδε τὴν ἑβδόμην ἀπαρίθμησιν τῶν ἑπτὰ χαρισμάτων μηνύειν τὴν σύνοδον, ὥσπερ οὖν καὶ τὴν τρίτην ἐκφώνησιν, πρὸς τὸ τελειότερον ὁρᾷν καὶ θειότερον; ἵνα μάθωμεν τὴν ἐν Τριάδι πίστιν τῆς ἑβδόμης [ἴσ. ἑβδομαίας] χάριτος εἶναι δημιουργὸν, καθάπερ τινὰ κεφαλὴν ἐπιτιθεμένην ταῖς ἀρεταῖς.

Στ. γ'. *Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς, τῶν ἀφ' ἡλίου ἀνατολῶν.*

Διδύμου. Πρὸς μὲν οὖν τὸ ῥητὸν, εὐγενὴς τοῦ ἀφ' ἡλίου ἀνατολῶν, λέγεται, διὰ τὴν κατὰ σάρκα τοῦ Ἀβραὰμ οἰκειότητα· πρὸς δὲ ἀναγωγὴν, οἱ υἱοὶ τοῦ φωτὸς, καὶ τέκνα Θεοῦ δι' ἔργων φωτεινῶν χρηματίζονται, οὗτοί εἰσιν οἱ ἀφ' ἡλίου ἀνατολῶν. Ὁ γὰρ δίκαιος εὐγένειαν κτᾶται, οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἀπὸ τοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης, καταλαμπομένην.

Στ. ς'. *Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστειλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτοὺς, ἀνιστάμενος τὸ πρωΐ*, κ. τ. λ.

Διδύμου. Καὶ κατὰ τὸν εἰρηκότα, *Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρός σε, ὁ Θεός·* καί· *Ὁ Θεὸς, ὁ Θεός μου, πρός σε ὀρθρίζω*, οὐ πρὸς ἕτερον ἔργον ὁ μακάριος Ἰὼβ τὸ πρωῒ ἀνίστατο, ἀλλὰ πρὸς Θεὸν [ἴσ. τῷ Θεῷ], ὑπὲρ τῶν παίδων θυσίαν προσάγων [ἴσ. προσάξων], *κατὰ τὸν ἀριθμὸν αὐτῶν*· ὃ ἐστι, καθ' ἕκαστον, καὶ εὐτάκτως· οὐδὲν γὰρ συγχεχυμένον ἐν σπουδαίῳ. Ἀλλὰ καὶ μετὰ τοῦτο, ὑπὲρ πάντων μόσχον προσῆγε κατὰ τὸν ἴδιον τρόπον, καὶ τῇ τῶν παίδων ἀγωγῇ συνεθίζων. Οὕτω γοῦν καὶ ἐκαθάριζεν αὐτοὺς μετὰ τὸ συντελεσθῆναι τὸν πότον, μετὰ τῆς αἰσθητῆς καθάρσεως, καὶ τὰ συντελοῦντα πρὸς διάνοιαν καθάρσια παραδεικνύς.

Digitized by Google

Φαίνεται γὰρ προφητικῶς καὶ κατὰ νόμον, καὶ κατὰ χάριν τὰς θυσίας πληρῶν. Κατὰ νόμον μὲν, τὰς διαφόρους· κατὰ χάριν δὲ, τὸν ἕνα μόσχον τὸν περὶ ἁμαρτίας. Καὶ γὰρ ἡ τοιαύτη θυσία τῆς χάριτος προεμήνυε τὴν ἀλήθειαν, τὴν μίαν τυποῦσα κατὰ σάρκα θυσίαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Εἰ δὲ ὁ ὑπὲρ ἁπάντων προσαγόμενος μόσχος τὸν δι' ἡμᾶς σταυρὸν ὑπομείναντα Σωτῆρα δηλοῖ, συνεπίσκεψαι καὶ μὴ θαυμάσῃς· οὐ γὰρ ἀμύητος ἦν ὁ Ἰὼβ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ὁ λέγων, ὅτι αὐτός ἐστιν ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. A

cum secundum legem, tum secundum gratiam sacrificare visus est : secundum legem quidem, cum diversas hostias immolaret ; secundum gratiam vero, cum vitulum unum pro peccato offerret. Tale enim sacrificium gratiæ veritatem præmonstrabat, unigeniti Dei Filii sacrificium in carne adumbrans. Vitulum autem pro omnibus oblatum, Christi, qui pro nobis crucem pertulit, typum fuisse, haud mirabere, si mecum consideraveris Jobum mysteriis adventus Christi initiatum fuisse, ut qui dixerit, quod ille est, qui magnum cetum oppressurus est (*Job* III, 8).

Στ. ζ'. *Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ, εἶπε· Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν, πάρειμι.*

Vers. 7. *Et respondens diabolus Domino dixit : Cum circumierim terram, et ambulaverim eam, quæ sub cœlo est, adsum.*

Διδύμου. Σημειωτέον δὲ, ὅτι διάφοροι τόποι ἡ γῆ καὶ ἡ ὑπ' οὐρανόν εἰσι· τῆς μὲν γῆς ὑπὸ τὸν οὐρανὸν οὔσης, τῶν δὲ ὑπ' οὐρανὸν τόπων οὐ πάντως γῆς ὑπαρχόντων. Τὴν μὲν οὖν γῆν περίεισιν, ἵνα κατανοήσῃ περὶ τίνος ἀνθρώπου αἰτήτει· τὴν δὲ ὑπ' οὐρανὸν ἐμπεριπατεῖ, εὐφραινόμενος τοῖς πνευματικοῖς τῆς πονηρίας, τοῖς ὑπηρετοῦσιν αὐτῷ πρὸς τὰ αἰσχιστα. Οὐ δεῖ δὲ ξενίζεσθαι, εἰ λεπτὸν ὑπάρχων πνεῦμα, διέβη τοὺς προειρημένους τόπους· καὶ γὰρ οὐδὲ ὁ Θεὸς ὡς ψευδόμενον αὐτὸν ἤλεγξε. Τὸ μέντοι ἀνήμερον καὶ ἀφιλάνθρωπον τοῦ τρόπου, τῇ τοσαύτῃ περιόδῳ καταμηνύει ὁ πονηρός. Μανικοῦ γάρ τινος καὶ ὑπὸ ἐμπληξίας περινοστοῦντός ἐστι τὰ ῥήματα· καθὼς καὶ ἑτέρωθί που εἴρηται· *Ὅτι ὁ ἀντίδικος ἡμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ.* Ἄγρυπνος γὰρ πολεμεῖ, καὶ περιέρχεται, τοὺς μὲν φίλους ὑπαγόμενος, τοὺς δὲ ἐχθροὺς ἐξαιτούμενος· οὐ γὰρ ἐξουσιάζει ἡμῶν. Καί τι τοιοῦτον αὐτοῦ τὰ ῥήματα βούλεται· Ἐπειδὴ, φησὶ, γηΐνων καὶ ἀερίων ὑποτασσομένων μοι, Ἰὼβ μόνος ἀνθίσταται, ἧκω αὐτὸν αἰτησόμενος. B C

Didymi. Animadvertendum est, non eadem loca esse, *terram*, et, *eam quæ sub cœlo*, cum terra sub cœlo sit, loca vero quæ sub cœlo sunt, non continuo terra sint. Terram enim circuivit, ut intelligat quem hominem accuset ; loca vero, quæ sub cœlo sunt, obambulat, in nequitiæ spiritibus, qui sibi ad res turpissimas præsto sunt, sese oblectans. Neque vero mirandum est, cum sit tenuis spiritus, loca quæ commemorata sunt pervasisse, quandoquidem nec mendacii eum Deus insimulavit. Tanto vero terrarum anfractu ac circuitione, feritatem immanitatemque suam sceleratus testatur, siquidem insani et præ furore circumcursantis sunt illa ejus verba. Alibi quoque dictum est : *Quia adversarius vester diabolus, tanquam leo rugiens circuit, quærens quem devoret* (*I Pet.* v, 5, 8). Vigilans enim et insomnis præliatur et circumit, amicos quidem alliciendo, inimicos vero ad exitium poscendo : neque enim dominium ullum in mos habet. Atque ejusmodi quidem verborum ejus sensus est : Cum terrena et aeria subegerim, solus mihi Jobus adversatur ; illum ut deposcam venio.

Στ. θ'. *Ἀπεκρίθη δὲ ὁ διάβολος, καὶ εἶπεν ἐναντίον Κυρίου.*

Vers. 9. *Respondit autem diabolus, et dixit coram Domino.*

Διδύμου. Ἴδιον δὲ τῶν πρὸς ἀρετὴν ἀπεχθανομένων, τὸ μὴ λογίζεσθαι γνήσια τὰ καλὰ τῶν πέλας, ἀλλὰ διαβάλλοντας λέγειν, ὡς ὅδε τις δίκαιός ἐστι, δι' ἀδυναμίαν τοῦ ἀδικεῖν· ὅδε τις σώφρων, διὰ τὴν καλουμένην ἠλιθιότητα· ὁ δὲ, χρήματα καὶ πορισμοὺς οὐκ ἔχει, διὰ τὸ πρὸς ταῦτα ἀνεπιτήδειον· καὶ ὅλως, οὐδεὶς φαῦλος ἀποδέχεταί τινος ἀρετὴν, ὡς γνησίαν. D

Didymi. Proprium eorum est, qui virtuti sunt infensiores, cæterorum bona minime vera esse existimare, sed potius per calumniam dicere, hic quidem ob ereptam sibi nocendi potestatem, justus est ; ille vero frugi ac temperans, propter stoliditatem ; ille alter pecuniis opibusque caret, quia iis parandis haud est idoneus. Denique, nemo improbus cujusquam virtutem ut legitimam solidamque admittit.

Στ. ια'. *Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει, ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.*

Vers. 11. *Sed mitte manum tuam, et tange omnia quæ habet, si non in faciem tibi benedixerit.*

Διδύμου. Χεῖρα Θεοῦ διαφόρως ἐκληπτέον, ἢ τὴν κολαστικὴν καὶ εἰς τοῦτο ὑπηρετικὴν δύναμιν, ἥτις καὶ σκεῦος ὀργῆς λέγεται κατὰ τὸ, *Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν*· ἢ τὴν φρουρητικὴν καὶ σκεπαστικὴν δύναμιν, ὡς τὸ, *Ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.* Ἐνταῦθα τοίνυν τὸ, *Ἀπόστειλον τὴν χεῖρά σου*, ἀντὶ τοῦ, πληκτικῶς αὐτοῦ περίδραξαι, εἴρηται· τὸ δὲ, *Ἅψαι* αὐτοῦ, ἀντὶ τοῦ,

Didymi. Sciendum est manum Dei esse multiplicem ; quædam enim est vindex, et ultionis administra potestas, quæ vas iræ dicitur, de qua scriptum est : *Manus tua gentes disperdidit* (*Psal.* XLIII, 2, 3) ; alia vero potestas ejus est, quæ munit et protegit, ad quam illud pertinet, *Formasti me, et posuisti super me manum tuam* (*Psal.* CXXXVIII, 5). Igitur hoc loco : *Mitte manum tuam*, pro illo est, male illum

Digitized by Google

accipe, et affige. *Tange* autem, pro manus injice, positum est : illum, inquam, attere ; huic simile illud est, *Nolite tangere christos meos* (*Psal.* CIV, 15). Neque enim simpliciter omnem tactum inhibet, sed eum qui cum audacia sanctis injuriam infert. At vide, quam veteratorie, quamque simulate : non dicit, mihi permitte, sed tu facito ; imbecillitatis enim suæ probe sibi conscius est, sed tamen insanit, estque arrogans et contumax, quod extremæ est dementiæ. Tu vero mihi aliam attende improbitatem ac diabolicam cæcitatem, quod ei qui solus bonus est, ut male ageret, persuadere voluerit. Non sufficit autem nimiæ ejus crudelitati, partem aliquam fortunarum ejus perdere, aut quosdam e liberis interimere, sed simul et subito bonis omnibus eum exuere vult. Quare non ex parte, sed omnino virum justum postulat ad ruinam, cum ait : *Tange omnia quæ habet*, spe omni humana illum nudato, acerbitatum ac dolorum sit exemplar singulare, tunc enim illius grati animi significatio admirationi erit, cum temporum rerumque inclinationibus haudquaquam coargui potuerit. *Si non in faciem tibi benedixerit* ; id est, si non te maledictis palam tunc incesserit, et audacia contra te elatus linguam exacuerit, quippe cum calamitatis magnitudinem ferre non queat.

A καθάψαι, ἐπάγαγε θλιβερά. Ἔχομεν δὲ καὶ τούτου παράδειγμα τὸ, *Μὴ ἅψησθε τῶν χριστῶν μου*. Οὐ γὰρ τὴν ἁπλῆν ἁφὴν ἀπαγορεύει, ἀλλὰ τὴν κατὰ τῶν ἁγίων τόλμαν ἐπὶ κακώσει. Ὅρα δὲ ὅπως πανοῦργος, καὶ μεθ' ὑποκρίσεως, οὐ λέγει, ὅτι Ἐπίτρεψόν μοι, ἀλλὰ, Σὺ ποίησον. Σύνοιδε γὰρ τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ ὅμως μέμηνε καὶ ἀλαζονεύεται, ὅπερ τῆς ἐσχάτης ἀνοίας ἐστί. Σὺ δέ μοι θεώρει καὶ ἑτέραν κακίαν, καὶ τυφλότητα διαβολικὴν, ὅτι τὸν μόνον ἀγαθὸν πείθειν ἐθέλει κακοποιεῖν· κατὰ πολλὴν δὲ λίαν ὠμότητα, οὐκ ἀρκεῖται μέρος αὐτοῦ τῆς οὐσίας ἀπολέσαι, ἢ τινας τῶν παίδων, ἀλλ' ἅθρόον αὐτὸν πάντων ἔρημον καταστῆσαι βούλεται· διὸ οὐ μερικῶς, ἀλλὰ καθολικῶς ἐξαιτεῖται τὸν δίκαιον, λέγων· *Ἅψαι πάντων ὧν ἔχει*, γύμνωσον αὐτὸν πάσης ἀνθρωπίνης ἐλπίδος, ἔστω θλίψεων καὶ θρήνων εἰκὼν ἀπαράβλητος. Τότε γὰρ καὶ τὸ εὐχάριστον καὶ τὸ εὔγνωμον θαυμασθήσεται, ταῖς μεταβολαῖς μηδαμῶς ἐλεγχόμενον. *Εἰ οὐκ εἰς πρόσωπόν σε εὐλογήσει*, τουτέστιν ἐὰν μὴ τότε σε φανερῶς βλασφημήσῃ, καὶ ἐναντίον σου θρασυνόμενος ἀκονήσει τὴν γλῶσσαν, ἅτε τῶν συμφορῶν μὴ βαστάζων τὸ μέγεθος.

B

Hoc igitur loco, pro diris imprecationibus te devovebit, et maledictis prosequetur, diabolus, speciosius vocabulum usurpans, *benedicet*, dixit, ne vocem asperiorem proferret, et Deo diceret, quod Jobus ipsi adversari vellet.

Κάνταῦθα τοίνυν, ἀντὶ τοῦ, καταράσεται, καὶ βλασφημήσει σε, ὁ διάβολος εἶπε, τῷ εὐφημοτέρῳ χρησάμενος ὀνόματι, ὅπως μὴ πρὸς Θεὸν τὴν τραχυτέραν προενέγκηται λέξιν, μηδὲ ἐρεῖ, ὅτι ἐξ ἐναντίας ἄν σοι ἔσῃ, τῷ Θεῷ.

C

Vers. 12. *Tunc dixit Dominus diabolo : Ecce omnia quæcunque sunt ei, do in manum tuam, sed eum ne tetigeris.*

Στ. ιβ'. *Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ πάντα ὅσα ἔχει δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ.*

Didymi. Illud enim, *Ecce in manum tuam do omnia*, prorsus persuadet, sine Dei permissu a diabolo tentari neminem : ut autem sciamus, ipsi etiam permissioni statui modum, addit, *Sed eum ne attigeris.* Unde planum est, non fato, vel casu, sed divina permissione calamitates accidere.

Διδύμου. Τὸ γὰρ, *Ἰδοὺ δέδωκα πάντα ἐν τῇ χειρί σου*, παραστατικόν ἐστι τοῦ μὴ χωρὶς θείας συγχωρήσεως ὑποπίπτειν τινὰ πειρασμοῖς. Ἵνα δὲ φανερὸν γένηται, ὅτι μέτρῳ καὶ τὴν συγχώρησιν ποιεῖται, ἐπιφέρει, *Ἀλλ' αὐτοῦ μὴ ἅψῃ*. Ὅθεν δῆλον, ὅτι οὔτε εἱμαρμένῃ αἱ περιστάσεις συμβαίνουσιν, οὔτ' ἐκ ταυτομάτου, ἀλλ' ἐκ Θεοῦ συγχωρήσεως.

Et egressus est diabolus a Domino.

Καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ Κυρίου.

Ex quorumdam sententia, nisi extra Deum fuisset diabolus, contra Jobum nihil operatus fuisset. Ac de diabolo magis proprie quam de Caino dicitur : *Egressus est a facie Domini* (*Gen.* IV, 16), quod innuit eum visione Dei non frui ; ex eorum enim numero est qui foras excluduntur, licet una cum iis qui Deo assistunt, specie quadam venerit.

Κατὰ δέ τινας, εἰ μὴ ἔξω γέγονε τοῦ Θεοῦ ὁ διάβολος, οὐκ ἂν ἐνήργησε τὰ κατὰ τοῦ Ἰώβ. Κυριολεκτεῖται δὲ ἐπὶ τούτου μᾶλλον ἢ ἐπὶ τοῦ Καΐν τό· *Ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου*· ὃ δηλοῖ τὸ ἀφάνταστον τοῦ Θεοῦ εἶναι αὐτόν. Οὗτος γὰρ ἀεὶ τῶν ἔξω τυγχάνει, εἰ καὶ προσποιητῶς ἦλθε μετὰ τῶν παραστατῶν τοῦ Θεοῦ.

D

Vers. 13. *Et erat sicut dies hæc.*

Στ. ιγ'. *Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη.*

Didymi. Consequenter quidem diei, et liberorum consessus meminit, ut hac ratione illorum obitus, qui subito unius temporis momento, ædium ruina exstincti sunt, fide non careret.

Διδύμου. Ἀκολούθως καὶ τῆς ἡμέρας μνημονεύει, καὶ τῆς συνελεύσεως τῶν τέκνων, ἵνα οὕτω καὶ τὸ τοῦ θανάτου αὐτῶν γένηται πιστὸν, ἀθρόως ὑφ' ἕνα καιρὸν ὑπὸ τὴν πτῶσιν τῆς οἰκίας ἀποθανόντων.

Vers. 14. *Et ecce nuntius venit ad Jobum, et dixit ei*, etc.

Στ. ιδ'. *Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰώβ, καὶ εἶπεν αὐτῷ*, κ. τ. λ.

Didymi. Animadversione dignum est, quemadmodum, quæ subito contigisse nuntiata sunt, ex ipsa relatione acerbum in se contineant, et ad summam tristitiam inclinent. Verum, etsi propter su-

Διδύμου. Κατανοεῖν δὲ ἄξιον, ὅπως τὰ τῆς ἀπαγγελίας ἀθρόως γεγενημένα, καὶ ἐκ τῆς διηγήσεως ἔχει τὸ βαρὺ, καὶ τὸ πρὸς λύπην ὑπερβάλλουσαν ἐπιρρέπες. Ἀλλ' εἰ καὶ ἱκανὰ ἦν ταράξαι, διὰ τὸ ἀθρόον

Digitized by Google

τοῦ χαλεποῦ, ὅμως οὐκ ἐταράχθη ὁ δίκαιος. Εἴρηται γοῦν ἐν ἑνὶ τῶν ψαλμῶν περὶ τοῦ ἁγίου· *Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.*

A bitum casum, perturbare Jobi mentem hæc ipsa poterant, nequaquam tamen justum permoverunt; scriptum enim est alicubi in Psalmis de sancto : *Ab auditione mala non timebit* (*Psal.* CXII, 7).

Στ. ις'. *Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰώβ, Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως, καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.*

VERS. 16. *Adhuc isto loquente, venit alius nuntius, et dixit ad Jobum : Ignis cecidit de cœlo, et combusit oves, et pastores devoravit similiter, et salvatus ego solus, veni ut annuntiarem tibi.*

Διδύμου. Οὐ γὰρ διάβολος ἐξουσίαν ἔχει, πῦρ ἐξ οὐρανοῦ καταγαγεῖν, ἀλλὰ θείᾳ κρίσει τοῦτο γεγένηται, ὅπως παραστήσῃ τῷ Σατανᾷ ὁ δεδωκὼς αὐτῷ τὴν ἐξουσίαν τῶν τοῦ Ἰὼβ Θεὸς, ὅτι οὐδὲ μέλει τῷ μακαρίῳ τῶν ἀνθρωπίνων, κἂν πολλὰς πλέκῃ μηχανάς. Καίτοιγε εἰ καὶ τὰ δόγματα τῆς ἀληθείας ἠκριβωκὼς ὁ ἅγιος ἐγίνωσκεν, ὡς οὐκ ἄνευ Θεοῦ ἡ τῶν πειρασμῶν ἐπιτροπὴ γέγονεν, ἀλλ' ἱκανὸν ἦν τὸ γινόμενον μεγίστην αὐτῷ φέρειν λύπην, διὰ τοὺς σκανδαλιζομένους, ὡς καὶ Θεοῦ κατ' αὐτοῦ χωροῦντος. Τὸ γὰρ τοὺς αἰχμαλωτίζοντας ἐπελθόντας, τὰ μὲν κτήνη ἀπελάσαι, τοὺς δὲ παῖδας ἀποσφάξαι, ἠδύναντο λογίσασθαι οἱ ἁπλούστεροι, ὅτι νόμῳ πολέμου, ἀλλ' οὐκ ἀπὸ Θεοῦ γέγονεν· ὅτε δὲ πῦρ ἀπήγγελται οὐρανόθεν κατελθὸν, δέος ἦν μή τις λογίζηται τῶν ἀσθενῶν, ὡς οὐδὲν θαυμαστὸν ἡ ἀρετὴ, καὶ παρὰ Θεοῦ τιμωρουμένου τοῦ ταύτην ἔχοντος. Ἀλλὰ καὶ τούτου συμβάντος, ὁ ἅγιος οὐκ ὤκλασεν· ὅθεν πρὸς τὸ ἀνένδοτον τοῦ ἀθλητοῦ ἐναργέστατα εἴρηται [ἴσ. δηλοῦσθαι] τὸ, Ὅτε οὗτος ἐλάλει, καὶ οὗτος ἦλθεν. Ἵνα γὰρ μηδεμίαν τῶν πόνων ἀναψυχὴν τῷ παλαιστῇ δῷ, ἀλλὰ τῷ συνεχεῖ τῆς ἀγγελίας ταράξῃ τὸν δίκαιον, καὶ καθάπερ ναῦν, τῷ ἐπαλλήλῳ τῶν κυμάτων ὑποβρύχιον γενέσθαι παρασκευάσῃ τοῖς πάθεσι, πυκνὰ κατ' αὐτοῦ πέμπει τὰ πικρὰ βέλη τῶν συμφορῶν. Αὐτὸς ὁ τῶν κακῶν ἐργάτης, αὐτὸς ὁ ἄγγελος, αὐτὸς ἔπληξε τὰ κτήνη, καὶ αὐτὸς ἀπαγγέλλει τὴν πληγὴν, καὶ ταύτην κατὰ τὴν συνέχειαν, ἵνα μηδὲ ἀναπνεύσῃ ὁ ἀκούων.

Didymi. Nec enim poterat diabolus ignem e cœlo deducere, verum Dei judicio hoc factum est, ut Satanæ ostenderet, qui potestatem in Jobi facultates ei concesserat, beato viro mortalia et humana hæc cordi non esse, quantumvis multas machinas ipsi admoveret. Licet enim sanctus diligenter in veritatis dogmatibus versatus, sine Dei permissu, tentandi veniam minime concedi, certo intelligeret; propter eos tamen qui scandalizabantur, ac si Deus ipsum hostiliter adortus fuisset, non levem ei dolorem attulit, id quod evenerat. Etenim quod prædantes adversarii pecus abegissent, quod pueros interfecissent, id non a Deo, sed ab hostibus hostiliter invadentibus factum esse, ii qui simpliciores erant, credere poterant; at ubi ignem e cœlo nuntiatum est a Deo delapsum esse, sane periculum imbecillis mentibus creabatur, ne forte crederent nihil esse in ipsa virtute admirabile, cum is qui eam possideret a Deo nihilominus cruciarctur. Sed neque, cum hoc accidisset, sanctus animo labascebat; unde ut constantem et irremissum sancti tenorem evidenter manifestaret, dictum est, quod dum unus loqueretur, alter venerit. Ne igitur luctatori requiem ullam et respirationem laborum largiretur, sed frequenti nuntio justum turbaret, et ægritudinum mole tanquam navem fluctuum multitudine obrutam, succumbere cogeret, multa et acerba calamitatum tela contra ipsum jaculatur; ipse malorum opifex, ipse nuntius, ipse jumenta percussit, et ipse plagam annuntiat, et illam frequentem adeo ac continuam, ut auditori respiratio non concedatur.

Στ. ιζ'. *Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰώβ, Οἱ ἵππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους*, κ. τ. λ.

VERS. 17. *Adhuc isto loquente, venit alius nuntius, et dixit ad Jobum : Equites fecerunt nobis tria capita, et circumdederunt camelos*, etc.

Διδύμου. Τὸ γοῦν καὶ περὶ τῆς σφαγῆς τῶν παίδων ἀκοῦσαι, καὶ ἀνδρείως ἐνεγκεῖν, τοῦτο δείκνυσι τὴν ἀνδρείαν τε τοῦ δικαίου καὶ καρτερίαν. Δῆλον δὲ, ὡς ὑφ' ἓν πάντα γέγονε, μηδὲ ἀκουσάντων υἱῶν τὰ συμβεβηκότα, καὶ γὰρ ἐσημειώσατο ἡ Γραφὴ, ὅτι παρὰ τῷ πρεσβυτέρῳ αὐτῶν ἀδελφῷ ἠρίστων. Ταῦτα ἱκανὰ ἦν εἰς ἔκστασιν ἀγαγεῖν καὶ θορυβῆσαι τοὺς μὴ λογιζομένους τὰς συνεχεῖς τροπὰς τῶν πραγμάτων καὶ ἀλλοιώσεις, τοὺς συνέχειν πειρωμένους τὰ μὴ ἴδια, ὧν ἡ κτῆσις λυπηροτέρα καὶ τῆς πρώτης στερήσεως. Ἤδη γάρ τινες τῷ ἀθρόῳ τῆς μεταπτώσεως προσομιλήσαντες, καὶ περὶ αὐτὸν τὸν σώφρονα νοῦν ἐκινδύνευσαν, τοσοῦτον ἀλόντες ὑπὸ τοῦ πάθους, ὅσον καὶ ἠγάπησαν τὰ μίσους ἄξια καὶ φυγῆς. Μετρεῖ γὰρ αὐτοῖς τὴν ἀθυμίαν, τῆς πολλῆς εὐθυμίας τὸ

Didymi. De liberorum nece audire, idque forti animo ferre, justi fortitudinem invictumque robur testatur. Atque isthæc omnia Jobi filiis imprudentibus, nihilque scientibus, simul evenisse indicat aperte Scriptura, cum apud fratrem natu majorem illos prandisse ostendit. Magnam vim hæc habent, ad illorum mentes conturbandas et stupore constrnandas, qui frequentes rerum humanarum conversiones et mutationes minime meditantur; qui bona quæ sua non sunt, corradere conantur, quorum molestior solet esse possessio, quam privatio ab initio fuit. Hactenus enim nonnulli in subita rerum mutatione versantes, sanæ mentis periculum adierunt, et perturbationi animi tantum cesserunt, ut quæ odio ac fuga digna erant, adamarint; tranquillitas

Digitized by Google

enim nullis ærumnis exercita, illorum anxietatem metitur. Bonorum enim possessionem non adipisci, tristitiam comitem non agnoscit; experientiam autem eorum semel habuisse, antequam eripiantur, metum cum perturbatione conjunctum habet, et postquam erepta fuerint, dolores acerbos secum affert, siquidem tranquillitas effrenis, et mens quæ disciplina imbui nequit, miserrimis lamentationibus corripitur. Talis nequaquam fuit insignis Jobus, illud, inquam, eximium tolerantiæ constantiæque peculium, summa illa fortitudinis absolutio, illud pietatis caput, et philosophiæ rarum exemplar: tranquillitatem enim prudenter, et calamitatem fortiter ferre noverat; philosophiam enim et æquanimitatem, qua prius imbutus erat, quæ deinde consecuta sunt vulnera, minime refutarunt. Qua enim ratione, homini divinarum rerum disciplina exculto, atque ad pietatem antea instituto, intolerabilis ærumna illa videri poterat? qui enim didicit, divitias communes habere, sumptus faciendo in egenos ditescit, nec divitiarum jacturam reformidat: quare nec ab illis divulsus ægre fert, sed calamitatem philosophiæ et æquanimitatis causam potius facit; rebus prosperis, morum modestia pro freno est, et adversis se frangi et cedere non sinit, utpote qui divino præsidio septus sit. Novit enim utrumque statum philosophia moderari, unde nec magnificentia ad injuriam abutitur, philosophiam enim possidet, neque ærumnarum procella obruitur, animi enim tolerantiam exercet, et maligni tentatio via illi ad salutem fit. Deceptus igitur est adversarius, qui Jobo ad bonorum possessionem viam patefecit, quia eripere ei in animo habuit: quare et conjux insidiosa objurgatur, et liberorum omnium interitus pietatem minime lædit, nec ignis ruens e cœlo de suo statu mentem, Dei beneficio servatam, deturbat: nec frequentes malorum nuntii, et qui undique exaudiebantur ejulatus, constantiam labefactant. Nam qui Deo utitur familiariter, res terrestres et corruptibiles parvi pendit, tantoque propius ad superna et fixa bona accedit, quanto ab his caducis longius abest. Nequitiæ enim spiritus, et concitati fluctus, justam mentem submergere non poterant; Deus enim calamitati modum statuens, præsidio ei fuit: qui, licet externa omnia tentatori permiserit, ut Jobi prudentiam et animi moderationem ostenderet, mentem tamen, quam in aciem ad bellandum produxit, et per quam tot tantaque tropæa reportavit, illibatam et intactam servavit.

A ἀβασάνιστον. Τὸ γὰρ μὴ πρὸς κτῆσιν ἐλθὸν, καὶ λύπης ἐστὶν ἀπείρατον· τὸ δὲ ἐν πείρᾳ γενόμενον, καὶ πρὸ τῆς στερήσεως σύνοικον ἔχει τὸν φόβον τοῦ πάθους, καὶ μετὰ τὴν στέρησιν δριμείας φέρει τὰς ὀδύνας. Εὐθυμία γὰρ ἀχαλίνωτος, καὶ νοῦς ἀπαιδαγώγητος, τελευταίοις ἁλίσκεται θρήνοις. Ἀλλ' οὐ τοιοῦτος ἦν Ἰὼβ ὁ ἀοίδιμος, τῆς καρτερίας τὸ θαυμαστὸν χρῆμα, τῆς ἀνδρείας ὁ ἀκρότατος ὅρος, τὸ τῆς εὐσεβείας κεφάλαιον, τῆς φιλοσοφίας τὸ μέγα παράδειγμα. Φέρειν γὰρ οἶδε, καὶ εὐθυμίαν σωφρόνως, καὶ συμφορὰν γενναίως. Ἡ γὰρ προλαβοῦσα φιλοσοφία ταῖς μετὰ ταῦτα πληγαῖς οὐδαμῶς ἀπελέγχεται. Πῶς δ' ἂν καὶ ἐγένετο τὸ πάθος ἀφθρητον τῷ τὰ θεῖα πεπαιδευμένῳ, καὶ προαπκηθέντι καλῶς τὴν εὐσέβειαν; Ὁ γὰρ τὸν πλοῦτον κοινὸν ἔχειν πεπαιδευμένος, ταῖς B δαπάναις τῶν δεομένων πλουτεῖ, καὶ οὐκ εὐλαβεῖται τὴν στέρησιν· διὸ καὶ ἀφιστάμενος οὐ δυσχεραίνει, φιλοσοφίας δὲ μᾶλλον ἀφορμὴν τὸ πάθος πεποίηται, καὶ τοῖς φαιδροῖς χαλινὸν ἐπιτιθεὶς τοῦ ἤθους τὸ μέτριον, καὶ τοῖς λυπηροῖς εἴκειν οὐκ ἀνεχόμενος, οἷα καὶ φρουρούμενος ἄνωθεν. Οἶδε γὰρ φιλοσοφία πρὸς ἑκατέραν μεταβολὴν σωφρονεῖν· ὅθεν οὔτε ταῖς πολυτελείαις ἐξύβρισε [ἴσ. ἐξυβρίζει] (πλουτεῖ γὰρ φιλοσοφίαν), οὔτε καταβαπτίζεται ταῖς συμφοραῖς (ἀσκεῖ γὰρ τὴν καρτερίαν), καὶ γίνεται αὐτῷ σωτηρίας ὁδὸς ἡ τοῦ βασκάνου πεῖρα. Ἔλαθε γὰρ ἑαυτὸν ὁ πολέμιος, ἐκεῖθεν ὁδοποιῶν αὐτῷ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν, ὅθεν ἐλεῖν αὐτὸν προσεδόκησε· διὰ τοῦτο καὶ σύνοικος ἐπιβουλεύουσα διελέγχεται, καὶ παί C δων πανολεθρία τὴν εὐσέβειαν οὐ λυμαίνεται, καὶ πῦρ ῥέον ἀπ' οὐρανοῦ τὴν διάνοιαν οὐ παρακρούεται, σωζομένην ὑπὸ Θεοῦ· καὶ αἱ συνεχεῖς τῶν κακῶν ἀγγελίαι, καὶ αἱ πανταχόθεν οἰμωγαὶ τὴν καρτερίαν οὐ σαλεύουσι. Πᾶς γὰρ Θεῷ προσομιλῶν, μικρὰ φροντίζει τῶν κάτω καὶ φθειρομένων. Τοσούτῳ δὲ μᾶλλον οἰκειοῦται τοῖς ἄνω καὶ μένουσιν, ὅσῳ καὶ τῶν παρόντων ἐλαύνεται. Τὸ γὰρ τῆς πονηρίας πνεῦμα, καὶ ἡ τοῦ κλύδωνος ἐπανάστασις, δικαίαν οὐκ οἶδε καταβλάπτειν [ἴσ. καταβάπτειν] ψυχήν· ἐφρούρει γὰρ αὐτὴν ὁ Θεὸς, μετρήσας τὴν συμφοράν· τὰ μὲν ὅσα περὶ αὐτὴν, τῷ πειράζοντι συγχωρήσας, εἰς ἔλεγχον σώφρονος λογισμοῦ, τὸν δὲ νοῦν ἀπαθῆ φυλάξας, ᾧ καὶ πολεμεῖν ἔμελλεν, ᾧ καὶ παραταξάμενος, τῶν τοσούτων τροπαίων ἐκράτησεν.

Vers. 18, 19. *Adhuc isto loquente, alius nuntius* D *venit, dicens Jobo: Filiis tuis*, etc.

Στ. ιη, ιθ'. *Ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται, λέγων τῷ Ἰὼβ, Τῶν υἱῶν σου*, κ. τ. λ.

Didymi. Non frustra illud additur, *filiis et filiabus tuis edentibus ac bibentibus*, verum ad augendam molestiam diabolus id molitur, ut rerum, quæ consecutæ sunt, atrox narratio dolorem justo afferret incredibilem. Si enim, dormientibus liberis, hoc evenisset, ruina, quæ sine sensu fuit, minus Jobi animum cruciasset: additur vero illud, *subito*, et emphasin habet, ut significet, rem ita contigisse, ut nemini evadendi facultas sit concessa.

Διδύμου. Οὐ μάτην πρόσκειται τὸ, *Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων ἐσθιόντων καὶ πινόντων*, ἀλλὰ πρὸς ἐπίτασιν ἀνοίας, καὶ τοῦτο τοῦ διαβόλου πραγματευομένου, ἵνα ἡ τῶν γεγενημένων ἐπαγγελία βαρεῖα γενομένη, λύπην ὑπερβάλλουσαν τῷ ἀγίῳ ἐμποιήσῃ. Κοιμωμένων γὰρ τῶν τέκνων εἰ συνέβη, τὸ τῆς πτώσεως ἀνεπαίσθητον λογιζόμενος, οὐχ οὕτως ἠνιᾶτο· πρόσκειται δὲ τὸ, *ἐξαίφνης*, ἐμφαντικὴν τοῦ μὴ δύνασθαί τινα διαδρᾶναι, οὕτω συμβάντος τοῦ πράγματος.

Digitized by Google

ΚΕΦ. Β', στ. ς'. *Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοὺ, παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον* (ὁ δὲ Θεοδοτίων, *τῆς ψυχῆς αὐτοῦ οὐχ ἅψῃ*).

Διδύμου. Καὶ τοῦτο πρὸς ἡμετέραν ὠφέλειαν, ἵνα χαρακτὴρ καὶ τύπος ἀνδρείας, καθάπερ ἐν στηλογραφίᾳ, ὁ Ἰὼβ τεθείς, σκοπὸς τῆς τοιαύτης ἀρετῆς, καὶ τοῖς τότε, καὶ τοῖς μεταγενεστέροις, ὑπάρξῃ· ὃ καὶ γέγονεν. Αὐτοῦ γὰρ ἔστιν ἀκοῦσαι τοῦ ἀθλητοῦ καὶ ἀγωνιστοῦ λέγοντος· *Οἶδα ἐγὼ, ὅτι δίκαιος ἀναφανοῦμαι.* Παραδιδοὺς δὲ ὁ Κύριός φησι, *Μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.* Ὅπερ νοηθείη οὕτως· Παρακοπὰς πολλάκις, καὶ τοῦ ἡγεμονικοῦ διαστροφὰς ἔν τισιν ὁρῶμεν γινομένας, δι' οὓς οἶδε λόγους ὁ τὰ κρυπτὰ γινώσκων Θεός. Ἐπεὶ οὖν εἰς παραφροσύνην τὸν δίκαιον ἀγαγεῖν ἔσπευδεν ὁ διάβολος, καὶ ἐκστασιν φρενῶν, ἵνα καὶ ἄκοντα αὐτὸν τοῖς τῆς βλασφημίας περιβάλῃ ῥήμασιν, Ἰδοὺ, φησὶ, παραδίδωμί σοι ὃν ἐξῃτήσω, ἵνα κακεῖνος πλεῖον εὐδοκιμήσῃ, καὶ σὺ αἰσχυνθεὶς [ἴσ. αἰσχυνθῇς]· πλὴν μὴ κάρον αὐτῷ καὶ διαστροφὴν ἐργάσω τοῦ ἡγεμονικοῦ. Τοῦτο γὰρ οὐκ ἐφεῖταί σοι, ἵν' ἐρρωμένῳ τῷ λογισμῷ τὴν ἐν τοῖς πάθεσιν ἐνδείξηται ἀνδρείαν, ἀλλὰ σαρκῶν ἅπτου, καὶ ὀστέων, ὡς ἐξῃτήσω.

conservata, fortitudo ejus, in perferendis malis, ejus tangito.

Στ. θ'. *Χρόνου δὲ πολλοῦ προυεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· Μέχρι τίνος καρτερήσεις, λέγων· Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;*

Διδύμου. Ἀτονήσας ἐκ τῶν τοσούτων προσβολῶν ὁ διάβολος, καὶ οὐκ ἔχων ὅ τι ποιήσει λοιπὸν, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην, καὶ τοῦ γυναίου διάνοιαν ὑποσύρας, δι' ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν· καὶ τρίτον αὐτῷ πλέκει πάλαισμα, τὴν αὐτῆς ὁμιλίαν, ἴσως διὰ ταύτης τὸν Ἰὼβ, ὡς καὶ διὰ τῆς Εὔας τὸν Ἀδὰμ, ἀπατήσειε. Χρόνου γὰρ πολλοῦ προβεβηκότος, ὡς οὐδὲ αὐτὸς δεδύνηται σεῖσαι τὸν τῆς εὐσεβείας πύργον, τὰ τῆς ὀλιγωρίας προφέρειν πείθει τὴν γυναῖκα ῥήματα.

ΚΕΦ. Γ', στ. η'. *Ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην· ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.*

Διδύμου. Καλῶς δὲ τὸ, *Ὁ μέλλων χειρώσασθαι*, εἴρηται, δηλοῦν τὸ κατὰ τὴν ἐνανθρώπησιν μυστήριον, ὡς μήπω τότε γεγονὸς, μέλλον δὲ γενέσθαι. Οὐ γὰρ ἤρμοζε γυμνῇ τῇ θεότητι καταργῆσαι [ἴσ. καταργηθῆναι] τὸν κράτος ἔχοντα τοῦ θανάτου διάβολον, ἀλλὰ διὰ τοῦ ναοῦ τοῦ Λόγου [ἴσ. τοῦ Λόγου ἀνθρώπου] γεγενημένου ἐκ σπέρματος τοῦ ἀπατηθέντος ὑπὸ τοῦ διαβόλου. Καύχημα γὰρ ἦν τῷ πονηρῷ, εἰ γυμνῇ τῇ θεότητι χειρωσάμενος αὐτὸν ὑπῆρξε. Τὰ διάφορα δὲ ὀνόματα τοῦ διαβόλου, ἐνεργείας αὐτοῦ διαφόρους, οὐκ οὐσίας, δηλοῖ. Διάβολος γὰρ καὶ ἀντικείμενος, καὶ πονηρὸς, καὶ λέων, καὶ δράκων, καὶ ὄφις, καὶ θηρίον, καὶ κῆτος, διὰ τὸν τρόπον λέγεται, διαφόρως αὐτοῦ τὴν κακίαν ἐνεργοῦντος· ὅπερ ἀνατρεπτικόν ἐστι τοῦ Μανιχαϊκοῦ δόγματος.

CAP. II, vers. 6. *Dixit autem Dominus diabolo: Ecce, trado tibi eum: tantummodo animam ejus custodi* (Theodotion vero, *animam ejus ne tetigeris*).

Didymi. Et hoc quidem ad nostram utilitatem, ut Jobus, character ac forma fortitudinis, tanquam in columna, relinqueretur insculptus, essetque non solum illius ætatis hominibus, verum etiam posteris, tam insignis virtutis scopus; quod profecto contigit: ipsum enim athletam et pugilem dicentem audire licet: *Novi ego quod justus apparebo* (*Job* XIII, 8). Dominus autem diabolo eum tradens dicit, *Tantummodo animam ejus custodi.* Quorum verborum ea videtur esse sententia: Quosdam propter causas abditas et secretas, quas solus novit Deus, in mentis furorem insaniamque sæpenumero incidere videmus. Quoniam igitur ad insipientiam et mentis emotionem diabolus justum impellere nitebatur, ut vel invitum, impia et blasphema verba proferre cogeret, idcirco, inquit Deus, trado tibi quem deposcisti, ut et ejus magis testata sit virtus, et tu majore pudore perfundare: verum cave, ne veternum inducas, et animi principatum pervertas; neque enim id tibi permittitur, quia mentis sanitate ostendenda est· sed, ut petiisti, carnes ossaque

VERS. 9. *Tempore autem multo transacto, dixit ei uxor ejus: Quousque sustinebis dicens: Ecce permaneo tempus adhuc parvum, expectans spem salutis meæ?*

Didymi. Tot incursionibus ac pugnis fractus diabolus, cum quod amplius faceret, nesciret, in antiquæ fraudis memoriam redit, et mulierculæ animum subdole ad se alliciens, illius opera athletam subvertere conatur; et tertium contra eum certamen molitur, colloquium scilicet cum illa, si forte hac ratione Jobum inescare posset, prout ab Eva Adamus in fraudem illectus fuit. Tempore autem multo effluxo, cum pietatis turrim quatere se non posse videret, conjugi persuadet ut verba contemptus proferat.

CAP. III, vers. 8. *Sed maledicat ei qui maledixit diem illam, qui habet magnum cetum opprimere.*

Didymi. Recte autem dictum est, *Qui habet opprimere*, ut Incarnationis mysterium manifestaret, quod tum non fuerat, sed postea futurum erat. Neque enim sola divinitate diabolum, qui mortis imperium habebat (*Hebr.* II, 14), aboleri decebat, sed per Verbum factum hominem, ex semine ejus quem decepit diabolus; improbo enim dæmoni gloriationis materia fuisset, si sola divinitate eum subjugasset. Porro, diaboli diversæ appellationes, diversas ejus operationes, non item multiplicem essentiam, declarant. Diabolus enim, adversarius, malus, leo, draco, serpens, bellua et cetus, propter ingenii mores, appellatur, quoniam multiplici artificio malitiam suam operatur: quod Manichæorum dogma funditus evertit.

Digitized by Google

CAP. IV, vers. 2. *Num sæpe tibi sermo est habitus in molestia? pondus autem verborum tuorum quis sustinebit?*

Didymi. Vel illud, *Sæpe tibi sermo nabitus est in molestia?* significat, te sæpius sermonem apud quosdam habuisse, qui casibus urgebantur adversis, iisdemque in labore consolationem adhibuisse, id est, in calamitatibus et ærumnis : nunc autem verba tua contemptus plena, nemo æquo animo ferre potest; et sermonis tui tanta asperitas est, ut eum, qui libenter sileret, ad refellendum excitet.

VERS. 10. *Robur leonis, et vox leænæ, et gaudium draconum exstinctum est. Myrmicoleo periit, eo quod non haberet escam : et catuli leonum divisi sunt ab invicem.*

Didymi. Naturas sumit brutorum, quæ nostro B genori non tantum inutilia exsistunt, verum etiam eidem insidiosa sunt; probatque Eliphazus, quidquid iniquum est et arrogans, perdi a Deo. Nam cum Deo visum fuerit, inquit, intolerabilis concidit leo; et leænæ vox truculenta exstinguitur, qua infirmiores belluas territat ; dracones humiliati sunt; myrmicoleo periit, cibo ipsi minime ministrato; *et catuli leonum divisi sunt ab invicem*, hoc est, generis sui successione non propagantur.

Ad historiam quod attinet, postquam dixit Eliphazus (vers. 8, 9), eos qui seminant absurda, præcepto Domini perituros, subjungit, idem leoni et draconi eventurum esse, cum Deus voluerit. Qui igitur in mutis tuetur ordinem, multo magis hunc inter homines conservabit. C

VERS. 17. *Quid enim? nunquid homo coram Domino mundus erit? vel de operibus suis irreprehensibilis vir?*

Didymi. Ne dixeris, hæc te nulli peccato obnoxium pati; cum impossibile sit, hominis vitam ad perfectam legis normam exigere. Fit enim per naturæ infirmitatem, ut sponte interdum, sæpe etiam invite, in peccata incidamus. Quod quidem cum probabile sit, si adhibito judicio examinetur, reprehensionem complectitur : si enim propter peccata, qui in miseras et ærumnas incidit, affligitur, nemo autem est a labe integer, profecto ab ærumnis nemo liber erit.

VERS. 8. *Dominum autem rerum omnium dominatorem invocabo, qui facit magna , et investigabilia, gloriosaque et magnifica, quorum non est numerus.* D

Didymi. Postquam homines insipientes criminatus fuisset, atque ea, quæ de illis dicere habebat, exposuisset, nunc ex eis quæ proponit, providentiæ auctorem et opificem Deum confitetur. Non vero improbabile est, ejusmodi Eliphazum secum ratiocinationes habuisse, qui rerum humanarum sapientia antecelleret. De invisibilibus autem et visibilibus disputat, de minime vestigabilibus, magnis et gloriosis, pluvia et aqua, verba faciens; quam quidem si a pluvia discriminat, eam aquam intelligit, quæ e fontibus, e torrentibus, et venis scaturit.

ΚΕΦ. Δ', στ. β'. *Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ; ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;* A

Διδύμου. Ἢ τὸ, *Πολλάκις σοι λελάληται ἐν κόπῳ;* δηλοῖ, ὅτι καὶ αὐτὸς σὺ πολλάκις ἐχρήσω λόγοις πρός τινας περιπεπτωκότας θλιβεροῖς, καὶ παράκλησιν αὐτοῖς προσήγαγες ἐν κόπῳ, τουτέστιν ἐν ταῖς συμφοραῖς καὶ ταῖς θλίψεσι· νῦν δὲ τὰ σὰ ῥήματα ὀλιγωρίας πεπληρωμένα οὐδεὶς οἷός τέ ἐστι φέρειν, ἀλλὰ τὸ τραχύ σου τῶν λόγων καὶ τὸν ἄγαν ἡσυχάζειν βουλόμενον διανίστησι πρὸς ἀντιλογίαν.

Στ. ι'. *Σθένος λέοντος, φωνὴ δὲ λεαίνης, γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. Μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους.*

Διδύμου. Λαμβάνει φύσιν ἀλόγων οὐ πάνυ τοι χρησίμην τῷ γένει τῷ ἡμετέρῳ, ἀλλὰ καὶ ἐπίβουλον, καὶ κατασκευάζει, ὅτι πᾶν τὸ ἄδικον καὶ ὑπερήφανον ἀπόλλυσιν ὁ Θεός. Ἀπόλλυται γοῦν, φησὶν, ὁ ἀνυπόστατος λέων, ὅταν βούληται Θεός· σβέννυται δὲ τὸ ἄγριον φθέγμα τῆς λεαίνης, δι' οὗ ἐκδειματοῖ τῶν θηρίων τὰ ἀσθενέστερα· καὶ οἱ δράκοντες ἐταπεινώθησαν· ἐξέλιπε δὲ ὁ μυρμηκολέων, μὴ χορηγηθείσης αὐτῷ τροφῆς· *καὶ οἱ σκύμνοι τῶν λεόντων ἔλιπον ἀλλήλους*, οὐκ εἰς διαδοχὰς παραπέμπονται.

Κατὰ μέντοι τὴν ἱστορίαν, ἐπειδὴ εἶπεν Ἐλιφὰζ, ὅτι οἱ σπείροντες τὰ ἄτοπα, ἀπὸ προστάγματος Κυρίου ἀπολοῦνται, ἐπήγαγεν, ὅτι καὶ λέων καὶ δράκων τὸ αὐτὸ πείσεται, Θεοῦ βουλομένου. Ὁ τοίνυν καὶ ἐν τοῖς ἀλόγοις τὴν εὐταξίαν διατηρῶν, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων. C

Στ. ιζ'. *Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον τοῦ Κυρίου; ἢ, ἀπὸ τῶν ἔργων αὐτοῦ, ἄμεμπτος ἀνήρ;*

Διδύμου. Οὐκ ἄν, φησὶ, τοῦτο εἴποις, ὡς ἁμαρτημάτων ἐκτὸς ὤν, ταῦτα πέπονθας· ἐπεὶ μηδὲ ἔστιν ἀνθρώπου φύσιν πρὸς τὴν τῶν νόμων ἀκρίβειαν πολιτεύεσθαι. Ἔστι γὰρ ὅτε μὲν καὶ ἑκουσίοις, πολλάκις δὲ καὶ ἀκουσίοις περιπίπτομεν, διὰ τὴν τῆς φύσεως ἀσθένειαν. Τοῦτο μέντοι πιθανὸν ὑπάρχον, εἰ κατὰ τὴν ἔννοιαν ἐξετάζοιτο, ἔχει τὸν ἔλεγχον. Εἰ γὰρ δι' ἁμαρτίας ὁ περιπίπτων ἀνιαροῖς θλίβεται, οὐδεὶς δὲ καθαρὸς, οὐδεὶς ἐκτὸς ἀνιαρῶν ὑπάρξειεν ἄν.

Στ. η'. *Κύριον δὲ τὸν πάντων Δεσπότην ἐπικαλέσομαι, τὸν ποιοῦντα μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.* D

Διδύμου. Αἰτιασάμενος τοὺς ἄφρονας, καὶ εἰπὼν ἃ εἶπε περὶ αὐτῶν, νῦν προνοητὴν ὁμολογεῖ καὶ δημιουργὸν τὸν Θεὸν, διὰ τῶν ἐκτιθέντων. Οὐκ ἀπεικὸς δὲ αὐτὸν ταύτας ἔχειν τὰς διαλήψεις, ἄνδρα σοφὸν ὄντα τὰ ἀνθρώπινα. Ἔχει δὲ καὶ περὶ ἀοράτων καὶ ὁρατῶν διάληψιν, περὶ ἀνεξιχνιάστων λέγων, καὶ μεγάλων, καὶ ἐνδόξων, ὑετοῦ τε καὶ ὕδατος· ὅπερ ὕδωρ εἰ διαστέλλοι τοῦ ὑετοῦ, τὸ ἐκ πηγῶν, καὶ χειμάρρων, καὶ φλεβῶν εἴη ἂν λέγων. Φησὶ τοίνυν, ὅτι Ἐγὼ οὐ δοξάζω, οὐδὲ φρονῶ, ὡς οἱ ἀσεβεῖς, ἀλλάγε πρόνοιαν ἐπιστάμενος, καὶ εἰδὼς τὸν Θεὸν Δεσπότην,

Digitized by Google

πάντων, καὶ καιρῶν, καὶ τόπων, καὶ πραγμάτων, ἐπικαλοῦμαι αὐτὸν, πρέπειν τοῦτο ἡγούμενος, ὃς κατὰ καιροὺς θαυμαστὰ ἐργάζεται, καὶ ἐκπλήξεως ἄξια, πρὸς ὠφέλειαν ἀνθρώπων, ὧν τὸ πλῆθος οὐδὲ λόγῳ καταλέξαι οἷόν τε. Λέγει δὲ τὴν καθ' ἑκάστην γενεὰν ποικίλην γενομένην πρόνοιαν, κοινῶς τε πρὸς ἅπαντας, καὶ ἰδίᾳ πρὸς ἕκαστον. Ὡς γὰρ τῶν ἀνθρώπων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν, οὕτως οὐδὲ τῆς τοῦ Θεοῦ ἐφικέσθαι προνοίας.

A Dicit igitur : Ego in eadem opinione et sententia cum impiis non sum, sed cum sciam esse providentiam, et Deum Dominum omnium intelligam, temporum, locorum et rerum, illum invoco (ita decere existimans), qui statis temporibus, ad hominum utilitatem res mirandas et stupore dignas facit, quarum multitudinem nemo oratione persequi potest ; dicit autem, omni ævo, tum erga omnes communiter, tum privatim erga singulos, varias divinæ providentiæ rationes exstitisse. Ut enim hominum numerus inveniri non potest, ita providentiæ divinæ rationem comprehendere impossibile est.

Στ. ια'. *Τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος, καὶ ἀπολωλότας ἐξεγείροντα.*

ἰδύμου. Μεταβαίνει καὶ ἐπὶ τὴν κατ' ἀνθρώπους πρόνοιαν, καὶ τοῦτο δὲ διακείμενος περὶ τοῦ Θεοῦ, ὅτι αὐτὸς ἐξ ὕψους ταπεινοῖ, ἐκ πενήτων πλουσίους, ἐξ ὑπηκόων ἄρχοντας, ἐκ νοσούντων ὑγιαίνοντας ἀπεργαζόμενος.

B

Vers. 11. *Qui facit humiles in altitudinem, et suscitat eos qui perierant.*

Didymi. Transit ad eam providentiam quæ homines respicit, atque de Deo sic affectus, existimat, eum ex edito loco humiliare, ex egentibus locupletes, ex subditis principes, ex valetudinariis valentes reddere solere.

Στ. ιζ'. *Μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ Κύριος· νουθέτημα δὲ Παντοκράτορος μὴ ἀπαναίνου. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.*

Διδύμου. Ἐλέγχει Θεὸς, καὶ τὴν τῆς μάστιγος ἐπάγει νουθεσίαν, οὐχ ἵνα ἀπολέσῃ, ἀλλ' ἵνα σώσῃ τὸν παιδευόμενον· καὶ σὺ τοίνυν μὴ καθυφεὶς τοῦ φρονήματος, μετ' εὐχαριστίας δέχου τὸν ἔλεγχον.

Vers. 17. *Beatus autem homo quem arguit Dominus ; monitionem vero Omnipotentis ne renuas. Ipse enim dolere facit, et rursus restituit ; percussit, et manus ejus sanaverunt.*

Didymi. Reprehendit Deus, et flagrorum castigationem addit, non ut perimat, sed ut eum qui corrigitur, servet : tu igitur animum minime despondens, cum gratiarum actione increpationem amplectere.

Στ. ιη'. *Ἐξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν.*

Διδύμου. Κατὰ δέ τινας ὑποβάλλουσιν οἱ στίχοι, ὅτι εἰς ὅσον τις ὑπὸ τὸν ἐν ἓξ ἡμέραις γεγενημένον ὑπάρχει κόσμον, τὰς ἐν αὐτῷ ὑπομένει ἀνίας, καὶ θλίψεις· κἂν ἅγιός τις ὑπάρχῃ, ἔχει τὴν ἐκ τοῦ σώματος τῆς χρείας ἀνάγκην· ὑπερβὰς δὲ τὸν κόσμον, καὶ ἐν τῇ ἑβδοματικῇ ἀναπαύσει γεγενημένος, οὐκ αἰσθήσεται κακώσεως· ἐπεὶ καὶ τοῦ ἀφιλάργυρον ἔχοντος τὸν τρόπον οὐχ ἅπτεται ζημία. Ὁ δὲ νοῦς τοιοῦτος· Ἐν τῷ νῦν αἰῶνι γυμνάσει σε, καὶ ἐν τῷ μέλλοντί σε δοξάσει. Οὐκ ἀνάγκη δὲ ταῖς θεωρίαις τὰς ἱστορίας ἐξομαλίζειν ἐξῆς.

C

Vers. 18. *Sexies de necessitatibus te eruet, et in septimo non tanget te malum.*

Didymi. Juxta autem quorumdam opinionem versus hi innuunt, quod quandiu quis in mundo degit, qui sex dierum spatio creatus fuit, calamitates et molestias quæ in eo sunt, patiatur ; licet enim quis sanctus sit, corporis tamen necessitatibus obnoxius est : mundum autem supergressus, et hebdomatica requie fruens, ab omni malorum sensu vacuus erit ; quandoquidem qui avarus et pecuniæ cupidus non est, ab omni jactura indemnis exsistit. Sensus autem hujusmodi est : In præsenti sæculo exercebit te, et in futuro glorificabit. Non necesse autem est deinceps, ut rerum gestarum historiæ usquequaque theoriæ adæquentur.

Στ. κς'. *Ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος· ἢ ὥσπερ θημωνία ἅλωσος καθ' ὥραν συγκομισθεῖσα.*

Διδύμου. Τοῦτο γὰρ δηλοῖ ἡ συγκομιζομένη θημωνία, τὴν πλήρωσιν, καὶ τελείωσιν, καὶ ὅτι ἐπ' ἀσφαλοῦς λοιπὸν τῷ ὄντι ἐστὶν ὁ τέλειος.

Vers. 26. *Et venies in sepulcrum tanquam frumentum maturum, quod in tempore messuerunt ; vel sicut acervus areæ in tempore comportatus.*

Didymi. Hoc enim significat *comportatus acervus*, consummationem, scilicet, et perfectionem, et quod vir perfectus et absolutus postea in tuto versetur.

D

ΚΕΦ. Ϛ', στ. ε'. *Τί γάρ ; μὴ διακενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ' ἢ τὰ σῖτα ζητῶν ; εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς, ἐπὶ φάτνης ἔχων τὰ βρώματα ;*

Διδύμου. Μὴ γὰρ ματαίως φωνὴν ἀφίησιν ὄνος ἄγριος, ἀλλ' ἐνδεόμενος τροφῆς· ἀλλ' οὐδὲ βοῦς μυκᾶται, ἐπὶ φάτνης βρωμάτων κειμένων· ὥστε μηδὲ ἐμὲ αἰτιῶ, εἰ κράζω, κατὰ τὴν σὴν ὑπόληψιν, διὰ τὰ ἀνιαρὰ, τῆς φύσεως ἀσθενοῦς ὑπαρχούσης. Ταῦτα δέ φησιν ὁ δίκαιος, ὅτι Ὡς οὐ μάτην ἀνακράζει ὄνος, ἢ

CAP. VI, vers. 5. *Quid enim ? nunquid frustra clamabit onager, nisi escas requirens ? nunquid et erumpet vocem bos, cum habeat in præsepi cibos ?*

Didymi. Haud temere asinus silvester vocem edit, sed cum cibo indiget ; neque pabulo in præsepi proposito, bos mugit : quare si, juxta tuam opinionem, propter gravia et molesta vociferer, cum natura imbecillis sit, noli me vituperare. Hoc autem justus dicit (Quemadmodum non frustra vocife-

Digitized by Google

ratur asinus, aut bos, sed cum alimentum defuerit: ita nec ego animo conciderem, nisi ad extremitatem malorum pervenissem), ut Eliphazum eo adducat, ne homini in dolore constituto vitio vertat, si forte vociferetur. Licet enim justus fortiter ferat adversa quæ premunt, sensum tamen omnem humanitatis exuere cum non oportet. Virtus enim ea est, si quis, rerum acerbarum sensu percepto, dolores Dei causa contemnat.

A βοῦς, ἀλλ' ὅταν ἐπιλείπῃ τὰ βρώματα· οὕτως οὐδὲ ἐγὼ ἠθύμουν, εἰ μὴ πρὸς ἔσχατον ἐληλάκειν κακοῦ, ἄγων τὸν Ἐλιφὰζ πρὸς τὸ μὴ μέμφεσθαι τὸν ὀδυνώμενον, εἰ χράζει. Οὐ γὰρ ἀναίσθητον εἶναι δεῖ τὸν δίκαιον, κἂν καρτερῶς φέρῃ τὰ θλίβοντα. Αὕτη γὰρ ἀρετή ἐστιν, ὅταν αἴσθησιν τῶν ἐπιπόνων δεχόμενός τις, ὑπερφρονῇ τῶν ἀλγηδόνων διὰ τὸν Θεόν.

Vers. 6. *Nunquid potest sine sale edi panis? aut est sapor in sermonibus vanis?*

Didymi. Ad sensum autem, Omnis sermo qui actione cum virtute conjuncta privatur, inanis et vanus est. Hoc ex illo confirmatur, *Non enim in sermone, sed in virtute est regnum Dei* (*I Cor.* IV, 20), non in irritis pollicitationibus, sed in efficaci sermone, salus nostra consistit.

Στ. ς'. *Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς;*

Διδύμου. Πρὸς δὲ διάνοιαν, Ἅπας λόγος κενὸς καὶ μάταιός ἐστιν, ἐστερημένος πράξεως ἐναρέτου. Τούτου παραστατικὸν τὸ, *Οὐ γὰρ ἐν λόγῳ ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει*, οὐκ ἐν κεναῖς ὑποσχέσεσιν, ἀλλ' ἐν λόγῳ ἐνεργεῖ τὰ τῆς σωτηρίας ὑπάρχει.

Vers. 15. *Propinqui mei non respexerunt me; tanquam torrens deficiens, aut sicut fluctus, transierunt me.*

Didymi. Et sane qui videntur amici, dubiis vero temporibus instantibus, amicitiam mentiti esse, et specie tantum externa ostentasse deprehenduntur, propter instabilitatem et perfidiam, torrens et fluctus appellari possunt. Quemadmodum enim torrens, perennis et semper labentis fluvii speciem præbet, et fluctus in sublime elevatus, opinione imperitorum nunquam deprimetur; squalor autem et siccitas torrentem, et tranquillitas fluctum, temporarium esse arguit: ita et temporis procella, multum eos a veris amicis distare ostendit, qui amicitiam falso simulant. Justi enim, regulam amicitiæ minime pervertentes, constantem animi tenorem in utraque fortuna, prospera et adversa, erga eos quos diligunt, custodire observantur: neque mirum, cum ad inimicos etiam charitatem extendant, et pacifice se gerant erga eos qui pacem aversantur: improbi autem, quales sint, ad tempus quidem celant, in amicorum vero rebus adversis, exuta larva, palam deprehenduntur. Hoc igitur ad exploranionem Jobi tunc evenerat, ita suggerente forte eo, qui illum ad supplicium depoposcerat, et amicis persuadente, ut propter ærumnas illum despicerent. Amicorum autem absentia in rebus acerbis, non parum molestiæ affert. Hanc afflictionem sanctus David cum pateretur, cecinit: *Considerabam ad dextram, et videbam, quia non erat, qui cognoscere me* (*Psal.* CXLI, 5); et rursus lugens, dixit: *Oblivioni datus sum, sicut mortuus a corde; factus sum tanquam vas perditum* (*Psal.* XXX, 13).

Διδύμου. Καὶ οἱ δοκοῦντες δὲ φίλοι εἶναι, ἐνστάντος δὲ θλιβεροῦ καιροῦ ἐλεγχόμενοι, ὅτι ψεύδονται τὴν φιλίαν, καὶ σχηματίζονται, λόγον τε ἂν [ἴσ. λέγοιντ' ἂν] χείμαρρος καὶ κῦμα, διὰ τὸ ἀβέβαιον καὶ ἄπιστον. Ὡς γὰρ ὁ χείμαρρος δόκησιν παρέχει αὐθιγενοῦς καὶ ἀεννάου ποταμοῦ, καὶ τὸ κῦμα κορυφούμενον τοῖς ἀπείροις δοκεῖ μὴ ἂν ποτε ταπεινωθῆναι (ἤλεγξε [ἴσ. ἐλέγχει] δὲ καὶ τὸν χειμάρρουν πρόσκαιρον ὄντα ὁ αὐχμὸς, καὶ τὸ κῦμα ἡ νηνεμία)· οὕτω καὶ τοὺς ὑποκρινομένους τὰ τῆς φιλίας, καιροῦ ζάλη δείκνυσι πολύ τι πρὸς τοὺς ἀληθινοὺς φίλους ἀντικειμένους. Οἱ μὲν γὰρ δίκαιοι, ἣν ἔχουσι βεβαιότητα πρὸς τοὺς ἀγαπωμένους, ταύτην φαίνονται ἐν ἀνέσει, καὶ ἐν περιστάσει τηροῦντες, τὸν ὅρον τῆς φιλίας μὴ διαστρέφοντες· καὶ οὐ θαῦμα, ὅπουγε καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἐκτείνουσι, μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὶ ὄντες· οἱ δὲ φαῦλοι μέχρι μέν τινος κρύπτουσιν ὅπερ εἰσὶ, φωρῶνται δὲ ἐν τοῖς περιστατικοῖς, τὸ προσωπεῖον τῆς ἀγάπης ἀποδυσάμενοι. Τοῦτο τοίνυν καὶ τῷ Ἰὼβ πρὸς δοκιμασίαν τότε συνέβαινεν· ἴσως δὲ καὶ τοῦτο τοῦ ἐξαιτησαμένου ὑποβάλλοντος, πείθοντός τε καὶ τοὺς φίλους, διὰ τὸ πάθος καταφρονεῖν αὐτοῦ. Οὐ μικρὸν δὲ ἀνιᾷ ἐν τοῖς θλιβεροῖς ἀπουσία τῶν φίλων. Ταύτην ὑπομένων τὴν θλῖψιν καὶ Δαβὶδ ὁ ἅγιος ἔψαλλε [ἴσ. ἔψαλε]· *Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.* Καὶ πάλιν ἀποδυρόμενος, ἔλεγε· *Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.*

Vers. 18. *Qui verebantur me, nunc irruerunt super me.*

Didymi. Fortasse tacite amicos objurgat: Malorum, inquit, quæ impetum in me faciunt, causam ignorantes, mihi insultatis, eaque loqui audetis, quæ prius, me reveriti, minime dixeratis. Verisimile autem est, alios item multos, propter calamitatem ipsi insultasse.

Στ. ιη'. *Οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασί μοι.*

Διδύμου. Ἴσως μὲν οὖν ῥῆμα τοὺς φίλους ἐλέγχει, ὅτι Ἀγνοοῦντες τὴν αἰτίαν τῶν ἐπαγωγῶν, ἐπεμβαίνετέ μοι, τολμῶντες τοιαῦτα λέγειν, ἃ μὴ πρότερον εἰρήκατε, διὰ τὴν πρός με εὐλάβειαν. Εἰκὸς δὲ ὅτι καὶ πολλοὶ τῶν ἄλλων διὰ τὴν συμφορὰν αὐτῷ ἐνῆλλοντο.

Digitized by Google

Στ. κα'. *Ἀτὰο δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως.*

Διδύμου. Καὶ τοὺς ἐπ' αἰτίᾳ ψεκτῇ περιπεσόντας σκυθρωποῖς νουθετῶν τις, οὐκ ἐλέγχει, κατὰ λόγον [ἴσ. λόγου] κινούμενος· οὐ τοῦτο γὰρ πρόκειται· ἀλλὰ μᾶλλον εἰς ἀνδρείαν προτρέψασθαι, τοῦ γενναίως ἐνεγκεῖν. Τὸ γὰρ λέγειν, Διατί γὰρ ἥμαρτες; βαρύναι ἐστὶ μᾶλλον, ἢ πόνων κουφίσαι. Καὶ γὰρ τῷ ὄντι ἀνελεημόνως ἐπέστησαν αὐτῷ, ἐκ τοῦ πεπλανῆσθαι περὶ τὴν αἰτίαν τῆς ἐπαγωγῆς, καὶ ὅτι τὸν μὴ ὑποκείμενον ἐλέγχῳ, ἐλέγχειν ἐπειρῶντο.

Στ. κα'. *Ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα, φοβήθητε.*

Διδύμου. Κηδεμονικώτατα δὲ ὁ ἅγιος καὶ πρὸς τοὺς μὴ ὀρθῶς διακειμένους πρὸς αὐτὸν προσφέρεται, ἀπὸ τῶν καθ' ἑαυτὸν κἀκείνους διορθούμενος, καὶ ἐκ τῆς αὐτῶν διαλήψεως δεχόμενος τὴν ἀρχὴν τῆς παραινέσεως. Εἰ γὰρ πᾶς ὁ ἁμαρτάνων σκυθρωποῖς περιπίπτει, καὶ ὁ περιπεσὼν ἐξ ἁμαρτιῶν τοῦτ' ἔπαθεν, οὐδεὶς δὲ καθαρὸς ἀπὸ ῥύπου, καὶ ὑμεῖς φοβήθητε, ἐκ τοῦ ἡμετέρου τραύματος [γρ. πράγματος] τὸν φόβον δεχόμενοι.

Στ. κβ'. *Διδάξατέ με, ἐγὼ δὲ κωφεύσω· εἴ τι πεπλάνημαι, φράσατέ μοι.*

Διδύμου. Καὶ τοῦτο δὲ μετὰ πλείστης ὅσης πραότητος ὁ ἅγιος παιδεύει αὐτούς, πῶς χρήσονται λόγοις πρὸς τοὺς ἐν περιστάσει· φησὶ γάρ· *Διδάξατέ με*, τουτέστι, Διδάσκειν ὀφείλετε, οὐκ ἐλέγχειν ἀκαίρως· εἰ μὴ καὶ τοῦτο πρὸς παίδευσιν δεῖ ποιεῖν, καὶ τὸ [ἴσ. κατὰ] λεγόμενον ὑπὸ Παύλου· *Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.*

Στ. κγ'. *Οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι, οὐδὲ ἔλεγχος ὑμῶν ῥήμασί με παύσει· οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι. Πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν.*

Διδύμου. Ἀνδρείας δὲ καὶ τοῦτο. Πολλοὶ γὰρ πολλάκις τῶν ἐν περιστάσεσι, φορτικῶν ἀκούοντες λόγων, ἀποκάμνουσιν· ἀλλ' ὁ ἅγιος, οὔτε ὅλως τὸν ἔλεγχον τὸν ὑπὸ φίλων, οὔτε τοὺς λόγους πρὸς ὀλιγωρίαν ἐδέξατο, μὴ καταδεχόμενος αὐτὰ τὴν ἀρχήν, ὡς δυνάμενα αὐτὸν σεῖσαι ἀλλὰ τὸ ἄλογον τῆς καθ' ἑαυτοῦ ἐπιπλήξεως, καὶ τὸ μάταιον τοῦ ἐλέγχου δεικνὺς, φησὶν, ὅτι *Οὐ παύσει με ὁ ἔλεγχος ὑμῶν.* Λόγος γὰρ χωρὶς ἔργων προσφερόμενος [ἴσ. προφερόμενος]· ἀβέβαιός ἐστι καὶ ἄπιστος· ἄλλως δὲ καὶ μὴ ἀληθῶς προϊών, ἔτι τὸ ἀσθενὲς ἔχει· ὥστε καὶ ὑμεῖς τοιούτῳ ἐλέγχῳ χρώμενοι, οὐ παύετε [ἴσ. παύσετε] τἀληθῆ λέγειν, οὐδὲ πρὸς τοὺς παρ' ὑμῶν λόγους εὑρήσετε ἡσυχάζοντα.

Στ. κθ'. *Καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον, καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε. Οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον, ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;*

Διδύμου. Ἐπιτρεπτικὰ δὲ ταῦτα καὶ ἀνεξίκακα [ἴσ. ἀλεξίκακα]. παιδεύοντα σχολῇ, καὶ προσοχῇ, καὶ ἐξετάσει φθέγγεσθαι· ὃ δηλοῦται διὰ τοῦ, *Καθίσατε.*

A Vers. 21. *Nunc autem et vos insurrexistis in me sine misericordia.*

Didymi. Qui admonet etiam eos, qui ob causam aliquam quæ reprehensionem meretur, in res acerbas inciderunt, non iracundia commotus contra rationem arguit: hoc enim ei propositum non est: sed potius ut ad fortitudinem, et generoso animo ferendum, hortetur. Dicere enim, Quamobrem peccasti? ærumnas potius auget, quam levat. Et revera quidem sine misericordia ei restiterunt, quod causam ejus calamitatis ignorarent, et quod reprehensioni minime obnoxium reprehendere conarentur.

Vers. 21. *Itaque videntes vulnus meum, timete.*

Didymi. Sanctus vero ex suis rebus illos corrigens, et ab ipsorum opinione adhortationis suæ B exordium sumens, cum summa cura ac sollicitudine erga eos se gerit, qui prave erga ipsum affecti erant. Si enim qui peccat in ærumnas incidit, et qui in eas lapsus est, ex peccatis hoc patitur, nemo autem mundus a sorde est, vos etiam, nostri vulneris terrore edocti, metuere ipsi discite.

Vers. 24. *Docete me, et ego obmutescam: si quia erravi, dicite mihi.*

Didymi. Et sane cum magna animi lenitate docet eos vir sanctus, qua ratione alloqui eos debeant, qui difficultatibus et adversis rebus premuntur; *Docete* enim *me*, inquit, id est, Docere me debetis, non autem intempestive reprehendere; nisi etiam et illud ad eruditionem faciendum sit, juxta illud C Pauli: *Argue, objurga, hortare, cum omni longanimitate et doctrina* (*I Tim.* IV, 2).

Vers. 25. *Non enim a vobis fortitudinem peto, neque correptio vestra verbis me sedabit; neque enim elocutionem sermonis vestri sustinebo. Verumtamen super pupillum irruitis, et insultatis super amicum vestrum.*

Didymi. Hoc etiam fortitudinis indicium est. Multi enim sæpenumero in calamitatibus constituti, auditis sermonibus molestis, fatiscunt et succumbunt: sanctus autem Jobus, neque reprehensionem amicorum, neque sermones illorum prorsus neglexerat (cum ne in initio quidem, ad animum ejus convellendum satis valida ea arbitraretur), sed vituperationis absurditatem, et reprehensionis vanitatem D ostendens, dicit, *Correptio vestra non me sedabit.* Sermo enim sine opere prolatus, inconstans est, nec fidem meretur; præterea, si in progressu veritate caruerit, adhuc infirmitate laborat: quare vos hujusmodi reprehensione usi, quominus vera dicam me non prohibebitis, neque verba vestra silentio prætereuntem invenietis.

Vers. 29. *Sedete, obsecro, et non sit injustum, et rursus justo adestote. Non est enim in lingua mea iniquitas, aut fauces meæ nonne intellectum meditantur?*

Didymi. Hæc verba illorum arbitrio judicium simul permittunt, et mala amoliuntur, dum in sermonibus otium, attentionem et examinationem

Digitized by Google

adhibendam esse docent; quod ex voce illa, *Sedete*, manifestum est. Hoc etiam alibi dictum est: *Priusquam examinaveris, ne vituperes* (*Eccli.* xi, 7). Magnum etiam est illud quod attexuit, *Non sit injustum*; in sermone enim minime labi exiguum non est. Hortatus autem eos ut cum otio et diligentia examini ejus vacarent, quod per illa verba, *Sedete, obsecro, et non sit injustum*, expresserat, vocem deinde libertate plenam profert, dicens: *Non est enim in lingua mea iniquitas*, tacite illos, propter opinionem quam de eo fovebant, condemnans, quod scilicet propter peccata talia pateretur: ac præterea subindicans, cum homine fatuo negotium ipsis non esse, ut illos hac ratione ad considerationem ejus excitaret, et ut ea prudenter et sapienter uterentur, permoveret.

CAP. VII, vers. 10. *Si enim homo descenderit ad infernum, ultra non ascendet, et non revertetur amplius in domum suam, neque cognoscet eum amplius locus ejus.*

Didymi. Alii autem, non ut resurrectionem mortuorum tolleret, hæc a Jobo dicta esse volunt; sed primum quidem, ut humanæ vitæ fragilitatem, et deinde, eum qui semel obierit, ad corruptibilem hanc vitam minime rediturum, nec consueta munia obiturum, ostenderet. Quare verbis illis, *Non amplius ascendet ex inferno*, connectenda sunt illa *In domum suam non revertetur*; ac si dixisset, Reviviscet quidem, verum in domum suam non revertetur. Probabilis quidem est hæc interpretatio; prior autem verior, quod justus mysterium resurrectionis ignoraverit: unde et admiratione majore dignus est, quod tale nihil sperans, virtutem summam in omnibus ostenderit.

CAP. VIII, vers. 11. *Nunquid viret scirpus sine aqua? aut exaltabitur carex sine potu? adhuc*, etc.

Didymi. Si autem de his venustius et elegantius commentandum sit: Impiorum spes revera circa res exsistentes minime versatur. Spes enim in genere nihil aliud est, quam bonorum exspectatio: qui metuit autem, exspectat, sed ea quæ bona non sunt; malorum enim exspectatio, metus est, bonorum vero, spes. Cum igitur impii res quæ non sunt exspectent, illorum spes evanescit; jucundis enim, tanquam permanentibus, fruuntur, et in eis vanam spem collocant. Et justus quidem, in virtute sua, tanquam in domo manens, nunquam illam desertam et inhabitabilem experietur; *Justitia enim ejus manet in æternum* (*Psal.* cx, 3): improbus vero qui eam minime sectatur, neque ædificat illam, neque in ea commoratur. Præterea, aranearum tela, ope naturæ contexta, varietatem ostendit, quæ leviter tacta, facillime dissolvitur: hominum igitur improborum opera, et vitæ omnis ratio, aranearum telæ, quæ nequaquam subsistit, similis est. Improborum enim cogitatio (quæ tabernaculum vocatur) proclivi lapsu ruens, facili adeo negotio dissolvitur, et in nihilum redigitur, ut nunquam exstitisse videatur.

A Τοῦτο καὶ ἀλλαχοῦ εἴρηται, *Πρὶν ἐξετάσῃς, μὴ μέμφου.* Μέγα δὲ καὶ τὸ ἐπίταγμα τὸ, *Μὴ εἴη ἄδικον·* οὐ γὰρ μικρὸν, ἐν λόγῳ μὴ πταίειν. Προτρεψάμενος δὲ αὐτοὺς σχολάσαι τῇ περὶ αὐτοῦ ἐξετάσει, ὅπερ διὰ τοῦ, *Καθίσατε δὴ, καὶ μὴ εἴη ἄδικον*, ἡρμήνευσεν· εἶτα εὐπαρρησίαστον προφέρει λόγον, φάσκων· *Οὐ γὰρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον·* ἠρέμα παρακρινῶν [γρ. παρακινῶν] [ἴσ. κατακρίνων] αὐτοὺς, ἐξ ἧς εἶχον περὶ αὐτοῦ διαλήψεως, ὡς δι' ἁμαρτίας πεπονθότος· καὶ ἄλλως ὑποσημαίνων αὐτοῖς, ὡς οὐ πρὸς ἀσύνετον [ἴσ. suppl. πρᾶγμα] ἔχουσιν, ἵν' ἐκ τούτου εἰς τὴν περὶ αὐτοῦ σκέψιν αὐτοὺς διεγείρῃ, ὥστε φρονίμως καὶ συνετῶς ταύτῃ χρήσασθαι.

B

ΚΕΦ. Ζ', στ. ι'. *Ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι μὴ ἀναβῇ, οὐδ' οὐ μὴ ἐπιστρέψῃ εἰς τὸν ἴδιον οἶκον, οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ.*

Διδύμου. Ἄλλοι [γρ. Τινὲς] δέ φασιν, ὅτι οὐ παραινούμενος [ἴσ. παραιρούμενος] τὴν ἀνάστασιν, τοῦτο λέγει· ἀλλὰ πρῶτον μὲν τὸ τῶν ἀνθρώπων ἐπίχειρον δεικνύς· ἔπειτα, ὅτι ὁ ἅπαξ ἀποθανὼν, εἰς τόνδε τὸν φθαρτὸν βίον οὐχ ὑποστρέψει, οὐδὲ τὰ συνήθη πράττων ἐπιγνωσθήσεται· ὥστε τῷ, *Οὐκέτι οὐ μὴ ἀναβῇ ἐξ ᾅδου*, συναπτέον τὸ, *Εἰς τὸν ἴδιον οἶκον οὐκ ἐπιστρέψῃ*· ἵνα εἴπῃ, ὅτι Ἀναβιώσεται μὲν, οὐ μὴν εἰς τὸν ἑαυτοῦ οἶκον ἐπιστρέψει. Ἀλλ' αὕτη μὲν ἡ ἑρμηνεία πιθανὴ, ἀληθεστέρα δὲ ἡ προτέρα, ὅτι ἠγνόει τὰ περὶ τῆς ἀναστάσεως ὁ δίκαιος· ὅθεν καὶ πλέον ἐστὶ θαυμαστὸς, ὅτι μηδὲν τοιοῦτον ἐλπίζων, οὕτω τὴν ἄκραν ἀρετὴν κατώρθωσεν.

ΚΕΦ. Η', στ. ια'. *Μὴ θάλλει πάπυρος ἄνευ ὕδατος; ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου; ἔτι ὅν*, κ. τ. λ.

Διδύμου. Εἰ δὲ χρὴ καὶ κομψότερον περὶ τούτων διαλαβεῖν· Τῷ ὄντι ἡ τῶν ἀσεβῶν ἐλπὶς οὐ περὶ ὑφεστηκότα γίνεται. Ἡ γὰρ ἐλπὶς οὐδὲν ἕτερόν ἐστι κατὰ γένος, ἢ προσδοκία ἀγαθῶν· καὶ ὁ φοβούμενος δὲ προσδοκᾷ, ἀλλ' οὐκ ἀγαθά. Κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. Ἐπεὶ οὖν οὐχ ὑφεστηκότα πράγματα οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπίς. Ὡς γὰρ μένουσιν, τοῖς ἡδέσι χρῶνται, καὶ ἐν τούτοις ματαίαν ἔχουσιν ἐλπίδα. Καὶ ὁ μὲν δίκαιος ἐν τῇ αὐτοῦ ἀρετῇ, ὡς ἐν οἰκίᾳ, μένων, οὐδέποτε ἕξει τὴν τοιαύτην οἰκίαν ἀοίκητον· *Ἡ δικαιοσύνη γὰρ αὐτοῦ μένει εἰς τὸν αἰῶνα*· ὁ δὲ φαῦλος, ταύτης μὴ ἀντεχόμενος, οὐκ οἰκοδομεῖ αὐτὴν, οὐδὲ μένει ἐν αὐτῇ. Πάλιν ἡ ἀράχνη ποικιλίαν ἐπιδείκνυται, ἐξ ὑφάσματος φυσικοῦ κατεσκευασμένη, ῥᾷστα δὲ διαλύεται, ἐπιψαύσαντός τινος. Τὰ τῶν φαύλων οὖν ἔργα, καὶ ἡ κατασκευὴ τῆς πολιτείας, ἀράχνῃ ἔοικεν οὐχ ὑφισταμένῃ. Ῥᾷστα γὰρ ἡ τῶν φαύλων ἐπίνοια, σκηνὴ ὀνομαζομένη, καταπίπτουσα, εὐάλωτός ἐστιν οὕτως, ὡς μηδὲ δοκεῖν γεγονέναι ποτέ.

Digitized by Google

Ὥσπερ ἄνευ ὕδατος οὐ πληθυνθήσεται ἕλος· οὕτως ἀδύνατον μὴ δεχόμενον ἐν διανοίᾳ ὠφέλειαν τῶν κρειττόνων, καρπὸν προενεγκεῖν ὠφέλιμον. Ἁρμόσει δὲ τὸ ῥητὸν καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, ὅτι καθάπερ ἀπὸ ὕδατος ὑπὸ τῆς προνοίας ταῦτα ἀρδεύεται, ἧς μὴ ἐπιούσης, ῥᾳδίαν ταῦτα καὶ εὐμάραντον ἕξει τὴν διάλυσιν. Πᾶν γὰρ, κἂν μικρὸν, κἂν μέγα ᾖ, τὸ ἐν τῷ βίῳ, ὑπὸ πρόνοιάν ἐστι· ξηραίνεται δὲ, εἰ μὴ αὕτη ἐποπτεύοι. A

Quemadmodum sine aqua palus non augebitur: sic impossibile est, ut fructum utilem proferat, qui animo rerum meliorum utilitatem non comprehenderit. Dictum autem hoc rebus etiam humanis quadrabit, quæ divina providentia, tanquam aqua, irrigantur, quæ si minus comes sequatur, cito hæ marcescunt, et in nihilum abeunt. Quidquid enim in vita est, sive magnum, sive parvum sit, divinæ providentiæ subjacet; et nisi illa inspectaverit, exsiccatur.

Στ. ιζ'. *Ἐπὶ συναγωγὴν λίθων κοιμᾶται, ἐν δὲ μέσῳ χαλίκων ζήσεται· ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν.*

Διδύμου. Ὑψηλότερον δὲ εἰπεῖν· Οἶκός ἐστι λίθων σύνθεσις κατὰ τέχνην, πρὸς ἑτέρους ἕνωσιν ἔχων [ἴσ. ἐχόντων]· τοιοῦτον ἡ ἀρετὴ, καὶ ἡ ἁγιότης, καὶ αὐτῆ ἡ μετουσία τοῦ Πνεύματος· ἐσκορπισμένον δέ τι, ἡ συναγωγὴ τῶν λίθων, καὶ μίξις τῶν χαλίκων, παραπλησίον τῇ κακίᾳ, τῇ μὴ ἐχούσῃ ἕνωσιν, ἀλλ' ἀταξίαν. Ὁ ἀσεβὴς οὖν ἅπασαν τὴν διαγωγὴν ἐν οἴκῳ κακίας ἔχει, διαλελυμένος, κατὰ τοὺς ἔξω τῆς οἰκοδομῆς λίθους, οἳ οὐχ ἁρμόζουσι τῇ οἰκοδομῇ τοῦ πύργου, κατὰ τὸν *Ποιμένα*· οὐδ' ἀκούουσιν· *Ὑμεῖς δὲ ἐποικοδομεῖσθε ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.* B

Verse. 17. *In congregatione lapidum dormit, in medio autem silicum vivet. Si absorbuerit, locus mentietur eum.*

Didymi. Ut sublimius autem dicamus: Domus est lapidum artificiose inter se unitorum structura: talis etiam est virtus, sanctitas, et divini Spiritus communio; lapidum autem acervus, et silicum mistura, quiddam dissipatum et dissolutum est, improbitati simile, quæ unionem non agnoscit, sed confusionem. Omnis igitur dissoluti impii conversatio in domo pravitatis est, non aliter quam lapides extra ædificium, qui ædificandæ turri plane inepti sunt, juxta *Pastorem* (*a*): neque illud audiunt, *Vos autem superædificamini super fundamentum apostolorum et prophetarum* (*Ephes.* II, 20).

Στ. ιθ'. *Ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει· ὁ γὰρ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον.*

Διδύμου. Ἐπιμείνας τῇ τροπῇ τῶν βοτανῶν, τὸ, *ἀναβλαστήσειν*, τέθεικεν. Ἄκακον δὲ ἐνταῦθα λέγει, οὐ τὸν εὐήθη, ἀλλὰ τὸν μὴ ἔχοντα κακίαν· ἀμφότερα γὰρ σημαίνει τὸ ὄνομα. Ὅταν μὲν γὰρ λέγῃ περὶ τῶν αἱρετικῶν, ὅτι *Διὰ τῆς χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων*, ἀκάκους καλεῖ τοὺς εὐήθεις, τοὺς βραδεῖς τὴν νόησιν· ὅταν δὲ λέγῃ· *Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι*, τοὺς δικαίους σημαίνει· καθάπερ οὖν καὶ ἐνταῦθά φησιν, ὅτι ἐκτίλλει μὲν τὸν φαῦλον ὁ Κύριος, φυτεύει δὲ ἀντ' ἐκείνου τὸν ἄκακον· ἐκεῖνον μὲν γὰρ τιμωρεῖται. Εἰ δέ τις εἴη εὐσεβὴς, καὶ τῆς καθ' ἑτέρων κακίας ἀπέχεται, εἰ καὶ ἐν ἐσχάτοις ἐξετασθείη, πλείστης γοῦν αὐτῷ τῆς οἰκείας προνοίας μεταδίδωσι. C

Verse. 19. *De terra autem alterum germinabit; Dominus enim non improbabit innocentem.*

Didymi. Metaphoræ a plantis sumptæ insistens, *germinabit* posuit. Simplicem autem hoc loco dicit, non stolidum, sed eum qui improbitate caret; vox enim ἄκακος utrumque significat. Cum enim de hæreticis dicit: *Blandiloquentia sua corda simplicium seducunt* (*Rom.* XVI, 18), simplices vocat qui rudes sunt, et ad intelligendum tardi; cum autem dicit: *Simplices et recti mihi adhæserunt* (*Psal.* XXIV, 21), justos intelligit: quemadmodum et hoc in loco dicit, quod Dominus improbum avellat, et hominem innocentem ejus vice inserat et plantet, illum enim supplicio afficit. Si quis autem pius exstiterit, et a malo alteri inferendo abstinuerit, licet extrema quæque patiatur, largam ei providentiam Deus impartitur.

Στ. κα. *Πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. Ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος, τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως.*

Διδύμου. Ἀληθινός ἐστιν ἐκεῖνος, ὁ μὴ ὑποκρινόμενος μηδὲ ἐπιμορφιζόμενος τὴν ἀρετὴν, ὁ μὴ σχηματιζόμενος σωφροσύνην, ἀλλὰ σώφρων ὤν, τὸ δίκαιον δικαίως διώκων. Τούτων οὖν τῶν ἀληθινῶν τὸ στόμα ἐμπλήσει ὁ Θεὸς γέλωτος, τουτέστιν ἀγαλλιάσεως. Ἀντὶ δὲ, *τῆς ἐξομολογήσεως*, *ἀλαλαγμοῦ* εἶπον οἱ ἄλλοι. D

Verse. 21. *Non vero ullum munus impii accipiet. Veracium autem os implebit risu, labia autem eorum confessione.*

Didymi. Verax ille est, qui virtutem non simulat, neque falso prætextu aut specie temperantiam velat, sed cum sobrietate justum juste persequitur. Horum igitur veracium Deus os *risu implebit*, id est lætitia. Pro *confessione* autem, alii *exsultationem* dixerunt.

ΚΕΦ. Θ', στ. ε'. *Ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν, ὁ καταστρέφων αὐτὰ ὀργῇ.*

Διδύμου. Οἶδα καὶ ἄλλα ὄρη, Μωϋσέα καὶ τοὺς προφήτας, *Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη.* Χριστὸς παλαιοῖ τὴν πρώτην Διαθήκην, καὶ οὐκ οἴδασιν Ἰουδαῖοι, πρὸς οὓς εἴρηται· *Εἰ ἐπιστεύετε Μωϋ-*

CAP. IX, vers. 5. *Qui in vetustatem perducit montes, et nesciunt; qui subvertit eos in ira.*

Didymi. Alios etiam novi montes, Moysem et prophetas, *Levavi oculos meos in montes* (*Psal.* CXX, 1). Christus abrogat prius Testamentum, nec animadvertunt Judæi, quibus dictum est: *Si Moysi*

(*a*) Vide visionem tertiam libri primi Hermæ, qui *Pastor* inscribitur [*Patr. Gr.* t. III.

Digitized by Google

credideretis, credideretis forsitan et mihi (*Joan.* v, 46). Ipse, quoad litteram, montes Jerusalem et sanctuarium evertit : ipse solem et astra suo ipsius splendore obscurat. Papæ! Qualia dicit homo morbidus et exulceratus, testam habens, et saniem radens, homo sedens in sterquilinio! *Qui in vetustatem perducit montes, et nesciunt.* Videamus igitur cujusmodi sint hæc verba, et quinam montes vetustate exoleverint, ac de quibus illud intelligendum veniat, *Et nesciunt.* Venit Jesus, qui exspectationem secundum litteram, et eos qui post gratiam in ea perseverant, delet; de quibus dicit Apostolus, *Pervenit autem super eos ira* (*I Thess.* II, 16); vetera enim deleta sunt; quæ ad litteram pertinent vetustatem induerunt; instaurata sunt quæ sunt spiritus, ut serviamus in novitate spiritus, et non in vetustate litteræ (*Rom.* VII, 6). Christus adventu suo admirabile quiddam et contra omnium opinionem fecit, eosdem prophetas et antiquavit, et innovavit.

σῇ, ἐπιστεύετε ἂν ἐμοί. Ὁ αὐτὸς δὲ καὶ κατέστρεψε τὰ μέχρι γράμματος ὄρη τῆς Ἱερουσαλὴμ καὶ τὸ ἁγίασμα· ὁ αὐτὸς δὲ καὶ τὸν ἥλιον ἀμαυροῖ τῇ ἑαυτοῦ λαμπρότητι, καὶ τοὺς ἀστέρας. Βαβαί! Οἷα λέγει ἄνθρωπος νοσῶν καὶ ἑλκωμένος, ὄστρακον ἔχων, καὶ τὸν ἰχῶρα ξέων, ἄνθρωπος ἐπὶ κοπρίας καθεζόμενος! Ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασι. Τίνες οὖν εἰσιν οἱ λόγοι, ἴδωμεν· καὶ περὶ ποίων ὀρέων παλαιουμένων, καὶ ὑπὸ [ἴσ. ἐπὶ] τίνων, Καὶ οὐκ οἴδασιν. Ἦλθεν Ἰησοῦς ὁ καταστρέφων τὴν κατὰ τὸ γράμμα ἐκδοχήν, καὶ τοὺς ταύτῃ μετὰ τὴν χάριν ἐμμένοντας, περὶ ὧν φησιν ὁ Ἀπόστολος· Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργή· τὰ πεπαλαιωμένα κατεστράφη, πεπαλαίωται τὰ τοῦ γράμματος, ἀνακεκαίνωται τὰ τοῦ πνεύματος, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Παράδοξον ὁ Ἰησοῦς πεποίηκεν ἐλθών, τοὺς αὐτοὺς προφήτας καὶ πεπαλαίωκε, καὶ ἀνεκαίνισεν.

A

B

VERS. 6. *Qui commovet eam quæ sub cœlo a fundamentis : columnæ autem ejus quatiuntur.*

Didymi. Concinnius vero nonnulli : Columnæ erant Domini mei Jesu Christi apostoli; hi enim tempore quo Jesus patiebatur commoti erant : *Omnes vos scandalizabimini in me in nocte ista* (*Marc.* XIV, 27). Terræ motus vero sæpe in terra exstiterunt; verum et qui ante, et qui post Christum contigerunt, partem tantum aliquam terræ concusserunt; tempore autem Domini mei Jesu Christi, pars aliqua terræ mota non fuit, sed tota terra ab ipso centro conquassata est.

Στ. ς'. Ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων· οἱ δὲ στύλοι αὐτῆς σαλεύονται.

Διδύμου. Κομψότερον δέ τινες· Οἱ στύλοι ἦσαν τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οἱ ἀπόστολοι. Οὗτοι γὰρ παρὰ τὸν καιρὸν τοῦ πάθους Ἰησοῦ ἐσαλεύθησαν· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. Σεισμοὶ δὲ πολλάκις γεγόνασιν ἐπὶ τῆς γῆς· ἀλλ' οἱ γενόμενοι σεισμοί, καὶ πρὸ Χριστοῦ, καὶ μετὰ Χριστὸν, ἐκ μέρους γεγόνασιν· ἐπὶ δὲ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ οὐ γέγονε μερικὸς [γρ. μικρὸς] ὁ σεισμὸς, ἀλλ' ὅλη ἡ γῆ ἐσείσθη ἐξ αὐτοῦ τοῦ κέντρου.

C

VERS. 7. *Contra sidera autem signaculum ponit.*

Didymi. Fertur autem, quod tempore passionis, tribus horis quibus sol defecerat, sidera etiam tum, tanquam in nocte, apparuisse.

Στ. ζ'. Κατὰ δὲ ἄστρων κατασφραγίζει.

Διδύμου. Φέρεται δὲ, ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους, ἐν ταῖς τρισὶν ὥραις ἐν αἷς ὁ ἥλιος ἐξέλιπε, τηνικαῦτα καὶ ἀστέρες ἐφάνησαν, ὡς ἐν νυκτί.

VERS. 13. *Ab eo incurvati sunt ceti qui sub cœlo.*

Didymi. Ad litteram quidem : Ceti, et aliæ venenatæ bestiæ hominis imperio minime parerent, nisi illas Deus illi subjecisset. Ad theoriam vero : Ipse spiritus reprobos (qui allegorice ceti vocantur, quia animi fluctibus innatent) incurvavit et humiliavit : si enim a Deo minus inflecterentur, hominis natura eis obsistere nequiret.

Στ. ιγ'. Ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν.

Διδύμου. Πρὸς μὲν τὸ ῥητόν· Καὶ τὰ κήτη ἀνυπότακτα ἦν ἀνθρώποις, καὶ τὰ ἄλλα ἰοβόλα θηρία, εἰ μὴ αὐτὸς ταῦτα ὑπέταξε. Πρὸς δὲ θεωρίαν· Τὰ πονηρὰ πνεύματα, τὰ κήτη ἀλληγορικῶς καλούμενα, διὰ τὸ περὶ τοὺς κλύδωνας τῆς ψυχῆς διανήχεσθαι, αὐτὸς ἔκαμψε, καὶ ἐταπείνωσεν. Οὐ γὰρ οἷα τέ ἐστιν ἀνθρωπεία φύσις· πρὸς αὐτὰ μὴ καμφθέντα ὑπὸ Θεοῦ [ἴσ. add. ἀντιστῆναι].

D

VERS. 27. *Quod et si locutus fuero, obliviscar dum loquor, declinans in faciem ingemiscam, commoveor omnibus membris; scio enim quod non insontem me sines.*

Didymi. Ex his, sancti viri moderatio, et insignis æquanimitas manifestatur. Licet enim dixerat (cap. XIII, 18), *Justus apparebo*, nihilominus exploratum persuasumque habebat, quod quemadmodum coram Deo exploratore astra non sunt pura, ita neque ipse esset. Ideo inquit, Si explorare me diligenter volueris (Deus enim es), *non insontem me sines.*

Στ. κζ'. Ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν, συγκύψας τῷ προσώπῳ στενάξω, σείομαι πᾶσι τοῖς μέλεσιν· οἶδα γὰρ ὅτι οὐκ ἀθῶόν με ἐάσεις.

Διδύμου. Ἡ μετριότης τοῦ ἁγίου ἐν τούτοις γνωρίζεται, καὶ μεγάλη εὐγνωμοσύνη. Εἰ γὰρ καὶ εἶπεν, ὅτι Δίκαιος ἀναφανοῦμαι, ἀλλ' οὖν οἶδε καὶ πέπεισται, ὅτι ὡς πρὸς Θεὸν δοκιμαστὴν ἄστρα καθαρὰ οὐκ ἔστιν ἐνώπιον αὐτοῦ, οὐδ' αὐτὸς δηλονότι. Διό φησιν, ὅτι Ἐξεταστής μου γινόμενος ἀκριβὴς (Θεὸς γὰρ εἶ), οὐκ ἀθῶόν με ἐάσεις.

CAP. X, vers. 8. *Manus tuæ plasmaverunt me, et fecerunt me.*

ΚΕΦ. Ι', στ. η'. Αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με.

Digitized by Google

Διδύμου. Διαφέρει δὲ τὸ, *ἔπλασας*, τοῦ, *ἐποίησας*. Πέπλασται μὲν γὰρ τὸ σῶμα ἐξ ὑποκειμένης τῆς γῆς, ἤτοι τῆς γυναικός· πεποίηται δὲ ἡ ψυχὴ μὴ προϋποκειμένου τινός· ὡς γὰρ ἀσώματος, οὕτω καὶ ἀμέριστος. A

Στ. ιδ'. *Ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με· ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῴόν με πεποίηκας.*

Διδύμου. Εἰκότως δὲ τοῦτο λέγει· Ἐπειδὴ γὰρ δημιουργὸν καὶ προνοητὴν ἑαυτοῦ οἶδε τὸν τῶν ὅλων Θεὸν, ἀκολούθως καὶ περὶ μακροθυμίας αὐτοῦ διδάσκει· ἐπίσταται γὰρ καὶ αὐτὸς, κατὰ τὸν μακάριον Δαβὶδ, ὅτι *Οὐκ ὀργὴν ἐπάγει καθ' ἑκάστην ἡμέραν*, φυλάττει δὲ τὸν ἁμαρτάνοντα, οὐ βουλόμενος αὐτὸν ἁμαρτάνειν· [ἴσ. κατὰ τὸ] *Οὐ βούλεται δὲ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν.* Τὸ δὲ, *Οὐκ ἀθῴόν με πεποίηκας*, οἱ ἄλλοι, *Οὐκ ἀθῳώσεις με, Οὐ καθαρίσεις με*, εἶπον. B

Στ. ιε'. *Ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι· ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι.*

Διδύμου. Τάχα δὲ καὶ τοιοῦτόν τι λέγει· Εἴτε προαιρετικῶς ἁμάρτω, οἴμοι· εἴτε ὡς ἐκ τῆς τοῦ Ἀδὰμ παραβάσεως, καὶ εἰς ἡμᾶς διαβαινούσης ἐκ διαδοχῆς τῆς ὀφειλῆς, πάλιν οὐδ' οὕτως ἀνακύψαι δυνήσομαι, ὡς παντὸς ἀπηλλαγμένος ῥύπου. Τῶν γὰρ ἁμαρτημάτων, τὰ μὲν ἐκ προαιρέσεως τῆς ἡμετέρας ὑφίσταται, οἷς καὶ κόλασις ἕπεται· τὰ δὲ ἐκ προγόνων, οἷς καὶ κάθαρσις χρεωστεῖται.

Στ. ιη'. *Ἱνατί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον; Ὀφθαλμὸς δέ με οὐκ εἶδε, καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην. Διατί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;* C

Διδύμου. Ὅρα δὲ, ὅτι τῶν προσπεσόντων αὐτῷ πειρατηρίων ἐπιμνησθεὶς, ἐπὶ τὴν πρώτην αἰτίαν τῶν παθῶν ἀνατρέχει, τουτέστι τὴν παράβασιν, καὶ τὴν ἐκ φθορᾶς γένεσιν· καὶ οὐδαμοῦ μὲν κατὰ τῆς προτέρας τοῦ ἀνθρώπου ποιήσεως σχετλιάζει· τὸ δὲ πειρασθῆναι· τῆς ἐν βίῳ φθορᾶς, ἡγεῖται χαλεπὸν, κοιλίας τε καὶ γαστρὸς μνημονεύων. Ἡμεῖς γὰρ ἑαυτοῖς τῇ παραβάσει τὴν ὀδυνηρὰν ταύτην ζωὴν ἐπεισηγάγομεν.

Στ. κα'. *Ἔασόν με ἀναπαύσασθαι μικρὸν, πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω.*

Διδύμου. Εὐχῆς τρόπῳ ταῦτα προφέρει. Οὐ γὰρ αἱ ἐπικείμεναι ἀνίαι μικραὶ τυγχάνουσιν, οὐδὲ ἀναισθήτως ἔφερε τὰς ἀλγηδόνας· τοῦτο γὰρ οὐκ ἦν ἀνδρεῖον, εἰ οὐκ ἠσθάνετο. Διδάσκει δὲ, ὅτι καὶ Θεοῦ δυνάμει ὑπέμεινε, δι' ὧν εὔχεται, εὐχαριστῶν λέγων· Ἐκεχειρίαν μοι τῶν πόνων παράσχου, προσκαίρῳ ὄντι, καὶ εἰς ἀεὶ ἀπόλλυσθαι μέλλοντι· τοῦτο γὰρ δηλοῖ τὸ, πορευθῆναι ὅθεν οὐκ ἐπανελεύσεται. Καὶ δόγμα [γρ. δεῖγμα] τι διδάσκει κάλλιστον, ὅτι ὁ ἅπαξ ἐξελθὼν τοῦ βίου οὐκέτι εἰς τόνδε τὸν βίον ἐπαναστρέφει, ὡς μυθολογοῦσιν οἱ τὰς μετενσωματώσεις τερατευόμενοι. Εἶτα διηγεῖται τὰ ἐν ᾅδου κακὰ, ἵνα γνῶμεν οἷων ἡμᾶς ἠλευθέρωσεν ὁ Σωτὴρ, εἰπὼν *τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι.* D

Didymi. Discrimen vero est inter *plasmavisti* et *fecisti*; plasmatum enim est corpus ex præexsistente terra, aut muliere; anima vero ex nulla præexsistente materia facta est; sicut enim incorporea, sic etiam indivisibilis est.

Vers. 14. *Quod si et peccavero, custodis me; ab iniquitate autem non insontem me fecisti.*

Didymi. Merito autem hoc dicit: Nam cum universitatis Deum, creatorem suum et providentem gubernatorem intelligeret, ordine consequentiæ de illius longanimitate disserit; novit enim, secundum beatum David, quod *Non iram adducat per singulos dies* (*Psal.* VII, 12); sed peccatorem custodiat, nolens illum peccare; juxta illud, *Non autem vult mortem peccatoris, ut pœnitentiam* (*Ezech.* XVIII, 23). Illud vero, *Non insontem fecisti*, alii reddiderunt, *Non insontem facies me, Non mundabis me.*

Vers. 15. *Sive enim impie egero, væ mihi; et si justus fuero, non possum suspicere.*

Didymi. Fortasse etiam tale quidpiam dicit: Sive arbitrii libertate peccavero, væ mihi; sive tanquam ex lapsu Adami, debito etiam ad nos per successionem derivato, neque sic quidem, quasi ab omni labe purus, suspicere potero. Quædam enim peccata eo arbitrii nostri libertate fiunt, quæ supplicium comitem habent; alia vero a parentibus manant, quibus purgatio debetur.

Vers. 18. *Quare ergo de ventre eduxisti me, et non sum mortuus? Oculus autem non vidisset me, et essem tanquam non fuissem. Cur enim de utero in monumentum non sum translatus?*

Didymi. Vide autem, quod incumbentium tentationum recordatus, ad primam malorum causam, id est mandati transgressionem, et ex corruptione generationem recurrat; nusquam tamen contra primi hominis creationem indignanter queritur. Uteri vero et ventris mentionem faciens, quod vitæ hujus corruptionem experiretur, grave existimat; per transgressionem enim nos ipsos in ærumnosam hanc vitam conjecimus.

Vers. 21. *Patere me requiescere vusillum, antequam eam unde non revertar.*

Didymi. Sub forma precationis hæc profert: molestiæ enim, quæ incumbebant, haud exiguæ erant, neque cruciatus absque doloris sensu tulerat; si doloris enim sensum non percepisset, virum fortem se non ostendisset. Docet autem supplicatione sua, quæ cum gratiarum actione profertur, se divina potentia cruciatus pertulisse; Molestiarum, inquit, et laborum inducias mihi præbe, qui ad breve tempus duraturus, et in æternum interiturus sum; hoc enim significat illud, abire unde non revertetur. Dogma etiam præclarissimum docet, quod scilicet. qui semel ex hac vita excesserit, non amplius ad eam revertatur, sicuti fabulantur, qui corporum transmutationes prodigiose finxerunt. Deinceps inferni mala enarrat, ut intelligamus, a quibus nos Salvator noster liberaverit, *dicens iis qui in vinculis sunt, Exite, et iis qui in tenebris sunt, ut revelentur* (*Isa.* XLIX, 9).

Digitized by Google

CAP. XI, vers. 8. *Sublime est cœlum, et quid facies? profundiora autem iis quæ in inferno; quid nosti? nonne longiora quam mensura terræ, vel latitudo maris?*

Didymi. Hisce omnibus vult ostendere, humanæ scientiæ modum et mensuram esse, quæ Dei judicia assequi non valeat. Et nunc quidem cœlum, inquit, est, et inferni profunditas, terræ longitudo, et maris latitudo, de hisce dic aliquid, si potes. Innuit autem fortasse, quod quamvis de terra, mari et cœlo, aliquis loqui aggressus fuerit, ea tamen quæ ultra sunt, ignoret.

VERS. 12. *Homo autem aliter* [f. *frustra*] *natat sermonibus, et vir natus mulieris tanquam onager solitarius.*

Didymi. Divinæ notitiæ infallibilitatem, cum hominum conceptibus comparans, frustra eos natare dicit, eo quod nequeant universam Dei cognitionem ratiocinatione complecti. Per onagrum autem solitarium, hyperbolica loquendi forma usus, summam eorum in judiciorum Dei apprehensione hebetudinem ob oculos ponit.

CAP. XII, vers. 4. *Sed justus vir et sine crimine venit in derisum.*

Didymi. Observandum autem est, Jobum, cum minora dicit, sibi ipsi ea tribuere (fastu enim ad inanem ostentationem non est comparatus); cum vero majora recenset, ad genus universum orationem referre; quemadmodum et hic propemodum dicit, Ne derideantur justi; tandiu enim adversa patiuntur, quandiu Deo visum est.

CAP. XIII, vers. 3. *Verumtamen ego ad Dominum loquar.*

Didymi. Postquam amicos tanquam deceptos accusasset, fiduciam suam et loquendi libertatem ostendens, Dominum se allocuturum dicit.

VERS. 4. *Vos autem estis medici injusti, et curatores malorum omnes.*

Didymi. Iniquus est medicus, prout omnibus obvium est, qui ægris, præter salutaria, alia remedia adhibet : dupliciter autem hoc fit, vel ex medici imperitia, vel nequitia. Hi autem qui vituperantur, ex inscitia potius quam improbitate, arbitrantes se verba consolationis allaturos, Jobo dixerunt, quod propter peccata pateretur : erant igitur injusti ex eo quod mali causam ignoraverint. Illud autem, *Curatores malorum omnes*, de iis fortasse dicit, quia opinione de se elati, aliorum adversis casibus mederi se posse putarent.

VERS. 6. *Audite ergo increpationem oris mei, et judicium labiorum meorum animadvertite.*

Didymi. Considerate diligenter quæ ad redargutionem vestri allaturus sum, et, an cum judicio loquar, vobiscum perpendite. *Os* autem et *labia* pro *sermone* usurpavit. Sanctus autem, tanquam sanctus redarguit, et prout illi par est, judicat. Justus enim importuna vituperatione non utitur, neque ficte et mendaciter hoc facit, sed jure et legitime

A ΚΕΦ. ΙΑ', στ. η'. *Ὑψηλὸς ὁ οὐρανὸς, καὶ τί ποιήσεις; βαθύτερα δὲ τῶν ἐν ᾅδου· τί οἶδας; ἢ μακρότερα μέτρου γῆς, ἢ εὖρους θαλάσσης;*

Διδύμου. Δεῖξαι δὲ βούλεται διὰ πάντων τούτων, ὅτι ἡ τῶν ἀνθρώπων γνῶσις μεμετρημένη ἐστὶ, μὴ ἐφικνουμένη τῶν τοῦ Θεοῦ κριμάτων. Καὶ νῦν γοῦν ὁ οὐρανὸς, φησὶν, ἐστὶ, καὶ ᾅδου βαθύτερα, καὶ μακρότερα γῆς, καὶ τοῦ εὖρους [ἴσ. τὸ εὖρος] τῆς θαλάσσης, λέγε τι περὶ αὐτῶν, εἰ δύνασαι. Αἰνίττεται δὲ ἴσως, ὅτι κἂν ἐπιχειρήσῃ τις περὶ γῆς, καὶ θαλάσσης, καὶ οὐρανοῦ λαλῆσαι, ἀλλὰ τὰ ὑπὲρ ἐκεῖνα ἀγνοεῖ.

Στ. ιβ'. *Ἄνθρωπος δὲ ἄλλως* [ἴσ. τηνάλλως] *νήχεται λόγοις, βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ.*

B *Διδύμου.* Τὸ τῆς τοῦ Θεοῦ γνώσεως ἀσφαλὲς παραβάλλων ταῖς τῶν ἀνθρώπων ἐπιβολαῖς, νήχεσθαι αὐτοὺς ματαίως ἔφησε, μὴ δυναμένους πᾶσαν τὴν τοῦ Θεοῦ γνῶσιν λογισμῷ περιλαβεῖν. Διὰ δὲ τοῦ ἐρημίτου ὄνου, παρίστησι τὸ σφόδρα νωθὲς αὐτῶν πρὸς τὴν κατάληψιν τῶν κριμάτων, ὑπερβολικῷ χρώμενος τῷ λόγῳ.

ΚΕΦ. ΙΒ', στ. δ'. *Δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα.*

Διδύμου. Ἐπισήμηναι δὲ, ὅτι ὅταν μὲν τὰ ἐλάττονα λέγῃ, ἑαυτῷ αὐτὰ προσάγει, οὐ γάρ ἐστιν ἐπιδεικτικὸς δι' ἀτυφίαν· ὅταν δὲ τὰ μείζονα καταλέγῃ, εἰς τὸ καθόλου ἀνάγει τὸν λόγον· ὥσπερ οὖν κἀνταῦθα μονονουχί φησι, Μὴ γελάσθωσαν οἱ δίκαιοι, ἐπὶ C τοσοῦτον γὰρ πάσχουσιν, ἐφ' ὅσον ὁ Θεὸς βούλεται.

ΚΕΦ. ΙΓ', στ. γ'. *Οὐ μὴν δὲ ἀλλ' ἐγὼ πρὸς Κύριον λαλήσω.*

Διδύμου. Αἰτιασάμενος τοὺς φίλους ὡς σφαλλομένους, φησὶν, ὅτι *Πρὸς Κύριον λαλήσω*, τὸ εὐπαρρησίαστον ἑαυτοῦ δεικνύς.

Στ. δ'. *Ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι, καὶ ἰατρὶ κακῶν πάντες*

Διδύμου. Ἄδικος δὲ ἰατρός ἐστι, κατὰ τὸ πρόχειρον, ὁ ἄλλα βοηθήματα παρὰ τὰ συμφέροντα προσάγων τοῖς κάμνουσι· διττῶς δὲ τοῦτο γίνεται, ἢ ἐξ ἀπειρίας τοῦ ἰατροῦ, ἢ ἐκ κακοηθείας. Οὗτοι δὲ οἱ ἐλεγχόμενοι, ἐξ ἀμαθίας μᾶλλον ἢ ἐκ κακουργίας, D ἔλεγον τῷ Ἰὼβ, ὅτι *Δι' ἁμαρτήματα πάσχεις*, οἰόμενοι παρακλήσεως προσάγειν λόγους. Ἄδικοι οὖν κατὰ τὸ ἀγνοεῖν τὴν αἰτίαν. Τὸ δὲ, *Ἰατροὶ κακῶν πάντες*, εἴη ἂν λέγων, κατὰ τῶν οἰομένων μεγάλα περὶ ἑαυτῶν, ὡς δυναμένων ἰάσασθαι τὰ πεοιστατικῶς ἑτέροις συμβαίνοντα.

Στ. ς'. *Ἀκούσατε δὲ ἔλεγχον τοῦ στόματός μου, κρίσιν δὲ χειλέων μου προσέχετε.*

Διδύμου. Κατανοήσατε ἃ μέλλω λέγειν εἰς ἔλεγχον ὑμῶν, καὶ ἐννοήσατε εἰ κεκριμένως φθέγγομαι. *Στόμα* δὲ καὶ *χείλη* ἀντὶ τοῦ *λόγου* φησίν. Ἐλέγχει δὲ ὁ ἅγιος, ὡς ἅγιος, καὶ κρίνει ὡς πρέπει αὐτῷ. Οὐ γὰρ ἄκαιρον ἔλεγχον ἔχει ὁ δίκαιος, οὐδὲ ψευδῶς τοῦτο ποιεῖ, ἀλλὰ κεκριμένως καὶ νομίμως χρῆται τῷ ἐλέγχῳ καὶ τῇ κρίσει· *Στόμα γὰρ δικαίου με-*

Digitized by Google

λετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Στ. ια'. *Εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσεσθε, πότερον οὐχ ἡ δίνη αὐτοῦ στροβήσει ὑμᾶς;* [Ὁ δὲ Σύμμαχος, *Μὴ κρύφα πρόσωπον αὐτοῦ δυσωπηθήσεσθε; μὴ οὐχὶ ἡ κίνησις αὐτοῦ πτοήσει ὑμᾶς;*] *Ὁ φόβος*, κ. τ. λ.

Διδύμου. Ὁ ἄριστος κριτὴς πραγμάτων ἐστὶν ἐξεταστής, οὐκ εἰς πρόσωπον βλέπει τῶν κρινομένων. Ἐὰν γὰρ ὦσιν οἱ κρινόμενοι πλούσιοι, ἢ ἄρχοντες, ἢ κατ' ἄλλην ἀξίαν [γρ. ἐξουσίαν] ὑπερέχοντες, οὐκ εἰς τὸ πρόσωπον αὐτῶν σκοπεῖ, ἀλλ' εἰς τὰς πράξεις ἃς κρίνει. Οὔτε γὰρ πλουσίῳ προστίθεσθαι δεῖ, οὔτε πένητος τὴν ἔνδειαν ἐλεοῦντας, παρορᾶν τὸ δίκαιον· διὸ εἴρηται, *Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει.*

Στ. ιγ'. *Κωφεύσατε ἵνα λαλήσω, καὶ ἀναπαύσωμαι θυμοῦ, ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσιν.*

Διδύμου. Τάχα γε τρόπον τινὰ ὑπαναπαυει [ἴσ. ἐπαναπαύει] τοὺς φίλους. Ἐπεὶ γὰρ αὐτοὺς ἠτιάσατο πρότερον, ὡς παρακλήτορας κακῶν ὄντας (οὐ γὰρ παρεκάλουν ὡς ἔδει, ἀλλὰ μᾶλλον τὴν λύπην ἤγειρον καὶ τὴν ὀδύνην τοῦ δῆθεν παρακαλουμένου), νῦν λέγει, ὅτι Λήξω τοῦ πρὸς ὑμᾶς θυμοῦ, *ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι*· τουτέστιν, Οὐκέτι καθ' ὑμῶν ὀργίσομαι, ἀλλὰ κατ' ἐμαυτοῦ.

Στ. ις'. *Καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν· οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.*

Διδύμου. Δι' ὅλων δὲ σπουδὴ τῷ δικαίῳ ἐστί, παιδεῦσαι τοὺς φίλους τὴν αἰτίαν τῶν ἐπιπόνων, ἵνα κερδήσῃ αὐτοὺς μὴ ἐναντία δοξάζειν. Σωτηρίαν γὰρ ταύτην [ἴσ. τοῦτο] ἐλογίζετο, τὸ τούτους γνῶναι τὸν περὶ τούτου τῆς προνοίας λόγον, ὃν φανερῶσαι βουλόμενος, ἔλεγε τὸ, *Ἐλέγξω*· πολλάκις γὰρ ὁ ἔλεγχος τὴν ἀπόδειξιν σημαίνει. Τὸ οὖν ἀψευδὲς αὐτοῦ παραστῆσαι θέλων καὶ τὸ εὐλαβὲς, λέγει, ὅτι Ἃ λέγω, Θεοῦ ὁρῶντος φθέγγομαι. Οὐ γὰρ οἷόν τε ἀπάτην τινὰ γενέσθαι Θεῷ, ὡς [ἴσ. ἢ] δόλον εἰσελθεῖν ἐνώπιον αὐτοῦ.

Στ. κζ'. *Ἐφύλαξας δέ μου πάντα τὰ ἔργα.*

Διδύμου. Οἶδεν ὁ μακάριος τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, ἅγιος ὤν, ὅτι ὁ Θεὸς οὐ παρατηρεῖται πάσας τὰς ἀνομίας τῶν πταιόντων· ἀλλὰ παιδεύων τοὺς φίλους πάλιν, δι' ἣν αἰτίαν πάσχει (ὅτι δι' ἀγῶνα), τὸ προκείμενον εἴρηκεν, ὡς τοῦ Θεοῦ πάντα αὐτοῦ τὰ ἔργα φυλάξαντος, καὶ ἀκριβώσαντος, καὶ οὕτως ἐπαγαγόντος αὐτῷ τὰ ἀνιαρά· ἵνα ἐκ τούτου ἐννοήσωσιν, ὅτι τὸ μέγεθος τῶν τοσούτων ἐπαγαγὼν, οὐ δι' ἁμαρτίας ἐστὶν, ἀλλὰ δι' ἀγῶνα, καὶ σκοπὸν ἀνδρείας.

ΚΕΦ. ΙΔ', στ. γ'. *Οὐχὶ καὶ τούτου λόγον ἐποιήσω, καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;*

Διδύμου. Τάχα δὲ καὶ τὴν περὶ τὸν ἄνθρωπον πρόνοιαν ἐνταῦθα σαφηνίζει, οὐχ ὡς εἰκαίως καὶ ὡς ἔτυχεν ἐν τῷ βίῳ αὐτοῦ παραμένοντος, ἀλλ' ἐκ κρίσεως

A judicat et redarguit : *Os enim justi meditabitur sapientiam, et lingua ejus loquetur judicium* (*Psal.* XXXVI, 30).

VERS. 11. *Quod et si occulte personas mirati fueritis, nonne turbo ejus versabit vos?* [Symmachus autem, *An occulte personam ejus verebimini? nunquid non commotio ejus exterrebit vos?*] *Timor autem*, etc.

Didymi. Optimus judex rerum æstimator est, judicandorum personas non respicit. Si enim divites vel principes sint, aut alia dignitate excellant, qui in judicium vocantur, non personas eorum, sed actiones quas judicat, intuetur. Neque enim diviti astipulando, neque pauperis inopiam commiserando, jus violandum est; unde dictum est, *Non* B *miserebere pauperis in judicio* (*Exod.* XXIII, 3).

VERS. 13. *Obmutescite ut loquar, et requiescam ab ira, apprehendens meas carnes dentibus meis.*

Didymi. Forte etiam amicos ratione aliqua demulcet : cum enim prius eos tanquam malorum consolatores accusasset (non enim prout oportebat consolabantur, sed dolorem et mœrorem ejus qui consolandus erat, magis excitabant), nunc inquit, *Apprehendens carnes meas dentibus*, vobis succensere desinam, id est, Vobis non amplius, sed mihi ipsi stomachabor.

VERS. 16. *Et hoc mihi evadet in salutem; non enim* C *coram eo dolus ingredietur.*

Didymi. In omnibus autem, causam malorum et molestiarum justus amicos docere studet, ut illos lucrifaceret, nec diversa sentire persuaderet : hoc enim salutare esse existimabat, si providentiæ erga eum rationem intelligerent; quam cum manifestare vellet, dixit, *Redarguam;* sæpenumero enim elenchus demonstrationem significat. Ut igitur mendacii se expertem, et pietatem colere, ob oculos poneret, dicit, Deo intuente loquor quæ dico. Deus enim fraude nulla decipi potest, nec dolus coram eo ingredi potest.

VERS. 27. *Et observasti omnia opera mea.*

Didymi. Noverat beatus Jobus, sanctus exsistens, quod a Davide dictum est, Deum scilicet non D omnes delinquentium iniquitates observare; verum, ut amicos rursus institueret, quam ob causam pateretur (ad virtutis scilicet certamen), verba hæc protulit, quasi Deus opera ejus omnia observasset, et diligenter examinasset, ac proinde ærumnis et cruciatibus illum confecisset; ut ex hoc intelligere possent, tantarum tribulationum magnitudinem, non propter peccata, sed certaminis causa, et ad fortitudinem manifestandam, illi evenisse.

CAP. XIV, vers. 3. *Nunquid et hujus rationem fecisti, et hunc fecisti venire in judicium coram te?*

Didymi. Forte etiam hoc loco divinam providentiam erga hominem manifestam facit, non quasi temere et fortuito longiore vita fruatur, sed quod ar-

Digitized by Google

bitrio divino terminum ab eo præfinitum non excedat. Hæc autem dici intelligenda sunt, non tanquam fatum dominium ullum obtineat, sed quod divina voluntas terminis et mensuris cuncta disponat.

CAP. XV, vers. 7. *Quid enim? nunquid primus homo natus es?* etc.

Didymi. Cum Eliphazus judiciorum Dei inscrutabilitatem in medium attulisset, existimans se hac ratione justum impulsurum, ut non aliam ob causam, quam propter peccata (quibus ipse obnoxius erat), adversa se pati arbitraretur : neque enim ipse constitutionem Domini audiverat, neque ad eum delapsa est sapientia, qua justum propter peccata adversa pati comprehenderet. Verisimiliter autem Jobum cæteris hominibus parem facit, quia scilicet virtutis ejus magnitudinem ignoraret, et hac ratione justitiæ opinionem ex animo ejus eradicare vellet.

CAP. XV, vers. 13. *Quid ausum fuit cor tuum? aut quid sustinuerunt oculi tui? quod furorem erupisti ante Dominum, protulisti autem ex ore verba talia.*

Didymi. Loquendi enim libertatem, quæ a puritate et integritate summa proficiscebatur, iracundiam illi opinabantur; quod illis quidem evenerat ex putri et rancido fundamento, quod ipsis substruxerant, laudabilem loquendi fiduciam, blasphemiam esse existimantes. Idcirco ait, Unde tantam tibi audaciam sumpsisti, ut contra Deum oculos levaveris, et quasi ira accensus, talia verba protuleris?

VERS. 14. *Quis enim cum homo sit, quia erit sine crimine? aut tanquam futurus justus natus de muliere?*

Didymi. Proprium est eorum qui virtute carent, illius acquisitionem difficilem esse existimare, atque ita animo affici, ac si nemo eam possideret; sicut præsens Eliphazus dicit, corporis imbecillitate (ut verisimile est) in errorem inductus. Quis enim, inquit, cum homo sit, irreprehensibilis esse potest, aut justum se fore polliceri, prout tu teipsum esse existimas?

VERS. 17. *Annuntiabo autem tibi, audi me : quæ utique vidi, annuntiabo tibi, quæ sapientes*, etc.

Didymi. Vel fortasse, nullo animi proposito cum fastu et arrogantia conjuncto, sed quia peccatis eum implicatum adhortatione sua indigere arbitraretur. Et hic quidem videtur (licet nequaquam notitia divina, sed admiratione eorum qui prudentia excelluerunt) dicto illi simile aliquid protulisse: *Hominis fidelis sunt cunctæ orbis terrarum opes, infidelis vero ne obolus quidem.* Infidelis enim, quamvis largas possessiones habeat, divitiarum tamen non dominus est, sed servus; Mammonæ enim inservit. Quisnam autem vetus sit sermo, quem ab antiquis didicisse se profitetur, subjungit.

VERS. 28. *Habitet autem civitates desertas, et ingrediatur in domos non habitatas : quæ autem illi paraverunt, alii auferent.*

Didymi. Summam impiorum solitudinem innuit,

A Θεοῦ [ἴσ. add. μὴ] ὑπερβαίνοντος τὸν παρ' αὐτοῦ τεταγμένον χρόνον. Ταῦτα δὲ οὐχ ὡς εἱμαρμένης κρατούσης λεκτέον, ἀλλ' ὡς τοῦ θελήματος τοῦ Θεοῦ ὅροις καὶ μέτροις ἕκαστα διαταξαμένου.

ΚΕΦ. ΙΕ', στ. ζ'. *Τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγεννήθης;* κ. τ. λ.

Διδύμου. Προβαλλόμενος τοίνυν ὁ Ἐλιφὰζ τὸ τῶν κριμάτων ἀνεξερεύνητον, ἐκ τούτου οἴεται περιτρέπειν τὸν δίκαιον εἰς τὸ οἴεσθαι, ὅτι μὴ δι' ἕτερον ἢ δι' ἁμαρτίας πάσχει, τούτῳ [ἴσ. ταύταις] αὐτὸς ἐνεχόμενος. Οὐδὲ γὰρ αὐτὸς συνταγὴν Κυρίου ἦν ἀκηκοώς, ἢ ἀφικομένην εἶχε πρὸς αὐτὸν τὴν σοφίαν, ἵνα διάληψιν ἔχῃ περὶ τοῦ ἁγίου, ὡς δι' ἁμαρτίας πάσχοντος. Κοινοποιεῖ δὲ αὐτὸν τοῖς πᾶσιν ἀνθρώποις εἰκότως, ἅτε ἀγνοῶν αὐτοῦ τὸ μέγεθος τῆς B ἀρετῆς, ἐκ τούτου ἀνατρέπων δῆθεν τὸ οἴεσθαι αὐτὸν δίκαιον.

ΚΕΦ. ΙΕ', στ. ιγ'. *Τί ἐτόλμησεν ἡ καρδία σου, ἢ τί ἐπήρκαν οἱ ὀφθαλμοί σου; ὅτι θυμὸν ἐρρήξας ἔναντι Κυρίου, ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα*

Διδύμου. Θυμὸν γὰρ ἡγοῦντο τὴν ἐκ καθαρότητος ὑπερβαλλούσης παῤῥησίαν· ὅπερ αὐτοῖς συνέβαινεν ἐκ τῆς σαθρᾶς αὐτῶν ἀρχῆς, ἧς αὐτοὶ ἑαυτοῖς ὑπέθεντο, βλασφημίαν ἡγούμενοι τὴν εὔλογον τῶν λόγων ἐλευθερίαν. Διό φησι, Τί τοσοῦτον ἐθρασύνω, ὅτι καὶ ἀντέβλεψας Θεῷ, καὶ ὡς ἀγανακτῶν κατ' αὐτοῦ τοιαῦτα ἐφθέγξω ῥήματα;

C

Στ. ιδ'. *Τίς γὰρ ὢν βροτὸς, ὅτι ἔσται ἄμεμπτος; ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός;*

Διδύμου. Ἴδιον δὲ τῶν μὴ ἐχόντων ἀρετὴν, τὸ δυσχερῆ λογίζεσθαι τὴν ταύτης ἀνάληψιν, καὶ διακεῖσθαι, ὡς μηδενὸς αὐτὴν ἔχοντος· καθὰ καὶ ὁ προκείμενος λέγει, σφαλλόμενος διὰ τὴν τοῦ σώματος, ὡς εἰκὸς, ἀσθένειαν. Τίς γὰρ, φησὶν, ἄνθρωπος ὢν, δύναται ἄμεμπτος εἶναι, ἢ ἐπαγγέλλεσθαι, ὅτι Δίκαιος ἔσομαι, ὡς σὺ σαυτὸν νομίζεις;

Στ. ιζ'. *Ἀναγγελῶ δέ σοι, ἄκουέ μου· ἃ δὴ ἑώρακα ἀναγγελῶ σοι, ἃ σοφοὶ*, κ. τ. λ.

Διδύμου. Ἢ τάχα οὐ προθέσει ἀλαζονικῇ, ἀλλὰ D τῷ νομίζειν αὐτὸν ἐν ἁμαρτίαις εἶναι, καὶ διὰ τοῦτο δεῖσθαι τῆς παρ' αὐτοῦ παραινέσεως. Καὶ ἔοικέ γε οὗτος, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν θείαν, ἀλλὰ τῷ θαυμάζειν τοὺς συνέσει ὑπερβάλλοντας, ὅμοιον λέγειν τῷ φάσκοντι ῥητῷ· *Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδ' ὀβολός.* Κἂν γὰρ πολυκτήμων ὑπάρχῃ ὁ ἄπιστος, οὐ δεσπότης, ἀλλὰ δοῦλός ἐστι τῶν χρημάτων· τῷ γὰρ Μαμμωνᾷ δουλεύει. Τίς δὲ ὁ παλαιὸς λόγος, ὃν παρὰ τῶν ἀρχαίων φησὶ μεμαθηκέναι, ἐπάγει.

Στ. κη'. *Αὐλισθείη δὲ πόλεις ἐρήμους, εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους· ἃ δὲ ἑκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται.*

Διδύμου. Τὴν παντελῆ ἐρημίαν τῶν ἀσεβῶν δέ-

Digitized by Google

γει, ὡς ἀντὶ πόλεων εὐθυνουμένων [γρ. εὐθυνομένων] καὶ οἴκων, ἐρημίαν αὐτοὺς οἰκεῖν ὑπὸ πενίας. Ὁ τοιοῦτος γὰρ, φησὶ, τῶν οἰκείων ἐκπεσὼν, καὶ πάσης τῆς προσούσης δυναστείας, τὰς ἐρήμους καταδιώξει· ἔθος δὲ τοῖς φεύγουσι, τοὺς τυχόντας τῶν τόπων πρὸς σωτηρίαν καταλαμβάνειν, ἐν οἷς γινόμενοι τὸν ἐν ποσὶ διαφεύγοιεν κίνδυνον. Οὐκοῦν ὁ ἀσεβὴς ἔσται ἐν τούτοις, τῆς ἐκ τοῦ πλούτου ἀλαζονείας ἀξίαν τὴν δίκην διδοὺς τῆς προσούσης εὐεξίας τὴν μεταβολὴν, καὶ τὰ σὺν πολλῷ δὲ τῷ πόνῳ συλλεγέντα, εἰς ἀλλοτρίους μεταστήσεται. Εἶτα αὔξει τὴν κατὰ τοῦ ἀσεβοῦς τιμωρίαν, οὐ μόνον μὴ πλουτεῖν αὐτὸν ἀποφαινόμενος, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐκπίπτειν διαβεβαιούμενος· ἐπάγει γάρ·

ΚΕΦ. ΙϚ', στ. ζ'. *Ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα; Ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;*

Διδύμου. Τάχα καὶ τὴν γνησίαν αὐτοῦ περὶ τοὺς φίλους διάθεσιν ἐπιδείξασθαι θέλει· ὅτι Ἐμοὶ μέλει τῆς ὑμετέρας σωτηρίας· διὸ εἰ καὶ ἀλγῶ, χρῶμαι τῇ παραινέσει. Εἰ γὰρ καὶ ἄλλοι ἀλγοῦντες ἀρκοῦνται ταῖς καθ' ἑαυτοὺς ἀνίαις, ἀλλ' ἐμοὶ, φησὶν, ἡ σωτηρία τῶν φίλων προκριτέα.

Στ. ιη'. *Ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά.*

Διδύμου. Χείρονά μοι, φησὶ, τὴν ἀθυμίαν ἐμποιεῖ, καὶ μᾶλλόν με ἀνιᾷ, τὸ μηδὲν ἑαυτῷ συνειδέναι φαῦλον. Οὐ γὰρ γινώσκω τι, εἰ μὴ ὅτι ὀρθῷ λογισμῷ τὰς πρὸς Θεὸν ἐποιούμην ἱκεσίας· διὸ καὶ ξενίζομαι ἐφ' οἷς ταῦτα ὑπομένω. Ἐπισήμηναι δὲ, ὅτι καθαρὰ ἦν ἡ τοῦ δικαίου εὐχὴ, καὶ παντὸς πάθους ἀμιγὴς, μὴ ῥεμβασμοὺς ὑπομένουσα, μηδὲ ὑπὸ φροντίδων κατασπωμένη.

ΚΕΦ. ΚΑ', στ. γ'. *Ἄρατέ με, ἐγὼ δὲ λαλήσω· εἶτ' οὐ καταγελάσετέ μου.*

Διδύμου. Ἀντὶ τοῦ, Ἐνέγκατέ μου τοὺς λόγους, βαστάσατέ με λέγοντα, λογιζόμενοι, ὅτι οὐχ ὑβριστικῶς χρῶμαι τῷ ἐλέγχῳ, ἀλλὰ πρὸς ἐπιστασίαν.

qui pro urbibus opulentis et domibus, paupertate coacti loca deserta incolent. Vir enim hujusmodi cum fortunis suis exciderit, et potestate omni qua prædītus est, spoliatus fuerit, solitudines persequetur: mos quippe fugitivorum est, loca quævis obvia salutis causa captare, ut periculum quod ipsis imminet, effugiant. Hæc igitur impii conditio erit; arrogantia ejus ex divitiis orta, felicis rerum status mutatione merito compensabitur, et quæ illi cum magno labore parta sunt, ad peregrinos transferentur. Deinde ostendendo quod non tantum divitias minime cumulabit, sed affirmando etiam quod bonis iis quæ possidet excidet, impii pœnam adauget; addit enim:

CAP. XVI, vers. 7. *Si enim loquar, non dolębo vulnus? Quod et si tacebo, quid minus vulnerabor?*

Didymi. Fortasse etiam sincerum animi sui affectum erga amicos ostendere vult: Mihi, inquit, vestra salus curæ est; quare licet doloribus crucier, adhortatione ad vos utor: quamvis enim alii qui dolent, suis molestiis et ægritudinibus mederi, satis habent: ego tamen amicorum salutem præferendam censeo.

VERS. 18. *Injustum autem nihil fuit in manu mea, deprecatio autem mea munda.*

Didymi. Graviorem, inquit, animi anxietate mihi creat, et majore molestia afficit, quod nullius improbitatis et sceleris mihi conscius sim; aliud enim nihil scio, nisi quod recto et sincero animo supplicibus precibus Deum invocaverim; quare stupore attonitus, quod talia sustineam, admiror. Animadverte autem, justi preces puras fuisse, sine omni perturbationum mistura, nullis animi fluctuationibus obnoxias, aut curarum fluctibus distractas.

CAP. XXI, vers. 3. *Sustinete me, ego autem loquar; deinde non irridebitis me.*

Didymi. Id est, Animo vobiscum reputantes, quod reprehensio mea cum contumelia non sit conjuncta, sed ad eruditionem vestram adhibeatur, sermones meos tolerate, et perorantem me sustinete.

Digitized by Google

DIDYMI ALEXANDRINI

EXPOSITIO IN PSALMOS.

(Angelo Mai, *Bibliotheca nova Patrum*, t. VII, parte II, p. 131.)

MONITUM.

Venio nunc ad Didymi in Psalmos perquam copiosam et piam lucubrationem. Namque hunc non partem, sed integrum Psalmorum corpus explanavisse, certissimo testimonio docet Hieronymus *De vir. ill.*, cap. 109, et in epistola 112, 20, idque passim catenæ tum mss. tum editæ oculis reapse subjiciunt. Jam etsi multæ Didymi partes in Corderianæ Catenæ voluminibus sunt, attamen longe plures in Vaticanis codicibus erant, quos inter prætuli duos, nempe Vat. 1789, perveterem, ubi Didymi auctoritates prolixæ et luculentæ sunt, sed non ultra quinquagesimum psalmum. Reliquas vero Psalterii partes duas, sive Didymi in eas commentarium, beneficio codicis recentioris Vat. 1682, cui connectitur 1683, continuavi. Corderii Catenam initio contuli, deinde hac omissa, Didymum prout in prædictis codicibus erat, multum atque præclarum, secure transcripsi. Modo enim in Corderiano libro nihil erat Didymi, veluti in psalmis II, IV, V, XII, XIV, XIX, XX, XXII, XXV, XXVI, XXVIII, XXIX, XXX, XLI, XLII, XLIII, XLV, XLVI, XLVIII, LXI, LXII, LXIII, XCI, CXV, CXIX. Modo præ nostris oppido pauca, veluti in psalmis III, X, XIII, XXIII, XXIV, XXVII, XXXI, XXXIV, XXXVI, XXXVII, XXXVIII, XL, XLVII, LXVI, XCIV, XCVI, CXIV. Alicubi tamen Corderius nova habebat et plura; sed nos hoc institutum tenuimus, saltem post psalmum XXIII, ut ex Corderiano libro nihil, ex codicibus omnia, ut in marginibus dictum est, exscriberemus sive nota Corderio sive secus, nam et lectionum varietas utilis est. Ille est apud Corderium defectus maximus, quod post XXX psalmum nihil Didymi habetur, nostri vero codices usque in finem Psalterii Didymum exhibent. Didymi autem quæ mens fuerit et institutum in Psalmis explicandis, cognoscimus ex ejus proœmio, ubi, laudatis Novi Testamenti verbis, quæ Psalmorum vaticinia ad Christum referunt, ait hanc sacræ Scripturæ partem spiritali præsertim sensu esse intelligendam. Cæterum citatis a Didymo testimoniis addendum est aliud maximum ore ipsius Christi prolatum Luc. XXIV, 44 : *Quæ scripta sunt in Psalmis de me* (*a*).

(*a*) Priores quindecim psalmos Græce et Latine, reliquos Græce tantum edidit cardinalis Mai; iis interpretationem nostram adjecimus. Edit. Patr.

ΔΙΔΥΜΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΕΙΣ ΨΑΛΜΟΥΣ.

DIDYMI ALEXANDRINI IN PSALMOS.

PROŒMIUM.

In Novo Testamento, dictionum de Psalmorum libro sumptarum testimonia exstant, tanquam a divino Spiritu pronuntiatarum. Paulus quidem in Epistola ad Hebræos ex nonagesimo quarto psalmo capitulum sumens, sancti Spiritus illud esse dictum scribit, dicens : « Sicut ait Spiritus sanctus : Hodie si vocem ejus audieritis [1], » et reliqua. Præ-

Ἐν τῇ Καινῇ Διαθήκῃ λέξεων ἀπὸ τῆς βίβλου τῶν Ψαλμῶν παραληφθεισῶν μαρτυρίαι κεῖνται, ὡς ὑπὸ ἁγίου Πνεύματος εἰρημέναι. Παῦλος μὲν ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ ἀπὸ τοῦ ἐνενηκοστοῦ τετάρτου ψαλμοῦ κεφάλαιον λαβών, ὑπὸ τοῦ ἁγίου Πνεύματος ἀπηγγέλθαι αὐτὸ γράφει, φήσας· « Καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ

[1] Hebr. III, 7.

Digitized by Google

ἀκούσητε, » καὶ τὰ ἑξῆς· πρὸς τοῦτο καὶ ὁ τῶν ἀπο- A
στόλων πρόκριτος Πέτρος ἐν ταῖς Πράξεσιν τῶν
ἀποστόλων σύμφωνα λέγει, ὅπου μέν· « Ἔδει πληρωθῆ-
ναι τὴν Γραφὴν ἣν προεῖπεν τὸ Πνεῦμα τὸ ἅγιον διὰ
στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ
τοῖς συλλαβοῦσιν Ἰησοῦν, » καὶ τὰ ἑξῆς· οἷς ὀλίγα
ἐπειπὼν ἐπήγαγεν· « Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλ-
μῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ
ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ
λαβέτω ἕτερος. » Οὐδὲν δὲ ξένον εἰ οἱ ἀπόστολοι
ταῦτα γράφουσιν, αὐτοῦ μάλιστα τοῦ Σωτῆρος ταῦτα
ἐπισφραγιζομένου· μνήμης γὰρ γεναμένης ἐν τῷ
Εὐαγγελίῳ τῆς ἀρχῆς τοῦ ἑκατοστοῦ ἐννάτου ψαλμοῦ
ὧδε ἐχούσης· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
διον τῶν ποδῶν σου, » ἐπείθετο (1) τῶν Φαρισαίων· B
« Εἰ Δαυὶδ ἐν Πνεύματι ἁγίῳ τὸν Χριστὸν Κύριον
εἶπεν, πῶς υἱὸς αὐτοῦ ἐστιν; » Εἰ τοίνυν τὰ πνευ-
ματικὰ νοήματα περιέχουσιν οἱ Ψαλμοί, οὐχ ὡς ἔτυ-
χεν ἐντευκτέον τῇ γραφῇ αὐτῶν.

terea summus Petrus in Actibus apostolorum pari a
dicit, nempe « oportuisse impleri Scripturam quam
Spiritus sanctus prædixit per os Davidis de Juda qui
factus est dux eorum a quibus comprehensus est
Jesus [2], » et reliqua. Et paucis interjectis addidit :
« Scriptum est enim in libro Psalmorum : Fiat
commoratio ejus deserta, et non sit qui habitet in
ea, et episcopatum ejus accipiat alter [3]. » Nihil vero
mirum est, quandoquidem ipse potissime Servator
ea confirmat ; nam facta in Evangelio mentione
initii centesimi noni psalmi, quod ita se habet :
« Dixit Dominus Domino meo : Sede a dextris meis,
donec ponam inimicos tuos scabellum pedum tuo-
rum, » Pharisæos interrogavit : « Si David in Spi-
ritu sancto Christum Dominum dixit, quomodo
filius ejus est [4] ? » Si ergo spiritales sensus conti-
nent Psalmi, non perfunctorie in ipsorum contextu
versandum est.

PSALMUS I.

Στ. α'. Ἔστι δὲ ἁμαρτωλῶν ὁδὸν εἰπεῖν τὸν διάβο-
λον· ἐν ᾗ ὁ γενόμενος μὴ ἐμμενέτω· κατὰ τὸ, « Ἀντί-
στητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. » Ὁ
γὰρ μὴ στὰς ἐν αὐτῇ, πρὸς Κύριον ἥξει τὸν εἰπόντα,
« Ἐγώ εἰμι ἡ ὁδός· » ἐν ᾗ γενόμενος κατὰ σκοπὸν
δραμὼν τεύξεται τοῦ βραβείου.

Vers. 1. Peccatorum viam dicere licet diabolum ;
cui viæ qui institerit, caveat ne ibi moretur ; juxta
illud : « Resistite diabolo, et fugiet a vobis [5]. »
Nam qui in dicta via non steterit, ad Dominum ve-
niet dicentem : « Ego sum via [6] ; » quam qui sec-
tatus fuerit ad scopum pergens, præmium conseque-
tur.

Στ. γ'. Ὁμοιωθεὶς τῇ σοφίᾳ, ὅμοιος γίνεται Θεῷ C
τῷ ποιότητα τοιάνδε χαριζομένῳ· δικαιοσύνῃ γὰρ
ὁμοιοῦται αὐτῷ ὁ δίκαιος, καὶ ἁγιότητι ἅγιος, καὶ
τῇ σοφίᾳ σοφὸς, σπάσας ἀπ' αὐτῆς τὸ εἶναι σοφὸς,
κατὰ τὸ λεχθὲν ὑπὸ τοῦ Σωτῆρος· « Ἀρκετὸν τῷ
μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ. » Ὁ
δὲ ὁμοιούμενος τῷ τῆς ζωῆς ξύλῳ, γίνεται μὲν ἐν τῷ
παραδείσῳ ἵνα σὺν αὐτῷ φυτευθῇ, ὡς ἀπὸ προσώπου
τοῦ Θεοῦ φησιν Ἡσαΐας· « Κατὰ τὰς ἡμέρας τοῦ
ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λαοῦ μου. »
Οὐκοῦν συνδιαιωνίζει ὁ δίκαιος τῷ ξύλῳ, γινόμενος
συμφυὴς κλάδος αὐτοῦ, καὶ κλῆμα γινόμενος ἐπὶ τῷ
θεῖον καρπὸν ἀγαγεῖν· ἄμπελος γὰρ ἀληθινὴ, τὸ ξύ-
λον τῆς ζωῆς τυγχάνον, φησὶ πρὸς τοὺς μαθητάς·
« Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὑμεῖς τὰ κλήματα,
ὁ Πατήρ μου ὁ γεωργός· πᾶν κλῆμα ἐν ἐμοὶ μένον, D
καθαίρει αὐτὸ ὁ Πατὴρ, ἵνα καρπὸν πλείονα φέρῃ. »
Ὁ δὲ τοιοῦτος κατευοδοῦται· « Τοῖς » γὰρ « ἀγαπῶσι τὸ
Θεῖον, πάντα συνεργεῖ εἰς ἀγαθόν· » — « Παρὰ Κυρίου »
γὰρ, φησὶ, « τὰ διαβήματα ἀνθρώπου κατευθύνεται. »
Ἀσφαλῶς δὲ τὸ *πάντα* εἶπε, μετὰ τὸ δεῖξαι τὴν τε-
λειότητα· τῷ γὰρ θείῳ νόμῳ τὸ οἰκεῖον θέλημα συν-
αρμόττων, οὐδὲν ἐναντίον ποιήσειεν· εἰ δὲ γέγρα-
πται, « Ὁδὸς ἀσεβῶν εὐοδοῦται, » οὐχ ἁπλῶς, ἀλλ'

Qui hujusmodi est prosperatur : nam « diligenti-
bus Deum, omnia cooperantur in bonum [10]. »—« A
Domino » enim, inquit, « diriguntur gressus homi-
nis [11]. » Accurate autem *omnia* dixit, ut rei per-
fectionem ostendat. Qui enim Dei legi propriam vo-
luntatem conformat, nihil contrarium aget. Quod
si etiam alicubi scribitur, « Via impiorum prospe-

[2] Act. I, 16. [3] Ibid. 20. [4] Matth. XXII, 44, 45. [5] Jac. IV, 7. [6] Joan. XIV, 6. [7] Matth. X, 25. [8] Isa. LXV, 22. [9] Joan. XV, 1, 2. [10] Rom. VIII, 28. [11] Prov. XX 24.

(1) *Ἐπείθετο.* Pro ἐπύθετο, et supra γεναμένης pro γενομένης· quas dialecti Alexandrinæ formas, et si quæ alibi occurrerint, ad litteram exscribendas duximus, ne auctoris Alexandrini stylum nativo, ut aiunt, colore fraudaremus. EDIT. PATROL.

Digitized by Google

ratur [12], » haud simpliciter id dicitur, sed cum additamento *impiorum*, juxta illud : « Est viro prosperitas in malitia [13]. »

Arbor, est Dei sapientia ; fructus ejus, mysticus et spiritalis Scripturarum sensus : folia prædictum fructum tegentia, sunt externa vocabula, quæ præterquam quod propriam operam impendunt tegendis fructibus, fiunt etiam pabulum bonorum virorum, qui ob suam simplicitatem jumenta dicuntur, juxta illud : « Homines et jumenta salvabis, Domine [14]. »

Ventum, qui hos susdeque dispergit, angelum vindicem esse putabis, necnon fallacis ipsorum doctrinæ impetum ; qui nempe omni ventu doctrinæ circumferuntur, in nequitia hominum, in astutia [15].

Vers. 5. Id est ad judicium non resurgent ; nam resurgent quidem, sed non judicabuntur, cum per se fuerint præjudicati. « Qui » enim, inquit, « non credit, jam judicatus est [16]. »

ἀσεβῶν εἴρηται· εἴρηται γάρ· « Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί. »

Τοῦτο (2) δέ ἐστιν ἡ τοῦ Θεοῦ σοφία· καρπὸς μὲν ἔστιν ἡ μυστικὴ καὶ πνευματικὴ τῶν Γραφῶν διάνοια· φύλλα δὲ σκέποντα τὸν εἰρημένον καρπὸν, αἱ πρόχειροι λέξεις, αἳ πρὸς τὸ ποιεῖν τὸ ἴδιον ἔργον ἐν τῷ φυλάττειν τοὺς καρποὺς, καὶ τροφὴ γίνονται τῶν ἀκεραιοτέρων ἀνθρώπων, τῶν δι' ἁπλότητα κτηνῶν λεγομένων, κατὰ τὸ, « Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε. »

Νοήσεις δὲ ἄνεμον τὸν ἄνω κάτω τούτους διαρριπίζοντα, τὸν τιμωρούμενον αὐτοὺς ἄγγελον, καὶ τὴν ὁρμὴν τῆς πλάνης αὐτοὺς (3) διδασκαλίας, περιφερομένους παντὶ ἀνέμῳ διδασκαλίας, ἐν τῇ κυβίᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ.

Στ. ε'. Ἤγουν ἐν κρίσει οὐκ ἀναστήσονται· ἀλλ' ἀναστήσονται μὲν, οὐ κριθήσονται δὲ, τυγχάνοντες αὐτοκατάκριτοι· « Ὁ » γὰρ « μὴ πιστεύων εἰς ἐμὲ, » φησὶν, « ἤδη κέκριται (4). »

PSALMUS II.

Vers. 8. Cum omnes homines sponte moveantur, quia libero sunt præditi arbitrio, nemo naturaliter vel bonus est vel malus. Et quoniam is solus qui virtutis est compos, Deo fit familiaris, quisquis hujusmodi est, hæreditas Dei est. Quandiu igitur Israel bonus fuit, de eo dicebatur : « Factus est portio Domini Jacob, funiculus hæreditatis ejus Israel [17]. » Sed non sortito tantum ita se habuit hic, verum etiam ob morum probitatem talis exstitit, veluti de Deo loquuntur sancti homines : « Elegit nobis hæreditatem suam, speciem Jacob quam dilexit [18]. » Quodsi mandatorum observantia et fide in Deum, fit aliquis Dei hæreditas ; qui vicissim Dei præcepta transgreditur, et a fide erga eum desciscit, hoc honore depellitur : quemadmodum contra, qui declinat a malo et facit bonum, fit Dei hæreditas, quanquam antea non esset. Quæ cum ita se habeant, qui populus olim propter pietatem hæres Dei Israelis erat, a Deo aversus, sorte sua excidit, quia non excepit illum, qui ut ei potissimum bene faceret, deinde etiam aliis hominibus, Salvator advenit. Oportuit itaque alium introduci populum, ex pluribus conflatum gentibus, qui ad Evangelium accederet. Verba igitur, « Postula a me, et dabo tibi, » nostri causa, non Filii dicta sunt. Significant enim non ipsi Filio addi aliquid, sed indigentibus illo ; sicut magistro et medico datur virtus, ut homines fiant sani ac sapientes ope illius. Sed et verba « possessionem tuam terminos terræ, » simplicius intelligentur sic : Usque ad terminos terræ doctrina tua vim obtinebit, prædicato nimirum Evangelio

Στ. η'. Πάντων ἀνθρώπων προαιρετικῶς κινουμένων, αὐτεξούσιοι γὰρ, οὐδεὶς κατ' οὐσίαν ἀγαθὸς ἢ κακός ἐστιν· καὶ ἐπεὶ ὁ ἀρετῆς κατέχων οἰκειοῦται Θεῷ μόνος, καὶ πᾶς ὁ τοιοῦτος κληρονομία Θεοῦ τυγχάνει. Ὅτε οὖν ὁ Ἰσραὴλ ἀγαθὸς ὑπῆρχεν, ἐλέγετο περὶ αὐτοῦ· « Ἐγενήθη μερὶς Κυρίου Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Παρίσταται ὡς οὐκ ἀποκληρωτικῶς μόνον τὸ ἔθνος τοῦτο, ἀλλὰ διὰ καλοκαγαθίαν οὕτως ἐχρημάτισεν, ἐκ τοῦ περὶ Θεοῦ λεγομένου ὑπὸ τῶν ἁγίων ἀνδρῶν· « Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. » Εἰ δὲ τηρήσει ἐντολῶν καὶ πίστει τῇ εἰς Θεὸν κληρονομία τις γίνεται Θεοῦ, ὁ παραβαίνων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ τῆς εἰς αὐτὸν πίστεως μεταπίπτων, ἐκβάλλεται τῆς τοιαύτης τιμῆς· ὡς αὖ ὁ ἐκκλίνας ἀπὸ τοῦ κακοῦ, καὶ τὸ ἀγαθὸν ποιῶν, γίνεται Θεοῦ κλῆρος, καίπερ οὐκ ὢν πρότερον. Ταύτης μενούσης τῆς ἀκολουθίας, ὁ πάλαι διὰ θεοσέβειαν ὢν κληρονόμος Θεοῦ Ἰσραὴλ, ἀποστάτης Θεοῦ γενόμενος, μετέπεσεν, οὐ δεξάμενος τὸν ἐπ' εὐεργεσίᾳ προηγουμένως αὐτοῦ εἶναι καὶ τῶν ἄλλων ἀνθρώπων ἐληλυθότα Σωτῆρα. Ἔδει τοίνυν ἀντεισαχθῆναι ἕτερον, συμπληρούμενον ἐκ πλειόνων ἐθνῶν καὶ προσερχόμενον τῷ Εὐαγγελίῳ. Τὸ οὖν, « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι, » ἡμῶν ἕνεκα, ἀλλ' οὐ τοῦ Υἱοῦ, εἴρηται· δηλοῖ γὰρ ὡς οὐκ αὐτῷ προστίθεταί τι, ἀλλὰ τοῖς δεομένοις αὐτοῦ· ὡς γὰρ ἰατρῷ καὶ διδασκάλῳ δίδοται, ἵνα ὑγιαίνοντες καὶ ἐπιστήμονες ἐξ αὐτοῦ γένωνται. Ἀλλὰ καὶ τὸ, « τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, » ἁπλούστερον νοηθείη οὕτως· Μέχρι τῶν ἐσχάτων τῆς γῆς ἡ σὴ κρατήσει διδασκα-

[12] Jer. XII, 1. [13] ibid. [14] Psal. XXXV, 7. [15] Ephes. IV, 14. [16] Joan. III, 18. [17] Deut. XXXII, 9. [18] Psal. LII, 5.

(2) *Τοῦτο. Arbor* reddidit interpres, sive integritati allegoriæ consuluerit, sive legerit in Græco : Δένδρον δέ ἐστιν. EDIT. PATROL.

(3) Legendum videtur αὐτῶν, et mox, περιφερομένων. IDEM.

(4) Consonat prorsus sibi Didymus in fragmentis *Commentarii in Ep. II ad Cor.* apud nos t. IV, part. II, p. 147. —Vide infra.

Digitized by Google

λία, κηρυττομένου τοῦ Εὐαγγελίου ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν· εἰ δυνατὸν πέρατα τῆς γῆς καλεῖσθαι ἐνταῦθα τοὺς βίῳ καὶ φρονήματι περάσαντας τὴν γην. A

Στ. θ'. *Διδύμου ὁμοῦ* [καὶ] *Θεοδωρίτου* (5). Εἰ δὲ περὶ τῶν Ἰουδαίων λέγοιτο, « Ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς, » πληρωθήσεται τὸ, « Υἱοὶ Σιὼν οἱ τίμιοι ἐπηρμένοι ἀργυρίῳ, πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως; » ὡς μηδὲν ἔτι χρήσιμον ὑπ' αὐτῶν ὑπολείπεσθαι· εἴρηται δέ μοι ταῦτα συμφερομένως τῷ προφήτῃ λέγοντι· « Καὶ ἔσται τὸ πτῶμα, » τοῦ ἁμαρτωλοῦ λαοῦ δηλονότι, « ὡς πόλεως ἑαλωκυίας, καὶ ὡς συντριβὴ σκεύους ὀστρακίνου εἰς λεπτά. » Ἐξ ὧν (6)...

Vers. 9. *Didymi simul et Theodoreti.* Quodsi de Judæis dicitur, « Tanquam vas figuli confringes eos; » utique verum evadet illud : « Filii Sionis inclyti, argento superbientes, quomodo reputati sunt ceu vasa lutea, opera manuum figuli [19]? Atque hoc aio congruenter prophetæ dicenti : « Et erit ruina, » peccatoris nimirum populi, « tanquam urbis captæ, et tanquam vasis lutei minutatim contriti [20]. » Unde...

Στ. ι', ια'. Νόει δὲ τὸ, « Καὶ νῦν, βασιλεῖς, » ἀντὶ τοῦ· Κἂν νῦν τοῦ σταυρωθέντος (ἀλλ') ἀναστάντος ἐκ τῶν νεκρῶν· καὶ φοβήθητε, οἱ ἄρχοντες, ἐγνωκότες ὡς ἔστι Θεός· ὅπως ἂν τῆς ἐν φόβῳ δουλείας προκοπτικῶς πεπαυμένης, ἀγαλλίασις ὑμῖν ἐπιγένηται. Τοιοῦτον καὶ τὸ, « Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι Κύριος ὕψιστος φοβερός· » τοιούτου γὰρ ὄντος, ἀνάγκη μετὰ τρόμου τὴν ἀγαλλίασιν ἔχειν. B

Vers. 10, 11. Intellige autem verba : « Et nunc, reges, » pro : Etsi nunc crucifixus est, attamen mox resurget; timete itaque, o principes, et scitote hunc esse Deum, ut servili timore utiliter deinde cessante, lætitia vobis oboriatur. Sic est etiam illud : « Jubilate Deo in voce exsultationis, quoniam Dominus excelsus terribilis [21]. » Quod cum ita sit, necesse est non sine tremore exsultationem fieri.

Στ. ιβ'. Δύναται δὲ καὶ πρὸς τὸ, « Δράξασθε παιδείας, » εἰρῆσθαι δηλοῦν τό· Ἔτι ὄντες ἐν τῷ βίῳ τούτῳ παιδεύθητε.

Vers. 12. Jam dictio, « Apprehendite disciplinam, » potest hoc etiam significare : Quandiu hac vita utimini, disciplinam condiscite.

Οὐκ ἀλλότριον τῆς χρηστότητος τοῦ Σωτῆρος τὸ τοῖς παραστᾶσιν βασιλεῦσιν τῆς γῆς μετὰ τῶν ἀρχόντων τῶν συναχθέντων κατ' αὐτοῦ, λέγειν τὸ, « Καὶ νῦν, βασιλεῖς, σύνετε. » Εἰ γὰρ καὶ πρότερον ἀγνοήσαντες ἐπεβουλεύσατε, ἀλλὰ συνέντες μετανοήσατε, ἢ σύνεσιν λάβετε, ἀναστάντος ἐκ νεκρῶν τοῦ σταυρωθέντος. Ἐντεῦθεν μεταβὰς ὁ λόγος, διδασκαλίαν ἐκτίθεται τοῖς ἄρχουσιν καὶ τοῖς βασιλεῦσιν τοῖς ὑπὸ τῇ σιδηρᾷ ῥάβδῳ ποιμανθησομένοις, καί φησιν, ὅτι Γνῶντες, ὦ οὗτοι, καὶ συνέντες ὅπως ἡ τίς ἡ δύναμις τοῦ παρὰ τοῦ Πατρὸς εἰληφότος τὰ ἔθνη κληρονομίαν, καὶ ὁποία τις τυγχάνει ἡ σιδηρᾶ ῥάβδος ἡ καθ' ὑμῶν ἐπεγειρομένη, παύσασθε πολεμοῦντες αὐτῷ· ἀναλαβόντες δὲ μᾶλλον σύνεσιν, ἐπίδοτε ἑαυτοὺς τῇ λογικῇ παιδείᾳ. C

Vers. 13. Locutio, « in brevi, » referenda est ad illam : « Apprehendite disciplinam, » tanquam fuerit per hyperbaton posita; ut sit dictionis series hæc. Apprehendite disciplinam brevi, dum adhuc hac luce vitali utimini; ne forte pigrescentibus vobis irascatur Dominus, et de via justa pereatis. — Verbum autem *confidere* fidem denotat, cum spe indeficiente, firmissimam. Etenim ne in rebus quidem, quæ videntur asperrimæ, vir pia fiducia pollens, de affuturo sibi Domini auxilio desperat. D

Στ. ιγ'. Τὸ, « ἐν τάχει, » τῷ, « Δράξασθε παιδείας, » ἀποδοτέον καθ' ὑπερβατὸν εἰρημένον, ὡς εἶναι τὸ ἀκόλουθον τῆς φράσεως οὕτως· Δράξασθε παιδείας ἐν τάχει, καὶ ἔτι ἐν τῷ βίῳ τούτῳ τυγχάνοντες· μήποτε ῥᾳθυμούντων ὑμῶν ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. — Τὸ δὲ πεποιθέναι, ἐμφαίνει πίστιν μετ' ἐλπίδος ἀπτώτου βεβαιοτάτην· οὐδὲ γὰρ ἐν τοῖς δοκοῦσι χαλεπωτάτοις καιροῖς ὁ πεποιθὼς ἀπογινώσκει τὴν τοῦ Κυρίου εἰς αὐτὸν παρουσίαν.

PSALMUS III.

Στ. α'. Ἀφίησι δὲ Θεὸς πολλοὺς θλίβειν τὸν δίκαιον, διδοὺς ἀφορμὴν αὐτῷ βάρους δόξης, ἀπὸ τῶν ὑπερβαλλουσῶν θλίψεων ὑφισταμένης· καὶ εἴ ποτε ὁ δί-

Vers. 1. Sinit Deus hominem justum a multis affligi, dans illi occasionem pondus gloriæ acquirendi, quæ ex copia tribulationum conficitur. Et si

[19] Thren. IV, 2. [20] Jer. XIX, 11. [21] Psal. XLI, 5.

(5) Atqui apud Theodoretum nihil hujusmodi legitur. Scimus tamen eum nonnisi ex catenis decerptum nobis superesse.

(6) Desunt in codice paginæ quatuor.

Digitized by Google

aliquando justus angustiis pressus dixerit Deo: « Pomine, quid multiplicati sunt qui tribulant me? » adhuc eo loquente, « Ecce adsum [23] » respondet Dominus, « ut pondus gloriæ tibi protinus levem faciat tribulationem [24]; » ita per hyperbolem dictam. Unde illud: « Multæ tribulationes justorum [25]. » Et ne salus absque Deo esse videatur, ideo David adjungit « in Deo. »

VERS. 4. Quoniam psalmus tanquam ex persona Domini pronuntiatur, dicendum est ipsius quoque caput exaltari, quod Dei est; cum nempe ejus deitas demonstratione externa fidelibus fit manifesta. Significat capitis vocabulum hoc loco principem. Idcirco sanctorum virorum princeps Christus, merito rex eorum est; atque ita caput eorumdem est. — Namque ejus, qui cum Christo surrexit, et quæ sursum sunt sapit, non quæ super terram [26], exaltabitur caput a Domino qui Verbum est. — Gloria ejus qui ipsum selegit, quam ab eo solo postulat is qui gloriam hominum non accipit.

VERS. 5. Mons sanctus Dei, eximia illius cognitio potest intelligi: mons sanctus Dei, unde supplices exaudit Deus unigenitus Filius Dei. De quo monte dictum est: « Erit conspicuus mons Dei novissimis diebus [26]. » Quæ locutio manifestationem illius denotat futuram, cum in sæculorum consummatione adveniet.

VERS. 6. Cubare significat reclinationem, post quam supervenit somnus. Quia ergo animam suam sponte deposuit, postea decumbens soporatus est. Sed mox a mortuis resurgens, Deo suscipiente, primogenitus mortuorum factus est [27].

VERS. 7. Decet virum sanctum, Deo confidentem, extra metum versari. Sic in vicesimo sexto psalmo: « Si consistant adversus me castra, non timebit cor meum [28]. » Prædicit autem hæc etiam Salvator innumeros cernens qui eum crucifigi postulaturi erunt; contra quos se præbuit interritum.

VERS. 8. Temere inimicos habet, qui odii atque inimicitiæ causam non præbuit. Tales sunt omnes qui persecutionem patiuntur, propterea quod pie vivunt in Christo Jesu [29]. Quibus a Servatore dicitur: « Beati estis cum exprobraverint vos, et dixerint omne malum mentientes propter me [30], » et reliqua. Hoc morum instituto cum esset etiam David, multos habuit sine causa inimicos, ut Saulem et Abesalomum horumque stipatores. Nam sancto viro, et qui multam mansuetudinem bonitatemque erga eos sæpe exprompserat, sine causa infensi erant.

VERS. 9. Quænam est benedictio populo superveniens, nisi Patris voluntas de Filii in mundum adventu?

καιος ἐπαπορῶν λέγοι τῷ Θεῷ· « Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; » ἔτι αὐτοῦ λαλοῦντος, εἰπὼν « Ἰδοὺ πάρειμι » ἀποκρίνεται, « ἵνα βάρος δόξης ἐργάσηταί σοι τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως· » καθ' ὑπερβολήν. Διό· « Πολλαὶ αἱ θλίψεις τῶν δικαίων. » Εἰ δέ ἐστι σωτηρία μὲν οὐκ ἐν τῷ Θεῷ, Δαυὶδ τοῖς τέως πρόσκειται τὸ « ἐν τῷ Θεῷ (7). »

Στ. δ'. Ἐπειδὴ δ' ἐλέχθη ὡς ἐκ προσώπου Κυρίου ὁ ψαλμὸς ἐπαγγέλλεται, ῥητέον ὡς καὶ αὐτοῦ ὑψοῦται ἡ κεφαλὴ ὁ Θεὸς οὖσα, ὅτ' ἂν ἡ θεότης αὐτοῦ φανερὰ δι' ἀποδείξεως τοῖς πιστοῖς γίνηται. Σημαίνει τὸ τῆς κεφαλῆς ὄνομα ἐν τούτοις ἄρχοντα· διὸ τῶν ἀνδρῶν ἄρχων ὁ Χριστὸς ἁγίων ὄντων, βασιλεὺς αὐτῶν εἰκότως ἐστίν· καὶ ταύτῃ κεφαλὴ αὐτῶν χρηματίζει. — Εἰ γὰρ συνηγέρθη Χριστῷ, καὶ τὰ ἄνω φρονεῖ, οὐ τὰ ἐπὶ γῆς, ὑψωθήσεται αὐτοῦ ἡ κεφαλὴ ἀπὸ τοῦ Κυρίου ὅς ἐστιν ὁ Λόγος. — Δόξα ἂν τοῦ χωρίσαντος αὐτὸν, ἣν ἀπὸ τοῦ (8) μόνου ἐζήτησεν ὁ μὴ λαμβάνων δόξαν ἀνθρώπων.

Στ. ε'. Ὄρος ἅγιον Θεοῦ, ἡ ὑπερφυὴς γνῶσις αὐτοῦ δύναται [νοεῖσθαι]· ὄρος ἅγιον τοῦ Θεοῦ, ἐξ οὗ εἰσακούει τῶν εὐχομένων Θεὸς ὁ μονογενὴς Υἱὸς αὐτοῦ· περὶ οὗ εἴρηται· « Ἔσται ἐμφανὲς τὸ ὄρος Κυρίου ἐπ' ἐσχάτων τῶν ἡμερῶν· » δηλούσης τῆς λέξεως ταύτης τὴν γενομένην αὐτοῦ φανέρωσιν κατὰ τὴν ἐπιδημίαν ἐπὶ συντελείᾳ τῶν αἰώνων.

Στ. ς'. Τὸ μὲν κοιμηθῆναι σημαίνει τὴν ἀνάκλισιν μεθ' ἣν ὁ ὕπνος ἐπιγίνεται· ἐπεὶ οὖν ἑκουσίως τὴν ψυχὴν αὐτοῦ ἔθηκεν, κατὰ τοῦτο κοιμηθεὶς ὕπνωσεν· ἐξεγερθεὶς δὲ ἐκ νεκρῶν, ἀντιλαβομένου Θεοῦ, πρωτότοκος ἐκ νεκρῶν γεγένηται.

Στ. ζ'. Πρέπει δὲ ἁγίῳ πεποιθότι Θεῷ τὴν ἀφοβίαν ἀσκεῖν. Οὕτως ἐν κϛ' λέγει ψαλμῷ· « Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου. » Προλέγει δὲ ταῦτα καὶ ὁ Σωτὴρ τὰς μυριάδας βλέπων τῶν αἰτουμένων αὐτὸν σταυρωθῆναι, πρὸς ἃς ἀταράχως διέκειτο.

Στ. η'. Ματαίως ἐχθροὺς ἔχει ὁ μὴ παρέχων μίσους καὶ ἔχθρας πρόφασιν. Τοιοῦτοι δέ εἰσιν πάντες οἱ διωκόμενοι διὰ τὸ ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ· πρὸς οὓς λέγεται ὑπὸ τοῦ Σωτῆρος· « Μακάριοί ἐστε ὅτ' ἂν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσιν πᾶν πονηρὸν ψευδόμενοι ἕνεκεν ἐμοῦ, » καὶ τὰ ἑξῆς. Ταύτης τῆς προθέσεως ὢν καὶ ὁ Δαυὶδ, πολλοὺς εἶχεν ματαίως ἐχθροὺς, ὡς τὸν Σαοὺλ, καὶ τὸν Ἀβεσαλὼμ, καὶ τοὺς σὺν αὐτοῖς. Τοῦ γὰρ ἁγίου πολλὴν πραότητα καὶ ἀγαθότητα εἰς αὐτοὺς πολλάκις ἐνδειξαμένου, μάτην ἦσαν ἐχθροί.

Στ. θ'. Τίς ἡ εὐλογία ἡ ἐπὶ τὸν λαὸν ἐρχομένη, ἢ βούλησις τοῦ Πατρὸς ἡ περὶ τῆς ἐπιδημίας;

PSALMUS IV.

Didymi Alexandrini de titulo psalmi quarti: « In finem, in psalmis, canticum Daviæ. »

(MAI *Bibliotheca nova*, t. III, 456, 284, ex cod. Vatic. I, f° 18.)

Didymi. Canticum est triumphalis aut eucharistica

Διδύμου. Ὠδή ἐστιν ἐπινίκιος ἢ χαριστήριος αἶνος

[23] Isa. LVIII, 8. [24] II Cor IV, 17. [25] Psal. VII, 20. [26] Coloss. III, 2. [26] Isa. XXII, 5. [27] Coloss. · 18. [28] Psal. XXVI, 5. [29] II Tim. III, 12. [30] Matth. V, 11.

(7) Phrasis mendosa.

(8) Ἀπὸ τοῦ. Forte legendum ἀπ' αὐτοῦ. EDIT PATROL.

Digitized by Google

μόνῃ φωνῇ προφερόμενος· ψαλμὸς δὲ ὕμνος ὀργάνῳ τῷ καλουμένῳ ψαλτηρίῳ ἢ καὶ κιθάρᾳ κρουόμενος. Εἴη δὲ πρὸς ἀναγωγήν, ᾠδὴ ἡ θεωρία τῆς ἀληθείας μόνῃ νοήσει μεμουσωμένη γενομένη· ψαλμὸς δὲ, πράξεις κατὰ λόγον τὸν ὀρθὸν ἐπιτελούμεναι· ὡς ψάλλειν μὲν, τὸν πρακτικὸν βίον ἔχοντα· ᾄδειν δὲ, τὸν θεωρητικόν. Ἐπεὶ τοίνυν ὁ Δαβὶδ θεωρεῖ καθαρᾷ καρδίᾳ τὸν Θεὸν καὶ τὴν ἀλήθειαν αὐτοῦ, ᾠδὴν προφέρει, ἣν εἶναι ἐν ψαλμοῖς λέγει, διὰ τὸ πολλὰ πρακτικῶς αὐτῷ κατωρθῶσθαι. Αὕτη ἡ ᾠδή. *Εἰς τὸ τέλος* ἐστὶν ἐκεῖνο, ὃ καλεῖν εἰώθασιν ἔσχατον ὀρεκτὸν, τῷ αὐτοῦ ἕνεκα τὰ ἄλλα πάντα εἶναι αἱρετὰ καὶ ὀρεκτά· αὐτὸ δὲ οὐκ ἄλλου χάριν, ὅπερ ἐστὶν ἡ πάντων τελείωσις. Περὶ οὗ καὶ ὁ Παῦλός φησιν. Εἶτα τὸ τέλος, καθ' ἣν ὅμοιός τις τῷ Θεῷ γεγενημένος, ὄψεται αὐτόν. Κατὰ τί δὲ βούλεται καὶ τὸ *τῷ Δαβὶδ* τὴν ᾠδὴν, ἀλλὰ μὴ *τοῦ Δαβὶδ* ἀναγεγράφθαι; Φασὶν τοίνυν τινὲς, *τοῦ Δαβὶδ* εἶναι τὸν ψαλμὸν ἢ τὴν ᾠδὴν, ὅτ' ἂν αὐτὸς ᾖ προσενεγκὼν θεοπνευσθείς· *τῷ Δαβὶδ* δὲ εἶναι τὴν ᾠδὴν ἢ τὸν ψαλμὸν, ὅτ' ἂν πρὸς αὐτὸν τὰ λεγόμενα ἀναφορὰν ἔχῃ· συμπίπτει δὲ πολλάκις καὶ *αὐτοῦ* καὶ *αὐτῷ* εἶναι τὸ ἀπαγγελλόμενον, ὅτ' ἂν αὐτοῦ διακονησαμένου τῷ Πνεύματι τὰ ὑποβαλλόμενα ὑπ' αὐτοῦ προελεχθῇ. Εἶτα, δοθέντος τοῦ ψαλμοῦ τινὶ τῶν ᾀδόντων, ἀπηγγέλθη δι' ἐκείνων τῷ Δαβίδ· ὁποτέρως δ' ἔχει ἕκαστον τῶν ἐν ταῖς Γραφαῖς κειμένων, μόνου τοῦ κατὰ Θεὸν σοφοῦ εἰδέναι.

A laudatio, voce tantum prolata. Psalmus est hymnus qui ad instrumentum, cui nomen psalterium vel etiam cithara, canitur. Secundum vero anagogen, ode est contemplatio veritatis quæ solo intellectu, musica veluti harmonia temperato, fit. Psalmus item actiones denotat, quæ secundum rectam rationem fiunt : ita ut psallat, qui practicæ vitæ genus sequitur ; canat autem, qui theoreticum. Quoniam itaque David contemplatur puro corde Deum ejusque veritatem, canticum profert, quod ait esse in psalmis, propterea quod ipse plurima agendo recte fecerit. Hæc de cantico. Jam dictio *in finem* illud significat quod vulgo extremum appetibile dici solet, quia hujus gratia cætera omnia optanda et appetibilia sunt ; ipsum vero haud alterius gratia ; quæ cujusvis rei perfectio est. De quo etiam Paulus loquitur. Secundo loco finis est, quo quis Deo factus similis, ipsum videbit. Cur autem canticum Davidi, non autem canticum Davidis inscribitur ? Aiunt nonnulli, *Davidis* esse psalmum aut canticum, cum ipsemet a Deo inspiratus recitat ; *Davidi* autem esse canticum aut psalmum, cum ea quæ dicuntur ipsum respiciunt (9). Sæpe autem accidit, ut et *ipsius* et *ipsi* sit, quod recitatur ; nempe cum David Spiritui obsecundans, quæ sibi ab hoc suggeruntur vaticinatur : deinde psalmus alicui cantori datur, a quo vicissim Davidi recitatur. Quomodo autem reapse se habeant, quæ in sacris jacent Scripturis, ille tantummodo, qui secundum Deum sapiens est, scire poterit.

B

Στ. β'. Πλατύνει δὲ ἐν θλίψει ὁ Θεὸς, οὐ παύων τὴν περίστασιν, οὐκ ἀνατρέπων τοὺς κακοῦντας, ἀλλὰ παρέχων μεγαλοψυχίαν γενναίως φέρειν τὰ περιστατικά· κατὰ ταύτην τὴν διάνοιαν ἀκουστέον καὶ τὸ, « Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς, » ὑπομονὴν χαριζόμενος· ἔστι δ' ὅτε καὶ ἔξω τῶν περιστάσεων ποιεῖ τὸν μεγαλοψύχως πρὸς τὰς περιστάσεις στάντα, ὡς τὸν Ἰωσὴφ καὶ τὸν Ἰὼβ, ἀλλὰ καὶ αὐτὸν περὶ οὗ τὰ προκείμενα.

C

Vers. 2. Dilatat in tribulatione Deus, non calamitatem sedans, neque maleficos cohibens, sed magnanimitatem præbens fortiter ferendi calamitatem. Hoc sensu illud quoque intelligendum : « Multæ tribulationes justorum, et ex his omnibus eripiet eos[31], » patientiam scilicet suppeditans. Quandoque etiam e calamitatibus reapse eripit Deus justum hominem qui fuit contra illas magnanimus, veluti Josephum ac Jobum, et hunc de quo nunc sermo est.

Στ. γ'. *Υἱοὶ ἀνθρώπων* περίφρασίς ἐστι, ὡς παρ' Ἕλλησι τὸ, *Υἷες Ἀχαιῶν*· ἔστι δὲ πολλὰ τοιαῦτα φέρεται καὶ ἐν τῇ Γραφῇ· ὧν ἐστιν καὶ τὸ, « Βροτὸς γὰρ γεννητὸς γυναικός· » καὶ τὸ, « Ἐν γεννητοῖς γυναικῶν, Ἰωάννου οὐδεὶς μείζων ἐστίν. » Καὶ αὗται γὰρ αἱ λέξεις ἀντὶ τοῦ « ἄνθρωποι » εἴρηνται.

D

Vers. 3. « Filii hominum » periphrasis est, velut apud ethnicos, *filii Achæorum*. Multa hujusmodi in sacra quoque Scriptura feruntur ; veluti, « Mortalis est[32], de muliere natus[33]. » Item : « Inter natos mulierum, nemo major Joanne[34]. » Nam et hæ locutiones nihil præter « homines » dicunt.

Ἢ οὐ θαυμαστοῦται ὁ ὅσιος τοῦ Θεοῦ ὅτ' ἂν θλίψεις φέρει μεγαλοψύχως, δοκούσας ὑπὲρ ἄνθρωπον εἶναι, ἀλλὰ καὶ ὅτ' ἂν ἐπικαλούμενος Θεὸν ἐπινεύοντα εὐθέως ἔχῃ ; Ἅπερ πάντα ἀγνοεῖ ὁ βαρεῖαν καρδίαν, τοῦτ' ἔστιν νόησιν μετὰ κακίας ἔχων. Ἢ περὶ τοῦ Χριστοῦ εἴρηται πρὸς Ἰουδαίους ὁ λόγος, διὰ τὸ βαρυκάρδιον οὐκ' ἔτι Θεοῦ ἀλλ' ἀνθρώπων υἱούς. Πῶς γὰρ οὐκ ἐθαυμάστωσεν ἐν αὐτῷ καὶ δι' αὐτοῦ πλη-

Vel nonne dignus admiratione est vir Dei sanctus, cum tribulationes magno animo fert, quæ supra hominis patientiam videntur ; præsertim quia Deum invocans, illico sibi annuentem experitur ? Quæ omnia ignorat gravis cordis homo, id est qui mentem pravam habet. Vel, de Christo sermo fit ad Judæos, propter cordis duritiam jam non Dei sed hominum filios. Quidni enim in se perque se

[31] Psal. VII, 20. [32] Sap. VII, 1 ; XV, 17. [33] Job XIV, 1. [34] Luc. VII, 28.

(9) Canones grammatici aiunt, ut cuique hebræophilo notum est, articulum ל tam secundo quam tertio casui apud Hebræos inservire. Itaque לדוד tam *Davidis* significat quam *Davidi*. Licuit ergo alterutrum pure interpretari. Cæteri ergo sensus figuratæ altiorisque exegeseos sunt.

Digitized by Google

mirabilis Christus sit, completis vaticiniis, et stupendis miraculis per ipsum patratis, et demum a mortuis resurgens? Quæ vos agnoscetis, si omissa cordis duritie, Scripturas de Sancto loquentes scrutabimini. Namque a vobis scrutantibus novitas spiritus invenietur.

ρώσας προφητείας, παραδόξων δυναμεων γενομένων δι' αὐτοῦ, ἔτι μὴν καὶ ἀναστάντος ἐκ νεκρῶν; Γνώσεσθε δὲ ἀποβαλόντες τὸ βαρυκάρδιον, καὶ ἐρευνήσαντες τὰς περὶ τοῦ Ὁσίου Γραφάς. Ἐρευνήσασι γὰρ ὑμῖν, ἡ καινότης τοῦ πνεύματος εὑρεθήσεται.

Vers. 5. Hanc arripiens locutionem Apostolus, mox subjecit: « Sol non occidat super iracundiam vestram, et ne detis locum diabolo[35]. » Qui hanc admiserit apostolicam adhortationem, ad iracundiam commotus non peccat, quia ille potius qui iram fovet, habet illam perseverantem; quem iræ tenacem mos est appellari. Confirmat hunc loci sensum, quod mox subsequitur, nam « Quæ dicitis, » inquit, irati scilicet « in cordibus vestris, » de his « in cubilibus compungimini; » ita ut somno experrecti nihil eorum agatis vel dicatis quæ in corde per iram deliberastis.

Στ. ε'. Ταύτην τὴν λέξιν παραλαβὼν ὁ Ἀπόστολος, ἐπήγαγεν αὐτῇ· « Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. » Ὁ ταύτην καταδεξάμενος τὴν ἀποστολικὴν προτροπὴν, ὀργισθεὶς οὐχ ἁμαρτάνει, τοῦ κατ' ὀργὴν διακειμένου ἐπίμονον αὐτὴν ἔχοντος, ὃν καὶ μηνιαστὴν (10) ἔθος καλεῖν. Βεβαιοῖ ταύτην τὴν νόησιν τὸ ἑξῆς ἐπιφερόμενον· « Ἃ λέγετε » γὰρ, φησὶν, ὀργισθέντες δηλονότι, « ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις κατανύγητε, » ὥστε ἀναστάντες ἐξ ὕπνου μηδὲν πρᾶξαι ἢ εἰπεῖν τῶν ἐν τῇ καρδίᾳ ἐν ὀργῇ διεσκεμμένων.

Vers. 7. Possumus lumen vultus Dei dicere figuram substantiæ[36] et imaginem ipsius Dei invisibilis[37]. Quod lumen deinceps signatum fuit super nos, ad ejus imaginem conformatos. Non est ignorandum quosdam legere sic: « Quidam ostendet nobis bona. » Nam non multorum, sed unius est, bona ostendere; hic autem unigenitus est Filius Dei. Iis qui ita intelligunt, vocabulum *quis* (quidam) significat id quod proprie appellatur certa tali qualitate præditum, et individuum, atque una numero substantia. Utuntur autem hoc testimonio: « Homo quidam nobilis[38]. » Nam et hoc loco *quis* (quidam) aliquid denotat quod proprie tale est.

Στ. ζ'. Δυνατὸν φῶς τοῦ προσώπου τοῦ Θεοῦ, τὸν χαρακτῆρα τῆς ὑποστάσεως καὶ εἰκόνα αὐτοῦ τοῦ ἀοράτου Θεοῦ εἰπεῖν. Ὅπερ φῶς ἀπεντεῦθεν ἐσημειώθη ἐφ' ἡμᾶς μορφωθέντας κατ' αὐτόν. Οὐκ ἀγνωστέον ὡς ἀναγινώσκουσί τινες τὸ, « Τίς δείξει ἡμῖν τὰ ἀγαθὰ, » οὕτως. Τὰ ἀγαθὰ οὐ πολλῶν ἐστιν, ἀλλ' ἑνός ἐστιν δεῖξαι· οὗτος δὲ ὁ μονογενὴς ἐστι τοῦ Θεοῦ Υἱός. Σημαίνει τοῖς οὕτως ἐκλαμβάνουσι τὸ *τίς*, τὸ ὀνομαζόμενον ἰδίως ποιὸν ἢ ἄτομον καὶ μίαν τῷ ἀριθμῷ οὐσίαν. Συγχρῶνται μαρτυρίῳ τὸ, « Ἄνθρωπος τις εὐγενής· » καὶ ἐνταῦθα γὰρ τὸ *τίς* δηλοῖ τὸν ἰδίως ποιόν.

Vers. 8. Quanquam hi jucundis sibi rebus videntur expleri, attamen ego sæculum exspectans futurum rectæque vitæ mercedem, extra omnem perturbationem propter spem constitutus, in idipsum recumbam et soporabor; reclinationem somnumque dicens ex hac vita discessum. Jam causa narrata, cur recubuerit et in pace dormiverit, statim addit: « Quoniam in pace constituisti me. » Quippe etiam apud Oseam dicitur animæ ex persona Dei: « Constituam te in pace[39]. » Facit hoc autem Deus, futurorum spem divinorum bonorum exhibens constitutis ab eo in intellectuali practicaque virtute, et in veritatis dogmatibus et ecclesiasticis legibus.

Στ. η'. Εἰ καὶ οὗτοι ἀπὸ τῶν ἡδέων αὐτοῖς ἔδοξαν πληθύνεσθαι, ἀλλά γε ἐγὼ προσδοκῶν αἰῶνα μέλλοντα καὶ μισθὸν ὀρθῆς πολιτείας, πάσης ταραχῆς ἐκτὸς διὰ τὴν ἐλπίδα γεγονὼς, ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· κοίμησιν καὶ ὕπνον λέγων τὴν ἀπὸ τοῦ βίου ἀναχώρησιν· ὁ ἀποδιδοὺς τὴν αἰτίαν τοῦ κεκοιμῆσθαι καὶ ὑπνωκέναι ἐν εἰρήνῃ, εὐθὺς ἐπήγαγεν· « Ὅτι ἐπ' ἐλπίδι κατῴκισάς με. » Εἴρηται δὲ καὶ ἐν Ὡσηὲ πρὸς τὴν ψυχὴν, ἐκ προσώπου τοῦ Θεοῦ, « Κατοικιῶ σε ἐπ' ἐλπίδι. » Ποιεῖ δὲ τοῦτο Θεὸς, ἐλπίδα μελλόντων θείων ἀγαθῶν προτείνων τοῖς κατοικιζομένοις ὑπ' αὐτοῦ ἐν διανοητικῇ καὶ πρακτικῇ ἀρετῇ, καὶ ἐν δόγμασιν ἀληθείας, καὶ θεσμοῖς ἐκκλησιαστικοῖς.

PSALMUS V.

Vers. 1. *In finem.* Ob gratiarum actionem hymnus canitur, pro anima seu Ecclesia ad divinam hæreditatem evecta, non materialem sed spiritalem. Attolluntur enim Dei famuli, secundum Apostolum, ad hæreditatem incorruptibilem, incontaminatam et immarcescibilem, in cœlis conservatam[40]. Ad quam Servator invitans, ait: « Venite qui a dextris meis estis, benedicti a Patre meo, possidete para-

Στ. α'. *Εἰς τὸ τέλος.* Χαριστήριος ὕμνος ᾄδεται ὑπὲρ τῆς ἀναφερομένης ψυχῆς ἤτοι Ἐκκλησίας εἰς θείαν κληρονομίαν οὐκ αἰσθητὴν, ἀλλὰ νοητήν· εἰσάγονται γὰρ οἱ τὸν Θεὸν θεραπεύοντες κατὰ τὸν Ἀπόστολον εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς· εἰς ἣν καλῶν ὁ Σωτὴρ ἔφη· « Δεῦτε οἱ ἐκ δεξιῶν μου οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοι-

[35] Ephes. IV, 26, 27. [36] Hebr. I, 3. [37] Coloss. I, 15. [38] Luc. XIX, 12. [39] Osc. II, 3. [40] I Petr. I, 4.

(10) Animadverte vocabulum μηνιαστής.

Digitized by Google

μασμένην ὑμῖν βασιλείαν· » ἣν ὁ λέγων ποθήσας, εὐχὴν ἀναπέμπει τῷ εὐτρεπίσαντι αὐτὴν Θεῷ.

Στ. β'. Τὸ δὲ *ἐνώτισαι*, μὴ φερόμενον ἐν τῇ συνηθείᾳ, ἐν τῇ Γραφῇ κεῖται συνεχῶς, δηλοῦν τὸ εἰς τὰ ὦτα δέχεσθαι τὸν ἀκούοντα τοὺς ἀπαγγελλομένους λόγους τοῦ λέγοντος αὐτοὺς, διὰ τὸ ἐγγὺς εἶναι· σχέσει δ' ἐγγὺς οἱ δίκαιοι Θεοῦ· ὅθεν εὐχαῖς δικαίων ἐπακούειν εἴρηται ὁ Θεὸς, καὶ τὰ ὦτα ἔχειν εἰς δέησιν αὐτῶν· βασιλεὺς δ' ἅμα καὶ δημιουργὸς ὁ Θεὸς τυγχάνει, τῶν μὴ διαπετασάντων χεῖρας αὐτῶν πρὸς θεὸν ἀλλότριον, μηδὲ βασιλευομένων ὑπὸ τῆς ἁμαρτίας.

Στ. δ'. Κατὰ θεωρίαν δὲ, ᾧ ὁ τῆς δικαιοσύνης ἥλιος ἀνέτειλεν, ἐν ἀρχῇ νοητῆς ἡμέρας γεγονὼς, χαριστήριον αἶνον προσφέρων τῷ αἰτίῳ τοῦ φωτισμοῦ, « Τὸ πρωΐ, » ἔφη, « εἰσακούσῃ τῆς φωνῆς μου. » Τίνι γὰρ ἔδει χάριν ὁμολογῆσαι ὑπὲρ τηλικούτου ἀγαθοῦ, ἢ σοὶ, ὦ Δέσποτα, τῷ ἀνατείλαντί μοι φῶς, αἰτιόν μοι μεγίστης θεωρίας ὑπάρχον; Ἀεὶ νοῦν ἔρως εἰσέρχεται πρὸ ταῖς ὑπαρξάσαις θεωρίαις, καὶ ἔτι θέλειν βλέπειν τὰ κάλλη τῆς ἀληθείας. Παρίσταται τοῦτο ἐκ τοῦ καὶ *ἐπόψομαι*· ὡς γὰρ τὸ *ἐπέρχομαι* ἀκατάπαυστον πρόσωπον δηλοῖ, οὕτω τὸ *ἐπόψομαι*, συνεχῶς προστιθεμένην κατανόησιν ἐμφαίνει. Πῶς γὰρ οὐκ ἀεὶ βλέπει ὁ ἐπαγγελίας τυχὼν τῆς, « Ἔσται σοὶ Κύριος φῶς αἰώνιον, καὶ φῶς δικαίοις διὰ παντός; » Ἐπεὶ δὲ καὶ ἑτέρα Γραφὴ ἔχουσα, « Παραστήσομαί σοι ἐπ' ὄψει με· » ὅπερ οὐ παντὸς λέγειν, ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παῤῥησίαν λέγειν θαῤῥούντων· « Ζῇ Κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. »

Στ. ς'. Τούτου ἀληθοῦς ὄντος, οὐκ ἔστιν ἐκ Θεοῦ τὸ κακὸν κατὰ τοὺς λέγοντας ἐνυπόστατον τὴν κακίαν (11). Ἐκ στόματος γὰρ Ὑψίστου οὐκ ἐξελεύσεται τὸ κακὸν καὶ τὸ ἀγαθὸν, βουλομένου μόνον εἶναι τὸ ἀγαθόν. Οὗ ὄντος, οὐκ ἂν ἔν τινι συσταίη κακόν. Ἀπόλλυσι δὲ τοὺς ψεύστας, καθ' ὃ ψεῦσται, εἰς ἐπίγνωσιν ἀληθείας. Πάντων δὲ τῶν λαλούντων τὸ ψεῦδος ὑπὸ Θεοῦ ἀπολλυμένων, ἀπόλλυται κἀκεῖνος περὶ οὗ εἴρηται· « Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· » εἰ δὲ τοῦτο, οὐκ ἔστιν κατ' οὐσίαν κακός· οὐ γὰρ ἅμα τὸ γενέσθαι καὶ εἰς ὑπόστασιν ἐλθεῖν· ἀλλὰ μετὰ ταῦτα τραπεὶς, ἀρχὴν τοῦ λαλεῖν τὸ ψεῦδος ἔσχεν, ἐσχηκὼς ποτὲ ἐν ἀληθείᾳ εἶναι. Δηλοῦται δὲ τοῦτο ἐκ τῶν οὕτω περὶ αὐτοῦ γεγραμμένων· « Ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν, ὅτι ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ· » ὁ γὰρ ψεκτὸς ὢν διὰ τὸ μὴ ἑστάναι, φανερῶς ἐστιν πειραθεὶς τούτων τῶν διαθέσεων. Κριτέον δὲ ἐκ προθέσεως ἀλλ' οὐκ ἐκ μόνης φωνῆς τὸν ψευδόμενον, ἵνα μὴ ὦσιν ὑπὸ τὴν ἀπειλὴν οἱ οἰκονομικῶς ποτὲ τοῦτο πεποιηκότες, ὡς Ῥαάβ· ἔδοξε γὰρ ψεύδεσθαι πρὸς τοὺς ἀναζητοῦντας ἐπὶ τῷ ἀποκτεῖναι τοὺς κατασκόπους ἀγαθοὺς ἄνδρας ὄντας· ὑπὸ Ἰησοῦ γὰρ τοῦ Ναυῆ ἀποσταλέντες, ἐπαινετοὶ ἦσαν. Τῆς προθέσεως τῆς ἀνθρώπου πολὺ τὸ σπουδαῖον ἐχούA tum vobis regnum [41]; » quo is, qui hic loquitur, cupiens, preces extollit ad illius præparatorem Deum.

Vers. 2. Verbum ἐνώτισαι, quod insuetum est, constanter in Scriptura sacra ponitur, significans quod in aurem excipiat is qui audit sermones ab aliquo pronuntiatos, cui proximus ipse est. Porro autem Deo proximi affectu sunt justi homines. Unde fit, ut justorum preces audire dicatur Deus, et aures postulatis illorum præbere. Rex autem simul et creator Deus est illorum, qui manus suas ad alienum deum non extendunt, neque sub peccati dominio sunt.

Vers. 4. Contemplativa ratione autem, is cui justitiæ sol exoritur, initio spiritalis diei apparens, laudem grati animi causa recitans luminis auctori: « Mane, » inquit, « exaudies vocem meam. » Nam cuinam gratiam habere tanti boni oporteret, nisi tibi, Domine, qui lumen mihi extulisti, quod mihi maximæ illuminationis causa est? Semper itaque præit amor illuminationibus, et pulchræ veritatis cognoscendæ voluntas. Hoc demonstrat etiam vocabulo *videbo*: nam sicut *advenio* personam inquietam ostendit, ita *videbo* perpetuo intentam contemplationem ostendit. Quidni enim semper videt, qui promissionem meruit: « Erit tibi Deus lumen æternum, et lux justis in perpetuum? » Namque et alia Scriptura occurrit: « Exhibebo me conspectui tuo. » Quod non cuilibet licet dicere, sed magni Eliæ similibus, qui ob vitæ suæ actæ fiduciam audent dicere: « Vivit Dominus, in cujus conspectu hodie sto [42]. »

Vers. 6. Quod verum cum sit, non est a Deo malum ut illorum opinio est, qui substantivam malitiam esse dicunt. Nam ex ore Altissimi non exibit malum et bonum, volentis tantummodo esse bonum. Quod cum ita se habeat, nemini congenitum malum est. Perdit autem mendaces, quatenus mendaces sunt, ut cognoscatur veritas. Jam cum omnes qui loquuntur mendacium, a Deo perdantur, is quoque peribit, de quo dictum est: « Cum loquetur mendacium, de suo loquetur [43]: » quod si ita est, non est substantialiter malus. Id demonstratur ex his quæ de illo sunt scripta: « In veritate non stetit, quia veritas in eo non est [44]. » Nam qui reprehensibilis est quia non stetit, manifeste his passionibus obnoxius fuit. Verumtamen mendacium ex animi proposito non ex sola voce judicandum est; ne sub hanc imputationem cadant ii qui prudente aliquo consilio id egerunt: veluti Rahab, quæ visa est mentiri apud quærentes interficere exploratores, bonos viros [45]; qui a Jesu Navi filio missi, laudabiles erant. Cum hujus feminæ propositum valde esset honestum, non est consentaneum ut ea collocetur inter perditos, vel inter eos qui mendacium loquuntur. Sicuti ne ideo quidem quia aliquis ho-

[41] Matth. xxv, 34. [42] III Reg. xvii, 1. [43] Joan. viii, 44. [44] ibid. [45] Jos. ii, 5.

(11) Reprehendit Manichæos, adversus quos exstat peculiare Didymi nostri opus.

Digitized by Google

minem occidit, homicida est; nec qui sanguinem utcunque fuderit, vir sanguinum est. Nam nec homicidas nec viros sanguinum dicimus viros illos qui ex divinæ legis norma morte eos affecerunt qui talia pati digni erant. Alioqui Samuelem quoque atque Eliam ita appellare oporteret, qui pro recta religione multos interimendos curarunt.

VERS. 7. Improbis ac legis transgressoribus tecum non habitantibus, neque sub benevolo conspectu tuo manentibus, ego, inquit, te miserente domum tuam ingrediar. Sic enim dicere potero : « Mane astabo tibi et videbo, » et tanquam misericordiam consecutus, pie te adorabo in spiritu ac veritate[46]. Jam vero firmus in virtute status templum Dei est, quod qui tenent confidenter aiunt : Christus tanquam filius herilis domi suæ est, quam domum ipsi constituimus, qui nostri similibus dicimus : « Templum sanctum estis[47] ; » et : « Corpora vestra templum Spiritus sancti sunt[48] ; » apud quos Filius Paterque mansionem faciunt. Ecclesiasticum quoque dogma et doctrina domus Dei templumque sunt ; velut apud Timotheum : « Quomodo te oporteat in domo Dei conversari, quæ est Ecclesia Dei viventis[49]. » Utroque autem sensu ingreditur aliquis in domum, et adorat ad templum Domini, videlicet misericordia Dei potius quam sua vita frugi et recta. — Careo, inquit, virtutibus quæ me Deo conjungere, et in ejus domum introducere queant ; sed tamen benignitati tuæ confido, et ea fretus ingrediar. Neque deinceps contemptui erit apud me, qui recte egerit ducatu tuo ac providentia. Partem virium mearum violentiorem subtrahunt, ceu viæ cujusdam obstacula ; ut sic justitiam veram tenens, ejusdem queque fortitudinem habeam contra adversarios.

VERS. 8. Qui sibi proposuit recte sapere et agere, multos experitur adversantes homines atque dæmones, emolumentis bene agentium ob invidiam infensos : contra quos se debilem sentiens, auxiliarem implorat Deum. — In aliquot exemplaribus scribitur : « Coram me viam tuam. » Nam si via nostra coram Deo recta fuerit, nullum experiemur errorem. Et si via Domini præ oculis nobis fuerit, per eam incedemus alacriter. At Symmachus pro *dirige*, *complana* inquit, juxta Isaiam dicentem : « Fient obliqua in rectam, et aspera in vias planas[50]. » In alio quoque psalmo dictum est : « A Domino gressus hominis diriguntur[51]. » Cæteroqui cum demisso animo haud postulat justitiæ suæ causa, quæ recte agere sortita sit, sed propter eos qui se impie oppugnabant. Deinde particulatim pergit dicere : Etenim plenam mendacii vitam degunt, et linguæ consonas habent cogitationes, fetoremque manifestum olent ad aliorum corruptelam. Designat nimirum blasphemiam adversus Deum, et intemperantis lasciviæ verba : imo et pejora verbis, dolo tecta adver-

A σης, οὐκ ἀκόλουθον ἔσται τάξαι αὐτὴν ἐν τοῖς ἀπολλυμένοις ἢ ἐν τοῖς ψεῦδος λαλοῦσιν. Ὥσπερ δὲ οὐχ ὁπώσποτε κτείνας ἄνθρωπον, φονεύς ἐστι· οὕτως οὐ καθάπαξ ὁ ἐχχέων αἷμα, ἀνὴρ αἱμάτων ἐστίν· οὐ γὰρ λέγομεν φονέας ἢ αἱμάτων ἄνδρας τοὺς κατὰ νόμον θεῖον ἀποκτείνοντας τοὺς ἀξίους παθεῖν τοῦτο· ἐπεὶ ὥρα λέγειν τοῦτο Σαμουὴλ καὶ Ἠλίαν, οἳ ἐπ' εὐσεβείᾳ πολλοὺς ἔκτειναν.

Στ. ζ'. Τῶν πονηρευομένων καὶ παρανόμων οὐ παροικούντων σοι, οὐδὲ διαμενόντων ὑπὸ τὴν θεωρίαν σου, ἐγὼ, φησὶν, ἐλέῳ τῷ σῷ εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· οὕτω γὰρ καὶ λέγειν δυνήσομαι τὸ, « Πρωῒ παραστήσομαί σοι καὶ ἐπόψομαι, » καὶ ὡς ἠλεημένος σὺν εὐλαβείᾳ προσκυνήσω σε πνεύματι καὶ ἀληθείᾳ. Ἡ δὲ κατ' ἀρετὴν κατάστασις ναός ἐστι B Θεοῦ, ἣν οἱ ἔχοντες, μετὰ παῤῥησίας φασί· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν, ἡμεῖς τοῖς ὁμοίοις ἐροῦντες, « Ναὸς ἅγιος ἐστέ· » καὶ, « Τὰ σώματα ὑμῶν, ναὸς τοῦ ἁγίου Πνεύματος· » πρὸς οὓς ὁ Υἱὸς καὶ ὁ Πατὴρ μονὴν ποιοῦνται. Καὶ ἡ ἐκκλησιαστικὴ δὲ γνώμη τε καὶ διδασκαλία, οἶκος Θεοῦ καὶ ναὸς, κατὰ τὸ πρὸς Τιμόθεον· « Πῶς δεῖ σὲ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος. » Κατ' ἀμφοτέρας δὲ τὰς θεωρίας εἰσέρχεταί τις εἰς τὸν οἶκον, καὶ προσκυνεῖ πρὸς τὸν ναὸν Κυρίου, ἐλέῳ Θεοῦ μᾶλλον ἢ οἰκείᾳ πολιτείᾳ καὶ φρονήσει· — Οὐκ ἔχω, φησὶν, ἀρετὰς αἵτινές με τῷ Θεῷ συνάψαι καὶ εἰς τὸν οἶκον τὸν αὐτοῦ εἰσαγαγεῖν δυνήσονται· φιλανθρωπίᾳ δὲ τῇ σῇ θαῤῥῶν, καὶ δι' αὐτῆς εἰσέρχομαι. Οὐκέτι δὲ καταπεφρονημένως εἴη, φησὶν, παρ' ἐμοὶ κατορθούμενον τὸ δίκαιον ὁδηγίᾳ τῇ σῇ καὶ προνοίᾳ· τὰ βιαιότερα τῆς ἐμῆς C δυνάμεως ὑφαιροῦσιν, καθάπερ ὁδοῦ τινος ἐμπόδια, ἵνα τῆς δικαιοσύνης τὸ ἀληθὲς ἔχων, καὶ τὸ ἰσχυρὸν ἔχοιμι αὐτῆς κατὰ τῶν ἐναντίων.

Στ. η'. Ὁ προτιθέμενος ὀρθῶς φρονεῖν καὶ πράττειν, πολλοὺς ἐναντίους ἔχει ἀνθρώπους καὶ δαίμονας, ἐπὶ τοῖς ἀγαθοῖς τῶν κατορθούντων διὰ φθόνον ἀνιωμένους· πρὸς οὓς ἐξασθενῶν ἐπικαλεῖται σύμμαχον τὸν Θεόν. — Ἔν τισι δὲ γράφεται, « Ἐνώπιόν μου τὴν ὁδόν σου. » Ἐάν τε δὲ ἡμῶν ἡ ὁδὸς κατεύθυνται ἐνώπιον τοῦ Θεοῦ, πλάνης οὐ ληψόμεθα πεῖραν· ἐάν τε τοῦ Θεοῦ ἡ ὁδὸς ἐνώπιον ἡμῶν, αὐτὴν ὁδεύσωμεν προθύμως. Ἀντὶ δὲ τοῦ *κατεύθυνον*, ὁ Σύμμαχος *ὁμάλισον* εἴρηκεν, κατὰ τὸν Ἡσαΐαν εἰπόντα· D « Ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας. » Εἴρηται δὲ καὶ ἐν ἑτέρῳ ψαλμῷ, « Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται. » Οὐκ αἰτεῖ δὲ ταπεινοφρόνως διὰ τὴν ἰδίαν δικαιοσύνην ἡ κληρονομοῦσα κατευθῦναι, διὰ δὲ τοὺς ἀσεβῶς αὐτῇ πολεμοῦντας. Εἶτα κατὰ μέρος ἐπεξέρχεται· Τῷ γὰρ ψεύδει συζῶσι, καὶ συμφώνους ἔχουσι τῇ γλώττῃ τοὺς λογισμοὺς, καὶ τὴν δυσωδίαν πρόδηλον ἔχουσιν ἐπὶ λύμῃ τῶν ἄλλων. Λέγει δὲ τὴν κατὰ τοῦ Θεοῦ βλασφημίαν, καὶ τῆς ἀκολασίας τὰ ῥήματα· ἀλλὰ καὶ χαλεπώτερα τῶν προφερομένων ῥημάτων τὰ

[46] Joan. IV, 23. [47] II Cor. VI, 19. [48] I Cor. VI, 16. [49] I Tim. III, 15. [50] Isa. XL, 4. [51] Psal. XXXVI, 23.

Digitized by Google

κεκρυμμένα δόλῳ κατὰ τῶν πέλας τυρεύοντα. — Πῶς δὲ ὁδηγεῖταί τις τῇ τοῦ Θεοῦ δικαιοσύνῃ, ἐξεταστέον· μήπω τ' οὖν ὁ κατὰ τὴν τοῦ Θεοῦ δικαιοσύνην (αὕτη δέ ἐστιν ἡ γνησία ἀρετὴ) προκόπτων ἐπόμενος Θεῷ, κατὰ τὸ, « Ὀπίσω Κυρίου τοῦ Θεοῦ σου πορεύσῃ, » ὁδηγεῖται ὑπὸ τοῦ χορηγοῦντος τὴν ἀρετὴν αὐτοῦ, τοῦ Θεοῦ δηλονότι.

A sus proximum molimina. — Quomodo autem homo dirigatur a justitia Dei, quærendum est. Ille scilicet qui secundum Dei justitiam (talis enim est germana virtus) proficiens in sequendo Deum; juxta illud : « Post Dominum Deum tuum ambulabis[52]; » ille, inquam, a largiente sibi virtutem Deo ducitur

Στ. ια'. Καὶ ἐπεὶ ἀνθρώπινον τὸ *παρεπίκραναν*, σκοπητέον πῶς ἐκλαβεῖν αὐτὸ δεῖ περὶ Θεοῦ εἰρημένον. Ὁ Θεὸς ἀναλλοίωτος καὶ ἄτρεπτος ὑπάρχων... ἔχομεν· τὰ γὰρ ἡμέτερα ὡς ἐκείνῳ ἐγγιζόμενα νομίζεται, οἷον ἡ λήθη ἣν ἔχομεν περὶ αὐτοῦ, ὑπολαμβάνεται αὐτοῦ εἶναι. Περὶ ἡμῶν γοῦν εἶπεν· « Ἐπελάθου νόμου Θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου. » Ὅμοιον τῷ ῥητῷ τούτῳ τὸ γραφόμενον ὑπὸ Παύλου· « Εἴ τις ἀγνοεῖ, ἀγνοεῖται· » δῆλον ὅτι ὑπὸ τοῦ εἰπόντος πρὸς τοὺς φαύλους· « Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται ἀνομίας· οὐδέποτε ὑμᾶς ἔγνων. » Ὡς οὖν ταῦτα ὁ παραπικραίνων ἑαυτοῦ τὸ ἦθος, διὰ τῆς πικροτάτης κακίας ἀντάξια πάσχων ὧν ἔδρασεν, οἴεται τὸν Θεὸν κατ' αὐτοῦ πικράζεσθαι. Εἶπεν γοῦν τοῦτ' αὐτὸ ψυχὴ δίκῃ ὑποπεσοῦσα ψήφῳ Θεοῦ δι' ἁμαρτήματα· « Ἐγὼ παραπικραίνουσα παρεπικράνθην· » ὅθεν καὶ συνορῶσα τὴν τοῦ κρίματος ἀκολουθίαν εἶπεν· « Δίκαιός ἐστιν ὁ Κύριος, ὅτι τὸ στόμα αὐτοῦ παρεπίκρανα. »

Vers. 11. Quia humanum est exacerbari, considerandum superest quomodo id de Deo dictum intelligi oporteat. Deus cum sit immutabilis... habemus. Nostra enim tanquam ei propinquantia æstimantur, veluti oblivio qua circa Deum nos laboramus, Dei esse reputatur. Ergo de nobis dixit : « Oblitus es legis Dei tui; ego quoque obliviscar filiorum tuorum[53]. » Simile est dicto huic, quod a Paulo scribitur : « Si quis ignorat, ignoratur[54]; » videlicet a Deo qui dixit improbis : « Discedite a me, operarii iniquitatis; non novi vos[55]. » Similiter ergo qui mores suos exacerbat, dum acerbissimæ suæ nequitiæ paria meritis experitur, is e contrario existimat Deum sibi esse exacerbatum. Hoc ipsum itaque dicit anima pœnæ supposita decreto Dei propter peccata : « Ego exacerbans exacerbata fui. » Unde et cernens judicii effectum ait : « Justus est Dominus, quoniam os ejus exacerbavi[56]. »

Στ. ιβ'. Ῥηθείη τὰ προκείμενα καὶ περὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, εὐφρανθέντων πάντων τῶν καραδοκούντων αὐτοῦ τὴν ἐνανθρώπησιν· ἠλπίζετο γὰρ αὕτη τοῖς προφήταις καὶ τοῖς νοοῦσι τὰς προφητείας· ἐπεδήμησεν γὰρ ὁ Θεὸς Λόγος σὰρξ γεγονὼς πρὸς... « Λόγος » γὰρ, φησὶ, « σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Οὕτω σκηνώσαντος αὐτοῦ, εἰς αἰῶνα ἀγαλλιάσονται οἱ ὑποδεξάμενοι αὐτὸν ἐν ἑαυτοῖς· ὄψονται γὰρ τοῦ κατασκηνώσαντος ἐν αὐτοῖς διὰ σαρκὸς Λόγου « τὴν δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Οὐ τοῦ χρόνου τούτου εἰς αἰῶνα ἀγαλλιώμενοι, ἔργῳ θεασάμενοι τὴν ὡς Μονογενοῦς παρὰ Πατρὸς δόξαν, οἳ φασίν· « Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν· » ἔχοντες θεωρίαν τῆς δόξης αὐτοῦ, καθ' ἣν Μονογενὴς παρὰ Πατρός ἐστιν.]

Vers. 12. Hæc dici possunt etiam de Servatoris adventu, gestientibus cunctis qui ipsius incarnationem exspectabant. Sperabant enim hanc prophetæ et quotquot prophetias intelligebant. Venit quippe Dei Verbum, caro factum ad... « Verbum » enim « caro, » inquit, « factum est, et habitavit in nobis[57]. » Sic eo inhabitante, æternaliter exsultabunt, qui eum intra se receperunt. Videbunt enim habitantis intra ipsos incarnati Verbi « gloriam quasi Unigeniti a Patre plenum gratiæ et veritatis[58]. » Illaud hujus temporis sæculo exsultant, qui reapse viderunt gloriam quasi Unigeniti a Patre; qui aiunt : « Etsi agnovimus secundum carnem Christum, nunc tam jam amplius non cognoscimus[59], » habentes contemplationem gloriæ ejus, qua Unigenitus a Patre est.

Ὅπλον καὶ στέφανος ὁ θυρεὸς, ὅπλον διὰ τοὺς πολεμοῦντας, στέφανος διὰ τοὺς νικῶντας· ὅπλον διὰ τοὺς στρατιώτας συγκακοπαθήσοντας, στέφανος διὰ τοὺς βασιλεύοντας.

Armatura et corona scutum est; armatura pugnantibus, corona victoribus; armatura militibus laborum patientibus, corona regnantibus.

PSALMUS VI.

Στ. α'. Θειοτέραν δὲ νόησιν ὁ ψαλμὸς ἔχων, ἐν ὕμνοις ἐμπεριέχεται· εἰς δὲ τὸ τέλος ᾄδεται τῷ τελεώτατα εἶναι τὰ περὶ τῆς ὀγδόης θεωρήματα. Τὴν πνευματικὴν δέ τις ἔχων περιτομὴν, Θεῷ περιτέμνεται· τὴν δὲ σαρκικὴν, οὐ πάντως· διό φησιν ὁ προφήτης· « Περιτμήθητε τῷ Θεῷ ὑμῶν, καὶ μὴ περιτέμνεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν· » [καὶ πάλιν· « Πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίαις αὐτῶν. » Ὥσπερ τοίνυν ὁ αἰσθητῶς περιτεμνόμενος περιαιρεῖ τι τοῦ

Vers. 1. Cum di viniorem sensum psalmus habeat, hymnis continetur. In finem autem canitur, quia perfectissimæ sunt illæ de octava contemplationes. Jam qui spiritalem habet circumcisionem, Deo circumciditur; qui carnalem, non item. Idcirco ait propheta : « Circumcidimini Deo vestro, et nolite circumcidi in carne præputii vestri[60]. » Et rursus : « Cunctæ gentes incircumcisæ carne, domus autem Israelis incircumcisi cordibus suis[61]. » Sicut ergo qui materialiter circumciditur, partem aliquam

[52] Ose XI, 10. [53] Ose IV, 6 [54] I Cor. XIV, 38. [55] Luc. XIII, 26. [56] Thren. I, 18. [57] Joan. I, 14.. [58] ibid. [59] II Cor. V, 16. [60] Jer. IV, 4. [61] Jer. IX, 26.

Digitized by Google

genitalis membri aufert; ita qui omnem generandi curam abjicit, corde circumciditur; veluti veri cælibes quæ sunt Domini cogitantes, ut ei placeant. Octava autem die hæc circumcisio peragitur; quia oportet extollendo se supra hunc sex diebus conditum mundum, pervenire ad septimam quæ est verum Sabbatum, sanctum et deliciosum. Et quia non sufficit ad perfectam beatitudinem vacare a creaturis mundanis, supermundialem necesse est supraque præcedentem assumere vitæ statum, quæ est octava; quam qui consequi optat, neque mundum diligit neque quidquid in eo est. Quod autem reapse lex ad hujusmodi scopum deduceret, constat inde quod necis minas intendebat puero octava die non circumciso; et non potius adversus parentes aut pueri nutritores, cum alioqui consentaneum non esset, necem ei comminari qui præcepto observando par non erat.

VERS. 2. Homo autem sensum a castigatione adeptus, dicit: « Iram Domini perferam, quia illi peccavi, donec justificet causam meam, et auferat pœnam meam, atque in lumen me educat [62]. » Sciebat enim opis ferendæ gratia fieri judicium, atque hunc exitum rei fore. Sed iracunda reprehensione melior est verbalis admonitio quæ voluntariam pœnitentiam provocat; melior, inquam, quam illa quæ non omnino voluntaria est. De verbali quidem castigatione Paulus quoque ait: « Omnia coarguta a lumine manifestantur [63]. » Nam quæ per lumen correptio fit, ea manifestatio est, ad instar demonstrationis, non peccatoribus tantummodo, verum etiam justis exhibita, Deo occulta illuminante, quæ ob ignorantiam seu malitiam tenebræ appellantur, et cordium justorum deliberationes manifestante. Sed enim quamvis improbos ira Dei exagitat et castigatio, attamen nonnisi ad bonum finem, cum ita a malo et impietate se retrahunt. Qui ergo utilitatem ex his percepit, « Benedicam te, » inquit, « Domine; quia iratus es mihi ad salutem [64]. Avertisti faciem tuam; et misertus es mei [65]. » Imo ipse Deus manifestat latentem in ira sua bonitatem dicens: « Cum ira furoris mei erit, tunc sanabo [66]. » Etsi enim « revelatur ira Dei de cœlo [67], » ea tamen « adversus omnem impietatem et injustitiam hominum [68] » tendit, ut eas de medio tollat. Quod autem ira Dei passio non sit, docet Moyses dicendo: « Misisti iram tuam, et devoravit eos tanquam stipulam [69]. » Atqui illa ira, quæ passio est, non mittitur, cum sit animæ irascibilis facultas. Sed calamitatum immissionem in improbos hic iram appellat.

VERS. 3. Sanatio animæ infirmæ est, Dei virtus; ita ut hanc expertus dicat: « Omnia possum in Christo qui me confortat [70]. » Quod vero sicubi in sacra Scriptura nominantur ossa, haud semper de materialibus sermo sit, vel hinc cognoscitur: « Omnia

A ὑπηρετοῦντος γενέσει μέλους, οὕτως ὁ πάντα φίλον γενέσει λογισμὸν ἐκβαλὼν περιτέμνεται τὴν καρδίαν· ὡς οἱ γνησίως ἀγαμοι μεριμνῶντες τὰ τοῦ Κυρίου, ἵνα αὐτῷ ἀρέσωσιν. Ἐν ὀγδόῃ δὲ ἡμέρᾳ ἡ τοιαύτη κατορθοῦται περιτομή· δεῖ γὰρ ὑπερβάντα τὸν ἐν ς' ἡμέραις γενόμενον κόσμον, ἐν τῇ ἑβδόμῃ γενέσθαι οὔσῃ ἀληθινῷ Σαββάτῳ ἁγίῳ καὶ τρυφερῷ. Καὶ ἐπεὶ οὐκ ἀρκεῖ πρὸς τελείαν μακαριότητα τὸ τῶν κοσμικῶς γινομένων ἀργῆσαι, δεῖ προαλιβεῖν τὴν ὑπερκόσμιον ὑπὲρ ταύτην κατάστασιν οὖσαν ὀγδόην· ὁ ταύτης πειραθῆναι ποθῶν, οὐκ ἀγαπήσει τὸν κόσμον οὐδὲ τὰ ἐν αὐτῷ. Ὅτι δὲ πρὸς ταύτην ὁ νόμος τὴν νόησιν ὁδηγεῖ, δῆλον ἐκ τοῦ φέρειν ἀπειλὴν ἐξολοθρεύσεως κατὰ τοῦ μὴ τῇ ὀγδόῃ περιτμηθέντος ἡμέρᾳ παιδίου, ἀλλὰ μὴ κατὰ τῶν γονέων, ἢ τῶν ἄλλως τὸ παιδίον ἀνατρεφόντων· οὐ γὰρ ἀκόλουθον B ἀπειλεῖσθαι θάνατον τῷ μηδὲ τηρεῖν δυναμένῳ τὴν ἐντολήν.

Στ. β'. Αἴσθησιν δέ τις ἐπὶ παιδείᾳ λαβὼν, λέγει· « Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι τὴν κρίσιν μου, καὶ ἀποίσει τὸ κρῖμά μου, καὶ ἐξάξει με εἰς τὸ φῶς. » Οἶδε γὰρ ὡς βοηθείας χάριν ἡ κρίσις, καὶ τοιοῦτον ἔχει τὸ πέρας· ἀλλὰ τοῦ μετ' ὀργῆς ἐλέγχου, ὁ διὰ λόγου διδασκαλίας ἀμείνων, τὴν μετάγνωσιν ἔχων ἐκούσιον, ἐκείνου μὴ πάντη τὸ ἑκούσιον ἔχοντος. Περὶ δὲ τοῦ διὰ λόγου καὶ Παῦλος ἔφη· « Τὰ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦνται. » Ἡ γὰρ παιδεία διὰ φωτὸς, φανέρωσίς ἐστιν, ἀποδείξεως τρόπῳ γινομένη· οὐχ ἁμαρτωλῶν μόνων ἀλλὰ καὶ δικαίων, φωτίζοντος τοῦ Θεοῦ τὰ κρυπτὰ, δι' ἄγνοιαν καὶ κακίαν C σκότος ὠνομασμένον, καὶ φανεροῦντος τὰς βουλὰς τῶν καρδιῶν τῶν δικαίων. Πλὴν εἰ καὶ πονηροὺς ὁ θυμὸς ἄγει καὶ ἡ παιδεία, ἀλλ' ἐπὶ τέλει χρηστῷ κωλυτικοὺς ὄντας κακίας καὶ ἀσεβείας. Τοιγαροῦν ὁ πειραθεὶς τοῦ διὰ τούτων χρησίμου, « Εὐλογήσω σε, Κύριε, φησὶν, ὅτι ὠργίσθης μοι εἰς σωτηρίαν· ἀπέστρεψας τὸ πρόσωπόν σου καὶ ἠλέησάς με. » Καὶ αὐτὸς δὲ φανεροῖ τὴν ἐγκεκρυμμένην ὁ Θεὸς ἐν τῇ ὀργῇ αὐτοῦ ἀγαθότητα λέγων· « Ὅταν ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. » Εἰ γὰρ καὶ ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ, ἀλλ' ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, ἀφανιστικὴ τούτων ὑπάρχουσα. Ὅτι δὲ μὴ πάθος ἐπὶ Θεοῦ ἡ ὀργὴ, δηλοῖ λέγων ὁ Μωϋσῆς· « Ἀπέστειλας τὴν D ὀργήν σου, καὶ κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. » Ἡ ὀργὴ γὰρ τὸ πάθος οὐκ ἀποστέλλεται, θυμικὴ δύναμις οὖσα ψυχῆς· τὴν δὲ τῶν ἐπιπόνων ἐπαγωγὴν τοῖς ἁμαρτωλοῖς, ὀργὴν ἐν τούτοις φησίν.

Στ. γ'. Ἴασις ἀσθενείας ψυχῆς, ἡ ἐκ Θεοῦ δύναμις· ὡς λέγειν τὸν ταύτης τυχόντα, « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Ὅτι δὲ οὐκ εἰ ποῦ τῆς Γραφῆς εἴρηται ὁστᾶ, οὐ πάντως περὶ τῶν αἰσθητῶν ἐστιν τὸ δηλούμενον, ἐπιστατέον τῷ, « Πάντα

[62] Mich. VII, 9. [63] Ephes. V, 13. [64] Isa. XII, 1. [65] Psal. XXIX, 8. [66] Jer. XXX, 17. [67] Rom. I, 18. [68] ibid. [69] Exod. XV, 7. [70] Philipp. IV, 13.

Digitized by Google

τὰ ὀστᾶ μου ἐροῦσιν, Κύριε, Κύριε, τίς ὁμοιός σοι; » Καὶ τῷ, « Διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. »

Στ. δ', ε'. « Καὶ σὺ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. » Ὡς ἀποστραφέντος δὲ αὐτὸν ἐν οἷς ἡμάρτανε τοῦ Θεοῦ· διὸ πάντα τὰ κατ' οἶκον γέγονεν αὐτῷ δυσχερῆ, καὶ ἡ τοῦ παιδὸς ἐπανάστασις. Ἐπίστρεψον, φησὶ, Κύριε, γενόμενος λοιπὸν εὐμενὴς, καὶ τὴν ἐμὴν ἀνάσωσον ἐκ τῆς ἀσθενείας ψυχὴν, διὰ τὴν σὴν μόνην φιλανθρωπίαν.

Τὸ « ἐπίστρεψον, » διττῶς νοεῖται. Δηλοῦται γὰρ ὅτε μὲν νόησις τοιαύτη· Ἐπεὶ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, διό τί μοι χρήσιμον παρακαλῶ ὅπως ἐπιστρέψῃς, καὶ ἐπιφάνῃς μοι αὐτό· ὅτε δὲ, παρίσταται θεωρία τοιαύτη· Ἐπεὶ ἡ ψυχή μου ἁμαρτάνουσα ἀπεστράφη ἐπὶ κακῷ τῷ ἑαυτῆς, ἐπιστρέψας αὐτὴν πρὸς ἑαυτὸν ἀνακαλούμενος (κατὰ τὸ, « Ἐπιστράφητε, υἱοὶ ἀφεστηκότες ») λύτρωσαι αὐτὴν ἀπὸ τῶν μακρυνάντων ἁμαρτημάτων καὶ τῶν ἐνεργουσῶν αὐτὰ πονηρῶν δυνάμεων.

Στ. ς'. Οἱ περὶ τοῦ κοινοῦ θανάτου ὑπονοοῦντες εἰρῆσθαι τὰ προκείμενα, σφάλλονται, μᾶλλον δὲ ἀσεβοῦσιν· οἱ γὰρ ἅγιοι ἄνδρες οὐ τότε μόνον μνήμην ἔχουσι Θεοῦ, ὅτε τὴν κοινὴν ζωὴν ἔχουσιν, ἀλλὰ πολλῷ μᾶλλον ὅτε χωρίζονται τοῦ φθαρτοῦ σώματος. Τί οὖν φησίν; Ἐπεὶ οὐδεὶς μεμνημένος σου ἐν θανάτῳ γίνεται, ὃν ἡ ἁμαρτία ἀποτίκτει· οὗτος δέ ἐστιν ὁ χωρίζων ἐναρέτου ζωῆς τὴν ἁμαρτάνουσαν ψυχήν· ποθῶ δὲ μνήμην σου ἔχειν, εἰς τοῦτ' αὐτὸ ῥέψας τὴν ἀγαθότητά σου, σῶσόν με, ἵνα μὴ ἰσχυσάσης κατ' ἐμοῦ τῆς προσούσης ἀσθενείας καὶ ταραχῆς, καταποθῶ ὑπὸ τοῦ θανάτου. Οὐ γὰρ εἴρηται, Οὐ μέμνηται Θεοῦ ὁ ἐν θανάτῳ, ἀλλ', Ὁ μνημονεύων αὐτοῦ οὐκ ἔστιν ἐν θανάτῳ, περὶ οὗ φησιν ὁ Σωτήρ· « Ὁ τὸν λόγον μου ἀκούων, θάνατον οὐ θεωρεῖ εἰς τὸν αἰῶνα. »

Στ. η'. Ὅρα εἰ δύναται τὸ, « Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου, » καὶ ἑτέραν νόησιν ἔχειν. Ὅτε σὺν δικαιοσύνῃ ἔζων, ἐνέαζον ἀεὶ ζῶν κατὰ τὴν καινότητα τοῦ πνεύματος καὶ τὴν καινὴν διαθήκην· ἐπειδὴ δὲ ἐξ ἀπροσεξίας ἡμετέρας μετέστην τοῦ ἐπαινετῶς ζῆν παρὰ τοῖς ἐχθροῖς γενάμενος, πεπαλαίωμαι, κατὰ τὴν τοῦ ἀνθρώπου ἐκείνου παλαιότητα, ὃν ἐνδύσασθαι Παῦλος παραινεῖ (φαῦλος δὲ βίος οὗτος), ἵν' ἐνδυσώμεθα τὸν νέον ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ γνώσει τῆς ἀληθείας· οὗτος δέ ἐστιν ὁ βίος ὁ ἀκηλίδωτος.

Στ. θ'. Νοήσεις δὲ ταῦτα λέγεσθαι καὶ πρὸς τοὺ τὴν συσκευὴν αὐτῷ κατεργασαμένους ἀοράτους ἐχθροὺς καὶ πονηρὰς δυνάμεις, τὰς διαφθονουμένας τῇ κατὰ Θεὸν αὐτοῦ προκοπῇ, καὶ μετὰ τὴν ἁμαρτίαν ἐπιχαρησικάκως λεγούσας, « Οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. »

A ossa mea dicent, Domine, Domine, quis similis tibi [71]? » Et rursus : « Dispersa sunt ossa nostra apud inferos [72]. »

Vers. 4, 5. « Et tu, Domine, quousque? Convertere, Domine; eripe animam meam; salva me propter misericordiam tuam. » Sic ait, quasi ab ipso Deus sit aversus propter peccata : cujus causa res cunctæ domesticæ factæ sunt ei calamitosæ, et ipsius filii rebellio obtigit. Convertere, inquit, Domine; et deinceps esto benevolus, meamque serva ex infirmitate animam, propter tuam unice benignitatem.

Verbum, « convertere, » dupliciter intelligitur. Aliquando enim sensus est hic : Quoniam avertisti faciem tuam a me, propterea rogo ut clementem B eam ad me convertas, mihique ostendas. Aliquando significatio ejus hæc est : Quoniam anima mea aversa est in malum proprium, tu convertens ipsam atque ad te revocans (juxta illud : « Convertimini qui aversi estis [73] ») redime ab elongantibus eam peccatis, et a causantibus hæc malis potestatibus.

Vers. 6. Qui opinantur dici hæc de communi morte, falluntur vel potius irreligiose sentiunt. Nam sancti homines, non tunc tantummodo Dei sunt memores, cum communem hanc vitam retinent, sed multo tunc magis cum a corruptibili hoc corpore separantur. Quid ergo ait? Quia nemo, qui tui meminerit, in mortem illam incidit, quam parit peccatum; hæc enim mors illa est quæ peccantem ani- C mam a virtutis vita separat; ego vero cupio memor esse tui, in idipsum vergens benevolentiam tuam, salva me, ne prævalente adversus me infirmitate mea atque animi perturbatione, in mortem absorbear. Non itaque dictum est, Non est memor tui qui moritur; sed, Qui memor est tui, in illam mortem non incidit, de qua Servator aiebat : « Qui sermonem meum audit, mortem non videbit in æternum [74]. »

Vers. 8. Videsis, an et alius sensus esse possit verborum, « Inveteravi inter inimicos meos. » Cum juste vivebam, juvenescebam semper vivens secundum novitatem spiritus et novum fœdus. Postquam vero ob humanam socordiam, a probo vitæ genere D excidi, inveteravi secundum illius hominis vetustatem quam exuere Paulus hortatur (loquitur scilicet de vitiosa vita) ut induamur novo homine, qui est secundum Deum creatus in sanctitate et veritatis agnitione [75]. Est autem hæc vita immaculata.

Vers. 9. Hæc dici intelliges etiam contra insidias illi struentes invisibiles hostes et malas potestates, quæ ipsius erga Deum profectui invidebant, et post patratum peccatum perverso cum gaudio aiebant : « Non est salus ipsi in Deo ejus [76]. »

[71] Psal. xxxiv, 10. [72] Psal. cxl, 7. [73] Jer. iii, 14, 22. [74] Joan. viii, 51. [75] Ephes. iv, 24. [76] Psal. iii, 3.

Digitized by Google

VERS. 11. Laudabili mentis proposito pro inimicis orat; vult enim ipsos pudere actuum suorum, quibus et justorum et Dei hostes erant. Id autem ipsis utile futurum erat; nam qui ex sensu intimo puderem contrahit, et ob patratum a se scelus perhorrescit, pœnitentia tactus peccare ulterius desinet. Explanatio hæc confirmatur a subsequente commate : « Convertantur conturbati hostes retrorsum, » haud ulterius malitia sua provecti, sed ad probam illam quam deseruerant vitam reversi. Quod utinam bonum ipsis, haud post diuturnam moram vel lente fiat, sed valde velociter!

A Στ. ια'. Ἀγαθῇ προθέσει εὔχεται ὑπὲρ τῶν ἐχθρῶν· θέλει γὰρ αὐτοὺς αἰσχυνθῆναι ἐφ' οἷς ἔπραττον, δι' ἃ καὶ ἐχθροὶ τῶν δικαίων καὶ τοῦ Θεοῦ ἦσαν. Ἔσται δὲ τοῦτ' αὐτοῖς ἐπωφελές· ὁ γὰρ ἐξ αἰσθήσεως αἰσχυνθεὶς, καὶ ταραχθεὶς ἐπὶ τῇ ἐνεργουμένῃ ὑπ' αὐτοῦ κακίᾳ, καταγνοὺς αὐτῆς πεπαύσεται τοῦ ἐνεργεῖν ἔτι. Οὕτω βαιβαιοῦται ἡ ἐξήγησις ἐκ τοῦ ἐπιφερομένου στίχου οὕτως ἔχοντος· « Ἐπιστραφείησαν ταραχθέντες οἱ ἐχθροὶ εἰς τὰ ὀπίσω, » μηκέτι τῆς κακίας ἔμπροσθεν ἐλαύνοντες, ἀλλ' ἀνακάμπτοντες εἰς ἣν κατέλιπον ἐνάρετον πολιτείαν. Τοῦτο δὲ αὐτὸ πρὸς ἀγαθοῦ γινόμενον αὐτοῖς, μὴ ἐν ὑπερθέσει χρονικῇ ἢ ἀνειμένως, ἀλλὰ σφόδρα διὰ τάχους.

PSALMUS VII.

VERS. 1. Chusi Jemini filius dictus est, ex gente unde Saul et Semei oriundi erant, et qui Saulis nuntium attulit : filius autem Arachi, qui ejus pater erat; amicus summus, id est amicorum princeps, et vetere amicitia conjunctus. Canit autem psalmum, practice simul et theoretice eum proferens. Dictum porro fuit a nobis in quarti psalmi titulo, vocabulo psalmi denotari praxim, cantici vero theoriam; et quoniam sunt etiam tituli, in quibus scribitur psalmus cantici, vel canticum psalmi, dicendum est psalmi canticum esse theoriam practicæ vitæ et morum disciplinæ; cantici vero psalmum, illam esse necessario, ad veritatis contemplationem, adjunctam praxim. Multa enim fiunt supra sapientiæ contemplationem, quæ psalmum cantici haud inconcrue dicas. His ita observatis, apte præsentem psalmum canit David in re gesta versantem, speculans simul circa rem quamlibet gestam sapienter ac plane divinitus : cognoscere avens, quid horum singula significent, quæ materialiter sic aguntur. Sed age ipsa psalmi verba ponemus, quæ ita exordiuntur : « Domine Deus meus, in te speravi, » etc.

B Στ. α'. Χουσὶ υἱὸς Ἰεμενὶ ἐκλήθη, ἀπὸ τοῦ δήμου ὅθεν ἦν ὁ Σαοὺλ καὶ ὁ Σεμεῖ καὶ ὁ τὴν ἀγγελίαν καταμηνύσας τοῦ Σαούλ· υἱὸς δὲ Ἀραχὶ, ἀπὸ τοῦ πατρός· ἀρχιεταῖρος δὲ, ὁ ἄρχων τῶν φίλων καὶ παλαιὸς κατὰ τὴν φιλίαν. Ἄδει δὲ τὸν ψαλμὸν, πρακτικῶς ἅμα καὶ θεωρητικῶς αὐτὸν προφέρων. Εἴρηται δὲ ἐν τῇ ἐπιγραφῇ τοῦ τετάρτου, ὡς πρᾶξιν ὁ ψαλμὸς, θεωρίαν δὲ ἡ ᾠδὴ δηλοῖ· καὶ ἐπεὶ εἰσὶν ἐπιγραφαὶ ἔχουσαι ψαλμὸν ᾠδῆς, ἢ ᾠδὴν ψαλμοῦ, ῥητέον περὶ αὐτῶν, ὡς ψαλμοῦ μὲν ᾠδή ἐστιν, ἡ περὶ πρακτικῶν καὶ ἠθικῆς παιδεύσεως θεωρία· ψαλμὸς δὲ ᾠδῆς, ἢ ἀναγκαίως ἐν τῷ θεωρεῖν τὴν ἀλήθειαν παραλαμβανομένη πρᾶξις. Πολλὰ γὰρ πράττεται ὑπὲρ θεωρίας τῆς σοφίας, ἃ ψαλμὸν ᾠδῆς, οὐκ ἀπὸ σκοποῦ τις ἐρεῖ. Τούτων ὧδε θεωρουμένων, εἰκότως τὸν προκείμενον C ψαλμὸν ᾄδει ὁ Δαυὶδ πρακτικὸν ὄντα, θεωρῶν περὶ ἑκάστου τῶν πραττομένων σοφῶς καὶ πάνυ θεοπρεπῶς· γνῶναι θέλων τί ἕκαστον δηλοῦται ἐκ τῶν οὕτως αἰσθητῶς ἐπιτελουμένων. Ἐκθετέον δὲ καὶ αὐτὰς τὰς τοῦ ψαλμοῦ λέξεις, οὕτως ἀρχομένας. « Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα, » κ. τ. λ.

VERS. 2. Quis vero iste est, nisi qui ait : « Non est qui salvet, præter me [77]? » qui venit quærere et salvare quod perierat, et dare animam suam redemptionem pro multis. Hæc autem ostendunt, quod Deus Pater per Filium Deum salvat. Quamobrem non est in prædictis verbis distinguenda deitas Patris ac Filii, secus ac quibusdam visum est.

Στ. β'. Τίς δὲ οὗτος, ἢ ὁ εἰπὼν, « Σώζων οὐκ ἔστιν πάρεξ ἐμοῦ; » ὁ ἐληλυθὼς ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Ταῦτα δὲ δηλοῖ, ὡς ὁ Πατὴρ Θεὸς ὢν, σώζει διὰ Υἱοῦ Θεοῦ Λόγου ὄντος· ὅθεν οὐδὲ ἐν τοῖς προκειμένοις διαιρετέον τὴν θεότητα Πατρὸς καὶ Υἱοῦ, ὡς ἔδοξέ τισιν (12).

VERS. 6. Vel ita dicatur : Excelsum in inimicorum finibus apparere orat Deum. Sic enim, inquit, finem habebit iniquitas, cujus causa mihi inimici sunt. Fortasse etiam fines inimicorum dicit superbiam, in quam elati, firmitatem se habituros in optimis finibus arbitrantur.

D Στ. ς'. Λεγέσθω καὶ οὕτως. Ὑψηλὸν ἐν τοῖς πέρασι τῶν ἐχθρῶν ὀφθῆναι παρακαλεῖ τὸν Θεόν. Οὕτω γὰρ, φησὶ, τέλος ἕξει τὰ τῆς ἀδικίας, δι' ὧν ἐχθροί μοι, τυγχάνουσι. Λέγει δὲ ἂν καὶ πέρατα ἐχθρῶν τὰς ἀλαζονείας, ἐφ' ἃς φθάσαντες, τὸ βέβαιον ἕξειν ἐν τέλεσιν ἀρίστοις νομίζουσιν.

VERS. 9. Nonnisi pro merito innocentiæ ac justitiæ meæ tuam infer sententiam. Sic enim justificabor, nulla inventa in actibus meis iniquitate. Innocentia vero haud hoc loco fatuitas quodammodo intelligenda est, juxta illud : « Innocens

Στ. θ'. Μονονουχὶ κατὰ τὴν ἀκακίαν καὶ δικαιοσύνην τὴν ἐμὴν, ἐπάγαγε σοῦ τὸ κρῖμα· οὕτω γὰρ καὶ δικαιωθήσομαι, ἀδικίας οὐχ εὑρισκομένης ἐν ταῖς πράξεσίν μου. Ἀκακίαν δὲ ἐν τούτοις, φησὶν, οὐ τὴν εὐήθειαν ἐκληπτέον, κατὰ τὸ γεγραμμένον.

[77] Isa. XLV, 21.

(12) Innuit Arianos, quibus vivente Didymo adhuc redundabat Alexandria.

Digitized by Google

« Ἄκακος πιστεύει παντὶ λόγῳ· » ἀλλὰ τὴν ἁπλότητα τὴν δόλου καθαρεύουσαν· καθ' ὃ σημαινόμενον εἴρηται πρὸς τὸν Θεὸν ὑπὸ τοῦ ἁγίου· « Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου· » καὶ τὸ, « Ἐν ἀκακίᾳ μου ἐπορεύθην. » Φερομένου δὲ ἔν τισιν ἀντιγράφοις, « Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, » ἐξηγητέον τὴν λέξιν οὕτως· Ἔστι τις δικαιοσύνη Θεοῦ ἀνθρώποις ἐφικτή, διαστελλομένη πρὸς δικαιοσύνην ὑποδεεστέραν. Παῦλος γοῦν περὶ τῆς διαφορᾶς τούτων γράφων περὶ Ἰουδαίων· « Μαρτυρῶ γὰρ αὐτοῖς, » ἔφη, « ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν θέλοντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. » Θεοῦ δὲ δικαιοσύνην λέγων, τὴν εἰς πάντας τοὺς πιστεύοντας διὰ Ἰησοῦ Χριστοῦ γινομένην· ἣν καὶ αὐτὸς ἔχειν ποθήσας, λέγει πάντα ἀποπεπέμφθαι δι' ἃ Ἰουδαϊκῶς δίκαιος ὑπῆρχεν, ἵνα εὑρεθῇ τὴν ἐκ Θεοῦ διὰ πίστεως δικαιοσύνην ἔχων, καὶ μὴ τὴν ἑαυτοῦ· ταύτην καὶ τοῖς μαθηταῖς ὑπαρχθῆναι ὁ Ἰησοῦς θέλων, εἶπεν πρὸς αὐτούς· « Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Ταύτης τῆς διαστολῆς οὔσης, ἀνθρωπίνης δικαιοσύνης καὶ τῆς τοῦ Θεοῦ, κατὰ τὴν τοῦ Δεσπότου βούλεται κριθῆναι· εἰδὼς ὡς ἀποδήσεται αὐτῷ εἰς σωτηρίαν τὸ οὕτω κριθῆναι.

Στ. ι'. Ἐπὶ Θεῷ τὸ « ἐξετάζειν καὶ ἐρευνᾷν καρδίας, » οὐ τὸ ζητεῖν καὶ ἀνιχνεύειν δηλοῖ, ἀλλὰ παντελῆ κατάληψιν ἔχειν. Νεφροὺς δὲ, ψυχῆς νοητὰς ἀκουατέον δυνάμεις. Ἀμέλει περὶ φαύλων εἴρηται· Ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν, πόρρω δὲ ἀπὸ τῶν νεφρῶν. — Δυνάμει τοῦτο διδάσκει· εἰ τοὺς εὐθεῖς τῇ καρδίᾳ σώζει, ἀπαιτῶ δικαίαν βοήθειαν· παρ' αὐτοῦ, ἔφη, σωθήσομαι, εὐθεῖαν καρδίαν ἔχων ἐκτὸς οὖσαν παντὸς δόλου· διὸ καὶ ἐπὶ τῇ ἀκακίᾳ μου κριθῆναι δέομαι.

Στ. ιε'. Ὁ ὠδινήσας ἀνομίαν, συνέλαβεν πόνον ἐπὶ τῷ τεκεῖν ἀδικίαν· ταῦτα τὰ γεννήματα ὄλεθρον τῷ κυήσαντι προξενεῖ κολασθησομένῳ δι' ἀνομίαν· καὶ ἀδικίαν ἃ ἐποίησεν· οἷς καταλλήλως, καὶ πόνον τὸν ἐν τῇ κολάσει συλλήψεται, ἢ πόνον τὸν ἐπὶ τῷ ἁμαρτάνειν· βαρυτάτη γὰρ καὶ ἐπαχθὴς ἡ τῆς ἀνομίας ἐργασία παραβαλλομένη ταλάντῳ μολίβου· οὐδὲν γὰρ κατωφερέστερον τῆς κακίας, ἀεὶ κάτω φερούσης τὸν κατ' αὐτὴν ποιωθέντα. Εἴρηταί τισιν ὡς διὰ τὸ ἄτακτον τῆς κακίας, πρὸ τῆς συλλήψεως τῆς ὠδινήσεως λεχθείσης· ἐπὶ γὰρ τῶν κυουσῶν μετὰ τὴν σύλληψιν, ἡ ὠδὶν, μεθ' ἣν τὸ τεκεῖν· ἐνταῦθα δὲ πρὸ τῆς συλλήψεως ἡ ὠδὶν ὠνόμασται, τῷ μηδὲν τῶν ἐν κακίᾳ εἰρμὸν καὶ τάξιν ἔχειν. Εὖ δὲ καὶ τὸ προτετάχθαι τῆς ἀδικίας τὴν ἀνομίαν· ἐκ ταύτης γὰρ ἄνομος γεγονώς τις, οὐκ ἔτι ὑπὸ τὸν νόμον ἐστὶν τῆς δικαιοσύνης· ὡς λοιπὸν καὶ κατὰ τῶν ἄλλων ἀνθρώπων ἐπιτίθεσθαι ἐπὶ τὸ ἀδικεῖν αὐτούς. Εὑρίσκεται τοῦτο μάλιστα περὶ τοῦ Κάϊν· πρότερον γὰρ ἄνομος

A homo fidem adjungit omni verbo[78]; sed simplicitas potius doli pura[78a]: » quo sensu dictum est ab hoc sancto viro: « Propter innocentiam meam suscepisti me[79]. » Item: « In innocentia mea ambulavi[79a]. » Quod autem in quibusdam exemplaribus legitur: « Judica me, Domine, secundum justitiam tuam[80]; » dictio sic est explananda: Est quædam justitia Dei, quam homines assequi possunt, quæque abs deteriore alia justitia distincta est. Paulus itaque de harum differentia circa Judæos scribens: « Testor, » inquit, « illis quod zelum Dei habeant, sed non secundum scientiam. Nescientes enim justitiam Dei, suamque stabilire volentes, justitiæ Dei non obediverunt[81]. » Dei nimirum justitiam dicens illam, quæ cunctis credentibus per Jesum Christum B datur: quam ipse quoque habere cupiens, omnibus dicit valedixisse, quibus Judaice justus erat, ut habere comperiretur illam quæ ex Deo est justitiam, nequaquam vero suam. Hanc discipulos quoque habere volens Jesus, aiebat eis: « Nisi abundaverit justitia vestra plus quam scribarum et pharisæorum, non intrabitis in regnum cœlorum[82]. » Age vero hac statuta differentia humanæ justitiæ ab illa Dei, secundum Domini justitiam Psalmista vult judicari; probe sciens, salutare sibi fore, ita judicari.

Vers. 10. Cum de Deo sermo est, verba « examinare corda atque scrutari » nequaquam denotant quærere et investigare, sed omnimodam potius comprehensionem habere. Renes autem intelligere C oportet intellectuales animæ facultates. Certe de stultis dictum est: Prope es ori eorum, sed renibus procul. — Virtualiter hoc docet; si rectos corde salvat, justum postulo auxilium. Ab ipso, inquit, salvabor, quia rectum cor habeo et omni dolo vacuum. Quamobrem secundum innocentiam meam judicari rogo.

Vers. 15. Qui parturiit iniquitatem, conceperat laborem, ut pareret injustitiam. Partus hi perniciem parienti inferunt, propter suam iniquitatem atque injustitiam puniendo: quarum causa laborem in punitione experietur, vel in ipso patrando peccato. Gravissima enim est et permolesta iniquitatis operatio, et quæ plumbi talento comparari D queat[83]: nihil enim ponderosius est nequitia, quæ semper ad ima inclinat hominem ipsa suffarcinatum. Aiunt nonnulli, propter nequitiæ perturbatam indolem, dictam esse parturitionem ante conceptionem; nam certe in gravidis post conceptionem fit dolor, et post hunc partus: hic autem ante conceptionem dolor nominatur, quia nullum habet nequitia ordinem vel sequelam. Bene item iniquitas ante anarchiam nominatur. Namque iniquitate factus homo transgressor, jam deinceps sub justitiæ lege non est: imo et cæteris hominibus animum intendit, ut eos injuria afficiat. Hoc in Cain præci-

[78] Prov. xiv, 15. [78a] Psal. xl, 13. [79] Psal. xxv, 1, 11. [80] Psal. xxxiv, 24. [81] Rom. x, 2, 3. [82] Matth. v, 20. [83] Zach. v, 7.

Digitized by Google

pue compertum est : qui primo factus iniquus, quia non recte quæ Deo sacrificanda erant divisit; deinde etiam injustitiam peperit, parricidialem manum fratri inferens [84]. Sed diabolo in primis conveniunt dictiones hæ, malorum origini, quia ante omnes iniquus injustusque fuit. Sane qui peccat primo se ipsum, deinde alium vel alios lædit; nam cum damnosum noxiumque sit peccatum, id apprime peccantem lædit mulcatque. « Siquidem viri stultitia vias ejusdem pessumdat [85]. » Unde commode dictum est : « Peccatores persequentur mala [86]. » Quis vero puteus quem sibi effodit ille qui hic reprehenditur, nisi ipsum quod perpetravit peccatum? Scriptum est enim de anima peccatrice : « Sicut frigefacit puteus aquam, ita frigefacit animam nequitia ipsius [87]. » Porro fovea sæpe in Scriptura pro nequitia sumitur, veluti : « Si cæcus cæco ducatum præstet, ambo in foveam cadent [88]. » Namque et hoc loco intelligendi sunt magistri simul atque discipuli vecordia et reliqua nequitia excutientes.

A γεγονὼς, τῷ μὴ ὀρθῶς διαιρεῖν ἃ ἔδει Θεῷ θύειν· ὕστερον καὶ ἀδικίαν ἔτεκεν, φονικῶς ἐπιθέμενος τῷ ἀδελφῷ. Μάλιστα δὲ τῷ διαβόλῳ προσοικειοῦνται αἱ φωναὶ αὗται, ἀρχεκάκῳ ὄντι, διὰ τὸ πρὸ πάντων ἠὐμηκέναι (13) καὶ ἠδικηκέναι. Καὶ πᾶς δὲ ἁμαρτάνων πρῶτον ἑαυτὸν, εἶτα ἄλλον ἢ ἄλλους βλάπτει· ἐπιζήμιον γὰρ καὶ βλαπτικὸν ὂν τὸ κακὸν, πρὸ πάντων τὸν μετέχοντα αὐτὸν ζημιοῖ καὶ βλάπτει. « Ἀφροσύνη γὰρ ἀνδρὸς λαμαίνεται τὰς ὁδοὺς αὐτοῦ. » Ὅθεν προσφυῶς εἴρηται τὸ « Ἁμαρτάνοντας καταδιώξεται κακά. » Τίς δὲ ὁ λάκκος ὃν ὤρυξεν ὁ ψεγόμενος, ἢ ἣν ἐποίησεν κακίαν; Γέγραπται γὰρ περὶ ἁμαρτανούσης ψυχῆς· « Ὡς ψύχει λάκκος ὕδωρ, οὕτω ψύχει κακία αὐτῆς. » Βόθρος δὲ πολλαχοῦ τῆς Γραφῆς ἀντὶ κακίας λαμβάνεται· ὡς ἐπὶ, « Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι ἐμπεσοῦνται εἰς βόθρον. » Καὶ ἐνταῦθα γὰρ τοὺς ὑπ' ἀνοίας καὶ ἄλλης κακίας τυφλοὺς διδασκάλους καὶ μαθητὰς ἐκληπτέον.

B

Vers. 18. Qui a spe erga Dominum Deum suum psalmi initium fecerat, nunc in gratiarum actione desinit, ut par est, postulata consecutus, aut fiducialiter præstolans. Nam gratiarum actionem hic continet verbum *confitebor*; quare et *psallam* ei connectitur. Confitetur autem non quolibet modo, sed secundum justitiam Dei : et psallit non perfunctorie, sed Domini altissimi nomini, ceu si illud invocatum, jam sibi impetraverit, quia celsus per sanctitatem et virtutem est. Nemo enim abjectus, sed is tantummodo qui pietate in altum elatus fuerit, Altissimi appellationem participat.

Στ. ιη'. Ἀπὸ τοῦ ἐλπίζειν ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ ἀρξάμενος τοῦ ψαλμοῦ, εἰς εὐχαριστίαν καταπαύει, ὡς εἰκὸς, τυχὼν τῶν αἰτηθέντων, ἢ πιστῶς προσδοκῶν αὐτά. Εὐχαριστίαν γὰρ δηλοῖ ἐνταῦθα τὸ *ἐξομολογήσομαι*. Διὸ καὶ συνέζευκται αὐτῷ τὸ *ψαλῶ*. Ἐξομολογεῖται δὲ οὐχ ὡς ἔτυχεν, ἀλλὰ κατὰ τὴν δικαιοσύνην τοῦ Θεοῦ· καὶ ψάλλει οὐ παρέργως, ἀλλὰ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου· ὡς ἤδη σχὼν ἐπικεκλημένον ἑαυτῷ αὐτό· διὸ καὶ ὑψηλὸς κατὰ ἁγιότητα καὶ ἀρετὴν ἐστιν. Οὐδεὶς γὰρ ταπεινὸς, ἀλλὰ μόνος ὁ ὑπὲρ εὐσεβείας μετεωριζόμενος, μετέχει τῆς τοῦ Ὑψίστου προσηγορίας.

C

PSALMUS VIII.

Vers. 1. Uniuscujusque hominis vita apud sacras Scripturas vinea appellatur. Idcirco etiam Nabuthes mori maluit, quam tyrannice spoliari ab illo qui ex ea hortum olusculorum facere, volebat [89]. Significabat enim illa vinea hanc militantem vitam, practicam simul et theoreticam, quam improbi trahere ad temporalia volunt, atque ad cito marcescentia negotia, cujusmodi olera sunt; nam sicut olera, celeriter decident. De his vineis sponsa dicit : « Filii matris meæ pugnaverunt contra me; posuerunt me custodem in vineis; vineam meam non custodivi [90]. » Qui in hac vinea fructificat botros veritatis, uvam quoque fert; quam suo tempore decerpere oportet, et in torcularia congerere, ut compressa vinum efficiat cor hominis lætificans [91]. Et alii quidem veritatis doctrinas, alii opera spiritalia germinant. Neque unum est torcular; multæ enim practicæ virtutes, et singularum fructui peculiare paratum est torcular : veluti ad pudicitiæ torcular hi qui cælibatum recte tenent suos fructus conferunt, nec non illi qui torum immaculatum servant; sic et cæteri. Multa etiam theoreticæ vitæ sunt torcularia, ad quæ deferunt dogmata ii qui

Στ. α'. Ὁ γὰρ ἑκάστου βίος ἀμπελὼν κατὰ τὰς Γραφὰς καλεῖται· διὸ καὶ Ναβουθαὶ τεθνάναι μᾶλλον εἵλετο, ἢ τυραννικῶς ἁφαιρεθῆναι παρὰ τοῦ θελήσαντος κῆπον αὐτὸν λαχάνων ποιῆσαι. Ἦν γὰρ ἀμπελὼν περιμάχητος βίος, ὢν πρακτικὸς ἅμα καὶ θεωρητικὸς, ὃν πονηροὶ κατασπᾶν εἰς πρόσκαιρα βούλονται καὶ ταχὺ μαραινόμενα πράγματα, οἷόπερ τὰ λάχανα· ὡσεὶ λάχανα γὰρ ταχὺ ἀποπεσοῦνται. Περὶ τοιούτων ἀμπελώνων ἡ νύμφη φησίν· « Υἱοὶ μητρός μου ἐμαχήσαντο ἐν ἐμοί· ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. » Ὁ κατὰ τὸν τοιοῦτον ἀμπελῶνα καρποφορῶν βότρυς ἀληθείας, καὶ σταφυλὴν φέρει, οὓς ὅτε καιρὸς δρέψασθαι προσήκει καὶ εἰς ληνοὺς ἀπαγαγεῖν, ὡς ἂν ἐκθλιβέντα οἶνον ποιήσωσι τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου· τῶν μὲν ἀληθείας θεωρήματα, τῶν δὲ ἔργα καρποφορούντων πνευματικά. Οὐ μία δὴ ἡ ληνός· πολλαὶ γὰρ αἱ πρακτικαὶ ἀρεταὶ, καὶ τοῦ καρποῦ ἑκάστης οἰκεία τις ἔσται ληνός· οἷον ἐπὶ τὴν τῆς σωφροσύνης ληνὸν οἱ ἀγαμίαν κατορθώσαντες φέρουσι τοὺς καρποὺς, καὶ οἱ κοίτην τηροῦντες ἀμίαντον· οὕτως ἐπὶ τῶν ἄλλων· πλείους δὲ καὶ τοῦ θεωρητικοῦ βίου τυγχάνουσιν αἱ ληνοὶ, εἰς ἃς τὰ

D

[84] Gen. IV, 7 sqq. [85] Prov. XIX, 3. [86] Prov. XIII, 21. [87] Jer. VI, 7. [88] Matth. XV, 14. [89] III Reg. XXI, 2 sqq. [90] Cant. I, 5. [91] Psal. CIII, 15.

(13) Lege ἠνομηκέναι. Edit. Patrol.

Digitized by Google

δόγματα φέρουσιν οἱ καρποφοροῦντες τῆς ἀληθείας τὰ θεωρήματα. Ταῦτα δέ φαμεν, οὐκ ἀναιροῦντες τῶν ἀρετῶν τὴν ἀντακολούθησιν, ἀλλ' ἐπεὶ μὴ πρὸς πάσας οἱ μετιόντες ῥοπὴν ἔχουσιν· ἀφ' ἧς δὲ μᾶλλον ἕκαστος μετέχει, τὸ γνώρισμα φέρεται. Διάφοροι γὰρ καὶ ἐν Εὐαγγελίοις ἐντεῦθέν εἰσιν οἱ μακαρισμοί. Ἀλλὰ καὶ ἐν ἀριθμῷ οἰκείῳ ἡ ὡδὴ αὕτη τέτακται, οὖσα ὀγδόη· ἔχει γὰρ συμφωνίαν πολλὴν πρὸς τὴν ἀναστάσιμον ἡμέραν τοῦ Κυρίου· ἐν ᾗ τρυγετὸς πολλῶν ἀμπέλων γέγονεν, ἀποσταλέντων τῶν μαθητῶν μαρτυρῆσαι τῷ ἀναστάντι ἕως ἐσχάτου τῆς γῆς.

Πάλαι μὲν οὖν ἐῤῥέθη περὶ Θεοῦ· « Ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ· » νῦν δὲ πεπλήρωται περὶ αὐτοῦ ἡ λέγουσα προφητεία· « Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ· » αὐτὸς γάρ ἐστιν ἡ τῶν ἐθνῶν προσδοκία. Διὸ καὶ θαυμαστὸν αὐτοῦ παρὰ πᾶσι τοὔνομα· καὶ τὴν αἰτίαν ἐπάγει, τὴν ἀνάληψιν τὴν αὐτοῦ· « Ἐμεγάλυνε γὰρ ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, » ἐν ἄλλῳ λέγει ψαλμῷ. Οὐκ ἄλλη δὲ τῆς οἰκονομίας αὐτοῦ ἡ ἐπαρθεῖσα μεγαλοπρέπεια. Τί γάρ ἐστιν ἐν αὐτῇ μὴ ἔχον ἐν μεγάλοις τὸ πρέπον; Αὐτὴ τοίνυν ἐπῄρθη, καθίσαντος ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, μετὰ τὸ καθαρισμὸν τῶν ἁμαρτιῶν πεποιηκέναι· οὕτω νοητέον, καὶ ὑψηλότερον αὐτὸν τῶν οὐρανῶν γεγονέναι μετὰ τὴν ἀνάστασιν. Νήπιοι δὲ πάντες οἱ προσελθόντες τῇ πίστει, νηπιάζοντες τῇ κακίᾳ. Τοὺς ἔτι δὲ θηλάζοντας οἱ νηπιάζοντες ὑπερέβησαν ἡλικίᾳ, καὶ τούτοις τὸ μετὰ τὸ γάλα βρῶμα κατάλληλον· τοιοῦτοι δὲ πάντες οἱ στραφέντες καὶ γενόμενοι ὡς τὰ παιδία.

Στ. δ'. Ἔστι δὲ τοῖς ἀκριβῶς κατανοοῦσι προσδοκία τοῦ δύνασθαι μαθεῖν τοὺς οὐρανοὺς καὶ τὰ ἐν αὐτοῖς τίνα τρόπον τεθεμελίωται πρὸς οὐσίαν ἐλθόντα. Λέγοις δ' ἂν καὶ οὐρανοὺς τοὺς τὰ ἄνω φρονοῦντας, καὶ οὐ τὰ πρόσκαιρα· οὗτοι γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· σελήνην δὲ τὴν Ἐκκλησίαν· καὶ ἀστέρας τοὺς ἀκούσαντας, « Ὑμεῖς τὸ φῶς τοῦ κόσμου· » ὡς εἶναι ταυτὸν τοῦτο τῷ τοὺς ἀνθρώπους ἔργα εἶναι τῶν τοῦ Θεοῦ χειρῶν· « Ἔργα γάρ, φησὶ, τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. » Εἰ μή τις λέγει τὰ μεγαλοφυέστερα τῶν κτισμάτων Θεοῦ γενέσθαι χερσὶν, τὰ δ' ἄλλα δακτύλοις αὐτοῦ. Σαφηνίζων δὲ ὡς κατὰ τὸ σῶμα τὸν ἄνθρωπον ἔλαβεν, ἐπάγει τὸ, « ἢ υἱὸς ἀνθρώπου. » Κατὰ σῶμα γὰρ, οὐ κατὰ ψυχὴν, υἱός τις ἀνθρώπου ἐστίν. Μεθ' ὃν (14) δεικνὺς τὴν λογικὴν οὐσίαν, ταύτης τὸ μέγεθος ἐπιφέρει.

Στ. ε'. Οὐκ εἶπε δὲ ὅτι, Ἔπλασας αὐτὸν, οὐ γὰρ περὶ δημιουργίας, ἀλλὰ προνοίας νῦν διαλέγεται. Ἐκτραγῳδεῖ δὲ πολλάκις ἡ Γραφὴ τὴν ἀνθρωπίνην εὐτέλειαν· « Ἄνθρωπος » γὰρ, φησὶν, « ματαιότητι ὡμοιώθη· αἱ ἡμέραι αὐτοῦ ὡς σκιαὶ παράγουσι· » καὶ πάλιν· « Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· ὅτι πνεῦμα

A veritatis theoremata germinant. Jam vero hæc dicimus, haud perimentes virtutum nexum atque sequelam ; sed quia non ad omnes virtutes cuncti inclinantur : ideo quam quisque magis participat, ex ea peculiariter inclarescit. Hinc etiam in Evangeliis diversæ sunt beatitudines. Sed et in proprio numero ode hæc ponitur, quæ est octava ; habet enim congruentiam multam cum resurrectionis Dominicæ die, in qua vinearum multarum vindemia fuit, quia missi fuerunt discipuli ad dandum ei qui resurrexerat testimonium usque ad extrema terræ.

Olim quidem de Deo dictum fuit : « In Israel magnum nomen ejus [92] ; » at nunc impletum est de illo vaticinium, quod dicit : « Omnes gentes servient ei [93]. » Ipse enim est exspectatio gentium. Idcirco B admirabile est apud omnes nomen ejus. Cujus rei causam esse dicit ejusdem assumptionem : « Quoniam magnificavit super omne nomen sanctum suum [94], » in alio psalmo ait. Non est autem alia præ ejus incarnatione elevata magnificentia. Quid enim in ipsa est nisi magnificentissimum ? Ipsa igitur exaltata est, illo post expiationem peccatorum sedente ad dexteram majestatis in excelsis ; et sic intelligendum illud, quod nempe post resurrectionem cœlis excelsior factus sit [95]. Infantes vero sunt omnes, qui accedentes ad fidem, parvuli sunt malitia. Illos tamen lactentes, hi qui parvuli sunt, ætate superant, estque ipsis, post lac, cibus dandus idoneus. Istiusmodi autem sunt omnes qui conversi sunt, et effecti tanquam parvuli.

C Vers. 4. His qui sedulo speculantur, spes quædam est cognoscendi cœlos et in eis contenta, et quemadmodum fundata sint cum primo cœperunt exsistere. Potes etiam dicere cœlos homines qui superna sapiunt et non temporalia. Namque hi reapse cœli enarrant gloriam Dei [96]. Lunam potes intelligere Ecclesiam. Sidera illos qui audierunt : « Vos estis lux mundi [97]. » Quare perinde est ac si dicat homines esse opera manuum Dei. « Opera enim manuum tuarum sunt cœli [98]. » Nisi forte dicit grandiora opera creaturas esse manu um Dei ; reliqua, digitorum ejusdem. Ut autem ostendat se de hominis corpore loqui, addit : « aut filius hominis. » Nam corpore non anima quisque est hominis filius. D Postea rationalem substantiam esse denotans, hujus præstantiam subjungit.

Vers. 5. Non dixit, Formasti eum ; neque enim de creatione sed de providentia nunc loquitur. Deplorat autem sæpenumero Scriptura humanam vilitatem : « Homo » enim, inquit, « vanitati similis factus est ; dies ejus sicut umbra prætereunt [99] ; » et rursus : « Homo, sicut fenum dies ejus ; sicut flos agri, ita efflorebit ; quia spiritus pertransit in illo,

[92] Psal. LXXV, 2. [93] Psal. LXXI, 11. [94] Psal. IV, 4. [95] Hebr. XII, 26. [96] Psal. XVIII, 2. [97] Matth. V, 14. [98] Psal. CI, 26. [99] Psal. CXLIII, 4.

(14) Forte legendum μεθ' ὅ, vel μεθ' ἃ. Edit. Patrol.

Digitized by Google

et non suss.stet, et non cognoscetur amplius locus ejus [1]. »

VERS. 8. Videsis quid sequitur. Haud cunctis prorsus mortalibus animantibus imperare homo dicitur, sed cicuribus : non enim monoceronti dominatur, neque aliis validis ac silvestribus, tanquam cicuribus, dominari affirmatur, ut patet ex his verbis : « Oves et boves et pecora campi, » etc. Atque hæc præclare dicta puto ; etenim ante transgressionem, feris quoque imperabat homo. Imo justi homines post transgressionem quoque his imperitaverunt ; veluti Daniel in leonum lacum conjectus, nullumque ab his detrimentum passus [2]. Item Paulus colubrum manu sua excussit in ignem [3]. Feræ enim silvestres, inquit, pacificæ erunt tibi. Præterea in jumentis agri comprehenduntur etiam feræ ut ex genesi discimus.

VERS. 10. « Domine noster, quam admirabile est nomen tuum in universa terra ! » Decebat canticum in Salvatoris resurrectione dictum, similem initio habere finem. Nam reapse et incipiens et desinens, eadem locutione utitur, docente Spiritu, ut initio finis respondeat. Denique verba, « Quam admirabile est nomen tuum, » consonant illis : « Universa terra adoret te, tibique psallat [4]. »

A διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. »

Στ. η'. Ὅρα τὴν ἀκολουθίαν· οὐ καθάπαξ πάντων θνητῶν ζώων ἄρχειν τέθειται, ἀλλὰ τῶν ἡμέρων· οὐ γὰρ κρατεῖ μονοκέρωτος, οὐδὲ τῶν ἄλλων ἰσχυρῶν τε καὶ ἀγρίων παρίσταται ὡς ἡμέρων ἄρχειν, ἐκ τοῦ· « Πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, » καὶ τὰ ἑξῆς. Νομίζω τοῦτο καλῶς εἰρῆσθαι· πρὸ γὰρ τῆς παραβάσεως, καὶ τούτων ἦρχεν ὁ ἄνθρωπος· οἱ δίκαιοι δὲ καὶ τούτων μετὰ τὴν παράβασιν ἄρχουσιν· ὡς Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων βληθεὶς, καὶ μηδεμίαν ἐξ αὐτῶν ὑποστὰς βλάβην· καὶ ὁ Παῦλος τὴν ἔχιδναν τῆς ἑαυτοῦ χειρὸς ἐκτινάξας ἐπὶ τὴν πυράν· θῆρες γὰρ ἄγριοι, φησὶν, εἰρηνεύσουσίν σοι. Πρὸς δὲ τούτοις διὰ τῶν B κτηνῶν τοῦ πεδίου περιειλῆπται καὶ τὰ θηρία, ὡς ἐν τῇ γενέσει μεμαθήκαμεν.

Στ. ι'. « Ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ ! » Ἔπρεπεν τὴν ἐπὶ ἀναστάσει τοῦ Σωτῆρος λεγομένην ᾠδὴν ὅμοιον ἔχειν τῇ ἀρχῇ τὸ τέλος· καὶ γὰρ ἀρχόμενος καὶ λήγων, τῇ αὐτῇ κέχρηται λέξει, διδάσκοντος τοῦ Πνεύματος, τὴν ἀρχὴν τῷ τέλει καθ' ὑποκείμενον εἶναι. Συνᾴδει τὸ, « Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ ! » καὶ τὸ, « Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι. »

PSALMUS IX.

Filii vocabulum in multis Scripturæ locis indefinite ponitur. Certe cum non adjicitur cujusnam sit filius, constat hunc esse Salvatorem, qui sæpe sic est ostensus ac nominatus. Itaque in Epistola ad Hebræos Paulus : « Christus, inquit, tanquam filius C in domo sua, cujus domus nos sumus [5] ; » et rursus : « In fine dierum horum locutus est nobis in Filio [6]. » Tum et ipse Salvator de se in Evangelio : « Si ergo vos Filius liberaverit, vere liberi eritis [7]. » Bene insuper dictio « in finem » ad præsens victoriale canticum refertur; namque hujusce finis causa advenit Salvator ; de quo Princeps apostolorum scribit : « Reportantes finem fidei salutem animarum ; de qua salute exquisierunt atque scrutati sunt prophetæ [8]. » Et paucis interjectis : « Prænuntiantes quæ in Christo sunt passiones, et posteriores glorias [9]. » Fortasse Judæi de Abessalomo Psalmistæ filio titulum loqui dicent ; quem tamen non bene interpretari arguuntur, quippe qui ubique ob omissam Scripturarum scrutationem peccant. D Nam quid probabile dicere habent de dictione « pro occultis ? » nisi forte de occulta Abessalomi conjuratione dictionem « pro occultis » positam aiunt. Atqui admodum fatue hoc ab ipso dicitur.

Στ. α'. Ἐν πολλοῖς δὲ τῆς Γραφῆς ἀορίστως εἴρηται· μὴ προσκειμένου δὲ τοῦ, τίνος ὁ υἱὸς ὑπάρχει, φανερὸν ὅτι ὁ Σωτὴρ ἐστιν, δηλούμενος πολλαχοῦ οὕτως ὀνομαζόμενος. Ἐν τοῦν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ ὁ Παῦλος, « Χριστὸς, εἶπεν, ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. » Καὶ πάλιν· « Ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. » Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ περὶ ἑαυτοῦ ἐν Εὐαγγελίῳ· « Ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ἔσεσθε. » Εὖ δὲ καὶ τὸ εἰς τέλος, ἀναφορὰν ἔχει πρὸς τὴν προκειμένην ἐπινίκιον ᾠδήν· τοῦ γὰρ τέλους ἐκείνου χάριν ἐπεδήμησεν ὁ Σωτήρ· περὶ οὗ ὁ πρόκριτος τῶν ἀποστόλων γράφει· « Κομιζόμενοι τὸ τέλος τῆς πίστεως σωτηρίαν ψυχῶν· περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται. » Καὶ μετ' ὀλίγα· « Προμαρτυράμενοι τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας. » Ἴσως Ἰουδαῖοι περὶ τοῦ Ἀβεσσαλὼμ ὄντος υἱοῦ τοῦ Ψάλλοντος ἐροῦσιν τὴν ἐπιγραφὴν εἶναι, ἐλεγχόμενοι ὡς οὐ καλῶς αὐτὴν ἐξειλήφασιν, ἅτε διὰ πάντων ἐσφαλμένοι τῷ μὴ ἐρευνᾷν τὰς Γραφάς. Τί γὰρ καὶ πειθανὸν εἰπεῖν ἔχουσιν εἰς τὸ, « περὶ τῶν κρυφίων ; » εἰ μὴ ἄρα περὶ τῶν κρύβδην γενομένων σκέψεων τοῦ Ἀβεσσαλὼμ ἐροῦσιν τὰ « ὑπὲρ τῶν κρυφίων » κεῖσθαι· ἔχει δὲ πολλὴν εὐήθειαν τὸ λεγόμενον ὑπ' αὐτῶν.

VERS. 2, 5. (*Theodoreti, simulque Origenis, ac Didymi.*) Perfectorum hominum mos est totum suum Deo cor offerre, eique universam mentem

Στ. β', ε'. (*Θεοδωρήτου, ὁμοῦ Ὠριγένους, καὶ Διδύμου.*) Τῶν τελείων ἴδιον τὸ πᾶσαν ἀνατιθέναι τῷ Θεῷ τὴν καρδίαν, καὶ πᾶσαν αὐτῷ καθιεροῦν τὴν

[1] Psal. CII, 15, 16. [2] Dan. XIV, 30 sqq. [3] Act. XXVIII, 2 sqq. [4] Psal. LXV, 4. [5] Hebr. III, 6. [6] Hebr. I, 12. [7] Joan. VIII, 36. [8] I Petr. I, 9, 10. [9] ibid. 11.

Digitized by Google

διάνοιαν « Ἀγαπήσεις γὰρ, φησὶ, Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεως σου. » Ὁ δὲ μὴ οὕτω διακείμενος, οὐ δύναται εἰπεῖν ἀληθεύων, « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. » Ὁ δὲ προφήτης, πνευματικοῖς ὀφθαλμοῖς τὰ ἐσόμενα προειδὼς, οὐκ ἐξομολογεῖται μόνον « ἐν ὅλῃ καρδίᾳ, » ἀλλὰ καὶ διηγεῖται αὐτοῦ « πάντα τὰ θαυμάσια, » κοινωνοὺς τοὺς ἀκούοντας τῆς ὑμνῳδίας ποιούμενος. Ἀνατραπέντων γὰρ τῶν ἐχθρῶν μου ὀπίσω μου καὶ ἀπολομένων ἐκ προσώπου σου, τὰς σὰς ᾄδων εὐεργεσίας διατελῶ· καὶ « εὐφραινόμενος ἐν σοὶ » τῷ Θεῷ μου, ἔχων χαρὰν τὸν καρπὸν τοῦ πνεύματος· « καὶ ψαλῶ τῷ ὀνόματί σου » ὑψηλῶς καὶ ἐπηρμένως θεωρήσας ἃ διηγοῦμαι θαυμάσιά σου. Ταῦτα δὲ ὁ προφήτης ὑπὲρ τῆς ἀνθρωπείας διεξέρχεται φύσεως, ἅτε δὴ τοῦ ἀλάστορος ἀπαλλαγείσης, καὶ τὴν ἐλευθερίαν διὰ τῆς θείας φύσεως δεξαμένης. Οὐ γὰρ ὥς τινες ὑπέλαβον ἐξ αὐτοῦ τοῦ Σωτῆρος οὗτος εἴρηται ὁ ψαλμὸς, ἀλλὰ μᾶλλον πρὸς αὐτὸν ὡς πρὸς εὐεργέτην ὑπὸ τῶν εὖ πεπονθότων, ὡς αὐτὰ διδάξει τὰ ῥήματα, « Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. » Τίνα τρόπον; « Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. » Καὶ ψῆφον ὁποίαν ἐξήνεγκεν; « Ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Οὐ γὰρ ἠνέσχου, φησὶν, ἐπὶ πλεῖστον περιΐδεῖν τῶν ἀνθρώπων τὴν φύσιν ὑπὸ τοῦ πικροῦ τυράννου δουλουμένην κακῶς· ἀλλ' οἷόν τις δικαστὴς ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ φοβεροῦ βήματος προκαθίσας, τοιαύτην αὐτῷ τιμωρίαν ἐπήνεγκας· ὥστε λήθῃ παντελεῖ τούτου παραδοθῆναι τὴν μνήμην. Τὸ δὲ, « Ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής, » ταύτην ἔχει τὴν διάνοιαν· Διὰ τῶν ἱερῶν ἀποστόλων, καὶ τῶν μετ' ἐκείνους τῶν τῆς ἀληθείας κηρύκων, προσήνεγκεν τοῖς ἔθνεσιν τὰ θεῖα διδάγματα· ἐκείνων δὲ δεξαμένων, καὶ τῆς πλάνης ἀπαλλαγέντων, ἀπώλετο ἀσεβὴς, τοὺς ἀπατωμένους καὶ προσκυνοῦντας οὐκ ἔχων. Οὕτω Βαρνάβας καὶ Παῦλος θῦσαι πειραθεῖσι Λυκάοσιν ἐπετίμησαν βοῶντες· « Τί ποιεῖτε, ἄνδρες; Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, ἀπὸ τούτων τῶν ματαίων πρὸς τὸν Θεὸν ὑμᾶς ἐπιστρέφοντες. » Οὕτω Γαλάταις ὁ μακάριος ἐπετίμησεν Παῦλος βοῶν· « Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυρωμένος; » Οὕτω Κορινθίοις· « Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται; » — « Ἐπετίμησας » τοίνυν « ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβὴς, τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Ἐσβέσθησαν γὰρ παντελῶς αἱ τελεταὶ, καὶ λήθῃ παντελεῖ παρεδόθησαν ὡς μηδένα τῶν νῦν ἀνθρώπων εἰδέναι καὶ τῆς ἀσεβείας μυστήρια.

A dicare. « Diliges » enim, inquit, « Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota virtute tua [10]. » Qui autem non est ita affectus, haud potest vere dicere : « Confitebor tibi, Domine, toto corde meo. » Propheta autem spiritalibus oculis futura prævidens, non confitetur solum « toto corde, » sed etiam enarrat illius « mirabilia omnia, » participes hymnodiæ faciens auditores omnes. Nam post me profligatis inimicis cunctis, et coram me pereuntibus, tua pergam beneficia canere : atque « in te lætabor » Deo meo, fructum spiritus habens gaudium : « psallamque nomini tuo » sublimiter elata voce, tua quæ concelebro mirabilia demirans. Hæc propheta pro humana eloquitur natura, quæ et ex malo dæmone erepta B est, et libertatem a divina natura accepit. Non enim, ut nonnulli existimarunt, ab ipso Salvatore psalmus hic recitatur, sed potius ad eum dicitur ab his qui beneficio usi sunt, ut ipsa verba demonstrant : « Quia fecisti judicium meum et causam meam. » Quonam modo? « Sedisti super thronum qui judicas justitiam. » Quamnam vero sententiam intulit? « Increpasti gentes, et periit impius; nomen ejus delevisti in æternum. » Non enim passus es, inquit, diutius negligere humanam naturam, ab acerbo tyranno malo servitio oppressam; sed judicis instar celso in throno tremendoque tribunali sedens, hanc ei pœnam decrevisti, ut ipsius memoria sempiternæ oblivioni tradatur. Jam verba « Increpasti gentes, et periit impius » hanc habent signifi- C cationem, nempe per sacros apostolos, et illorum successores veritatis præcones, obtulit gentibus divinas doctrinas; quibus has recipientibus, et ab errore discedentibus, periit impius, nullos jam errore deceptos et adoratores habens. Sic Barnabas atque Paulus ad Lycaonas sibi sacrificare volentes cum increpatione inclamarunt : « Quid agitis, o viri? Nos quoque vestri similes sumus mortales homines, et ab his vanitatibus ad Deum vos convertimus [11]. » Ita Galatas beatus increpuit Paulus clamans : « O insensati Galatæ, quis vos fascinavit, quibus ante oculos Jesus Christus præscriptus fuit crucifixus [12]? » Sic Corinthiis : « Omnino auditur inter vos fornicatio, quæ ne inter gentes quidem D nominatur [13]. » « Increpasti » igitur « gentes, et periit impius; nomen ejus delevisti in æternum, et in sæculum sæculi. » Abolitæ omnino sunt initiationes illæ, et perpetuæ oblivioni traditæ, ita ut jam nemo impietatis mysteria nunc cognoscat.

Στ. ς'. Ἡ τοιαύτη κάθισις κριτὴν αὐτὸν σημαίνει, ἀλλ' οὐ τὸ ἐπί τινος καθέδρας ἱδρύσθαι. Ἐπίστησον, εἰ χώραν ἔχει ἔτι εἰπεῖν, ἐπιτιμηθέντων τῶν ἐθνῶν, ἀπόλλυσθαι ἀσεβῆ τὸν ἄθεον τρόπον αὐτῶν, ὥστε μηκέτι χρηματίζειν αὐτούς. Συμβήσεται δὲ τοῦτο, πλη-

Vers. 6. Sessio hujusmodi eum judicem esse significat, non autem supra cathedram aliquam sedentem. Et videsis utrum adhuc dicere liceat : increpatis gentibus, irreligiosos illarum mores perire, ita ut jam nullatenus supersint. Hoc autem eveniet,

[10] Luc. x, 27. [11] Act. xiv, 14. [12] Gal. iii, 1. [13] I Cor. v, 1.

Digitized by Google

cum illud antea dictum complebitur : « Via impiorum peribit [15]. »

Origenis et Didymi. Verbum *increpasti*, emendationem denotat, quod constat ex verbis *argue, increpa, commone.* Videlicet utilitatis causa increpationem fieri apparet.

VERS. 7. Frameæ inimici fortasse sunt hæreticæ doctrinæ, et nequitiæ singulæ, quæ defecerunt, ita ut jam non possint civitates quas occupabant tueri, quæ et ipsæ destruuntur. Sunt autem turbarum instar civitates impie constitutæ et administratæ. Nam de illarum fundatore scriptum est : « Qui ædificat urbes in sanguinibus, qui exstruxit civitates in nequitiis [16]; » nam materia illarum iniquitates, et effusio sanguinis scandalizantium est. Has destruxit adventu suo Salvator, inimicum profligans qui urbes tyrannice retinere volebat, quas se possidere putabat. Jam qui præclarum hoc facinus sublimi oculo spectant, victori plaudentes, una veluti voce, gratiarum actionem concinunt, ita exordientes : Domine Deus, laudabo te, celebrabo nomen tuum, quia mirabilia opera fecisti, consilium antiquum verum. Ita, Domine! quoniam civitates foveam effecisti, urbes impiorum in æternum non ædificabuntur. Et videsis num irreparabilis Hierosolymorum ruina denotetur, postquam Salvator ibi fuit crucifixus, et cives illi deinceps impiorum in numero habiti propter Domini cædem. « Cum sonitu, » id est non sine militari clamore vincentibus.

VERS. 8. « Paravit in judicio thronum suum; et ipse judicabit orbem terræ in æquitate : judicabit populos in justitia. » Admonent hæc ut a malitia atque impietate recedamus, et virtutem pietatemque sequamur. Nam quis cordatus, si modo his credat, non extimescet ne in manus incidat juste recteque judicantis propter suos vituperabiles actus et impias cogitationes? Etenim tali sub judice damnationem non vitabit.

VERS. 10. Rem hanc demonstrat, quod ab ipso Deo dictum est : « Tempore acceptabili exaudivi te [17]; » item quod in nonagesimo [centesimo] primo psalmo ita se habet : « Tu consurgens misereberis Sionis, quia tempus miserendi ejus, quia venit tempus. »

VERS. 11. « Et sperent in te qui agnoscunt nomen tuum; quia non dereliquisti quærentes te, Domine [18]. » Videlicet humanæ spei cuilibet superiores effecti. Nam cognitionem nominis tui perfectam habentes, nulli alteri rei confidunt. Deum autem quærunt illi, qui omnia ab eo sibi fieri volunt, quæ ipsi viribus propriis comparare nequeunt. Quamobrem ab illo non derelinquuntur : quod verbum pie atque prudenter intelligendum est; nam si quis putet non derelinqui a Deo hominem, qui mundanis in rebus prospere agat, fallitur : etenim complures impii ita se habent. Secus, Abelem fuisse derelictum

A ρουμένου τοῦ πρότερον εἰρημένου, ἔχοντος οὕτως· « Ὁδὸς ἀσεβῶν ἀπωλεῖται. »

Ὡριγένους καὶ Διδύμου. Τὸ *ἐπετίμησας* διόρθωσιν σημαίνει· ὅπερ δῆλον ἐκ τοῦ *ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον*· δηλοῦται γὰρ ὅτι ἐπ' ὠφελείᾳ ἐστὶν ἡ ἐπιτιμία.

Στ. ξ'. Ῥομφαῖαι δὲ τοῦ ἐχθροῦ εἶεν ἂν ἴσως αἱ αἱρετικαὶ διδασκαλίαι, καὶ αἱ κατ' εἶδος κακίαι, αἵ τινες ἐξέλιπον, ὡς μηκέτι δύνασθαι ὑπεραγωνίζεσθαι ὧν εἶχον πόλεων, καὶ αὐταὶ καθαιρεθήσονται· ἀθροίσματα δὲ αἱ πόλεις παρανόμως συστᾶσαι καὶ διοικούμεναι· γέγραπται γὰρ περὶ τοῦ ἱδρυσαμένου αὐτὰς ὡς « εἴη οἰκοδομῶν πόλεις ἐν αἵμασιν, καὶ ἑτοιμάζων πόλεις ἐν ἀδικίαις· » ἡ γὰρ ὕλη αὐτῶν ἀδικήματα, καὶ ἔκχυσις αἱμάτων τῶν σκανδαλιζομένων
B ἐστίν. Ταύτας καθαιρεῖ ἐπιδημήσας ὁ Σωτὴρ, καθελὼν τὸν ἐχθρὸν τυραννικῶς κρατεῖν θέλοντα, ὧν ᾤετο ἐσχηκέναι πόλεων. Οἱ ταύτην τὴν ἀνδραγαθίαν ὄμματι θείῳ θεασάμενοι εὐφημοῦντες τὸν ἀριστέα φασὶν, ὡς ἐκ μιᾶς φωνῆς τὴν χαριστήριον προφέροντες φωνὴν, ἀρχόμενοι ὧδε· « Κύριε, ὁ Θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου· ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. Γένοιτο, Κύριε, ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλις τῶν ἀσεβῶν εἰς τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. » Ἐπίστησον εἰ σημαίνει τὸ ἀνέγερτον πτῶμα τῆς Ἱερουσαλὴμ, τοῦ Σωτῆρος ἐν αὐτῇ σταυρωθέντος, τῶν πολιτῶν αὐτῆς ὄντων λοιπὸν ἀσεβῶν διὰ τὴν Κυριοκτονίαν. Τὸ « μετ' ἤχους, » ἀντὶ τοῦ, οὐ σὺν ἐρημίᾳ ἀλαλαγμοῦ νικησάντων τὸ κατόρθωμα ὑπῆρκται.

C Στ. η'. « Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· κρινεῖ λαοὺς ἐν εὐθύτητι. » Προτρέπει τὰ προκείμενα ἀναχωρῆσαι μὲν κακίας καὶ δυσσεβείας, προσελθεῖν δὲ ἀρετῇ καὶ εὐσεβείᾳ. Τίς γὰρ νοῦν ἔχων, πιστεύσας τοῖς οὕτως εἰρημένοις, οὐ φοβηθήσεται μὴ ὑποπέσῃ τῷ κρίνοντι ἐν δυκαιοσύνῃ καὶ εὐθύτητι, διὰ πράξεις ψεκτὰς καὶ φρόνημα ἀσεβές; Οὕτω γὰρ κρίνοντος αὐτοῦ, ἀναπόδραστον τὸ κρῖμα ἔσται.

Στ. ι'. Τούτου δηλωτικὸν τὸ ἐκ προσώπου λεχθὲν τοῦ Θεοῦ· « Καιρῷ δεκτῷ ἐπήκουσά σου· » καὶ τὸ ἐν ἑκατοστῷ πρώτῳ ψαλμῷ οὕτως ἔχον· « Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. »

D Στ. ια'. « Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου· ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε· » πάσης ἀνθρωπίνης πεποιθήσεως ἀνωτέρω χωρήσαντες. Γνῶσιν γὰρ τοῦ ὀνόματός σου ἔχοντες ἀσφαλῆ καὶ τελείαν, ἐπ' οὐδενὶ ἐκείνων ἐλπίσουσιν· ζητοῦσι δὲ Θεὸν οἱ πάντα παρ' αὐτοῦ θέλοντες ὑπαρχθῆναι ἃ ἐξ ἑαυτῶν ἔχειν οὐχ οἷοί τέ εἰσιν· ὅθεν οὐκ ἐγκαταλείπονται ὑπ' αὐτοῦ. Ὁσίως καὶ φρονίμως καὶ ταύτης τῆς λέξεως ἀκοῦσαι προσήκει. Εἰ γὰρ νομίσοι τις μὴ ἐγκαταλείπεσθαι ὑπὸ Θεοῦ τὸν ἐν τοῖς βιωτικοῖς εὐοδούμενον, σφάλλεται· πολλοὶ γὰρ ἀσεβεῖς διάγουσιν οὕτως· ἐπεὶ ὥρα λέγειν τὸν

[15] Psal. I, 6. [16] Mich. III, 10. [17] II Cor. VI, 2. [18] Psal. CI, 14.

Digitized by Google

Ἄβελ ἐγκαταλεῖφθαι (15), ἀνῃρέθη γάρ· ἀλλὰ καὶ τοὺς προφήτας καὶ ἀποστόλους· ἐθλίβησαν γὰρ διηνεκῶς, καὶ τέλος ἀνῃρέθησαν ὑπὸ ἀνθρώπων οἱ πλεῖστοι αὐτῶν. Οὕτω διαστολῆς γεγενημένης, φαμὲν μὴ ἐγκαταλεῖφθαι τὸν μέχρις ἐσχάτης ἀναπνοῆς περιεχόμενον ὑπὸ Θεοῦ, κἂν μυριάκις ὑπ' ἐχθρῶν πάθῃ· τοῦτο γὰρ ἀληθῶς τὸ μὴ ἐγκαταλειφθῆναι ὑπὸ Κυρίου ἐστίν. Παρίσταται ὁ τρόπος ὡς δεῖ ζητεῖν τὸν Θεὸν, ἐκ τῶν ἐν τῇ Σοφίᾳ οὕτως ἐχόντων· « Φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι, καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτὸν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. »

Στ. ιϑ'. Ὕμνον εἰπεῖν προστάττονται οἱ πνεύματι καὶ νοῒ τὸ ψάλλειν ἐσχηκότες· ψάλλουσι δὲ οὗτοι, εὐσεβεῖ νοήσει καὶ ἐπιπνοίᾳ τοῦ Πνεύματος· προστάττονται γὰρ ᾄδειν καὶ ψάλλειν τῇ καρδίᾳ, οἱ οὕτω ψάλλοντες τῷ κατοικοῦντι ἐν τῇ Σιὼν Κυρίῳ καθ' ὑφήγησιν τοῦ ἁγίου Πνεύματος. Καὶ ἑτέραν πρόσταξιν δέχονται πρὸς αὐτοῦ, ἐν τῷ ἀναγγεῖλαι ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ· ταῦτα δέ ἐστιν, ὅσα θαυμασίως ἐποίησεν ἐπιδημήσας, νοητά τε καὶ αἰσθητά. Ῥηθείη δ' ἂν ἡ δευτέρα πρόσταξις μάλιστα τοῖς ἀποστόλοις πεμφθεῖσιν μαθητεῦσαι πάντα τὰ ἔθνη.

Στ. ιγ', ιϑ'. Καὶ ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη τῶν ἀναιρεθέντων ὑπὸ τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ· τούτοις, φησὶν, ἐπιφέρεται τὸ, « Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. » Περὶ οὗ ἐπαπορήσει τις λέγων· Πῶς ἔκραζον πρὸς Θεὸν, οἱ ἀπὸ ἐθνῶν πένητες ὄντες, καί τοι ἀναιρεθέντες ὑπὸ τῆς κατεχούσης πολυθέου ἀπάτης καὶ τῶν ἐνεργούντων αὐτὴν ἀοράτων ἐχθρῶν; Πρὸς ὃ λεκτέον, πραγματικῶς αὐτοὺς τὴν κραυγὴν ἀναφέρειν, ὡς τοῦ Ἄβελ τὸ αἷμα βοᾷ πρὸς τὸν Θεόν· καὶ ὁ μισθὸς ὁ ἀποστερηθεὶς τῶν ἐργατῶν· « Ἰδοὺ » γὰρ, φησὶν, « ὁ μισθὸς τῶν ἀμησάντων τὰς χώρας ὑμῶν κράζει, ὁ ἀποστερηθεὶς ἀφ' ὑμῶν. » Κραυγὴ γὰρ ἡ τοῦ ἀποστερηθέντος μισθοῦ, τῷ μὴ εἶναι παρὰ τῷ ἐργασαμένῳ, ἀλλὰ τῷ κτήτορι τῆς χώρας τῆς ἀμηθείσης. Ῥηθείη δὲ καὶ ἑτέρα διάνοια. Οὐ πάντως οἱ αὐτοὶ τῶν ἀπὸ ἐθνῶν ὧν ἐμνήσθη τὰ αἵματα, οἱ πένητές εἰσιν, ὧν τῆς φωνῆς οὐκ ἐπελάθετο ὁ εὐεργέτης· δύνανται γὰρ οὗτοι εἶναι οἱ περὶ ἐθνῶν προφητικῶς προαναφωνήσαντες· ὧν ὁ μὲν εἶπεν· « Πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς· » ὁ δὲ, « Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου. » Πένητες δὲ καὶ ἐν τούτοις εἴρηνται, οἱ πολὺ τοῦ πλούτου τῆς θεότητος ἀπολειπόμενοι, ἢ καὶ τῆς θείας γνώσεως· τέως γὰρ ἐκ μέρους προεφήτευον.

Στ. ιε'. Κάτω που τυγχάνοντος τοῦ θανάτου ἐκείνου, περὶ οὗ γέγραπται, « Κατέπιεν ὁ θάνατος ἰσχύσας » οἱ ἐχθροὶ ποιοῦσιν ἐν αὐτῷ γενέσθαι τοὺς ὑπ' αὐτῶν ταπεινουμένους, ἤτοι διὰ κακώσεως ἢ τοῦ ἁμαρτάνειν. Τούτου τοῦ θανάτου καὶ τῆς ἐπ' αὐτῷ ταπεινώσεως, δυνατὸν ἐκτὸς γενέσθαι ἐλέῳ Θεοῦ. Ὁ

diei oporteret, qui interfectus fuit : quin etiam prophetas atque apostolos; namque et hi perpetuo afflicti fuerunt, tandemque ab hominibus plurimi eorum interempti. Hac ergo facta distinctione, dicimus non derelinqui illum qui usque ad extremum spiritum cum Deo est, etiamsi innumera ab inimicis patiatur : id enimvero recte dicitur non derelinqui a Deo. Jam qua ratione quærendus sit Deus, cognoscitur ex sequentibus libri Sapientiæ verbis : « Sentite de Deo cum bonitate, et cum simplicitate cordis quærite illum : quia invenitur ab iis qui non tentant illum, et apparet iis qui ei non discredunt [18]. »

Vers. 12. Hymnum dicere jubentur, qui spiritu ac mente psallere solent : namque hi demum pio intellectu, ac Spiritus instinctu psallunt. Nam jubentur canere atque psallere corde, qui ita habitanti Sionem Domino psallunt, Spiritu sancto chorum ducente. Aliud insuper mandatum ab eo accipiunt, nempe ut inter gentes annuntient studia ejus : illa scilicet quæ mirabiliter in adventu suo fecit tum intellectualia tum sensibilia. Porro alterum hoc mandatum apostolis præcipue dari credendum est ad omnes gentes docendas missis [19].

Vers. 13, 14. Et quia requirens sanguinem eorum, recordatus est interfectorum ab ignitis diaboli telis; ad illos referendum est illud : « Non est oblitus clamorem pauperum. » Quo in loco ambiget aliquis, dicens : Quomodo clamaverunt ad Deum ethnici, qui pauperum nomine vocitantur, etsi polytheismi errore suffocati erant, et ab illius sectatoribus inimicis invisibilibus? Cui respondendum est, operibus illos clamorem emittere, velut Abelis sanguis clamat ad Deum [20] : et sicut operariorum merces negata : « Ecce » enim, inquit, « merces metentium agros vestros, quam non solvistis, clamat [21]. » Clamor nimirum erat negatæ mercedis, quæ non apud operarium erat, sed apud agri demessi possessorem. Alium quoque loci sensum dicamus. Haud prorsus ethnici, quorum sanguinis recordatus est, pauperes illi sunt quorum clamorem non est oblitus benefactor Deus; namque hi pauperes fortasse sunt prophetæ illi, qui de ethnicis vaticinia ediderunt; quorum alius dixit : « Ad te gentes venient ab extremis terræ [22]. » Alius vero : « Omnes gentes, quascunque fecisti, venient et adorabunt coram te [23]. » Pauperes vero hic dicuntur, quia multa divinarum opum parte destituebantur ac divinæ scientiæ. Illatenus enim, ex parte tantum prophetabant.

Vers. 15. In infernis partibus mors illa est, de qua scriptum est : « Devoravit mors prævalens. » Inimici dant operam ut illic sint quoscunque ipsi humiliaverint vel afflictione vel peccato. Extra hujusmodi mortem ac depressionem misericordia Dei fieri possumus. Nam qui adhuc in hoc mortis ge-

[18] Sap. I, 1, 2. [19] Matth. XXVIII, 19. [20] Gen. VI, 10. [21] Jac. V, 4. [22] Jer. XVI, 19. [23] Psal. LXXXV, 9.

(15) Pro ἐγκαταλελεῖφθαι, hic et infra. EDIT. PATROL.

Digitized by Google

nere est, et in mundi passionibus, atque animi depressione, si malorum suorum sensum perceperit, et divinæ bonitatis notionem, precantis more dicet : Miserere mei, et vide humilitatem meam [23], quam ab inimicis meis patior. Hi enim me humiliaverunt inferne trahentes. Tu vero solus ob substantialem tuam bonitatem me de portis mortis potes exaltare.

Origenis et Didymi. Portæ mortis, mortalia peccata, de quibus ille exaltatur qui peccatum ne cogitatione quidem admisit : qui et solus potest laudes omnes Domini annuntiare.

Filias Sionis intellige homines illius incolas, æque ac cum dicuntur alii filii lucis et pacis et sapientiæ. Portæ filiæ Sionis, contrariæ portis mortis, actus sunt laudabiles, et secundum virtutem sapientiamque Dei peractæ meditationes.

Vers. 16. Quoniam virtus appellatur incorruptio illo loco : « Gratia sit cum diligentibus Dominum nostrum Jesum Christum in incorruptione [24] ; » illa quæ prorsus contraria est nequitia, corruptela et corruptio consentanee nominabitur. Porro nequitiam corruptionis nomine indigitari, vel hinc constat : « Si quis templum Dei corruperit [25]. » Item ex propheta improbis dicente : « Propter incorruptionem corrupti estis corruptione [26]. » Consonat etiam illud : « Corruptioni tuæ, o Israel, quis auxiliabitur [27] ? » Vel corruptio sic ab opere dicta, ab ejus auctoribus creata dicitur. Hic dicuntur infixæ gentes in corruptione quam fecerunt. Non enim quisquam alterius impietate et peccato tenetur ; nam unusquisque in proprio peccato morietur. Deinde quia improbi sibi ipsis prius nocentes, deinde alios in idem damnum fraudulenter nituntur impellere : ideo struunt clam laqueos dolosis consiliis suis atque sermonibus, ut improvidum quemque capiant. Sed ipsomet, quem absconderant, laqueo puniuntur ; nam eos ipsos, quos deceperunt, vindices habent. Hæc vero punitio providi Dei judicio fit. Quidni enim Dei judicium sit, propriis operibus peccatorem comprehendi, quandoquidem causam suæ damnationis habet, ex iis quæ improbe egit? Consonat quod paulo ante dictum est : « Qui foveam effodit proximo suo, incidet in illam [28]. »

Cum de diapsalmate jam dixerimus, nunc de diapsalmatis cantico dicendum est. Cum præsens psalmus inceperit a verbis : « Confitebor tibi, Domine, » pergit oratio usque ad, « comprehensus est peccator. » Post quam dictionem, cantico incipiente a verbo, « avertantur, » consentaneum est copulare diapsalmati nomen cantici. Nam si totus psalmus canticum diceretur tenore proprio ac vi, utique ei cantici appellatio præposita fuisset, ut in compluribus psalmis fit. Sed cum aliter res se ha-

A γὰρ ἔτι περὶ τὰ τῇδε ἔχων, καὶ προσπάσχων τῷ κόσμῳ, ἐν ταπεινώσει τυγχάνων, εἰ λάβοι αἴσθησιν τῶν οἰκείων κακῶν, καὶ γνῶσιν τῆς τοῦ Θεοῦ ἀγαθότητος, εὐχῆς τρόπῳ ἐρεῖ· Ἐλέησόν με, καὶ ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου γεγενημένην· αὐτοὶ γὰρ ἐταπείνωσαν καθελκύσαντές με· σὺ δὲ μόνος δύνασαι δι' ἀγαθότητα οὐσιωδῶς προσοῦσαν ὑψῶσθαί με ἐκ τῶν πυλῶν τοῦ θανάτου.

Ὠριγένους καὶ Διδύμου. Πύλαι δὲ τοῦ θανάτου αἱ πρὸς θάνατον ἁμαρτίαι, ἀφ' ὧν ὑψοῦται ὁ μηδὲ λογισάμενος αὐτὰς ἁμαρτεῖν· ὃς καὶ μόνος δύναται ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις τοῦ Κυρίου.

Θυγατέρας τῆς Σιὼν ἀκούδει (9) τοὺς μετέχοντας ταύτης καταλλήλως τῷ λέγεσθαί τινας υἱοὺς φωτὸς καὶ εἰρήνης καὶ σοφίας. Πύλαι τῆς θυγατρὸς τῆς B Σιὼν ἀπεναντίως ταῖς πύλαις τοῦ θανάτου ἔχουσαι, πράξεις εἰσὶν ἐπαινεταὶ, ἐπιτελεσθεῖσαι κατ' ἀρετὴν καὶ σοφίαν Θεοῦ θεωρίαι.

Στιχ. ις'. Τῆς ἀρετῆς ἀφθαρσίας λεγομένης ἐν τῷ, « Ἡ χάρις μετὰ τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ, » ἡ ἀπεναντίως ἔχουσα κακία, διαφθορὰ καὶ φθορὰ ἀκολούθως κληθήσεται. Παρίσταται τὸ φθορὰν τὴν κακίαν λέγεσθαι, ἐκ τοῦ· « Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει· » καὶ ἐκ τοῦ ἐν τῷ προφήτῃ λεγομένου πρὸς τοὺς φαύλους « Ἕνεκεν ἀφθαρσίας διεφθείρητε φθορᾷ. » Σύμφωνον τούτοις καὶ τὸ, « Τῇ διαφθορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει ; » Ἡ οὕτω λεγομένη διαφθορὰ, ἐν τῷ πράττεσθαι τὸ εἶναι ἔχουσα, πεποιῆσθαι ὑπὸ τῶν ἐχόντων αὐτὴν ἐπαγγέλλεται. Φησὶν ὁ λόγος ἐμπεπῆχθαι τὰ ἔθνη C ἐν ᾗ ἐποίησαν διαφθορᾷ· οὐ γὰρ ἄλλος τῇ ἄλλου ἀσεβείᾳ καὶ ἁμαρτίᾳ ἐνέχεται· ἕκαστος γὰρ τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. Εἶτ' ἐπεὶ οἱ κακοὶ πρότερον ἑαυτοὺς βλάψαντες, καὶ ἑτέρους εἰς τὴν αὐτὴν βλάβην δι' ἀπάτης ἄγειν πειρῶνται, σκευάζουσιν κεκρυμμένως παγίδας ἐν τοῖς δολεροῖς φρονήμασιν καὶ λόγοις αὐτῶν, ἐπὶ τῷ ἀγρεῦσαι τὸν ἀπροοράτως ἔχοντα· αὐτῇ δὲ τῇ παγίδι ᾗ ἔκρυψαν τιμωροῦνται· δίκας γὰρ διδόασιν καὶ δι' οὓς ἠπάτησαν. Γίνεται δὲ τὸ παθεῖν οὕτως διακρίσει τοῦ προνοουμένου Θεοῦ. Πῶς γὰρ οὐ κρῖμα αὐτοῦ, τὸ ἐν τοῖς ἔργοις αὐτοῦ συλλαμβάνεσθαι τὸν ἁμαρτωλὸν, ἔχοντα τὴν πρόφασιν τοῦ καταδικάζεσθαι ἐξ ὧν ἔδρασεν πονηρῶς; Τούτῳ συνᾴδει τὸ ὀλίγῳ πρότερον λεχθὲν, ἔχον ὧδε· « Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς D αὐτόν. »

Περὶ τοῦ διαψάλματος εἰρηκότες ἤδη, περὶ τῆς τοῦ διαψάλματος ᾠδῆς νυνὶ λεκτέον. Ἀρξαμένου τοῦ προκειμένου ψαλμοῦ ἀπὸ τοῦ, « Ἐξομολογήσομαί σοι, Κύριε, » παρέτεινεν ἡ ἀπαγγελία, ἕως τοῦ, « συνελήφθη ὁ ἁμαρτωλός. » Μεθ' ἣν λέξιν ᾠδῆς ἀρχομένης ἀπὸ τοῦ, « ἀποστραφήτωσαν, » ἀκόλουθον τῷ διαψάλματι συμπλέξαι τῆς ᾠδῆς τὸ ὄνομα. Εἰ γὰρ ὅλος ὁ ψαλμὸς ᾠδὴ εἴρηται τρόπῳ καὶ δυνάμει, κἂν πρὸ αὐτοῦ πάντως ἐτάττετο ἡ ᾠδῆς προσηγορία, ὡς ἐπὶ πλειόνων ψαλμῶν ἀποδείκνυται. Τῷ δὲ μὴ οὕτως

[23] Psal. xxiv, 18. [24] Ephes. vi, 24. [25] I Cor. iii, 17. [26] Mich. ii, 10. [27] Thren. ii, 13. [28] Psal. vii, 16.

(9) Ita cod., forte duabus vocibus (ἀκούειν δεῖ) in unam contractis. Edit. Patrol.

Digitized by Google

ἔχειν, ἀρχὴν δὲ λαμβάνειν μετὰ τὸ διάψαλμα τὸ ᾆσμα, εἰκότως ᾠδὴ διαψάλματος μεταξὺ τέθειται. Δειχθήσεται ὡς ᾠδῆς διάνοιαν ἔχει τὰ ἑξῆς, τῶν λέξεων αὐτῶν ἐκτεθεισῶν· « Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ· ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός· ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. »

Στιχ. ιη'. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοί, οἱ πολεμίων δίκην ἐπιτηθέμενοι (10), εἰς τὸν ᾅδην. Ἑρμηνεύων δὲ τίνες οἱ ἁμαρτωλοὶ, ἐπήγαγεν· ὡς τὰ ἐπιλανθανόμενα ἔθνη οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀσάρκους δυνάμεις ἐκλαβεῖν δεῖ. Εἰ γὰρ μὴ σημαίνει οὐσίαν, ἀλλὰ ποιὸν, ἡ *ἁμαρτωλὸς* φωνὴ, παρωνυμία οὖσα ἀπὸ τῆς *ἁμαρτίας*, οὕτως ὀνομαστέον, καταλλήλως τούτοις καὶ τὰ ἔθνη ἐκλήψῃ. Ὥσπερ δὲ οὐκ ὢν τις ἐν οὐρανῷ τοπικῶς, ἔτι ἐπὶ γῆς περιπατῶν, δύναται ἐκεῖ πολιτείᾳ καὶ νοήσει τυγχάνειν· οὕτω μὴ διατρίβων τις ἐν ᾅδῃ τοπικῶς δύναται σημεῖα φέρειν νεκρότητος, καὶ αὐτοῦ τοῦ ἁμαρτάνειν, ὡς οἰκεῖν αὐτὸν τὸν ᾅδην ἤδη, καίτοι ὄντα ἐν τῇ μετὰ σώματος ζωῇ. Πτωχὸς δὲ λέγεται καὶ ὁ πτωχεύων δι' ἁμαρτίαν, καὶ ὁ μέτριος καὶ ἄτυφος, καὶ ὁ χρῄζων δέξασθαι παρὰ Θεοῦ. Ἕκαστος δὲ γενητός ἐστι τοιοῦτος. Κατὰ πάντας τούτους τοὺς τρόπους ὁ λεγόμενος πτωχὸς, μνημονεύεται Θεῷ, κἂν διά τι συμφέρον δόξῃ λῆθη τις αὐτοῦ γίνεσθαι· οὐκ εἰς τὸ παντελὲς δὲ παραμένει αὕτη· καὶ διὰ τοῦτο οὐκ εἰς τέλος ἐπιλησθήσεται. Τίνος δὲ διοίσει πτωχὸς πένητος, προϊόντες ἐροῦμεν, ὅτε ἂν καιρὸς καλέσῃ εἰπεῖν περὶ τούτων.

Στιχ. κ'. Σὺ, Κύριε, ὁ τοὺς ὀγκυλλομένους καὶ ἀπαυθαδιζομένους πίπτειν ποιῶν ἀπὸ τοῦ ψεκτοῦ ὕψους, ἀντιταττόμενος τοῖς ὑπερηφάνοις· μὴ τοίνυν κραταιούσθωσαν, ἀλλὰ κριθήτωσαν ἐνώπιόν σου· ἔψεται γὰρ αὐτοῖς ὑπερβάλλουσα ὠφέλεια. Ἑρμηνευθείη δὲ τὸ « Μὴ κραταιούσθω ἄνθρωπος, » ὡς λεχθὲν περὶ διαβόλου· περὶ οὗ εἴρηται ἐν τῇ παραβολῇ τῶν ζιζανίων, ὡς ὄντος ἀνθρώπου ἐχθροῦ. Ἀλλὰ καὶ ἐν τῇ προφητείᾳ· Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν. Καὶ ἐπεὶ ὁ ἄνθρωπος οὗτος ἐκραταιοῦτο πρὸ τῆς τοῦ Σωτῆρος καθόδου, λέγων· « Τὴν οἰκουμένην ὅλην ἀπολήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς ᾠὰ καταλελειμμένα ἀρῶ· οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι· » οὐκ ἐνεγκὼν τὸ γένος τῶν ἀνθρώπων τοὺς μεθ' ὑπερηφανίας αὐτοῦ λόγους, πρεσβείαν προσάγει τῷ Σωτῆρι λέγων· Ἀνάστηθι, ὦ Δέσποτα, κατάβηθι πρὸς ἡμᾶς, ἵνα μὴ ἐπὶ πολὺ ὁ καθ' ἡμῶν ὑπερηφανευόμενος ἄνθρωπος κραταιωθῇ. Ἄνθρωπος δὲ εἴρηται ὁ διάβολος, οὐ τῷ θνητὸν λογικὸν ζῶον εἶναι, ἀλλὰ τῷ θεότητος ἀποπεπτωκέναι ὡσαύτως ἐκείνοις· πρὸς οὓς ὁ Θεός· « *Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε.* »

Ἤγουν ὁ διάβολος ἐπιλέγεται δοκοῦντας εἶναι πλουσίους ἐν λόγῳ ψευδεῖ, μεθ' ὧν καθέζεται κρύφα,

beat, et post diapsalma revera canticum incipiat, merito interponitur titulus canticum diapsalmatis. Constabit autem, sequentia habere psalmi sensum, his prolatis verbis : « Avertantur peccatores in infernum, omnes gentes quæ obliviscuntur Deum ; quoniam non in finem oblivio erit pauperis ; patientia pauperum non peribit in finem. »

Vers. 18. Avertantur peccatores, hostium instar molesti, in infernum. Tum explanans quinam sint peccatores, pergit ita loqui, ut gentes quæ obliviscuntur, non homines tantummodo sed immateriales quoque potestates intelligere oporteat. Nam si non significat substantiam sed qualitatem vox, *peccator*, quod nomen a *peccato* deducitur, pari modo gentes quoque denominari putabis : et veluti qui nondum in cœlis localiter est, quia adhuc in tellure ambulat, attamen conversatione ac mente illic esse potest ; ita qui nondum in infernis locis consistit, potest signa gestare mortis atque peccati, quasi jam in inferis habitet, etsi adhuc in corpore vivit. Porro dicitur pauper, tum qui peccato miser est, tum etiam modestus et humilis, et qui aliquid accipere a Deo indiget. Et quidem omnis homo natus ita se habet. Jam qualibet ex his ratione dictus pauper, a Dei memoria non excidit, quamvis ob causam aliquam utilem videatur interdum traditus oblivioni ; quæ tamen perpetua non est. Quid autem intersit inter pauperem et inopem, infra dicemus, ubi occasio de his loqui tulerit.

Vers. 20. Tu es, Domine, qui tumidos ac ferocientes a vituperabili celsitudine facis excidere, ac superbis resistis : ne itaque roborentur hi, sed abs te judicentur ; hinc enim ipsis summa utilitas accidet. Possumus etiam interpretari verba « Ne confortetur homo, » quasi de diabolo dicta ; qui in zizaniorum parabola inimicus homo dicitur [29]. Quin etiam in prophetia : Hic est homo exasperans terram. Et quoniam homo hujusmodi validus erat ante Salvatoris adventum, aiebatque : « Mundum universum manu instar nidi capiam, et tanquam derelicta ova tollam : non est qui effugiat aut resistat mihi ; » non ferens hominum genus superbos illius sermones, precem Servatori extollit dicens : Exsurge, Domine, veni ad nos, ne diutius hic qui superbit adversus nos homo prævaleat. Porro hominis nomine dicitur diabolus, non quod mortale logicum sit animal, sed quia æque ac homines a divina conditione excidit : quibus Deus : « *Ego dixi : Vos dii estis et filii Excelsi omnes ; vos vero tanquam homines moritmini* [30]. »

Utique diabolus istiusmodi eligit, qui mendacibus verbis divites esse videntur, cum quibus sedet oc-

[29] Matth. XIII, 28. [30] Psal. LXXXI, 6, 7.

(10) Pro ἐπιτιθέμενοι. Mos fuit Alexandrinis η ponere pro ι. Edit. Patrol.

Digitized by Google

cultus, latere volens, ut interficiat innocentem, A ipsum ardentibus suis sagittis trajiciens; lethiferæ enim sunt, utpote quæ a vita proba avelluntur. Posset etiam illud, « in occultis, » cum præcedente et sequente sententia conjungi. Verumtamen non potest sagittis suis conficere illum, qui indutus est armatura Dei. Unde oculos in pauperem, ut captu facilem, conjicit, qui idem est cum isto paupere superbia impii incenso: istiusmodi autem verbis, aut etiam operibus dolosis trahit in rete suum, ut ipsum tanquam leo devoret. Insidiatur porro, cum de rei, puta, domesticæ administratione loquens, avaritiæ verba latenter ingerit; vel etiam illi qui caste vivere statuerat, lasciviæ modum suggerit: sicut etiam Evam, sub specie divinæ æqualitatis, ad prævaricandum induxit [21]. Illud autem, « inclinabit se, » significat, quemadmodum deorsum convertens oculum, corruerit. Quomodo enim non deorsum oculos vertit, qui dicit: « Oblitus est Deus, » etiam providentiam contemnens?

In præcepto quod in paradiso datum fuerat, rapuit pauperem, et traxit in laqueum suum, ut in illo raptum humiliaret. Rursus insidiatus in occulto rapuit Judam factum pauperem per avaritiam; quem etiam ad se trahens, humiliavit in laqueo quem absconderat.

λανθάνειν βουλόμενος, ὡς ἂν ἀθῶον ἀποκτείνῃ, τρώσας αὐτὸν τοῖς πεπυρωμένοις αὐτοῦ βέλεσι, θανατικὰ γάρ ἐστιν, ἀπὸ τῆς σὺν ἀρετῇ ζωῆς κατασπῶντα. Δύναται δὲ τὸ, « ἐν ἀποκρύφοις, » συνταχθῆναι καὶ τῷ προάγοντι ῥητῷ, καὶ τῷ μετ' αὐτό. Πλὴν οὐ δύναται τοῖς ἰδίοις ἀποκτεῖναι βέλεσι τὸν ἐνδεδυμένον τὴν τοῦ Θεοῦ πανοπλίαν. Διὸ τοὺς ὀφθαλμοὺς εἰς ὡς εὐάλωτον ἔχει τὸν πένητα, τὸν αὐτὸν ὄντα τῷ ἐνπυριζομένῳ πτωχῷ ἐπὶ τῇ τοῦ ἀσεβοῦς ὑπερηφανίᾳ· τὸν τοιοῦτον δὲ ἁρπάζει διὰ λόγων ἀπατηλῶν, ἢ καὶ πράξεων, πρὸς τὴν ἰδίαν παγίδα, καταφαγεῖν αὐτὸν ὡς λέων ἐθέλων. Ἐνεδρεύει δὲ, ἡνίκα περὶ οἰκονομίας τυχὸν ὁμιλῶν, τὸν περὶ τῆς φιλαργυρίας λόγον ἐγκρύψῃ, ἢ καὶ τῷ σωφρονεῖν βουλομένῳ ὑποβάλλει τρόπον ἀκολασίας· ὡς καὶ τῇ Εὔᾳ διὰ τῆς ἰσοθεΐας ἐνέβαλε τὴν παράβασιν. Τὸ δὲ, « κύψει, » δηλοῖ ὡς κάτω στρέψας τὸν ὀφθαλμὸν, ἔπεσε. Πῶς δὴ οὐ κάτω βλέπει λέγων, « Ἐπιλέλησται ὁ Θεὸς, » καὶ τὴν πρόνοιαν ἀθετῶν;

Ἐν τῇ ἐντολῇ τῇ δοθείσῃ ἐν τῷ παραδείσῳ ἥρπασε πτωχὸν, καὶ εἵλκυσεν ἐν τῇ παγίδι αὐτοῦ, ὥστε ἐν αὐτῇ ταπεινῶσαι τὸν ἁρπασθέντα· πάλιν ἐνεδρεύσας ἐν ἀποκρύφῳ, ἥρπασε πτωχὸν γενόμενον τὸν Ἰούδαν διὰ φιλαργυρίας, ὃν καὶ ἑλκύσας πρὸς ἑαυτὸν, ἐν ᾗ ἔκρυψε παγίδι ἐταπείνωσεν αὐτόν.

(*Psalmus X secundum Hebræos, sed adhuc IX secundum Latinos et Græc. Vatic.*)

Στίχος α'. « Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν; Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός. » Ὁ Προφήτης ὡς ἄνθρωπος ἐρωτᾷ, καὶ πυνθάνεται τοῦ Θεοῦ λέγων· « Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν; » Εἶπεν δ' ἂν ὁ λόγος πρὸς αὐτὸν ἀποκρινόμενος, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιαν ἄγει τοὺς ἁμαρτάνοντας. Ἀφέστηκεν δὲ τῶν ἁμαρτωλῶν μακρὰν ὁ Θεὸς, τῆς ἁμαρτίας αὐτῆς διοριζούσης καὶ μακρὰν ἑλαυνούσης τοὺς ἁμαρτάνοντας, κατὰ τὸ εἰρημένον· « Αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν μεταξὺ ἐμοῦ καὶ ὑμῶν. » Ἄλλως γὰρ ὁ Θεὸς ἀεὶ τοῖς πᾶσι πάρεστιν, καὶ τὰ πάντα πληροῖ πανταχοῦ τυγχάνων. Διὸ λέλεκται ἐν προφητείαις· « Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐ Θεὸς πόῤῥωθεν. » Θλιβομένων δὲ κατὰ τὸν ἐνεστῶτα βίον τῶν δικαίων καὶ ὑπὸ τῶν ἀσεβῶν καταπονουμένων, ὥσπερ μακρὰν ἀφεστὼς καταλείπεις αὐτοὺς, φησὶν, ὦ Κύριε, καὶ ὑπερορᾷς· διὸ αὔξει ἡ ὑπερηφανία τῶν ἀσεβῶν· τὸν δὲ σὸν πένητα καὶ πτωχὸν ἐμπυρίζεις, ζηλοῦντα τὸν θεοσεβῆ ζῆλον, καὶ ἔνδοθεν φλεγόμενον τὴν ψυχήν.

Στιχ. γ'. Καὶ μάλιστα οἱ θείου πλούτου καὶ σοφίας στερούμενοι, καὶ μὴ ἀκριβεῖς ὄντες περὶ τὰ δόγματα τῆς εὐσεβείας. Οὗτοι γὰρ τοῖς τῆς σοφῆς προνοίας προσκόπτουσιν κρίμασιν, ἐπαινοῦντες τὸν ἁμαρτωλὸν ἐφ' οἷς ἐπιθυμεῖ· φανεροῦ ὄντος ὡς οὐ τῶν αἱρετῶν, ἀλλὰ τῶν ἡδέων καὶ ἐμπαθῶν ὀρέγεται ὁ ἁμαρτωλός. Πρὸς τούτοις, ἐκ τοῦ αὐτοῦ σφάλματος εὐλογίαν ἡγοῦνται τοὺς πλοῦτον καὶ δόξαν ἀνθρωπίνην καὶ πρόσκαιρον ἔχοντας, φάσκοντες τοὺς ἀδι-

Versus. 1. « Ut quid, Domine, recessisti longe, despicis in opportunitatibus, in tribulatione? Dum superbit impius, incenditur pauper. » Propheta tanquam homo interrogat, et ex Deo sciscitatur dicens: « Cur, Domine, procul recessisti? » Sed enim huic Scriptura respondet, nempe quod Dei bonitas ad pœnitentiam adducit peccatores [22]. Longe autem recessit a peccatoribus Deus, peccato ipso dirimente, et peccatores procul expellente, prout dictum est: « Peccata vestra intervallum inter me vosque efficiunt. » Nam cæteroqui Deus cunctis adest, atque omnia implet, ubique exsistens. Ideo in prophetiis dicitur: « Deus propinquans ego sum, » dicit Dominus « et non Deus longinquus [23]. » Attamen cum in præsenti vita premuntur justi, et ab impiis affliguntur, quasi procul abscedens, derelinquis eos, ait, o Domine, atque despicis. Propterea impiorum superbia augetur; inopem vero tuum ac pauperem cura urit, zelo religioso zelantem, et intimo animo inflammatum.

Vers. 3. Ejusmodi præcipue sunt, qui divinis opibus et sapientia carent, neque religionis dogmata accurate tenent: hi quippe sapientis providentiæ judicia incurrunt, dum peccatorem laudant desideriis propriis indulgentem; cum satis appareat, peccatorem non meliora, sed jucunda tantum et voluptaria expetere. Insuper eodem errore judicant in benedictione versari eos qui divitias et humanam temporalemque gloriam habent, aiuntque iniquos

[21] Gen. III, 5. [22] Rom. II, 4. [23] Jerem. XXIII, 23.

Digitized by Google

κοῦντας πρὸς Θεοῦ εὐλογεῖσθαι· ἔδει δὲ τοπάσαι ὡς ἡ τοῦ Θεοῦ εὐλογία δίδοται δικαίοις.

Στιχ. δ'. Εἰ καὶ ἔδοξεν μακρὰν ἀφεστάναι καὶ ὑπερορᾷν Θεὸς τοὺς θλιβομένους διὰ τὸ ταράττεσθαι ὑπὸ τῆς τοῦ ἀσεβοῦς ὑπερηφανίας, ἀλλ' οὖν πάνυ ἀγαναχτεῖ κατὰ τοῦ ὑπερηφάνου σκανδαλίσαντος, καὶ ἵνα κατὰ τὴν Γραφὴν εἴπω, ἐμπυρίσαντος τὸν πτωχὸν, καὶ διὰ τὸ κακῶς κεχρῆσθαι τοῖς ὑπάρξασιν αὐτῷ τῇ Θεοῦ προνοίᾳ. Τοῦτο γὰρ ἐκ τῶν ἑξῆς λέξεων παρίσταται· εἴρηται γὰρ, « Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός· » οὗτος δ' ἔστιν ὁ ὑπερηφανευόμενος ἀσεβὴς, καὶ ἐπὶ ταῖς ἐπιθυμίαις ἑαυτοῦ ἐπαινούμενος. Εἰς τοσοῦτον δὲ παρώξυνεν τὸν Κύριον, ὡς ἐπιτεταμένην ὀργὴν γενέσθαι, ἣν αὐτὸς ἑαυτῷ ἐθησαύρισεν, κατὰ τὸ λεχθὲν, « Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. » Πλὴν εἰ καὶ πολλὴ ἡ θησαυρισθεῖσα ὑπ' αὐτοῦ ὀργὴ, ἀλλά γε οὐκ ἔσται κατὰ τὸ πλῆθος καὶ μέγεθος αὐτῆς ἐκζήτησις ἐν ἡμέρᾳ κρίσεως, δι' ἀγαθότητα τοῦ κρίνοντος Θεοῦ. Εἰ γὰρ ἐκζήτησις κατὰ τὸ πλῆθος τῆς ὀργῆς ἐγίνετο, ἄρδην ἀπώλλυντο καὶ παραυτὰ οἱ κακοί. Τοῦτ' αὐτὸ θεωρήσαντες τῷ ἀγαθότητα ἐνδεικνυμένῳ φασίν· « Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται; »

Στιχ. ε'. Πρόφασις δὲ τοῦ παροξῦναι τὸν ἁμαρτωλὸν τὸν Κύριον, τῷ μὴ πρὸ ὀφθαλμῶν καὶ ἐνώπιον αὐτὸν ἔχειν, ἐπείπερ ἀπεστράφη Θεόν· πᾶς γὰρ ἁμαρτάνων τοῦτο πράττει· διὸ φησὶν ὁ Θεὸς περὶ παντὸς τοιούτου, « Ἔστρεψαν ἐπ' ἐμὲ νῶτα αὐτῶν, καὶ οὐχὶ πρόσωπα. » Ταύτης τῆς ἀσεβείας ὁ Κάϊν πατὴρ γεγονὼς « ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ, » ἀποστραφεὶς αὐτὸν δηλονότι. Εἰ περὶ ἀνθρώπων ἁμαρτωλῶν λέγεται ταῦτα, πολλῷ μᾶλλον καὶ περὶ διαβόλου παροξύναντος τὸν Θεὸν, καὶ οὐκ ἔχοντος αὐτὸν ἐνώπιον αὐτοῦ· μάλιστα γὰρ αἱ ἑπόμεναι λέξεις περὶ αὐτοῦ λέγονται· « Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. » Τίνος γὰρ ἀνθρώπου βεβηλοῦνται αἱ ὁδοὶ ἐν παντὶ καιρῷ, τῶν ἀσεβῶν καθηκόντως πολλὰ πολλάκις ἐπιτελούντων; Βαδίζει δὲ βεβήλως οὐκ εἰς μόνας πράξεις ἐπιλήπτους ἄγων τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀπρονοησίαν ὁρίζων. Πολλοὺς γοῦν ἔπεισεν ἀπροστασίαστον τὸν κόσμον δογματίσαι, πρότερος αὐτὸς ἐκπεσὼν τῆς ὀρθῆς περὶ διοικήσεως Θεοῦ καὶ κρίσεως γνώμης. Παρίσταται τοῦτο ἐκ τοῦ λεγομένου τῷ Θεῷ περὶ αὐτοῦ· « Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει· » οὐχ ὡς πάντως τοῦτο σχήσοντος, ἀλλὰ διὰ τὸ αὐτὸν τοῦτο προτεθεῖσθαι· ψεῦδος γὰρ, τὸ κύριον αὐτὸν πάντων τῶν ἐχθρῶν αὐτοῦ εἶναι ἢ γενήσεσθαι· μάλιστα γὰρ ἐχθροὶ αὐτοῦ εἰσιν οἱ ἐν ἁγιότητι τέλειοι· ὧν οὐδενὸς βασιλεύει, μόνων δὲ τῶν ποιούντων τὴν ἁμαρτίαν κατακυριεύει· εἴρηται γάρ· « Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστιν τῆς ἁμαρτίας. » Κατακυριεύεται ὑπὸ τοῦ διαβόλου τοῦ ἐνεργήσαντος ἐν αὐτῷ τὴν ἁμαρτίαν.

Στιχ. ς'. Κατὰ δὲ τὸ ἀκόρεστον τῆς κακίας αὐτοῦ.

a Deo benedici: oportebat autem credere Dei benedictionem justis tribui.

Vers. 4. Etiamsi videatur procul esse et negligere Deus homines afflictos, et ob impii superbiam conturbatos, nihilominus valde irascitur superbo qui scandala infert, atque, ut cum Scriptura loquar, pauperem incendit, et bonis Dei providentia ipsi suppeditatis male utitur. Hoc enim in sequentibus verbis traditur. Dicitur enim: « Exacerbavit Dominum peccator; » est autem hic superbus impius, et in desideriis suis laudatus. Tantopere autem exacerbavit Dominum, ut iram erumpere fecerit, quam ipse sibi congesserat; juxta illud: « Secundum duritiam tuam et impœnitens cor thesaurizas tibi iram ad diem iræ [35]. » Sed quantumvis multam peccator sibi iram congesserit, haud tamen pro multitudine ac magnitudine ejus quæstio exercebitur in die judicii, propter judicantis Dei bonitatem. Nam si pro iræ magnitudine quæstio institueretur, funditus et illico perirent improbi. Quod ipsum animadvertentes, Deo bonitatem præ se ferenti, dicunt: « Si iniquitates observaveris, Domine, Domine, quis sustinebit [36]? »

Vers. 5. Cur autem Dominum exacerbet peccator, causa hæc est, quod illum præ oculis non habet, quia se avertit a Deo. Ita enim quisquis peccat se gerit. Ea propter de cunctis hujusmodi ait Deus, « Converterunt ad me dorsa, et non vultus [37]. » Hujus impietatis Cain parens, « exiit a conspectu Domini Dei [38], » id est, ab illo se avertit. Quod si de hominibus peccatoribus dicuntur hæc, multo potius et de diabolo Deum exasperante eumque præ oculis non habente; nam de ipso potissimum sequentes lectiones dicuntur: « Inquinantur viæ illius omni tempore. » Nam cujusnam hominis omni tempore inquinantur viæ? quoniam impii quoque multa sæpe honeste agunt. Pergit autem profane non ad vitiosos tantummodo actus trahens homines, verum etiam Dei providentiam negans. Multis itaque suadet, mundum sine Dei gubernatione credere, postquam ipse primus a recta excidit de Dei gubernatione et judicio sententia. Hoc probatur ex his quæ Deo de peccatore dicuntur: « Auferentur judicia tua a facie ejus, omnium inimicorum suorum dominabitur; » non quod omnino id sit consecuturus, sed quia id potius sibi faciendum proposuerit; namque falso diceretur, ipsum omnium inimicorum suorum dominum esse vel fore, præcipui enim inimici sunt homines sanctitate perfecti, quorum neminem possidet, sed illis tantummodo qui peccatum faciunt, dominatur. Dictum est enim: « Omnis qui facit peccatum, servus est peccati [38]. » Ergo a diabolo imperio premitur, qui in ipso peccatum operatur.

Vers. 6. Ex immodica autem malitia ejus, quæ

[35] Rom. II, 5. [36] Psal. CXXIX, 3. [37] Jerem. XVIII, 17. [38] Gen. IV, 16. [38] Joan. VIII, 34.

Digitized by Google

sequuntur dimanant. « Dixit enim : *Non movebor a generatione in generationem, sine malo.* » Quæ dictio superbiæ ipsius audaciam impudentiamque demonstrat. Verumtamen hac animadversa locutione, aliquis interpretari volet, quod hominibus tantummodo inimicis suis dominabitur; nam si a generatione in generationem dixit in corde suo, se mali expertem nunquam iri commotum, constat de hominibus tantum serie generis sibi succedentibus verba fieri. Atqui ne hoc quidem prorsus verum est, nam sanctis prophetis et apostolis non est dominatus ; sed ipsi potius eum pedibus suppositum habuerunt, hanc Jesu potestatem tradente.

Vers. 7. « Cujus maledictione os plenum est, et amaritudine ac dolo : sub lingua ejus labor ac dolor. » Qui a Dei sanctitate excidit, et a veritate ac benedictione se abducit, os habet maledictione plenum, dans operam scilicet ut pœnæ et maledictioni obnoxios faciat quos ipse decepit. Habet autem oratio ejus multam cum fallacia vim. Propterea maledicto, amaritudine, ac dolo redundat ejus sermo, os ejus appellatus : atque ut noceat et perdat, hæc gerit sub lingua sua ; talis vero sermo dolosus est, dolor laborque : nihil enim habet blandum bonumve ; sed quidquid dolorem laboremque ingerit, id eloquitur.

Vers. 8. Cum usquequaque se noxium et exitiosum esse decreverit, deligit sibi socios homines qui divite oratione esse videntur, fallacibus nimirum verbis utentes : cumque iis clam sedens, ut qui sit lateat, insidias struit, quibus innocentem interimat, igneis suis illum vulnerans telis : sunt enim hæc mortifera, utpote quæ a comite virtutis vita abstrahunt hominem his armis confixum. Attamen sic etiam interpungere possumus : « Sedet in insidiis cum divitibus ; » dehinc facta interpunctione prosequemur, « ut in occultis innocentem occidat ; » nam quia *in occultis* amphiboliam habet, utrinque interpungi potest : quod nuper primo fecimus interpungendo : « Sedet in insidiis, cum divitibus in occultis. » Postea vero legere maluimus : « Sedet in insidiis cum divitibus, ut in occultis innocentem occidat. » Attamen quamvis insidiatur, cum prædictis divitibus sedens ut capiat occidatque innocentem, nihilominus sciendum est, ab eo neminem, qui secundum Deum sit sapiens, posse feriri, utpote armatura Dei munitum. Unde oculos in inopem intendit, sperans ipsum capere ; quasi ille esset pauper, qui uritur ob impii superbiam. « Insidiatur in abscondito » ceu sævus leo in spelunca sua, ut pauperem dolosa oratione abripiat, et quandoque etiam operibus : quem etiam, postquam laqueo comprehendit, ad apostasiam trahet. Immanis enim fera est, imo vero leo. Igitur sæpe insidians, dum de parcimonia disserit, latenter avaritiam suadet ; et de pudicitia loquens, luxuriæ aliquam speciem insinuat. Sic Evam fraudulenter in paradiso ad mandati transgressionem perpulit,

A ἐστιν τὸ ἐξῆς ἐπιφερόμενον. « Εἶπεν γάρ, φησίν, *Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.* » Δηλοῖ τὸ ῥῆμα τῆς ἀλαζονείας αὐτοῦ θράσος ὁμοῦ καὶ ἀναισχυντίαν. Ταύτῃ τῇ φωνῇ ἐπιστήσας τις, ἑρμηνεύσει περὶ μόνων τῶν ἀνθρώπων, ἐχθρῶν αὐτοῦ κατακυριεύσειν· εἰ γὰρ ἀπὸ γενεᾶς εἰς γενεὰν εἶπεν ἐν τῇ καρδίᾳ ἄνευ κακοῦ μηδὲ πώποτε κεκλονῆσθαι, φανερὸν ὡς περὶ τῶν κατὰ διαδοχὴν ἐχόντων τὸ εἶναι μόνων ἀνθρώπων εἴρηται. Πλὴν οὐδὲ τοῦτο πάντως ἀληθές· τῶν γὰρ ἁγίων πατριαρχῶν καὶ προφητῶν καὶ ἀποστόλων οὐκ ἐκυρίευσεν· μᾶλλον γὰρ αὐτοὶ αὐτὸν ὑπὸ πόδας ἔσχον, τοῦ Ἰησοῦ τὴν ἐξουσίαν ταύτην ὁρέξαντος.

Στιχ. ζ'. « Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ B πόνος. » Ὁ τῆς ἁγιότητος αὐτοῦ ἐκπεσών, τῆς ἀληθείας καὶ εὐλογίας πόρρω ἑαυτὸν ἀπαγαγών, τὸ στόμα πλῆρες ἔχει ἀρᾶς, δι' ὧν λέγει πειρώμενος ὑπὸ κόλασιν καὶ ἀρὰν ποιεῖν τοὺς ἀπατωμένους. Ἔχει δὲ αὐτοῦ ὁ λόγος σὺν τῷ δολερῷ πολλὴν δεινότητα. Διὸ σὺν τῇ ἀρᾷ καὶ πικρίας καὶ δόλου ὁ λόγος αὐτοῦ πλήρης ἐστὶν, στόμα αὐτοῦ καλούμενος· καὶ ἐπὶ τούτων ἐπὶ τὸ βλάψαι καὶ ἀπολέσαι προφέρει ὑπὸ τὴν γλῶσσαν αὐτοῦ· αὕτη δὲ ὁ λόγος ὁ δολερός ἐστιν, πόνος καὶ κόπος ὑπάρχει· οὐδὲν γὰρ προσηνὲς ἢ χρηστὸν, ἀλλ', εἴ τι κόπον καὶ πόνον ἐμποιοῦν, προφέρει.

Στιχ. η'. Διὰ πάντων βλαπτικὸς καὶ ἀπωλείας προθέμενος εἶναι αἴτιος, ἐπιλέγεται δοκοῦντας εἶναι C πλουσίους ἐν λόγῳ, ψευδώνυμον λόγον ἔχοντας ἀνθρώπους· καὶ σὺν αὐτοῖς καθεζόμενος κεκρυμμένως ἐπὶ τὸ λανθάνειν τίς ἐστιν, ἐνεδρεύειν πειρᾶται ἵνα ἀθῶον ἀποκτείνῃ, τρώσας αὐτὸν τοῖς πεπυρωμένοις αὐτοῦ βέλεσιν, θανάτου γὰρ ποιητικὰ ταῦτα, καταπῶντα ἀπὸ τῆς σὺν ἀρετῇ ζωῆς, τὸν ὑπὸ τῶν βελῶν βαλλόμενον. Στίξαι δυνατὸν καὶ οὕτως· « Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων· » μεθ' ὃ στίξαντες ἐπιφέρομεν, « ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῶον· » τὸ γὰρ *ἐν ἀποκρύφοις* ἀμφιβολίαν ποιοῦν, ἑκατέρως διαστέλλεται· ὅπερ ἤδη πεποιήκαμεν πρότερον, στίξαντες· « Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις· » ὕστερον οὕτως ἀναγνόντες· « Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων, ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῶον. » Πλὴν εἰ καὶ ἐνεδρεύει, πλουσίοις τοῖς προειρημένοις συγκαθήμενος ἐπὶ τῷ ἐλεῖν καὶ ἀποκτεῖναι D ἀθῶον, ἀλλά γε ἐπιστατέον ὡς οὐδένα τῶν κατὰ Θεὸν σοφῶν τρῶσαι δύναται ἐνδεδυμένων τὴν πανοπλίαν Θεοῦ. Ὅθεν τοὺς ὀφθαλμοὺς εἰς τὸν πένητα ἔχει, πειθόμενος αὐτὸν ἔχειν ἁλωτὸν, τὸν αὐτὸν ὄντα τῷ ἐμπυριζομένῳ πτωχῷ ἐπὶ τῇ τοῦ ἀσεβοῦς ὑπερηφανίᾳ. Ἐνεδρεύει ἐν ἀποκρύφῳ οἷα ἄγριος λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, τοῦ ἁρπάσαι πτωχὸν διὰ λόγων ἀπατηλῶν, ἔστιν δ' ὅτε καὶ διὰ πράξεων· ὃν καὶ ἑλκύσει μετὰ τὸ ἁρπάσαι ἐν τῇ παγίδι αὐτοῦ, ἐπὶ τῷ καταφυγεῖν· θὴρ γὰρ ἄγριός ἐστι, μᾶλλον δὲ αὐτὸ τοῦτο λέων. Πολλάκις γοῦν ἐνεδρεύων, περὶ οἰκονομίας δῆθεν ὁμιλῶν, ἐγκρύπτει τὸν περὶ φιλαργυρίας λόγον· ὡς περὶ σωφροσύνης φθεγγόμενος, τρόπον ἀκολασίας ὑποβάλλει· οὕτως τὴν Εὔαν ἐπάτησεν ἐν τῷ παρα-

Digitized by Google

δείσῳ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς, ἰσοθεῖαν ὑποβάλλων· καὶ τὸν Ἰούδαν διὰ φιλαργυρίας.

Στιχ. ι'. Τὸ κύψαι κείμενον δηλοῖ, ὡς κάτω στρέψας τὸν ὀφθαλμὸν ἔπεσεν· πῶς γὰρ οὐ κάτω τὴν βλέψιν ἔχει ὁ ἀθετῶν πρόνοιαν διὰ τοῦ λέγειν, « Ἐπιλέλησται ὁ Θεὸς, » καὶ τὰ ἑξῆς;

Στιχ. ιβ'-ιε'. Δυνάμενος παραχρῆμα ταπεινῶσαι τὸν ὑπερήφανον καταδυναστεύοντα τοὺς ταραττομένους ἐπὶ τῇ θρασύτητι αὐτοῦ, διὰ τί χρήσιμον βοηθῆσαι αὐτοῖς δυνάμενος, εἴασας αὐτοὺς χρόνων τινὰ θλιβῆναι; ἐφ' ᾧ γινομένῳ ἐγνώσθης οὐ μόνον καὶ τὸν ἐπ' αὐτῷ καὶ δι' αὐτοῦ πόνον κατανοῶν· γέγονε δὲ τοῦτο, ἵν' οἱ ὠφεληθέντες διὰ τῆς προσκαίρου κακώσεως, ἑκουσίως ἑαυτοὺς παραδῶσιν εἰς τὰς χεῖράς σου, πόθον λοιπὸν ἔχοντες παιδεύεσθαι καὶ ἄρχεσθαι ὑπὸ σοῦ. Σοὶ οὖν ἐγκαταλέλειπται ὁ πτωχός· σὺ τὰ περὶ τῆς σωτηρίας αὐτοῦ οἰκονομήσεις, ἵνα πλούσιον αὐτὸν ποιήσῃς ἀγαθὰ οὐρανόθεν παρασχών. Οὕτω καὶ ὀρφανῷ αὐτὸς βοηθεῖ, προϊστάμενος καὶ ἀνατρέφων αὐτὸν εἰς υἱοῦ τάξιν. Ὀρφανὸν ἐν τούτοις ἐκλαβεῖν δεῖ τὸν ποτὲ ἔχοντα τὸν πατέρα τὸν διάβολον διὰ κακίαν· νῦν δὲ αὐτὸν ἀποβαλόντα μετανοίας τρόπῳ. Ἁμαρτωλὸς δὲ τίς, καὶ πονηρὸς, μετὰ τοῦ ἄρθρου εἰρημένος, ἢ ὁ διάβολος; Τούτου ὁ βραχίων ὑπὸ Κυρίου συντρίβεται, καὶ ἡ ἁμαρτία αὐτοῦ ζητουμένη οὐχ εὑρίσκεται ἔχουσα, ἐν τῷ ἐπιτελεῖσθαι τὸ τέλος λαβοῦσα· οὐ γὰρ οὐσία τίς ἐστιν τὸ κακὸν, ἀλλὰ ποιότης· καὶ οὕτως ἐνστήσεται τὸ ἐπὶ πᾶσι τέλος, οὗ χάριν τὰ ἄλλα πάντα γέγονεν· αὐτὸς δὲ οὐδενὸς ἕνεκα ἔστιν.

Στιχ. ις'. « Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » ὡς τῆς βασιλείας αὐτοῦ μὴ εἶναι τέλος. Οὐ γὰρ οἷόν τε τὸν αὐτὸν ὑπὸ δύο κυρίους καὶ βασιλεῖς εἶναι. Ὅτε ἐκυρίευεν καὶ ἐβασίλευεν ἡ ἁμαρτία τοῦ αὐτὴν ποιοῦντος, ὁ Θεὸς οὐ κύριος, οὐ βασιλεὺς τοῦ ἁμαρτάνοντος ἦν. Ἐπειδὴ δὲ ζητηθεῖσα ἡ ἁμαρτία ἡ βασιλεύουσα τοῦ ἐνεργοῦντος αὐτὴν οὐχ εὑρέθη, « Κύριος εἰς τὸν αἰῶνα βασιλεύει καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ. » Γῆ τοῦ Θεοῦ ἡ ἀγαθὴ καρδία εἴρηται· ἐκ ταύτης τῆς γῆς ἔθνη ἀπόλλυνται, ὅτ' ἂν ἐκβληθῇ πᾶν ἐνθύμημα φαῦλον καὶ λογισμὸς πονηρός· ἔθνη γὰρ τὰ φαῦλα ἐνθυμήματα καὶ λογισμοὶ, εὐεργεσίᾳ Θεοῦ ἀπολλύμενα. Εἰ δὲ καὶ τὴν τῶν πραέων γῆν δηλοῦσθαί τις βούλεται (Κυρίου γὰρ καὶ αὐτὴ), ἀπόλλυνται ἐκ τῆς γῆς ταύτης ἔθνη· πᾶς γὰρ ὁ ἁμαρτάνων οὐκ ἐπιτρεπόμενος εἰς αὐτὴν ἀναβῆναι· μόνοι γὰρ ἅγιοι κληρονομήσουσιν αὐτήν. Εἴρηται γὰρ πρός τινος ἁγίου, « Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων·. » καὶ πρὸς ἄλλον ὁ Θεὸς εἶπεν· « Ἀναβιβάσω σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς. »

Στιχ. ιζ'. « Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν πρόσεσχε τὸ οὖς σου. » Ἐπιθυμία τῶν πενήτων ὑπῆρχεν τὸ πεσεῖν τὸν τυραννικῶς κατακυριεύσαντα αὐτῶν. Ἐπεὶ οὖν ὑπῆρκται αὕτη, συντριβέντος τοῦ βραχίονος

parem illam fore Deo dictitans. Sic Judam avaritia illaqueavit.

Vers. 10. Quod incurvatus jacet, demonstrat eum fixo deorsum oculo procubuisse. Quidni enim ille deorsum spectat, qui providentiam negat, dum ait : « Oblitus est Deus, » et reliqua?

Vers. 12-15. Cum sine mora possis superbum humiliare, qui turbatos ab ipsius audacia opprimit, cujus utilitatis causa, cum possis optime his auxiliari, sinis eos tempore aliquo in pressuris versari? cujus certe rei ærumnam a te spectari scitum est. Verum ita contingit, ut qui a temporali calamitate eruditi fuerint, sponte se tradant in manus tuas, cupientes posthinc a te regi atque doceri. Tibi ergo derelictus est pauper; tu salutis ejus negotium curabis, ut eum divitem supernis bonis efficias. Sic etiam orphano ipse auxiliatur, patrocinans atque alens in filii loco. Orphanum hic intelligere oportet hominem, qui olim diabolum habuit patrem ob suam malitiam : nunc vero illum per pœnitentiæ mores abjecit. Jam quinam peccator sit et improbus, præsertim si (more Græco et Italico) cum articulo proferatur, nisi diabolus? Hujus brachium a Domino conteritur; et peccatum ejus conquisitus non invenitur, quia in quo patratur articulo, in eodem desinit; non enim substantia aliqua est peccatum, sed qualitas. Ita eveniet ut sit quidam supremus finis, cujus causa omnia fiunt; ipse autem a nulla causa est.

Vers. 16. « Regnabit Dominus in æternum, et in sæculum sæculi, » ita ut regni ejus nullus sit finis. Neque enim fieri potest, ut idem homo sub duobus dominis regibusve sit. Cum dominabatur regnabatque peccatum, ejus qui illud patrabat non erat Deus Dominus, neque rex peccatoris audiebat. Postquam vero conquisitum quod dominabatur auctori suo peccatum, inventum non est, « Dominus in æternum regnat et in sæculum sæculi. Peribitis, gentes, de terra ipsius. » Terra Dei, cor bonum dicitur; de terra hac gentes pereunt, quando scilicet prava quælibet animi molitio et omnis mala cogitatio expellitur; nam gentium nomine denotantur prava animi molimina et cogitationes, quæ Deo favente pereunt. Quod si quis terram mansuetorum hic designari vult (nam et hæc Domini est), pereunt ex hac terra gentes : siquidem nemo peccator in hanc ingredi sinitur; nam sancti tantummodo eam possidebunt. Dictum est enim a quodam sancto viro : « Credo videre bona Domini in terra viventium [39]. » Atque alii Deus dixit : « Extollam te ad bona terræ. »

Vers. 17. « Desiderium pauperum exaudisti, Domine : præparationi cordis eorum intendit se auris tua. » Desiderium pauperum fuit, ut is caderet, qui tyrannide ipsos premebat. Quia vero id contigit, fracto peccatoris atque improbi brachio, recte Deo

[39] Psal. xxvi, 13.

Digitized by Google

cordium cognitori et arcanorum conscio, desiderium pauperum patefactum est efficaci prece. Audivit autem eos Dominus, voluntati ipsorum aurem præbens. Quidni enim paratum cor haberent propriæ saluti, qui prædictorum bonorum cupidi erant, suamque animam ad promissum Dei regnum capiendum comparaverant?

νος τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, εἰκότως Θεῷ τῷ τὰς καρδίας ἐπισταμένῳ καὶ τὸ κρυπτὸν εἰδότι, ἡ ἐπιθυμία αὐτῶν πεφανέρωται, ἐνεργὴς οὖσα προσευχή. Εἰσήκουσεν δὲ αὐτῶν ὁ Κύριος, προσχόντος τοῦ ὠτὸς αὐτοῦ τῇ ἑτοιμασίᾳ τοῦ ἡγεμονικοῦ αὐτῶν. Πῶς γὰρ οὐχ ἕτοιμον τὴν καρδίαν εἶχον πρὸς τὸ σωθῆναι οἱ τῶν προλεχθέντων ἔχοντες ἐπιθυμίαν, καὶ ἑτοιμον ἑαυτῶν ποιοῦντες τὴν ψυχὴν εἰς τὴν ἐπηγγελμένην αὐτοῖς βασιλείαν τοῦ Θεοῦ;

Vers. 18. Duplici hic quoque sensu hominis vocabulum est accipiendum; nempe et de mortali logico animante in superbiam elato; et de diabolo dicente: « Mundum universum manu capiam; neque erit qui me effugiat, aut mihi resistat. » Utique jam ulterius non gloriabitur, sanctis pede potentiam ejus prementibus, propter datam ipsis abs Jesu facultatem.

Στιχ. ιη'. Διχῶς καὶ ἐνταῦθα τὸν ἄνθρωπον ἐκληπτέον, εἴς τε τὸ θνητὸν λογικὸν ζῶον ἀλαζονευόμενον, καὶ εἰς τὸν λέγοντα διάβολον· « Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. » Οὐ γὰρ ἔτι μεγαλαυχήσει συντριβόμενος ὑπὸ τοὺς πόδας τῶν ἁγίων πατούντων αὐτοῦ τὴν δύναμιν, Ἰησοῦ τοῦτο χαρισαμένου.

PSALMUS X.

Versus. 1. « In Domino confido, quomodo dicitis animæ meæ, » etc. « Ecce peccatores intenderunt arcum, paraverunt sagittas in pharetra, » et reliqua. Quibus dictis adhortatur animam suam ut se attollat passeris instar alis virtutis, ut altos transcendens spiritales montes, incolumis maneat. Verum utcunque hujus lectionis distinctio facienda sit, certe in Domino confidendum est.

Στιχος α'. « Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, » κ. τ. λ. « Ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, » καὶ τὰ ἑξῆς. Ἐφ' οἷς εἰρημένοις παρορμᾷ τὴν ψυχὴν ἑαυτοῦ μετεωρισθῆναι δίκην στρουθίου πτεροῖς ἀρετῆς, ἵνα περάσας ἐπὶ τὰ ὕψος ἔχοντα ὄρη πνευματικὰ, ἀβλαβὴς διαμείνῃ. Ὅπως δ' ἂν ἔχῃ τὰ τῆς διαστολῆς τοῦ ἀναγνώσματος, πεποιθέναι ἐπὶ Κύριον προσήκει.

Vers. 3. Spiritali autem sensu, multis calliditate pollentibus tum visibilibus tum etiam invisibilibus hostibus, qui intentam voluntatem habent, et qui ob paratam vim arcui intento comparantur. Sed et parata tela sermones diserti sunt. Hæc tibi configendo adsunt. Tu tamen (o anima) celsis in montibus mansionem habes: illic posita, nequaquam vulneraberis. Dictum porro est diviniores Scripturarum sententias montium appellatione designari; nec non etiam sapientes magistros apostolos ac prophetas. Verbum, « Transmigra in montes sicut passer, » possumus hoc sensu dictum a Spiritu reputare, hortante ad secessum animam, quæ venenata sagittariorum tela vitare velit. Quod si forte invisibiles ipsæ potestates et arcitenentibus similes, dicant: « Transmigra in montes sicut passer, » dici hoc irridenter putabimus, dum eos denotare volunt qui toto corde Deo confidunt. Item quia tenebrarum noctisque filii sunt, qui hac sophistica oratione utuntur, tanquam sagittarii per obscuram noctem tela vibrare constituunt adversus homines recto corde præditos.

Στ. γ'. Κατὰ θεωρίαν δὲ, πολλῶν σοφιστικῶς παρεσκευασμένων ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν, ὡς ἤδη τὸ ἡγεμονικὸν ἔχειν τεταμένον, δι' ἑτοιμασίαν τόξῳ ἐντεταμένῳ ἐοικός. Ἀλλὰ καὶ βέλη ἕτοιμα, λόγοι δὴ πιθανοί· ταῦτα πρὸς τὸ κατατοξεῦσαί σε. Ἔχεις διατριβὴν ἐν ὑψηλοῖς ὄρεσιν· ἐνταῦθα γενομένη οὐ τρωθήσῃ. Εἴρηται δὲ ὡς τὰ θειότερα τῶν Γραφῶν νοήματα τῇ τῶν ὀρῶν προσηγορίᾳ σημαίνεται. Πρὸς τούτοις καὶ οἱ σοφοὶ διδάσκαλοι ἀπόστολοι καὶ προφῆται, δυνατὸν ὑπὸ τοῦ Πνεύματος εἰρημένον ἐκλαβεῖν τὸ, « Μετανάστευε ἐπὶ τὰ ὄρη ὡς στρουθίον, » προτρεπομένου ἀναχωρεῖν, τὸν διαδράναι θέλοντα τὴν ἰοβόλον τρῶσιν τῶν τοξοτῶν. Εἰ δὲ καὶ ἀόρατοι δυνάμεις αἱ αὐταὶ οὖσαι, ἢ συγγενεῖς τοῖς τοξόταις, λέγοιεν τὸ, « Μετανάστευε ἐπὶ τὰ ὄρη ὡς στρουθίον, » χλευαστικῶς αὐτὸ εἰρημένον ἐκληψόμεθα, ὑποδηλῶσαι θελόντων τοὺς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεὸν πεποιθότας. Εἶτ' ἐπεὶ σκότους υἱοὶ καὶ νυκτός εἰσιν οἱ πρὸς τὸ οὕτως σοφιστεύειν παρεσκευασμένοι, τοξόται ἐν ἀφεγγεῖ νυκτὶ κατατοξεύειν προτέθεινται τοὺς εὐθεῖαν καρδίαν ἔχοντας.

Vers. 5. Si vel de Patre, vel etiam de ipso Salvatore ante incarnationem sermo est, sanctum ejus templum intelligendum est, ipsum esse sanctum cœlestemque intellectum, in quo ceu sancto templo suo thronum habet quasi in cœlo, ubi scilicet divine et sublimiter regnat. Jamque in anterioribus diximus thronum pro regno accipi. Inspectrices autem ac providæ Dei virtutes, quæ oculi ejus appellantur, pauperi intentæ, incolumem eum servant. His circa pauperem curatis, oculorum Dei palpebræ, actus cogitationesque hominum explorant. Atque hoc

Στιχ. ε'. Εἰ ἡ περὶ τοῦ Πατρὸς, ἢ καὶ αὐτοῦ τοῦ Σωτῆρος πρὸ τῆς ἐνανθρωπήσεως, ναὸν ἅγιον αὐτοῦ ἐκληπτέον τὴν περὶ αὐτοῦ ἁγίαν καὶ οὐράνιον νόησιν, ᾧ ἐν ναῷ ἁγίῳ καὶ τὸν θρόνον ἔχει ἐν οὐρανῷ θεϊκῶς καὶ ἐπουρανίως βασιλεύων. Ἐσημειωσάμεθα καὶ ἐν τοῖς πρότερον ἀντὶ βασιλείας τὸν θρόνον λαμβάνεσθαι. Αἱ δὲ ἐποπτικαὶ καὶ ἔφοροι τοῦ Θεοῦ δυνάμεις, ὀφθαλμοὶ αὐτοῦ καλούμεναι, πρὸς τὸν πένητα γινόμεναι, φρουροῦσιν αὐτὸν ἀβλαβῆ. Τούτων περὶ αὐτὸν οἰκονομηθέντων, τὰ βλέφαρα τῶν ὀφθαλμῶν τοῦ Θεοῦ ἐξετάζει τὰς πράξεις καὶ τοὺς λογισμοὺς τῶν

Digitized by Google

ἀνθρώπων. Ἐκ τούτου παρίσταται τοῦ κριτοῦ τὸ φιλάνθρωπον. Εἰ γὰρ ὀφθαλμοῖς ἐξήταζεν καὶ βλεφάροις, ἀνύποιστος ἦν ἀνθρώποις ἡ κρίσις· τῷ δὲ τοῖς βλεφάροις ἑαυτοῦ ἐξετάζειν τὰ κατ' αὐτοὺς, οὐ παρατηρεῖται πάντα τὰ ἁμαρτήματα τῶν κρινομένων, οὐδὲ οἷου μεγέθους ὑπάρχει ταῦτα. Εὖ δὲ καὶ τὸ εἰπεῖν, τοὺς μὲν ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν εὐεργετούμενον εἶναι, κἂν εἷς πένης ὑπάρχῃ· τὰ δὲ βλέφαρα ἐπὶ τοὺς πολλοὺς ἀνθρώπων υἱοὺς, ἵν' αἱ μὲν εὐεργεσίαι δαψιλῶς παῤῥησίᾳ ἐπιτελῶνται· αἱ δὲ κολάσεις πολὺ τὸ κεκρυμμένον ἔχουσι περὶ Θεοῦ. Καὶ ταῦτα λέξει διανοούμενα, οὐδὲν αἰσθητὸν βλέφαρον ἢ ἑτερόν τι τοιοῦτον ἐμφαίνουσιν· ὅθεν καὶ ταῦτα θεοπρεπῶς νοητέον.

A dicto benignitas judicis ostenditur. Nam si oculis simul et palpebris suis exploraret, intolerabile nominibus judicium fieret : nunc cum palpebris suis tantummodo res singulorum exploret, haud omnia judicandorum hominum peccata observari constat, neque horum magnitudo quanta sit. Bene item dicitur, oculos ejus ad eum qui beneficio afficitur intendi, etiamsi unus de pauperum numero sit; palpebras autem ad multitudinem filiorum hominum; ut beneficia quidem copiose alacriterque dentur; at pœnæ multo occultius a Deo proveniant. Atque hæc ad litteram considerata, nullam materialem palpebram, aut quidlibet hujusmodi denotant; nam decente Deum modo intelligenda sunt.

Στιχ. ς'. « Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ. » Ὁ Χριστός ἐστιν οὗ τῷ βήματι φανερωθῆναι πάντας δεῖ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. Εἰπὼν δὲ ὅπὸ Κυρίου ἐξέτασιν γινομένην τοῦ δικαίου καὶ τοῦ ἀσεβοῦς, ἐπιφέρει, ὡς μισεῖ τὴν ἑαυτοῦ ψυχὴν, ὁ τὴν κακίαν, οὖσαν ἀδικίαν, ἀγαπῶν, ποιῶν αὐτὴν κολαστέαν, διὰ τοῦ ἁμαρτάνειν· ᾧ ἐναντίον ποιεῖ ὁ δικαίως ἐνεργῶν, ἀγαπῶν τὴν ψυχὴν αὐτοῦ, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, ὁ εἰς ἀρετὴν αὐτὸν ἄγων. Οὐ μάχεται τὸ, « Δίκαιος (10) ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, » τῷ μὴ ἀνίστασθαι ἀσεβεῖς ἐν κρίσει· τὸ μὲν γὰρ τοὺς πάντη ἀθέους σημαίνει· τὸ δὲ, τοὺς διὰ τὸ ἁμαρτάνειν καταφρονοῦντας Θεοῦ. Πλέονες γὰρ Γραφαὶ δηλοῦσι τοῦτο, μάλιστα ἡ λέγουσα, « Ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής; » ἐν Γενέσει.

B Vers. 6. « Dominus explorat justum et impium. » Dominus videlicet Christus est, ante cujus « tribunal manifestari omnes oportet, ut referat unusquisque propria in corpore suo, prout gessit, sive bonum sive malum [40]. » Jam postquam dixit a Domino explorari justum et impium; subdit, eum odio habere animam suam qui malitiam seu iniquitatem diligens, facit eam pœnæ obnoxiam peccando. Secus vero agit, qui justitiam sectando, animam suam diligit, necnon proximum tanquam seipsum, quem etiam ad virtutem deducit. Neque dictio : « Justus explorat justum et impium, » repugnat illi : « Non resurgent impii in judicio [41] : » nam hæc dictio homines omnino irreligiosos significat : illa C autem homines qui peccandi tantum causa Deum aspernantur. Multi enim sacræ Scripturæ textus id ostendunt; et illa præcipue Geneseos verba : « Erit justus sicut impius? »

Στιχ. ζ'. « Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας· » τοῦτ' ἔστι κολάσεις παγιδευούσας, καὶ ἐντὸς ἀρκύων ποιούσας τοὺς ἀγρευομένους· εἰ μὴ ἄρα τὸ παραδιδόσθαι αὐτοὺς ὑπ' αὐτοῦ ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν τοῦτο δηλοῖ, καὶ πάθεσιν ἀτιμίας, καὶ ἀδοκίμῳ νῷ. Καὶ ὅρα εἰ μὴ διὰ τοῦτο *ἐπιβρέξει*, ἀλλ' οὐ *βρέξει* παγίδας, εἴρηται· ἤδη γὰρ παγιδευθεῖσιν ὑφ' ἑαυτῶν ἐπιβρέχονται παγίδες. Τοῦτο δηλοῦται καὶ ἐκ τοῦ· « Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζόμενων τὴν ἀνομίαν. » Ἐφαρμόσεις πρὸς ἑκατέρας τὰς ἀποδόσεις τὸ οὕτω γεγραμμένον ἐν Παροιμίαις πρὸς τοὺς σκολιούς· D « Σκολιὰς ὁδοὺς ἀποστελεῖ ὁ Θεός. » Πρὸς μὲν γὰρ τὴν προτέραν ἀπόδοσιν, κολάσεις εἶεν αἱ σκολιαὶ ὁδοὶ τοῖς διὰ κακίαν σκολιοῖς γεγενημένοις ἐκπεμπόμεναι· πρὸς δὲ τὴν ἑτέραν, αἱ παραδόσεις εἰσὶν αἷς παραδίδονται οἱ ἑκουσίως ἁμαρτάνοντες· αἳ δηλοῦνται διὰ τῶν παθῶν τῆς ἀτιμίας, καὶ τῶν κατηριθμημένων.

Vers. 7. « Superpluet peccatoribus laqueos, » id est pœnas quæ illaqueant, ac veluti retibus venaticam prædam capiunt : nisi forte hoc innuit, tradi eos a Deo cupiditatibus cordium suorum, et passionibus ignominiæ reproboque sensui. Et vide num ideo forsitan dixerit *superpluet*, et non *pluet* laqueos : nam jam illaqueatis, adhuc superpluuntur laquei. Id illa quoque dictione demonstratur : « Declinantes autem in obliquitates adducet Dominus cum operantibus iniquitatem [42]. » Utrique sensui accommodabis illud quod in Proverbiis scriptum est de perversis : « Vias perversas aversabitur Deus [43]. » Nam juxta priorem sensum, pœnæ loco erunt perversæ viæ, hominibus malitia perversis oblatæ : posteriore autem sensu traditiones intelliguntur illorum, quibus traduntur sponte peccantes : quæ sunt passiones ignominiæ, et alia ibidem numerata.

Στιχ. η'. « Πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. » Αἱ ἐπίπονοι ἀνταποδόσεις δηλοῦνται πολλάκις ἐν τῇ Γραφῇ ὀνόματι τοῦ ποτηρίου· ὡς ἐν Ἡσαΐα· « Ἐξεγείρου, ἐξεγείρου, Ἱερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τῆς πτώσεως, τὸ

Vers. 7. « Ignis et sulphur et spiritus procellæ pars calicis eorum. » Molestæ punitiones denotantur sæpe apud Scripturam calicis vocabulo; veluti in Isaia : « Exsurge, exsurge, Hierusalem, quæ bibisti calicem ruinæ, craterem furoris [44], » et reli-

[40] II Cor. v, 10. [41] Psal. I, 5. [42] Psal. CXXIV, 5. [43] Prov. XV, 9. [44] Isa. LI, 17.

(10) Δίκαιος. An legendum Κύριος? Edit. Patrol.

Digitized by Google

qua. Sed etiam apud Jeremiam idem sensus aperitur hac locutione : « Dixit Dominus omnipotens, Deus Israelis : Sume calicem vini meri de manu mea, eoque potabis gentes, ad quas ego te mittam [45]. » Num ergo congruenter his, præsente quoque loco punitionem denotat pars calicis ipsis distributi, præsertim quia plenitudo calicis hujus est ignis, sulphur, et spiritus procellæ, cujus symbola erant, quæ in Genesi scribuntur [46], pœnarum genera Sodomis et Gomorræ inflictarum a Domino. Præter ignem et sulphur, est etiam in hoc calice spiritus procellæ; et ignis quidem significat inflammatas minas; sulphur, impetum quo ignis magis incenditur; denique spiritus procellæ, tentationis turbinem quemdam demonstrat. Quod autem tentationem procella significet, perspicue possumus B discere ex Isaia scribente : « Et sicut procella per desertum transiens, in proximo terribilis sævaque visio nuntiata mihi est [47]. » Fugiamus ergo impietatem, ut hujusmodi calix procul nobis sit, et pie vivamus; ut bibamus ad ebrietatem quod est optimum. Ex quo illud quoque fortasse dictum est : « Dominus pars hæreditatis meæ et calicis mei [48]. Quoniam justus Dominus, et justitiam diligit, rectitudines videt vultus ejus : » ideoque super pauperem oculos intentos habet, de salute ipsius sollicitus. Sed tamen super peccatores laqueos immittit; non enim temere Dei providentia ac judicia fiunt : quippe Deus substantialiter justus est, non autem justitiæ particeps; qui cum ita natura propria sit comparatus, diligit pariter in multis justis esse justitiam, bonum cujusque propositum approbans. Possumus et aliter explanare quomodo Deus justitias diligat : cum nempe singulorum judiciorum sit quædam justitia, multa vero sint judicia Dei, de quibus scriptum est : « Judicia Domini vera, justificata in idipsum [49]; » hinc necessario sequitur multas esse justitias. Et quomodo justus est, ita etiam rectitudinem esse dices voluntatem illam quæ ad rectam rationem exigitur. Eam Deus libenter in iis qui habent spectat. Dicendum vero est de rectitudine, sensu congruo secundæ illi de justitiis notioni, quam in inscrutabilibus Dei judiciis constituimus : quamque ob omnimodam approbationem facies ejus spectare dicitur. Nam Dei præsentia ex D providentiæ actibus et ex judiciorum effectibus innotescit.

κόνδυλον τοῦ θυμοῦ, » καὶ τὰ ἑξῆς· ἀλλὰ καὶ ἐν Ἱερεμίᾳ παρίσταται τὸ αὐτὸ ἐκ τῆς ἐχούσης οὕτω φωνῆς· « Εἶπεν Κύριος ὁ παντοκράτωρ, ὁ Θεὸς τοῦ Ἰσραήλ· Λάβε τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου ἐκ χειρός μου· καὶ ποτιεῖς αὐτὸ πάντα ἔθνη πρὸς οὓς ἐγὼ ἀποστελῶ σε. » Μήποτ' οὖν συμφώνως τούτοις καὶ ἐν τοῖς προκειμένοις κόλασιν δηλοῖ ἡ μερὶς τοῦ ποτηρίου τοῦ μερισθέντος αὐτοῖς; μάλιστα ὅτι τὸ πλήρωμα τοῦ ποτηρίου τούτου, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἐστίν· οὗ σύμβολα τὰ ἐν Γενέσει ἀναγεγραμμένα εἴδη κολάσεων ἐλθόντα ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ Κυρίου. Πρὸς τούτῳ τῷ πυρὶ καὶ τῷ θείῳ, καὶ πνεῦμα καταιγίδος ἐστὶν ἐν τῷ ποτισμῷ τοῦ ποτηρίου. Δηλοῖ τὸ πῦρ τὴν διὰ καύσεως ἀπειλήν· τὸ δὲ θεῖον, τὴν διεγειρουσαν ἔτι μᾶλλον τὸ πῦρ ἀφορμήν· πρὸς τούτοις τὸ πνεῦμα τῆς καταιγίδος, πειρασμοῦ τινος συστροφὴν δηλοῖ. Ὅτι δὲ πειρασμὸν ἡ καταιγὶς δηλοῖ, σαφῶς ἔστιν μαθεῖν ἀπὸ τοῦ ἐν Ἡσαΐᾳ γεγραμμένου, « Ὡς καὶ καταιγὶς δι' ἐρήμου διέλθοι ἐρχομένη, ἐγγὺς φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι. » Φύγωμεν τοίνυν τὴν ἀσέβειαν, ἵνα τοῦτο τὸ ποτήριον μακρὰν γένηται ἀφ' ἡμῶν, καὶ ἐν εὐσεβείᾳ ζήσωμεν, ἵνα πίωμεν τὸ μεθύσκον ὡς κράτιστον· περὶ οὗ κἀκεῖνο λέλεκται· « Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ ποτηρίου μου· ὅτι δίκαιος Κύριος· καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδεν τὸ πρόσωπον αὐτοῦ. » Καὶ τούτου χάριν ἐπὶ τὸν πέντα τοὺς ὀφθαλμοὺς ἔχει, φροντίζων αὐτοῦ τῆς σωτηρίας· ἀλλὰ καὶ ἐπὶ τοὺς ἁμαρτωλοὺς παγίδας ἐπιπέμπει· οὐ γὰρ ὡς ἔτυχεν εἰκῇ C γίνεται τὰ τῆς Προνοίας καὶ Θεοῦ κρίσεως· δίκαιος δὲ Κύριος κατ' οὐσίαν, ἀλλ' οὐ μετοχὴ δικαιοσύνης ἐστίν· πλὴν εἰ καὶ οὕτως ἔχει φύσεως, ἀλλ' οὖν ἀγαπᾷ τὰς ἐν τοῖς πολλοῖς δικαίοις δικαιοσύνας, τὴν ἑκάστου πρόθεσιν ἀποδεχόμενος. Ἔστιν καὶ ἄλλως εἰπεῖν ἀγαπᾷν αὐτὸν δικαιοσύνας· ἐπεὶ ἑκάστου κρίματός ἐστίν τις δικαιοσύνη, πολλὰ δὲ τὰ κρίματα τοῦ Θεοῦ, περὶ ὧν γέγραπται· « Τὰ κρίματα τοῦ Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό· » ἀνάγκη καὶ τὰς δικαιοσύνας πολλὰς εἶναι. Ὥσπερ δὲ δίκαιός ἐστιν, οὕτω καὶ εὐθύτητα βλέπων· εὐθύτητα δὲ ἐρεῖς γνώμην τὴν πρὸς ὀρθὸν λόγον κανονιζομένην. Ταύτην ὁρᾷ χαίρων ἐπὶ τοῖς ἔχουσιν. Ῥηθείη καὶ περὶ τῆς εὐθύτητος ἁρμονίως τῇ περὶ τῶν δικαιοσυνῶν δευ- D τέρᾳ νοήσει, ὑπαρχούσῃ ἐν τοῖς κρίμασιν τοῖς ἀνεξερευνήτοις αὐτοῦ· ἦν διὰ τὸ πάνυ ἀποδέχεσθαι, τὸ πρόσωπον αὐτοῦ ὁρᾷ· ἐπιφαίνεται γὰρ παρὼν ὁ Θεὸς τοῖς ἔργοις τῆς Προνοίας, καὶ τοῖς ἀποτελέσμασιν τῶν κριμάτων.

PSALMUS XI.

Versus. 4. Nequaquam existimandum est corporis membra hic destruenda dici, sed illorum dolosum usum, et arrogantem sermonem. Nam et in Proverbiis dicitur : « Aufer a te os perversum, et iniqua labia a te procul repelle [50]. »

Vers. 5. « Labia nostra a nobis sunt; quis noster dominus est? » Hac audacia impius elatus dum ex-

Στίχος δ'. Οὐ γὰρ τὰ μέλη τοῦ σώματος ἐξολοθρευόμενα ἡγεῖσθαι δεῖ, ἀλλὰ τὴν χρῆσιν τὴν δολίαν αὐτῶν, καὶ τὸν μεγαλορήμονα λόγον. Καὶ γὰρ ἐν Παροιμίαις εἴρηται· « Περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἄπωσαι ἀπὸ σοῦ. »

« Τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστιν· τίς ἡμῶν κύριός ἐστιν; » Ἀπὸ ταύτης τῆς θρασύτητος ὁ ἀσεβὴς

[45] Jerem. xxv, 15. [46] Gen. xix, 24. [47] Isa. xxi, 1, 2. [48] Psal. xv, 5. [49] Psal. xviii, 10 [50] Prov. iv 24.

Digitized by Google

εὐοδούμενος ἐν τῷ τυγχάνειν ὧν ἐπιθυμεῖ, προφέρει φωνὴν τὴν ἐν τῷ Ἰώβ· « Λέγει δὲ Κυρίῳ· Ἀπόστα ἀπ' ἐμοῦ· ὁδούς σου εἰδέναι οὐ βούλομαι· τίς ἱκανὸς, ὅτι δουλεύσομεν αὐτῷ; » Καὶ γὰρ οὗτοι τῆς προσούσης αὐτοῖς εὐπραγίας αἴτιοι νομίζοντες εἶναι, λέγουσι Κυρίῳ· Ἀπόστα, μὴ φανεροῦ μοι τὰς ὁδούς σου· εἰδέναι γὰρ αὐτὰς οὐ θέλω· τί γὰρ πλέον ἡμῶν ἔχων ἱκανὸς εἶ, ἵνα δουλεύσωμέν σοι; A

Στιχ. ς'. Ἐπὶ τῶν ἀσεβῶν μέγα φρονούντων ὡς μεγαλορήμονα γλῶτταν καὶ χείλη δόλια αὐχεῖν, οἱ πτωχοὶ ταλαιπωροῦσιν, καὶ στενάζουσιν οἱ πένητες, τὸ τυραννικὸν αὐτῶν οὐ φέροντες. Τούτου χάριν φησὶν ὁ Κύριος· « Ἀναστήσομαι νῦν, ἵνα θήσομαι τὴν βουλὴν ἐν σωτηρίῳ· παῤῥησιάσομαι ἐν αὐτῷ κατὰ τῶν ἐναβρυνομένων ὑπερηφάνως τῶν ὑποδεεστέρων· ἀπολύσω δὲ τοῦ ταλαιπωρεῖν καὶ στενάζειν τοὺς B πτωχοὺς καὶ πένητας. » Πτωχοὺς καὶ ἐν τούτοις καὶ πένητας ἐρεῖς τοὺς μὴ οἷούς τε ἐπαμύνειν ἑαυτοῖς δι' ἀσθένειαν προσοῦσαν, ἢ διὰ τὴν εἰς τοιαύτην κατάστασιν ἄγουσαν κακίαν. Οὗτοι ἀνώτεροι ταλαιπωρίας καὶ τοῦ στενάζειν γεγένηνται, τοῦ Κυρίου κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἀναστάντος, καὶ πρὸς ἡμᾶς ἐληλυθότος· ὡς φανερωθῆναι τὴν σωτηρίαν τῶν ἔξω ταλαιπωρίας καὶ τοῦ στενάζειν γεγενημένων. Ἔστιν γοῦν καταλλήλως τοῖς προκειμένοις ἀκοῦσαι τὸ, « Ταλαίπωρος ἐγὼ ἄνθρωπος. Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; » Ἐφ' ᾧ λεχθέντι παῤῥησιαζόμενος ἐξῆς λέγει· « Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. » Δείκνυται γὰρ διὰ τούτων, ὡς Ἰησοῦς ὁ Χριστὸς ὁ ῥυσάμενος τὸν ταλαιπωροῦντα δι' ὃ εἶχεν σῶμα θανάτου, ὁ εἰπών ἐστι· « Νῦν ἀναστήσομαι, λέγει Κύριος. » C

Ἐπῆλθέν τισιν εἰπεῖν πτωχοὺς μὲν εἶναι τοὺς μεταπεσόντας τοῦ πλούτου· πένητας δὲ τοὺς ἐκ πόνου δι' ἐργασίας γινομένου τὸ ζῆν ἔχοντας (11). Καὶ ἔστιγε κατὰ ταύτην τὴν νόησιν ὁ πτωχὸς πένης ἐξ ἀνάγκης, οὐκ ἀντιστρέφοντος τὸν πένητα πτωχὸν εἶναι. Καὶ τάχα γε τὰ εἰρημένα περὶ τοῦ πτωχοῦ κατασκευάσεται καὶ ἐκ τῆς Γραφῆς· εἴρηται γάρ· « Πλούσιοι ἐπτώχευσαν· » καὶ, « Ὅτι ἐπτωχεύσαμεν σφόδρα. » Συμφώνως τούτοις ἐκλήψεται καὶ τὸ περὶ τοῦ Σωτῆρος λεχθέν· « Ὡς ἐπτώχευσεν δι' ἡμᾶς πλούσιος ὤν, ἵνα ἡμεῖς πλουτήσωμεν τῇ αὐτοῦ πτωχείᾳ. » Συναινεῖ καὶ τοῖς περὶ τοῦ *πένητος* τὸ, « στεναγμοῦ τῶν πενήτων, » στενόντων ἀεὶ καὶ ὀλοφυρομένων, D ἐπὶ τῷ πόνῳ τῷ ἐκ τοῦ ἀπορεῖν τῶν ἐπιτηδείων προσόντι. Τὸ, « θήσομαι ἐν σωτηρίῳ, » δηλοῖ τὸ, Ὁρίσω καὶ ποίησω· ὥσπερ καὶ ἐν τῷ, « Ὃν ἔθηκεν κληρονόμον πάντων· » δηλούσης τῆς λέξεως, ὃν ὥρισεν καὶ ἀνέδειξεν κληρονόμον. Εἰς ταῦτα λήψει τὸ, « Ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, » καὶ τὰ ἑξῆς· καὶ τὸ πρὸς τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας εἰρημένον, « Ὑμᾶς ἔθετο τὸ Πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν. « Τὸ

petita re potitur, vocem emittit, cujusmodi apud Jobum est : « Dicitque Domino : Recede a me, vias tuas scire nolo [51]. Quid prodest, si ei nos serviamus? » Nimirum hi propriæ felicitatis putantes se esse auctores, dicunt Domino : Recede, ne mihi vias tuas manifestare velis; namque eas cognoscere nolo. Quid enim nobis utilitatis accedet, si tibi famulemur?

Vers. 6. Dum impii tumida mente sunt, linguaque magniloqua et dolosis labiis insolescunt, pauperes mœrent, inopes gemunt, tyrannicum illorum morem minime ferentes. Propterea dicit Dominus : « Nunc exsurgam, ut ponam consilium in salutari : fiducialiter agam in eo, » contra illos qui superbe se extollunt supra infirmiores. Eo solvam a sua miseria, ne gemant, pauperes ac inopes. Porro pauperes atque inopes nunc quoque dices eos, qui semet tueri ob virium infirmitatem nequeunt, vel propter nequitiam qua ad hujusmodi statum redacti sunt. Hi celsiores calamitate et gemitu facti sunt eo tempore, quo Christus ad nos venit et resurrexit; ita ut salvi apparuerint, erepti ærumnis atque ploratibus. Prædictis itaque consentaneum est verba illa audire : « Infelix ego homo! quis me liberabit de corpore mortis hujus [52]? » Quo dicto, confidenter deinde ait : « Gratias ago Deo per Jesum Christum [53]. » Per hæc enim ostenditur, Jesum Christum, qui calamitosum hominem corporis mortalis causa liberavit, illum esse qui ait : « Nunc exsurgam, dicit Dominus. »

Venit in mentem nonnullis dicere, pauperes quidem esse qui patrimonio eversi sunt; inopes autem illos qui labore operæ victum comparant. Atque hoc sensu pauper quidem necessario est inops; neque tamen vicissim inops pauper est. Imo quod de paupere dicitur, fortasse etiam a Scriptura argumentum habet, ubi dicitur : « Divites eguerunt [54]. » Et : « Pauperes admodum facti sumus [55]. » Consonanter his accipietur, etiam quod de Salvatore dicitur : « Qui pauper propter nos factus est, cum esset dives, ut illius paupertate nos divites essemus [56]. » Favet item sensui vocabuli *inopis* dictio : « gemitus inopum; » qui nimirum semper gemunt plorantque propter laborem quem ob rerum necessariarum inopiam tolerant. Dictio, « Ponam in salutari » significat, definiam et faciam, sicut in verbis : « Quem posuit hæredem universorum [57]; » id est, quem decrevit constituitque hæredem. Similiter intelliges : « Posuit Deus in Ecclesia primum quidem apostolos [58], » et reliqua. Necnon illud quod Ecclesiæ senioribus dictum fuit : « Posuit vos Spiritus sanctus episcopos regere Ecclesiam [59]. » Nam ver-

[51] Job xxi, 14. [52] Rom. vii, 24. [53] Rom. i, 8. [54] Psal. xxxiii, 11. [55] Psal. lxxviii, 8. [56] II Cor. viii, 9. [57] Hebr. i, 2. [58] I Cor. xii, 28. [59] Act. xx, 28.

(11) Adnotent Græci lexicographi hanc vocabulorum πτωχός et πένης distinctionem. Omnino et Itali adhuc retinent distinguuntque *pitocco* (ex Græco πτωχός) et *povero*.

Digitized by Google

bum *posuit*, electionem demonstrat, qua constituti sunt et facti apostoli atque episcopi.

VERS. 8. Hac notione verbi « servare, » Salvator quoque de discipulis aiebat Patri : « Pater sancte, serva eos : quandiu fui cum ipsis, ego servabam eos [60], neque hos attingebat malignus. » Hoc autem sensu sum hic ego locutus, quia in Genesi dicitur de Adamo serpenti : « Ipse servabit (observabit) caput tuum ; et tu servabis (observabis) calcaneum illius [61] : « non enim hoc loco idem est *observabis* et *servabis* : apparet enim dicendum esse : « Ipse observabit caput tuum, et tu vicissim illius calcaneum. » Precatur nimirum dicens : « Tu, Domine, custodies nos ; » postquam omnia quæ suarum virium erant, præstitit : admonitione nempe illa observata : « Omni custodia serva cor tuum. » Quanquam his rite curatis, nondum satis adversus omnes insidias curæ nostræ sunt : nam « Nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit eam [62]. » Consentaneum ergo est, postquam nosmet custodierimus, precem pronuntiare dicentem : « Tu, Domine, custodies nos, et conservabis nos. » Etenim eo custodiente, fiducialiter agemus, et tanquam ab insidiis tuti in æternum erimus. Nam cum altissimus sis, Domine, et in excelsis habites', prout celsitudinem bonitatis tuæ decet, filios hominum multiplicasti, dignos eos judicans tutelam providentiæ tuæ experiri.

A γὰρ, ἔθετο, ἀπόδειξιν τὴν διὰ τοῦ ὡρίσθαι καὶ πεποιῆσθαι ἀποστόλους καὶ ἐπισκόπους, δηλοῖ.

Στιχ. η'. Κατὰ τοῦτο τὸ σημαινόμενον τοῦ διατηρεῖν, καὶ ὁ Σωτὴρ περὶ τῶν μαθητῶν ἔλεγεν τῷ Πατρί· « Πάτερ ἅγιε, τήρησον αὐτούς· ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν αὐτοὺς, καὶ ὁ πονηρὸς οὐχ ἥπτετο αὐτῶν. » Εἶπον δὲ κατὰ τοῦτο τὸ σημαινόμενον, διὰ τὸ ἐν τῇ Γενέσει λεχθὲν περὶ τοῦ Ἀδὰμ πρὸς τὸν ὄφιν· « Αὐτός σοῦ τηρήσει κεφαλὴν, σὺ δὲ τηρήσεις αὐτοῦ πτέρναν. » Οὐκέτι γὰρ ἐνταῦθα ταυτὸν τὸ, *φυλάξαι*, καὶ τὸ, *τηρεῖν*· φαίνεται γὰρ ἐξ αὐτοῦ τὸ, « Αὐτός σοῦ ἐπιτηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ πτέρναν. » Ἀναπέμπει τὴν εὐχὴν ὁ φάσκων· « Σὺ, Κύριε, φυλάξεις ἡμᾶς, » μετὰ τὸ πάντα ποιῆσαι τὰ παρ' ἑαυτοῦ, ἐν τῷ τηρεῖν τὴν λέγουσαν παραίνεσιν, B « Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν. » Καὶ ἐπεὶ τούτων κατορθουμένων, οὐκ αὐτάρκη πρὸς τὸ ἀνεπιβούλευτον τὰ ὑφ' ἡμῶν σπουδαζόμενα· « Ἐὰν γὰρ μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων αὐτήν· » εἱρμὸς ἄγει μετὰ τὸ φρουρηθῆναι ἡμᾶς ὑφ' ἑαυτῶν, προσευχὴν προσαγαγεῖν τὴν λέγουσαν· « Σὺ, Κύριε, φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς. » Αὐτοῦ γὰρ φυλάττοντος θαρσήσωμεν, ὡς ἀνεπιβούλευτοι εἰς τὸν αἰῶνα ἐσόμεθα· Ὕψιστος γὰρ ὤν, Δέσποτα, καὶ ἐν ὑψηλοῖς ὑπάρχων κατὰ τὸ προσὸν ὕψος τῇ ἀγαθότητί σου, τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐπολυώρησας, κρίνας αὐτοὺς ἀξίους εἶναι τοῦ προστασίαν ἔχειν ἐκ προνοίας τῆς σῆς.

PSALMUS XII.

VERSUS 1, 5, 6. Quanquam orantis specie hæc a sancto viro dicuntur, haud is tamen quasi a Deo oblivioni traditus, sed quasi aliorum persona indutus, hanc precem recitat. Prorsus constat, non de materiali lumine, neque de somno et morte verba orationis loqui, sed de lumine quod a Dei cognitione nanciscimur : « Accendite enim vobismet lumen scientiæ ; » et : « Accedite ad Dominum, atque illuminamini [63]. » Fit autem hæc illuminatio, non in carnis oculo, qui nonnisi solem aspicit, et si quod est aliud materiale lumen : oculi enim qui solem justitiæ aspiciunt, quod verum est lumen, non corporis sunt, sed cordis. Namque interioris hominis oculi sunt vires intellectuales. Homini sic illuminato vita beata contingit. « Ego enim sum lux mundi, ait Dominus. Qui in me, inquit, ambulat, in tenebris non manet, sed lumen vitæ habebit [64]. » Quam vitam postquam illuminatus adeptus est, caret mortis somno ; dum contra obdormiscit et moritur is qui in tenebris ignorantiæ versatur ; nam qui per negligentiam atque socordiam tradit somno oculos suos, statim morietur, ab agenda cum virtute vita discedens. Quamobrem fugiendus est hic vituperabilis somnus atque mors ; ut sic conservato oculorum animæ lumine, « haud queat inimicus dicere : Prævalui adversus eum ; » jamdiu se prævaluisse existimans, cum nos peccavimus.

« Qui tribulant me, exsultabunt, si motus fuero ;

Στίχος α', ε', ς'. Εἰ καὶ πρεσβείας τρόπῳ ὑπὸ τοῦ ἁγίου λέγεται ταῦτα, ἀλλά γε οὐχ ὑποκείμενος λήθῃ Θεοῦ, ἀλλὰ τὰ ἄλλων εἰς ἑαυτὸν ἀναδεξάμενος, λέγει τὰ τῆς αἰτήσεως. Πάντα δῆλον ὡς οὐ περὶ αἰσθητοῦ φωτισμοῦ ἢ ὕπνου καὶ θανάτου τὰ τῆς αἰτήσεώς ἐστιν, ἀλλὰ περὶ τοῦ· ἐκ γνώσεως Θεοῦ φωτισμοῦ. « Φωτίσατε γὰρ ἑαυτοῖς φῶς γνώσεως, » καὶ, « Προσέλθετε τῷ Κυρίῳ καὶ φωτίσθητε. » Γίνεται ὁ φωτισμὸς οὗτος, οὐ περὶ τὸ τῆς σαρκὸς ὄμμα. Ὁρατικὸν γὰρ τοῦτο ἡλίου, καὶ εἴ τι ἕτερον αἰσθητὸν φῶς τῶν ὁρώντων τὸν τῆς δικαιοσύνης ἥλιον, τὸ φῶς τὸ ἀληθινὸν, ὀφθαλμῶν οὐ σώματος, ἀλλὰ καρδίας ὄντων· τοῦ γὰρ ἔσω ἀνθρώπου ὀφθαλμοὶ αἱ νοητικαὶ δυνάμεις. Τῷ οὕτω φωτιζομένῳ ἕπεται ζωὴν μακαρίαν ἔχειν· « Ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ Κύριος λέγει. Ὁ περιπατῶν ἐν ἐμοὶ, φησὶν, ἐν τῇ σκοτείᾳ οὐ μὴ μείνῃ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Ἧς ζωῆς παραγινομένης εἰς τὸν φωτισθέντα, ἄπεστιν αὐτοῦ τὸ ὑπνῶσαι εἰς θάνατον, ὑπνοῦντος καὶ ἀποθνήσκοντος τοῦ ὄντος ἐν σκότει τῆς ἀγνοίας. Ὁ γὰρ δοὺς δι' ἀμελείας καὶ ῥᾳθυμίας εἰς ὕπνον τοὺς ὀφθαλμοὺς αὐτοῦ, εὐθέως τεθνήξεται, ἐκπίπτων τῆς σὺν ἀρετῇ ζωῆς. Ὅθεν φευκτέον τὸν ψεγόμενον ὕπνον τοῦτον καὶ θάνατον, ἵνα πεφωτισμένων τῶν ὀφθαλμῶν τῆς ψυχῆς, « μηκέτι εἴπῃ ὁ ἐχθρὸς, Ἴσχυσα πρὸς αὐτόν· » πάλαι νομίζων ἰσχυκέναι, ὅτε ἡμάρτομεν.

« Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ·

[60] Joan. XVII, 11, 12. [61] Gen. III, 15. [62] Psal. CXXVI, 1. [63] Psal. XXXIII, 6. [64] Joan. VIII, 12.

Digitized by Google

ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα· ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. » Ἐπεὶ χαιρέκακοι ὄντες οἱ θλίβοντες τοὺς δικαίους ἐχθροὶ ἀγαλλιῶνται, εἰ συμβαίη ἐξ ἁμαρτίας γεγονέναι κλόνον, δέον λυπεῖσθαι ἐπὶ τοῖς πίπτουσιν. Ἀλλ' εἰ καὶ ἀγαλλιῶνται ἐπὶ τῷ σαλεύεσθαί τινα ἐκεῖνοι, ἐγὼ, ὦ Δέσποτα, ἐλέει τῷ σῷ ἐλπίζων, οὐ πείσομαι ὃ ἰδεῖν ἐν ἐμοὶ ποθοῦσιν· προσδοκῶ γὰρ τὸ σωτήριόν σου θᾶττον παραγενόμενον, ἐφ' ᾧ ἀγαλλιᾶται ἡ καρδία μου. Πῶς γὰρ οὐχ εὐφραίνεται καὶ ἀγαλλιᾶται ὁ πεῖρᾳ Θεοῦ σωτηρίαν ἔχων; Εἰ δὲ καὶ προφητεία ἐστὶν δηλουμένη περὶ τοῦ ἐλεύσεσθαι τὸ σωτήριον τοῦ Θεοῦ τὸν Χριστὸν, ἐπίσκεψαι. Οὗτος γὰρ ἐλθὼν ἐπὶ σωτηρίᾳ κόσμου, καθεῖλεν τοὺς ἐφηδομένους ἐπὶ τοῖς κλονουμένοις κατὰ ψυχὴν, καταβαλὼν σὺν αὐτοῖς τὸν ἐχθρὸν τὸν ὑψούμενον ὑπερηφάνως· ἐφώτισεν τοὺς ὀφθαλμοὺς, ἵνα μή τις ἴδῃ τὸν τῆς ψυχῆς θάνατον. Οὗτος ἐπιδημήσας, ἐπιβλέψας ἤκουσεν, ὀδύνην ἔπαυσεν. Ὧν κατορθωθέντων, ὁ εὖ παθὼν χαριστήριον, ἐπινίκιον ᾠδὴν ᾄδει λέγων· « Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου· » πραγματικῶς μαθὼν τὸ πρὸς τοὺς εὐχομένους καλῶς λεγόμενον ὑπὸ Κυρίου· « Ἔτι σοῦ λαλοῦντος ἐρῶ, Ἰδοὺ πάρειμι. » Λέγει δὲ ταῦτα πρὸς τοὺς συνόντας ἤδη· Εὖ πέπονθα τυχὼν ὧν ἠτησάμην· ὅθεν ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. Διὸ ἐφ' ἑκάστης εὐεργεσίας γινομένης εἰς ἡμᾶς, ὑμνῶμεν καὶ ἡμεῖς τὸν προκείμενον ὕμνον, λέγοντες μὴ θεωρίᾳ μόνῃ, ἀλλὰ καὶ τῷ ψάλλειν. Θεωρίαν τὸ ᾄδειν, ἐνέργειαν δὲ πρακτικὴν τὸ ψάλλειν δηλοῖ (12).

A ego autem in misericordia tua speravi: exsultabit cor meum in salutari tuo. » Qui justos tribulant inimici, malo gaudio exsultant, si qua evenerit ex peccato ruina, cum contra opus esset condolere cadentibus. Sed quamvis illi ob alicujus lapsum exsultaturi sint, ego, Domine, de tua sperans misericordia, non patiar ea quæ in me videre illi exoptant. Exspecto enim salutare tuum quantocius venturum, cujus causa cor meum exsultat. Quidni enim lætetur exsultetque is qui salutem a Deo expertus est? Quod vero etiam prophetia exstet de venturo salutari Dei Christo, animadverte sis. Hic enim ad mundi salutem veniens, perdidit eos qui de ruina animarum gaudebant; una cum iis profligans inimicum superbe se extollentem; lucem oculis tri-
B buit, ne quis animæ mortem videret. Hic mundum ingressus, respiciens exaudiit, dolorem sedavit. Quibus feliciter actis, homo, beneficio accepto, hymnum gratiarum actionis canit dicens: « Cantabo Domino, qui bona tribuit mihi, et psallam nomini Domini altissimi. » Quippe opere ipso edoctus, quid sit illud orantibus præclare dictum a Domino: « Adhuc te loquente, dicam: Ecce adsum[65]; » dicit nimirum sibi astantibus: Bene habeo, qui voti compos sum factus; ideoque nomini Domini altissimi psallam. Superest ut ad singula tributa nobis beneficia nos quoque præsentem hymnum canamus, dicentes non meditatione tantummodo, verum etiam psallendo. Porro canere, meditationem significat; psallere autem, practicum opus.

PSALMUS XIII.

Στίχος α'. Ἄφρων δὲ οὐ κοινῶν ἐννοιῶν λειπόμενος, C ἢ τῆς σὺν δεινότητι ἐντρεχείας, ἀλλὰ τῆς μιᾶς τῶν ἀρετῶν φρονήσεως, περὶ ἧς γέγραπται· « Ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν· καὶ ὁ φυλάσσων φρόνησιν εὑρήσει ἀγαθά. » Ὅτι δὲ εἶχεν τὴν φυσικὴν ἐντρέχειαν, παρίστησιν ἡ διάλεξις, δηλοῦσα ὡς οὐκ εἰς ὑπήκοόν τινων, ἀλλ' ἐν τῇ ἑαυτῶν καρδίᾳ λέγει μὴ εἶναι Θεόν· ᾔδει γὰρ ὅτι οὐδεὶς ἐδέχετο τοὺς περὶ ἀρνήσεως Θεοῦ λόγους· πάντων σχεδὸν ἀνθρώπων ἀδιάστροφον τὴν περὶ Θεοῦ ἔννοιαν ἐχόντων (12-13).

Versus. 1. Insipiens hic intelligitur non ille qui communi sensu sit expers vel solerti mentis acumine, sed qui una ex virtutibus caret prudentia, de qua scriptum est: « Qui possidet prudentiam, diligit se ipsum; et qui custodit prudentiam, inveniet bona[66]. » Reapse quod hic homo naturalem solertiam retineat, demonstrat locutio quæ ait, eum non ad aures aliquorum, sed intra cor suum dicere, non esse Deum; noverat enim neminem passurum audire orationem quæ Deum neget; quandoquidem cuncti propemodum homines firmam de Deo opinionem habent.

Ἔχει πολλὴν οἰκειότητα ὁ πρῶτος στίχος, ὡς εἰρημένος περὶ διαβόλου· καὶ γὰρ ἐκεῖνος οὐ τινὶ ἢ τισὶν εἶπεν, ἀλλ' ἐν διανοίᾳ τῇ ἑαυτοῦ· « Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. » Ὥσπερ γὰρ ὁ γνῶσιν ἔχων Θεοῦ τηρεῖ τὸν λόγον αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ εἰς ἔργα μεταβάλλει· οὕτω πᾶς ἁμαρτάνων, ἀγνοῶν Θεὸν εἰς τοῦτο ἔρχεται. Γράφει γοῦν Ἰωάννης, ὡς πᾶς ἁμαρτάνων μακρὰν ἐστι τοῦ ἔχειν γνῶσιν Θεοῦ· ὡς πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν. Ἐκβαλὼν γὰρ ἀπὸ τῆς

Habet multam primus hic versiculus affinitatem cum illo qui de diabolo dictus fuit; nam et diabolus non alicui vel aliquibus, sed intra propriam
D mentem aiebat: « In cœlum conscendam, super astra cœli thronum meum collocabo, similis ero Altissimo[67]. » Nam sicuti qui scientiam habet Dei, observat verba ejus, et ejusdem præcepta in rem confert, ita quisquis peccat, ideo quia Deum ignorat, sic agit. Scribit enim Joannes quod, quicunque peccat, longe abest ut Dei scientiam possideat, et quod, quicunque peccat, non vidit illum[68-69]. Eji-

[65] Isa. LVIII, 9. [66] Prov. XIX, 8. [67] Isa. XIV, 14. [68-69] I Joan. III, 6.

(12-13) Adnotemus Didymi dictum de universali hominum consensu circa Dei exsistentiam. Item mox ejusdem Didymi effatum: *Præcipua et regina virtutum religio est; qua deficiente, virtutes pariter discedunt.*

Digitized by Google

ciens enim ex anima præcipuam reginamque virtutum religionem, discedere pariter cum illa experitur virtutes. Quod autem sententia hæc firmo nitatur fulcro, ex iis quæ Heli liberis acciderunt constat. Namque hi Dominum nescientes, evaserunt pessimi, imo munus sacerdotale impie gesserunt, legalia et religiosa officia male tractantes[70]. Hactenus dicta cognosces etiam comparatione eorum quæ apud Jeremiam dicuntur : « Fenus supra fenus, dolus supra dolum; omnes fornicantur : conciliabulum contumacium; quoniam de malo in malum prolapsi sunt, et me ignoraverunt, dicit Dominus[71]. » Qui enim fieri poterat, ut Deum ignorantes, transgressores legum ejus non evaderent? Hæc si bene considerentur, Dei memoriam retinere suadebunt, ut laudabili vitæ genere uti videamur, sanæ mentis proposito id sectantes. « Non est qui faciat bonum, non est usque ad unum. » Inter eos qui abominandis studiis semet impiaverunt, qui boni aliquid faciat, nemo comperitur. Omnes enim reprobi sunt, omnemque bonitatem ob suam cordis duritiem abjecerunt.

A ψυχῆς τὴν προοῦχουσαν καὶ βασιλεύουσαν τῶν ἀρετῶν εὐσέβειαν, συναναχωρούσας αὐτῇ ἔχει τὰς ἀρετάς. Ὅτι δὲ αὕτη ἡ νόησις ἔῤῥωται, δῆλον ἂν γένοιτο ἐκ τῶν γεγραμμένων περὶ τῶν υἱῶν Ἠλεί· οὐκ εἰδότες γὰρ οὗτοι τὸν Κύριον, λοιμοὶ ἀποδεδειγμένοι, ἡμάρτανον, μᾶλλον δὲ ἠσέβουν περὶ τὴν ἱερουργίαν, διαφθείροντες ἐν ἐπιτηδεύμασι τοῖς τῆς νομοθεσίας τε καὶ θεοσεβείας. Λήψῃ τὰ προκείμενα καὶ εἰς τὰ ἐν Ἱερεμίᾳ ἐπαγγελλόμενα οὕτως· « Τόκος ἐπὶ τόκον, δόλος ἐπὶ δόλον· πάντες μοιχῶνται· σύνοδος ἀθετούντων· ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξῆλθον, ἐμὲ δὲ οὐκ ἤδεισαν, λέγει Κύριος. » Πῶς γὰρ οὐκ ἔμελλον, ἄγνοιαν Θεοῦ ἔχοντες, παραβάται εἶναι τῶν νόμων αὐτοῦ; Ταῦτα καθόλου θεωρούμενα πείθει διὰ μνήμης ἔχειν Θεὸν, ἵνα ἐν ἐπιτηδεύμασιν ἐπαινετοὶ ἀποδειχθῶμεν, ἀφθάρτῳ προθέσει αὐτὰ μεταδιώκοντες. « Οὐκ ἔστιν ὁ ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. » Ἐν τοῖς βδελυχθεῖσιν τῷ διαφθείρειν ἐν τοῖς ἐπιτηδεύμασιν, οὐδεὶς ποιῶν χρηστότητα εὑρίσκεται· πάντες γὰρ εἰσιν πονηροὶ, πᾶσαν χρηστότητα ἐκτμηθέντες διὰ σκληρότητα καρδίας.

B

Vers. 2. « Dominus de cœlo prospexit super filios hominum, ut videat an sit intelligens vel requirens Deum. » Cum incorporea natura neque circumscriptionibus obnoxia sit neque locorum mansionibus, si Deus aliquando in loco esse dicatur, vel de loco in locum transire, id digna Deo ratione intelligendum est, sicut et alia pari modo de eodem dicta; veluti quod pedes habeat et manus et oculos, et quod consurgat et sedeat. Quoniam itaque hæc conclusio religiosa est, Deum habitare in cœlo intelligemus, quatenus veluti templo suo utitur augustis potestatibus, quæ in cœlo appellationem locis in quibus sunt homonymam habent. Sic enim etiam homines terræ nomine designantur, ut cum dicitur : « Universa terra adoret te[72] »; et : « Omnis terra clamat cum lætitia[73]. » Tum quia Deus in hominibus etiam versatur, qui cœlestem imaginem retinent, dici potest in cœlis habitare. Præterea, tertia quoque ita loquendi causa dicetur. Quoniam opus ejus orbis terrarum est : ipse autem creationis ac providentiæ ratione in omni creatura versatur : a pulcherrima mundi parte, quæ cœlum est, demonstratur Deum esse in mundo. Veluti : « Pater noster, qui es in cœlis[74]; » et : « Deus in cœlo superne[75]. » Præter hactenus dicta, aliter quoque in multis divinæ doctrinæ locis appareret, cœli appellatione denotari intellectualem substantiam, in qua potissimum Deum exquirere decet : « Cœlum quippe cœli Domino. » Ex hoc indulgenter prospectat, observans inferioris naturæ homines, ut videat quinam ex his prudente sensu præditi Deum exquirant, invenire eum studentes, ut ejusdem beneficia impetrent. Tunc autem id præci-

C

Στιχ. β'. « Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστιν συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν. » Τῆς ἀσωμάτου οὐσίας οὐχ ὑποκειμένης περιγραφαῖς καὶ τόπων διατριβαῖς, εἴ ποτ' οὖν περὶ Θεοῦ λέγοιτο, πῶς (14) ὑπάρχοντος ἐν τόπῳ, ἢ ἐξ ἑτέρου εἰς ἕτερον χῶρον μεταβαίνοντος, θεοπρεπῶς προσήκει νοεῖν, ὥσπερ καὶ τὰ ἄλλα τῶν παραπλησίως περὶ αὐτοῦ ἐπαγγελλομένων· ὡς εἴη πόδας καὶ χεῖρας καὶ ὀφθαλμοὺς ἔχων, ἀνιστάμενός τε καὶ καθήμενος. Ταύτης τῆς ἀκολουθίας εὐσεβοῦς οὔσης, τὸ κατοικεῖν αὐτὸν ἐν οὐρανοῖς νοηθείη, ὡς εἴη χρώμενος ναῷ ταῖς θείαις δυνάμεσιν ταῖς ἐν οὐρανῷ ὁμωνύμως καλουμέναις τοῖς ἐν οἷς εἰσὶ τόποις. Οὕτω γὰρ καὶ οἱ ἄνθρωποι χρηματίζουσιν γῆ, ὡς ἐν τῷ, « Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι· » καὶ, « Πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης. » Ῥηθείη δὲ καὶ ἐν τοῖς ἁγίοις ἀνθρώποις τυγχάνων, δι' ἣν φοροῦσιν εἰκόνα τοῦ ἐπουρανίου, κατοικεῖν ἐν οὐρανοῖς. Πρὸς τούτοις καὶ τρίτον τι λελέξεται. Ἐπεὶ ποίημα αὐτοῦ ὁ κόσμος ὑπάρχει, ἔστιν δὲ δημιουργίας τρόπῳ καὶ προνοίας ἐν πάσῃ τῇ κτίσει, ἐκ τῶν καλλίστων μερῶν τοῦ κόσμου, ταῦτα δέ εἰσιν οἱ οὐρανοὶ, δηλοῦται ὢν ἐν τῷ κόσμῳ· ὡς τό· « Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· » καὶ, « Θεὸν ἐν τῷ οὐρανῷ ἄνω. » Πρὸς τοῖς εἰρημένοις, καὶ ἑτέρως θεωρηθείη πολλαχοῦ τῆς θείας παιδεύσεως, ὅτι ἡ τοῦ οὐρανοῦ προσηγορία δηλοῖ τὴν νοητὴν οὐσίαν, ἐν ᾗ μάλιστα Θεὸν ζητεῖν προσήκει· « Ὁ οὐρανὸς γὰρ τοῦ οὐρανοῦ τῷ Κυρίῳ. » Ἐκ τούτου συγκαταβατικῶς διακύπτει ἐπισκοπῶν τοὺς τῆς ὑποδεεστέρας καταστάσεως, τοῦ ἰδεῖν τίνες αὐτῶν σύνεσιν κεκτημένοι ἐκζητοῦσιν τὸν Θεὸν, εὑρεῖν αὐτὸν βουλόμενοι, ἐπὶ τῷ τυχεῖν τῶν παρ' αὐτοῦ δωρεῶν. Τότε

D

[70] 1 Reg. II, 22 sqq. [71] Jer. V, 4 sqq. [72] Psal LXV 4. [73] ibid. [74] Matth. VI, 9. [75] Deut. IV, 39.

(14) Forte ὡς. Edit. Patr.

Digitized by Google

δὲ μάλιστα γίνεται τοῦτο, ὅτ' ἂν ἐν ἀνθρώποις πολλὴ κακία σὺν ἀσεβείᾳ γένηται· ὡς λεχθῆναι, « Οὐκ ἔστιν ἔλεος, οὐδὲ ἀλήθεια, οὐδὲ ἐπίγνωσις Θεοῦ ἐπὶ τῆς γῆς· ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασιν. » Οὕτω τῶν ἀνθρώπων ἄγαν βλαβέντων, πῶς οὐκ ἔδει τὸν ἀγαθὸν Σωτῆρα ἐπιβλέψαι, ἵν' εἰ εὕροι ἔν τινι ἀφορμὴν συνέσεως, ταύτην πληθύνῃ, μᾶλλον δὲ πληρώσῃ; εἰ δὲ καὶ ἐκζητοῦντα τὸν Θεὸν, ἵν' εὑρεθῇ ἐκείνῳ; Ἐμφανίζεται γὰρ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

Στιχ. γ', δ', ε'. Ὡς εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὔτε κατοικεῖ ἐν σώματι καταχρέῳ ἁμαρτίας, οὕτως οὐ δέχεται γνῶσιν θείαν ὁ ἔτι ἀνομίας ἐργαζόμενος· οὐδεὶς γὰρ ἁμαρτάνων ὁρᾷ ἢ γινώσκει Θεὸν, κατὰ τὸ γεγραμμένον ἐν τῇ Ἰωάννου Ἐπιστολῇ. Ὅθεν ὁ γνωστικὸς εἶναι ποθῶν, σπείρει εἰς δικαιοσύνην, τρυγᾷ καρπὸν ζωῆς, ἵν' οὕτω φωτίσῃ ἑαυτῷ φῶς γνώσεως. Καὶ ἐπεὶ ἐργάται ἀνομίας τυγχάνουσιν οἱ ἐχθροὶ τοῦ λαοῦ τοῦ Θεοῦ, ὡς κατεσθίειν αὐτὸν οἷα ἄρτον, γνώσεως Θεοῦ στεροῦνται. Κατεσθείη (15) δέ τίς τινα, βλάπτειν αὐτὸν προτιθέμενος· κατὰ τό· « Εἰ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε· » καὶ ἐν Ἡσαΐᾳ δὲ γέγραπται οὕτως· « Συρίαν ἀφ' ἡλίου ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι. » Πλὴν κἂν ποτε δυνηθῶσιν κατεσθίειν τὸν τοῦ Θεοῦ λαὸν παραδοθέντα αὐτοῖς δι' ἁμαρτίας, δίκην ὑφέξουσιν· ἅγιος γὰρ Ἰσραὴλ τῷ Κυρίῳ, ἀρχὴ γεννημάτων αὐτοῦ. Πάντες οἱ ἐσθίοντες αὐτὸν πλημμελήσουσιν· κακὰ ἥξει ἐπ' αὐτοὺς, φησὶ Κύριος, οἱ προκείμενοι κατεσθίειν τὸν Θεοῦ λαὸν, ἄρτου δίκην. Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, τῇ αὐτῶν δυνάμει πάντα ἀνύειν, καὶ καταδεδυναστευκέναι τὸν Θεοῦ λαὸν οἰόμενοι. Εἰ γὰρ ἦσαν εἰδότες, ὡς δι' ἁμαρτίας κρίσει Θεοῦ παρέλαβον αὐτὸν, κἂν ἐφοβήθησαν ἔτι μᾶλλον τὸ μέτρον ἐπιθέσθαι κατὰ τοῦ παραδοθέντος, ἵνα μὴ κρίματι τῷ αὐτῷ ὑποπέσωσιν.

Διὸ λέγεται πρὸς αὐτοὺς παρὰ τοῦ προσήκοντος ἐξαγριωθέντας· Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. Οὕτως καταδυναστεύσαντες τὸν λαὸν τοῦ Θεοῦ ἀδίκως, εἰς δειλίαν ἐνέπεσαν, ἔνθα οὐδὲ φοβεῖσθαι ἔδει· φόβος γὰρ οὐκ ἦν, εἰ παραλαβόντες τοὺς κρίσει Θεοῦ παραδοθέντας, φιλανθρώπως καὶ ἡμέρως προσενεχθέντες ἦσαν· ἐπειδὴ δὲ σκληρῶς καὶ ἀνελεημόνως πάντα ἐποίησαν, ἐδειλίασαν, περιπεσόντες οἷς ἄλλους διέθηκαν. Ὑπῆρκται δὲ τοῦτο, ἐπεὶ ἐν γενεᾷ δικαίων ὁ Θεός. Γενεὰν δὲ δικαίων ἐρεῖς ἤτοι τὴν τῶν δικαίων πραγμάτων συμφωνίαν, ἐν ᾗ ὁ δίκαιος κριτὴς εὑρίσκεται· ἢ τὴν τῶν δικαίων ἀνδρῶν ὁμοφροσύνην, καὶ τὴν εἰς ταυτὸν σύνοδον. Εἰ γὰρ ἔνθα δύο καὶ τρεῖς συνέρχονται ἐπὶ τῇ αὐτοῦ προσηγορίᾳ, παρὼν εὑρίσκεται ὁ Κύριος, πόσῳ μᾶλλον εὑρε-

pue fit, cum inter homines malitia multa, non sine impietate, versatur, ut jam dicatur : « Non est misericordia, neque veritas, neque Dei cognitio in terra : maledictio et mendacium et furtum et adulterium inundaverunt in terra, et sanguis sanguini miscetur [76]. » Ad homines tantopere calamitosos nonne oportebat bonum Salvatorem respicere, ut si in aliquo intelligentiæ vestigium comperiret, id augeret vel potius compleret? et si quis foret Dei studiosus, illi se inveniendum præberet? Apparet enim iis qui sibi fidem non denegant.

Vers. 3, 4, 5. Sicut in malitiosam animam non ingredietur sapientia, neque habitat in corpore peccatis obnoxio [77], ita non recipit Dei scientiam is qui adhuc iniquitates operatur. Nullus enim peccator videt aut agnoscit Deum, prout in Joannis Epistola scribitur [78]; quamobrem qui sapiens fieri cupit, justitiam serit, metit vitæ fructum, ut ita sibi comparet scientiæ lumen. Et quia operatores iniquitatis sunt tantopere inimici plebis Dei, ut eam veluti panem devorent, idcirco scientia Dei carent. Videtur autem homo hominem vorare, cum ei nocere studet, juxta illud : « Si invicem mordetis et comeditis, cavete ne ab invicem consumamini [79]. » Item in Isaia sic est scriptum : « Syriam ab ortu solis, et Græcos a solis occasu, Israelem toto ore devorantes [80]. » Sed enim quanquam plebem Dei aliquando forte devorent, peccatorum causa iis traditam, pœnas tamen luent. Sacer est enim Deo Israel, primogenitus filiorum ejus. Mala iis evenient, dicit Dominus, qui sibi plebem Dei panis instar devorandam proposuerunt. Dominum non invocaverunt, quia viribus suis omnia posse perficere, et populo Dei dominari, putaverunt. Etenim si cognovissent, se nonnisi judicio Dei, peccatorum vindicis, captivum illum fecisse, utique veriti essent, mensuram malorum populi traditi cumulare, ne in par judicium incurrerent

Ideo dicitur illis præter debitum ferocientibus : Quia ego parumper iratus fui, isti ærumnis inferendis incubuerunt. Atque ita Dei populum dominatu injusto prementes, in metum deciderunt, ubi nihil timeri oportebat. Nullus enim imminebat timor, si modo captivos Dei judicio eis traditos, clementer humaniterque tractassent; sed quia dure atque inclementer omnia egerunt, timore correpti sunt, et in mala quæ aliis intulerant, incurrerunt. Hoc vero fiebat, quia cum generatione justorum Deus est. Porro generationem justorum dices vel justorum operum congruentiam, cujus judex vir justus comperitur; vel justorum virorum concordiam, et in idem propositum convenientiam; nam si ubi duo vel tres congregantur in nomine ejus, præsens comperitur Dominus [81], quanto magis ibi invenietur ubi

[76] Ose. IV, 1, 2. [77] Sap. I, 4. [78] I Joan. III, 6. [79] Galat. V, 15. [80] Isa. IX, 12. [81] Matth. XVIII 20.

(15) *Κατεσθείη*. Legendum cum iota subscripto κατεσθείῃ. Hæc enim forma, quæ ad optativum pertinere interpreti visa est, more Alexandrino scripta est pro κατεσθίοι. Cfr. Sturzius, *De dialecto Alexandrina*, p. 120. Edit. Patrol.

Digitized by Google

universa justorum generatio est? Quod autem homines ejusdem sententiæ ejusdemque vitæ, unam efficiant generationem, etiamsi diversis temporibus fuerint, posthinc dicetur, cum nos occasio ad id invitaverit. Formidat aliquis timore ubi non erat timor, etiam ille qui hominem timet, nominatimque illos qui corpus occidunt, sed animam occidere nequeunt. Dictum est enim : Præter Deum, neminem metuas. Morbo hoc laborantem Hierusalem reprehendit Dominus : Cur tu mortalem hominem timuisti ?

VERS. 7. Quænam esset populi captivitas, prius est animadvertendum, ut deinde reditum ejus videamus. Qui ob suam ignaviam a bene operando deficit, captivatur lege peccati, adeo ut in diaboli tyrannidem decidat, qui mortis potestatem habet. Hujusmodi hominem ab hostibus captum, et extorrem patria, id est virtutis societate, revocat per pœnitentiam Dominus, simulque ei peccatorum remissionem promittit; atque hoc significant verba : « Redimi captivos, et converti captivitatem. » Quo facto per Dominicam crucem, nempe universo credente ex infidelitate populo, exsultat Jacob : qui profecto idem est homo atque Israel, nec nisi mentis conceptu distinguitur. Nam si honeste agens, et virtuti dans operam, cupiditates et vitia et tentantium malas potestates supplantaverit, in tantum ut illarum victor exsistat, Jacob est exsultans. Quod si post practicum vitæ genus, cor mundum possidens Deum viderit, tunc Israel fit, id est, mens Deum videns. Sic enim in Græcorum linguam vocabula hæc transferuntur, « exsultans divina exsultatione, » nihilque obstat quominus pari sensu dictum fuerit *exsultet* et *lætetur*.

θείη ἂν ἔνθα ὅλη δικαίων γενεά; Ὅτι δὲ οἱ τῆς αὐτῆς γνώμης καὶ βίου τοῦ αὐτοῦ μίαν συμπληροῦσι γενεὰν, κἂν ἐν διαφόροις χρόνοις γένωνται, μετὰ ταῦτα ῥηθείη, ὅτ' ἂν εἰς τοῦτο καλέσῃ καιρός. Δειλιᾷ τις φόβῳ οὗ οὐκ ἦν φόβος, καὶ ὁ φοβούμενος ἄνθρωπον, καὶ ἁπαξαπλῶς τοὺς ἀποκτείνοντας τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀποκτεῖναι. Εἴρηται γάρ· Πλὴν τοῦ Θεοῦ μὴ φοβοῦ ἄλλον. Τούτῳ τῷ πάθει συσχεθεῖσαν τὴν Ἱερουσαλὴμ ὁ Κύριος ἐλέγχει λέγων· Τίς οὖσα εὐλαβήθης ἀπὸ ἀνθρώπου θνητοῦ;

Στίχ. ζ'. Τίς δὲ ἦν ἡ αἰχμαλωσία τοῦ λαοῦ πρῶτον θεωρητέον, ἵνα καὶ ἐπιστροφὴν αὐτοῦ ἐπομένως ἴδωμεν. Ὁ ἐκπίπτων παρ' ἰδίαν ῥᾳθυμίαν τῆς τοῦ ἀγαθοῦ ποιήσεως, αἰχμαλωτίζεται ὑπὸ τοῦ νόμου τῆς ἁμαρτίας, ὡς γενέσθαι ὑπὸ τὸν καταδυναστεύοντα τυραννικῶς διάβολον, ἔχοντα τὸ κράτος τοῦ θανάτου. Τοῦτον οὕτως ἑλόντα τοῖς πολεμίοις, ἔξω τῆς πατρίδος, αὕτη δ' ἐστὶν ἡ τῆς ἀρετῆς μετουσία, γεγενημένον ἀνακαλεῖται μετανοίας τρόπῳ ὁ Κύριος, ἅμα καὶ ἄφεσιν τῶν προημαρτημένων ὑπισχνούμενος· καὶ τοῦτό ἐστι τὸ, « λυτρωθῆναι τοὺς αἰχμαλώτους, καὶ ἐπιστραφῆναι τὴν αἰχμαλωσίαν. » Πληρωθέντος δὲ τούτου, τῷ Κυριακῷ σταυρῷ, ὡς πάντα τὸν ἀπὸ τῶν ἐθνῶν πιστεύοντα λαὸν λελυτρῶσθαι, ἀγαλλιᾷ Ἰακώβ· ὁ αὐτὸς, κατὰ τὸ ὑποκείμενον, ἐστὶν τῷ Ἰσραὴλ, ἐπινοίᾳ μόνῃ ἔχων τὴν διαφοράν. Εἰ μὲν γὰρ πράττων τὰ καλὰ, καὶ ἐνεργῶν τὰ κατὰ ἀρετὴν, πτερνίζει τὰ πάθη καὶ κακίας καὶ τὰς ἐνεργούσας πονηρὰς δυνάμεις, ὡς νικητὴς αὐτῶν ἀναφανῆναι, Ἰακὼβ ἐστὶν ἀγαλλιώμενος· εἰ δὲ μετὰ τὸν πρακτικὸν βίον, καρδίαν καθαρὰν κεκτημένος ὁρᾷ τὸν Θεὸν, Ἰσραὴλ ἐστὶν, νοῦς ὁρῶν Θεόν· οὕτω γὰρ μεταλαμβάνεται εἰς Ἑλλήνων φωνὴν, « εὐφραινόμενος θείαν εὐφροσύνην· » οὐδὲν λυπεῖ λαβεῖν ἐκ παραλλήλου τὸ, *ἀγαλλιάσθω*, καὶ, *εὐφραινέσθω* εἰρῆσθαι.

PSALMUS XIV.

VERSUS. 1. Cum omnes ab æquitate declinaverint, sequitur ut illo egeamus qui potest peccata dimittere ac salvare. Dicitur vero ex Sione, quoniam ille de semine Israelis est, juxta illud : « Veniet de Sione qui liberat; » et rursus : « Ex Sione species decoris ejus [32]. » Dices etiam ex superna Sione; ideo spes nostra est regnum cœlorum. Cum autem omnes gentes salvabuntur, tunc qui vere in Israele sunt justi ac prophetæ lætabuntur, gratulantes nobis completa sua vaticinia, namque et Simeon postquam « lumen ad revelationem gentium » Salvatorem dixerat, addidit : « Et gloriam plebis tuæ, Israel [33]. »

VERS. 3. Qui in præcedentibus descriptus est, cum sit benivolus et sodalitatis studiosus, dat operam ut sit sapiens cum sapientibus versans, remis velisque stultos defugiens, ne forte de illorum numero esse videatur. Si ergo homines improbos vitat, et cum bonis sociatur, nam sapientes boni sunt, quibuscum versari constituit, sequitur ut opprobrium causa sibi propinquantium non suscipiat. Se-

Στιχος α'. Πάντων ἐκκλινάντων ἐκ τοῦ [δικαίου], λοιπὸν χρεία δυναμένου τὰς ἁμαρτίας ἀφεῖναι καὶ σῶσαι. Ἐκ Σιὼν δὲ λέγεται διὰ τὸ ἐκ σπέρματος εἶναι Ἰσραὴλ, κατὰ τό· « Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος· » καὶ πάλιν· « Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. » Λέγοις δ' ἂν καὶ ἐκ τῆς ἄνω Σιών· διὸ καὶ ἡ ἐλπὶς ἡμῶν ἡ βασιλεία τῶν οὐρανῶν· τῶν δὲ ἐθνῶν σωζομένων, οἱ ἀληθῶς Ἰσραὴλ δίκαιοι καὶ προφῆται ἀγαλλιάσονται συγχαίροντες ἡμῖν, καὶ πληρουμένης αὐτῶν τῆς προφητείας· καὶ Συμεὼν γὰρ « φῶς εἰς ἀποκάλυψιν ἐθνῶν » τὸν Σωτῆρα φήσας, ἐπάγει, « καὶ δόξαν λαοῦ σου, Ἰσραήλ. »

Στ. γ'. Ὁ διαγραφόμενος ἐκ τῶν προκειμένων φιλάλληλος καὶ φιλέταιρος ὑπάρχων, σπεύδει σοφὸς εἶναι σοφοῖς συνδιατρίβων, παντὶ σθένει τῶν ἀφρόνων ἀπάγων ἑαυτὸν, ὅπως μὴ γνωσθῇ εἷς ὢν αὐτῶν. Εἰ τοίνυν ἐκτρέπεται τοὺς φαύλους, σύνεστι δὲ τοῖς ἀγαθοῖς, ἀγαθοὶ γὰρ οἱ σοφοὶ, σοφοὶ οἷς συμπορεύεσθαι προτέθειται, ὀνειδισμὸν οὐ δέχεται ἐπὶ τοῖς ἐγγίζουσιν αὐτῷ· ὀνειδιζομένων ἀεὶ τῶν ἐγόντων κακοὺς ἐγγί-

[32] Psal. XLIX, 2. [33] Luc. II, 32.

Digitized by Google

ζοντας αὐτοῖς· ὡς αὖ ὑμνουμένων τῶν πλησίον καὶ φίλους ἀγαθοὺς ἐχόντων. Τούτῳ αὐτῷ ἀπαρέσκεται ὁ φάσκων· « Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει· λαλῶν ἄδικα οὐ κατηύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου. »

Στίχ. δ'. Εἰ δὲ καὶ ποτε τῶν πρὸς οὓς ὁ λόγος χάριν, καὶ Θεοῦ μάρτυρος χρεία, ἀπεριέργως καὶ τοῦτο ποιεῖ, ὡς ὁ θεσπέσιος Ἀπόστολος, τύπον καὶ ἀγωγὴν ὅρκων καταλιπὼν ἐν ταῖς Ἐπιστολαῖς, ὅπου μὲν φησίν· « Μάρτυς μοί ἐστιν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ· » ὅπου δέ· « Μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν· » καὶ πάλιν· « Οἶδεν ὁ ὢν Θεὸς ἐπὶ πάντας, οὐ ψεύδομαι. » Αὕτη γὰρ ἡ ἀνεπίληπτος πίστις· καὶ γὰρ ὅρκος οὐδὲν ἕτερόν ἐστιν ἢ λόγος μετὰ Θεοῦ μαρτυρίας, ἢ πρᾶγμα βεβαιούμενον μετὰ Θεοῦ μαρτυρίας. Ὅπως δ' ἂν ἔχῃ ὁ ὅρκος, οὐκ ἀθετεῖ ὀμνὺς τῷ πλησίον.

Στίχ. ε'. Ἔστιν δὲ καὶ δανείζειν πνευματικῶς ἄνευ τόκου, καθ' ὃ σημαινόμενον εἴρηται τοῖς μαθηταῖς Ἰησοῦ πρὸς τοῦ Διδασκάλου· « Καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς. » Πῶς γὰρ ἂν αἰσθητῶς τοῦτο φήσειέν τις εἰρῆσθαι τοῖς λέγουσιν, « Ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; » καὶ τοῖς λέγουσιν, « Ἀργύριον καὶ χρύσιον οὐχ ὑπάρχει μοι; » Ἐπεὶ τοίνυν περιγράφεται τὸ αἰσθητῶς δανείζειν τοὺς ἁγίους (16), ἂν ποτε λέγωνται τοῦτο ποιεῖν, πνευματικῶς αὐτὸ ἐκλαβεῖν δεῖ, δανείζοντος παντὸς νοητῶς τὸν διδάσκοντα λόγον, ὄντα ἀργύριον ἐπὶ τῷ κερδῆσαί τι σωματικόν. Εἰ γὰρ καὶ σπείροντες τὰ πνευματικὰ ἐν τῷ διδάσκειν, τὰ σαρκικὰ δέχονται πρὸς μόνον τὸ τραφῆναι (ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ), ὅμως οὐ δανείζουσιν· οὐ γὰρ τὸ κατ' ἀξίαν τῶν δοθέντων λογικῶν, ἀργύριον δέχονται, ἀλλ' ἢ μόνην τροφήν.

Οὐ σαλευθήσεται δὲ εἰς τὸν αἰῶνα, διὰ βίου μένων αἷς κατώρθωσεν ἀρεταῖς. Ταυτὸν γὰρ τὸ λεγόμενον ἐνταῦθα τῷ, « Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. » Ἄσειστος εἰς τὸν αἰῶνα μένει ὁ ἀκούσας τῶν Ἰησοῦ λόγων, καὶ ποιήσας αὐτούς· ἔχει γὰρ τῆς ἑαυτοῦ πολιτείας, οἰκίας ὀνομαζομένης, τοὺς θεμελίους ἐπὶ τὸν Χριστὸν ἱδρυμένους, καλούμενον πέτραν· οἳ (16') οὕτω βέβαιοι ἦσαν, περὶ ὧν Ἰησοῦς εἶπεν· « Εἰσί τινες τῶν ὧδε ἑστηκότων, » κ. τ. λ., καὶ ἔτι περὶ ὧν ὁ Ἀπόστολος γράφει· « Τεθεμελιωμένοι καὶ ἐρριζωμένοι ἐν τῇ ἀγάπῃ. » Εἰ δὲ τὸ « εἰς τὸν αἰῶνα μὴ σαλεύεσθαι, » καὶ πλείονά τινα παρέκτασιν αἰῶνος ἐμφαίνει, παραπλησίως τῷ εἰρημένῳ· « Καὶ πᾶς ὁ ζῶν ὁ πιστεύων εἰς ἐμὲ, ζήσεται εἰς τὸν αἰῶνα. » Ἐν οὐρανῷ γὰρ οἱ ἅγιοι τὸ πολίτευμα ἔχοντες, ἐπὶ γῆς αὐτοῦ διατρίβουσιν, κἂν ἔτι ὦσιν ἐν ταύτῃ τῇ γῇ.

Λέγοις δ' ἂν καὶ οὕτως (16") Αἱ τῶν ἁμαρτωλῶν οὐ

cus enim, semper accidit ut illi mala fama laborent, qui improbos homines sibi propinquantes, id est familiares, habent; ii vero contra laudentur qui familiares amicosque bonos habent. Sententiæ huic consonat ille qui dicit: « Ambulans in via immaculata, hic mihi ministrabat; qui loquitur iniqua, non direxit in conspectu oculorum meorum [84]. »

Vers. 4. Si aliquando apud eos quibuscum loquimur opus est Dei quoque testimonio, non incuriose hoc quoque facimus, sicut divus Apostolus typum disciplinamque jurandi reliquit in Epistolis, ubi ait: « Testis mihi Deus, cui servio in Evangelio Filii sui [85]; » et alibi: « Testem Deum invoco in animam meam [86]; » et rursus: « Scit omnium Deus; non mentior [87]. » Hæc est enim irreprehensibilis fides. Nam jusjurandum nihil aliud est quam sermo cum Dei testimonio, vel res testimonio Dei confirmata. Sed quidquid sit jusjurandum, quod juravit proximo suo, nemo irritum facit.

Vers. 5. Possumus etiam spiritaliter fenerari absque usura. Quo sensu dictum fuit discipulis a Jesu magistro: « Et qui voluerit a te mutuari, ne averseris [88]. » Nam quomodo de re sensibili dictum hoc quis fuisse existimet aientibus: « Reliquimus omnia, et secuti sumus te; quid ergo erit nobis [89]? » itemque aientibus: « Argentum et aurum non est mihi [90]? » Quia igitur vetitum est materialiter fenus exercere justis, si quando id agere forte dicuntur, spiritali sensu accipiendum est, nempe spiritaliter fenerari quemlibet doctrinæ auctorem, quæ instar argenti est, quo materialia lucra fiunt. Et quidem ii qui docendo spiritalia serunt, carnalia recipiunt, quatenus alimento satis est (dignus est enim operarius alimento suo [91]), neque propterea fenerantur; non enim pro datorum spiritalium merito argentum accipiunt, sed alimoniam tantummodo.

Hic autem non commovebitur in æternum, sed per omnem vitam in virtutum exercitio permanebit. Nam præsens locutio similis illi est: « Non manducabo carnem in æternum [92]. » Immotus scilicet in æternum manet, qui Jesu sermones audit, eosque exsequitur. Habet enim vitæ suæ, quæ domus vocabulo denotatur, fundamenta in Christo jacta, qui petra dicitur [93]. Sic illi firmi erant, de quibus Christus dixit: « Sunt quidam de hic astantibus [94], » etc., necnon illi de quibus scribit Apostolus: « Fundati et radicati in charitate [95]. » Fortasse etiam locutio: « non commovebitur in æternum, » majorem temporis extensionem innuit, æque ac dictum illud: « Omnis qui vivit et credit in me, vivet in æternum [96]. » Nam sancti dum in cœlo conversationem habent, in terra Dei habitant, etiamsi adhuc in hac infera terra degant.

Possis etiam dicere hoc modo: Peccatorum actus

[84] Psal. c, 6, 7. [85] Rom. I, 9. [86] II Cor. I, 23. [87] II Cor. XI, 31. [88] Matth. V, 42. [89] Matth. XIX, 27 [90] Act. III, 6. [91] I Tim. V, 18. [92] I Cor. VIII, 13. [93] I Cor. X, 4. [94] Matth. XVI, 28. [95] Ephes. III, 17 [96] Joan. XI, 26.

(16) Ea etiam Didymus fenus improbat.

(16') An legendum οἷον? Edit. Patrol.

(16") Forte legendum οὕτως. Sed forma potest esse Alexandrina. Sic in versione Alexandrina Veteris

Digitized by Google

minime permanent. Temporaria enim dicta est peccati voluptas, et non superfuturum esse crimen peccatoris ac mali; quæsitum enim non invenietur. At non ejusmodi est vita sanctorum; siquidem invisibilia et æterna contemplando sectantur; de quorum unoquoque dicitur: « Justitia ejus manet in sæculum sæculi [97]. » Est enim vita eorum quasi columna, et symbolum victoriæ. Cæterum etiam columnas vocant ea loca, ubi decreta legum affiguntur, quæ κύρβεις, seu tabulas, appellant: quam appellationem quoque doctrinæ sanctorum sortiuntur, non in tabulis lapideis inscriptæ, sed in tabulis cordis carnalibus; facile enim cedunt, et scripturam suscipiunt.

A παραμένουσι πράξεις. Πρόσκαιρος γοῦν τῆς ἁμαρτίας ἀπόλαυσις εἴρηται, καὶ τὸ μὴ ἔσεσθαι τὴν ἁμαρτίαν τοῦ ἀμαρτολοῦ καὶ πονηροῦ· ζητουμένη γὰρ οὐχ εὑρεθήσεται. Ἀλλὰ οὐχ ὁ τῶν ἁγίων βίος τοιοῦτος· σκοποῦσι γὰρ τὰ μὴ βλεπόμενα, καὶ αἰώνια, περὶ ὧν ἑκάστου λέγεται· « Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » Στήλη γάρ πως ὁ τούτων βίος, καὶ σύμβολον νίκης· ἀλλὰ καὶ στήλας φασὶν, ἔνθα γραφαὶ περὶ νόμων ἀνάκεινται, ἃς κύρβεις καλοῦσι καὶ πίνακας· ὁποίας ἔτυχον προσηγορίας αἱ τῶν ἁγίων διδασκαλίαι, οὐκ ἐν πλαξὶ λιθίναις γραφεῖσαι, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις· εὔειπτοι γάρ εἰσι, καὶ δέχονται τὴν γραφήν.

PSALMUS XV.

Vers. 3. Dei voluntates sunt, virtutes singulæ; ut illic: « Inveni Davidem Jessæ filium, virum juxta cor meum, qui faciet omnes voluntates meas has [98]. » Mirabilis Deus in sanctis suis, qui præ reliquis hominibus virtutes exercent. Incomparabiliter certe eminuerunt fortitudine apostoli, prophetæ, ac martyres; castitate Josephus atque Suzanna; alii aliis pariter virtutibus. Sic ergo homo mirabilis redditus, suam agnoscit infirmitatem, et quantopere divinæ potentiæ inferior sit. Verumtamen infirmitates eatenus manent, quatenus agnoscuntur: protinus vero recedunt, quia sancti roborantur a Christo, dicuntque: « In Deo faciemus virtutem [99]. »

B Στ. γ'. Θελήματα δὲ Θεοῦ αἱ κατ' εἶδός εἰσιν ἀρεταί· ὡς ἐν τῷ· « Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου ταῦτα. » Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, τῶν λοιπῶν ἀνθρώπων ἄμεινον ἀσκοῦσι τὰς ἀρετάς. Ἀσυγκρίτως γὰρ ὑπερέσχον κατὰ μὲν ἀνδρείαν ἀπόστολοί τε καὶ προφῆται καὶ μάρτυρες· κατὰ δὲ σωφροσύνην Ἰωσὴφ καὶ Σουσάννα· καὶ κατὰ τὰς ἑτέρας ὁμοίως. Οὕτω δέ τις θαυμαστωθεὶς, αἰσθάνεται τῆς ἰδίας ἀσθενείας, πολὺ τῆς θείας ἰσχύος ἀπολειπόμενος. Αἱ δὲ ἀσθένειαι μέχρι τοῦ ἐννοῆσαι μόνον αὐτὰς παραμένουσαι, ταχέως ἀπίασιν, διὰ τὸ ἐνδυναμοῦσθαι τοὺς ἁγίους ὑπὸ Χριστοῦ λέγοντας, « Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν. »

Vers. 4. Haud simpliciter ait se non congregaturum conventicula eorum, sed addit « de sanguinibus. » Neque absolute ait se memorem non fore nominum eorum, sed « per labia mea. » Num ergo, quia sunt nonnulli, qui conventicula ex sanguinibus congregant, imo potius dispergunt, propterea quod congregatos damnis afficiunt, num, inquam, Deus juvans potius et vivificans quos ad se advocat, non ex sanguinibus, sed ex immortalitate illos congregat, nominum eorum memor; nec superficiaria ratione, sed alto animi affectu? Sed et alio modo explanare licebit: Etiamsi multi occisi sunt prophetæ atque apostoli, sanguine ipsorum fuso; nequaquam tamen ob horum sanguinum copiam congregabo conventicula eorum, sed ob unum tantum agni immaculati et mundi Christi sanguinem. Illic enim datus est in pretium, ut redimerentur ex ipsorum tradita a Patribus inani conversatione. Redemptorum hujusmodi memor erit non exteriore tantum pronuntiatione, sed intima cogitatione.

C Στ. δ'. Οὐ καθάπαξ μὴ συναγαγεῖν τὰς συναγωγὰς αὐτῶν, ἀλλ' « ἐξ αἱμάτων. » Οὐδ' ἀπολελυμένως λέγει μνησθήσεσθαι τῶν ὀνομάτων αὐτῶν, ἀλλ' ἤ, « διὰ χειλέων μου. » Μήποτ' οὖν ἐπεί εἰσίν τινες συνάγοντες συναγωγὰς ἐξ αἱμάτων, ἐκχέοντες αὐτὰς διὰ τοῦ βλάπτειν τοὺς συναγομένους, αὐτὸς ὠφελῶν, μᾶλλον δὲ ζωοποιῶν, τοὺς προκαλουμένους, οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐξ ἀθανασίας συνάγει αὐτοὺς, τῶν προσηγοριῶν αὐτῶν μεμνημένος, οὐκ ἐξ ἐπιπολῆς, ἀλλ' ἐκ διαθέσεως βάθος ἐχούσης; Λελέξεται καὶ οὕτως· Εἰ καὶ πολλοὶ ἀπεκτάνθησαν προφῆται καὶ ἀπόστολοι, ἐκχυθέντος τοῦ αἵματος αὐτῶν, ἀλλ' οὐκ ἐν τούτοις τοῖς πολλοῖς αἵμασιν συνάξω τὰς συναγωγὰς αὐτῶν, ἀλλ' ἢ μόνῳ ἑνὶ αἵματι ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ. Τοῦτο γὰρ τιμὴ δέδοται, ἵνα λυτρωθῶσιν ἐκ τῆς ματαίας πατροπαραδότου αὐτῶν ἀναστροφῆς. Τῶν οὕτω λελυτρωμένων μεμνήσεται οὐ προφορᾷ μόνῃ, ἀλλὰ βαθείᾳ νοήσει.

Qui Deum habet, consonanter etiam quæ sunt illius habebit. Quamobrem qui habet Dominum partem hæreditatis suæ, bonis quoque illius fruetur, dicetque: « Tu es, qui restituis hæreditatem meam mihi. » Nonne videlicet hanc ei restituit, qui ait: « Venite, possidete paratam vobis portionem [1]?

Ὁ Θεὸν ἔχων, ἁρμονίως καὶ τὰ αὐτοῦ ἕξει· ὅθεν ὁ τὸν Κύριον μερίδα τῆς κληρονομίας ἔχων, καὶ τῶν αὐτοῦ ἀπολαύσει, λέγων· « Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. » Ἢ οὐκ ἀποκαθίστησιν ταύτην φάσκων, « Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν (μερίδα); Μερίς μου εἶ ἐν γῇ ζώντων. »

[97] Psal. cx, 3. [98] Act. xiii, 22; I Reg. xiii, 14. [99] Psal. lix, 14. [1] Matth. xxv, 34.

Testamenti occurrunt: οἶκον pro οἴκων (*IV Reg.* xxiii, 7), αὐτόν pro αὐτῶν (*I Mach.* vi, 58), etc. Ad eamdem dialectum pertinet ἁμαρτολοῦ quod mox sequitur. Edit. Patr.

Digitized by Google

Τῆς οὕτως πνευματικῆς κληρονομίας πρὸς ἀναλογίαν πίστεως καὶ ἀρίστου βίου διδομένης τοῖς κληρονόμοις, εἰκότως ἐπενήνεκται τὸ, « Σχοινία ἐπέπεσέν μοι ἐν τοῖς κρατίστοις. » Σύμβολον δὲ μέτρου καὶ κλήρου τὸ σχοινίον· ἀμέλει γοῦν καὶ τῆς αἰσθητῆς γῆς, εἰς ἣν εἰσήχθησαν ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ οἱ Ἑβραῖοι, μεριζομένης, πολλάκις ἀναγέγραπται· Ἔπεσεν δὲ τὸ σχοινίον τῇ φυλῇ Ἰούδα ἢ Ῥουβὶν ἢ ἑτέρου τινὸς τῶν δώδεκα ἐπὶ τόδε τὸ κλίμα, τὸ ἀνατολικὸν φέρε ἢ ἄλλο παρὰ τοῦτο. Τούτων ὧδε τεθεωρημένων, ὁ λέγων, « Σχοινία ἐπέπεσέν μοι ἐν τοῖς κρατίστοις, » παρίστησιν ὡς ἀγαθὰ αὐτῷ ἐμερίσθη, εἰς τὰ κράτιστα τῆς κληρονομίας ἐλθόντος τοῦ κλήρου αὐτοῦ· ὃν δηλοῖ διὰ τῶν πνευματικῶν τούτων γεωμετρικῶν σχοινίων. Τοιοῦτο σχοινίον ἄγγελος ἐν τῇ χειρὶ αὐτοῦ κατέχων ὤφθη Ζαχαρίᾳ τῷ προφήτῃ ἐπὶ τῷ μετρῆσαι πόσον τὸ μῆκος καὶ πλάτος τῆς ἀληθινῆς Ἱερουσαλήμ. Οἷς ἐπενήνεκται· « Καὶ γὰρ ἡ κληρονομία μου κράτιστη μοί ἐστιν. » Σημαίνει· Ἀληθῶς ἡ κληρονομία μου τυγχάνει· κατὰ τοῦτο τὸ σημαινόμενον κράτιστος ἦν ὁ Θεόφιλος, ᾧ γράφει Λουκᾶς ὁ εὐαγγελιστής.

Pars mea tu es in terra viventium [1]. » Hac itaque spiritali hæreditate hæredibus data, ob fidei et optimæ vitæ analogiam, congrue subjungitur : « Funes ceciderunt mihi in præclaris. » Symbolum autem mensuræ et hæreditatis est funiculus : quippe etiam in materialis terræ, ad quam introducti a Jesu Navi filio Hebræi fuerunt, divisione sæpe id vocabulum scriptum est [2] : Cecidit funiculus tribui Judæ, vel Rubeni, vel alterius cujuslibet duodecim tribuum, ad orientalem regionem, puta, aut aliorsum. His ita explicatis, qui ait, « Funes mihi ceciderunt in præclaris, » denotat bona ipsi obtigisse ; præclaram scilicet hæreditatis partem ei sortito obtigisse, quam his spiritualibus geometrarum funiculis demonstrat. Hujusmodi funiculum angelus manu tenens apparuit Zachariæ prophetæ, ob dimetiendam longitudinem latitudinemque veræ Hierusalem [3]. Postea additur : « Namque hæreditas mea præclara est mihi. » Significat : Vere hæreditas mea est. Secundum hunc significatum præclarus erat Theophilus, ad quem Lucas evangelista scribit.

Στ. ζ'. « Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. » Συνέσεως θεόθεν τυχὼν, ἀλλὰ καὶ παιδευθεὶς πρὸς τῶν ἑαυτοῦ νεφρῶν ἕως νυκτὸς, εὐλογεῖ τὸν τούτων τῶν ἀγαθῶν δοτῆρα· ὑπάρχει δὲ τὸ συνετισθῆναι φαντασίας θεϊκῆς γενομένης τῷ νῷ· « Ἀπὸ προσώπου γὰρ, φησὶν, αὐτοῦ, γνῶσις καὶ σύνεσις. » Οὕτως ἐμφανίζων ἑαυτὸν ὁ Σωτὴρ τῷ ἔχοντι τὰς ἐντολὰς αὐτοῦ καὶ τηροῦντι αὐτὰς, συνέσεως αἴτιος γίνεται. Τί δὲ βούλεται καὶ τὸ παιδεύεσθαί τινα ὑπὸ τῶν σφετέρων νεφρῶν; Φανερὸν δὲ ὡς οὐ περὶ τῶν αἰσθητῶν, ἀλλὰ περὶ τῶν νοητῶν εἴρηται τοῦτο τῶν σὺν τῇ καρδίᾳ ὀνομαζομένων ἐν τῷ, « Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. » Οὗτοι γὰρ, νοήσεις τέλειαι τυγχάνοντες, παιδεύουσιν τὸν ἐφιστάνοντα, φῶς γνώσεως παρέχοντες, ἕως ἡ τῆς ἀγνοίας λυθῇ νὺξ ἐκείνη, περὶ ἧς εἴρηται· « Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. » (Νὺξ) γὰρ τέλος λήψεται, ἡμέρας διαδεξαμένης, σύνισταμένης ἐκ τῆς τῶν νεφρῶν παιδεύσεως. Εἰ δὲ καὶ τὰ βαθύτερα τῶν νοημάτων διὰ τῆς νυκτὸς παρίσταται, καταλλήλως τῷ εἶναί τινα λόγον σκοτεινὸν, τοῦτ' ἔστι μυστικὸν, φανερὸν ὅτι καὶ ἕως ταύτης τῆς νυκτὸς παιδεύουσιν οἱ νεφροὶ, τὰ ἀπόκρυφα καὶ αἰνιγματώδη σαφηνίζοντες. Γνώσῃ τῶν προκειμένων νεφρῶν τὴν ἐνέργειαν, ὀλίγα ἄττα τῶν σωματικῶν θεωρήσας. Λέγεται τοίνυν ὡς ἐν τοῖς αἰσθητοῖς νεφροῖς σπερματικαί τε δυνάμεις καὶ γοναὶ συνίστανται, ἀφ' ὧν εἰς τοὺς γεννητικοὺς πόρους χωροῦσαι, αἴτιαι γίνονται γεννημάτων. Τοῖς οὕτω λεχθεῖσιν εἰκόνι χρησάμενος, ὄψει εἰ εἶεν ψυχῆς δυνάμεις, ἀφ' ὧν προΐασιν ἀναλογοῦντα σπέρμασί τινα νοήματα, καθ' ἃ συνίσταται τὰ τοῦ ἔσω ἀνθρώπου γεννήματα, ἐν πράξεσιν ἐπαινεταῖς καὶ θεωρίαις τῆς ἀληθείας ἔχοντα τὸ εἶναι. Ὁ βουλόμενος περὶ τῶν σωματικῶν νεφρῶν σημαίνειν τὸ προκείμενον

Vers. 7. « Benedicam Dominum qui tribuit mihi intellectum ; insuper et usque ad noctem increpuerunt me renes mei. » Intellectu donatus a Deo, prætereaque a renibus suis eruditus noctu, benedicit bonorum horum datorem. Fit autem ejusmodi intellectus ex divinarum rerum consideratione menti objecta. Namque « a facie ejus, inquit, scientia et intellectus. » Ita semet revelans Servator homini inandata ejus observanti, intelligentiæ auctor fit. Quid vero insuper significat dictio, erudiri hominem a renibus suis ? Perspicuum est, non de materialibus, sed de intellectualibus hoc dici, qui una cum corde sic nuncupantur, in illo dicto : « Scrutans corda et renes Deus [4]. » Hi nimirum renes, cum sint perfectæ intellectiones, eruditi bis immorantem, lumen scientiæ suppeditantes, donec ignorantiæ nox illa dispellatur, de qua dictum est : « Nox præcessit, dies autem appropinquavit [5]. » Nox enim finem capiet, die succedente qui conficitur a renium eruditione. Quod si etiam profundiores intellectiones noctu fiunt, quatenus est quidam sermo obscurus et mysticus, patet quod per hujusmodi noctem eruditi renes, res arcanas et ænigmaticas patefacientes. Cognosces hanc de qua agitur renum efficaciam, si parumper corporeos renes consideres. Dicunt ergo in materialibus renibus seminalem vim et genituram elaborari, ex quibus in genitales poros profectæ, causa fiunt generationum. Prædictorum similitudine utens, videbis num sint animæ vires, unde prodeunt pares seminibus quædam intellectiones, quibus interioris hominis genituræ confiunt, quæ in bonis actibus, et veritatis contemplationibus consistunt. Qui autem putare velit a prædictis verbis materiales renes denotari, dicet summam temperantiam... a renibus suis hominem edoctum, non

[1] Psal. CXLI, 6. [2] Jos. XV, 1 ; XVI, 1, etc. [3] Ezech. XLVII, 3. [4] Psal. VII, 10. [5] Rom. XIII, 12.

Digitized by Google

sine pudica cogitatione corporalem genituram facere.

VERS. 8. « Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear. » Quia hæc ex Christi persona dicuntur; conservatur autem absque ulla mutatione persona illa quæ Domini nomine dicit: « Pars hæreditatis meæ, » si quis hos quoque versiculos ceu a Domino dictos accipiat, a veritate non aberrabit. Qui autem circa Deum non habent satis firmas cogitationes, intelligunt localiter a dextris esse Patris Filium, propter verba: « Sede a dextris meis [7], » vel illa quæ dicunt, sedere Servatorem post ascensionem a dextris majestatis [8]. Quibuscum impossibile est disputare; nam si a dextris Patris localiter Filius est, impossibile est ab ipsius Filii dextris esse Patrem; quod tamen ait Filius: « Providebam Dominum a dextris meis. » Unde aliter intelligendum est, Filium a dextris Patris esse, et Filii Patrem: æque ac illud: « Ego in Patre, et Pater in me est [9]. »

Observandum porro est, cum Deus et homo simul sit Salvator, nunc... interpretari, vel de ejus in carne dispensatione. Sed pie non potest tanquam ex persona Dei Verbi dici, habere a dextris suis Patrem, vel coram se semper, ut immobilis permaneat. Immutabilis est enim Deus Verbum, et nullam omnino patitur commotionem. Ac insuper causam se dicere innuit, cur sit immobilis Deus Verbum, quandoquidem in conspectu illius est semper atque a dextris Pater; nam quia ipse in Patre est, et hunc in se ipso habet, in causa est cur non commoveatur qui eum videt, quique a dextris eumdem habet. Quoniam itaque id innuit, imo irreligiosum foret de unigenito Filio Dei ea verba intelligere, absque ejus in carne dispensatione, congrue concedendum est ea dicta esse verba de tempore quo immutabiliter homo factus est, æque humiliavit pauperemque fecit qui dives est. Namque ejus humanitas assimilata est nobis per omnia absque peccato. Sed neque inanimis fuit ejus caro; non enim caro anima carens diceret se habere a dextris Deum, atque eum semper coram videre, ne peccaret; etenim peccati motum indicat commotio. Quod si hæc impossibilia sunt, corpus enim non providet Deum, non habet notionem stantis ad dexteram neque omnino in conspectu, superest ut secundum humanam dispensationem hæc a Deo Verbo, invertibiliter, perfecte, et vere incarnato, dicta sint; nam tanquam ex una persona omnia pronuntiabuntur et quæ Dei sunt et quæ hominis. Ceu homo igitur, cum talis factus est, a dextris Deum habens, non erat commovendus, quantumlibet acerba eum circumdarent, etiamsi terræ reges astarent, et congregarentur principes adversus Dominum et

[7] Psal. CIX, 1. [8] Marc. XVI, 19. [9] Joan. XIV, 10.

A ἐρεῖ τὴν ἀκραιφνεστάτην σωφροσύνην ἔχοντα πεπαιδευ... (17) τῶν νεφρῶν αὐτοῦ, ἐπεχομένων σώφρονι λογισμῷ ῥεῖν τὰς σωματικὰς γονάς.

Στ. η'. « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. » Ἐπεὶ ἐκ προσώπου τοῦ Χριστοῦ λέγεται τὰ προκείμενα, φυλάττεται δὲ χωρὶς πάσης μεταβολῆς τὸ λέγον ταῦτα πρόσωπον ἀπὸ τοῦ Κυρίου, « Ἡ μερὶς τῆς κληρονομίας μου, » καὶ τοὺς στίχους ὑπὸ Κυρίου εἰρημένους ἐκλαμβάνων τις, οὐχ ἁμαρτάνει· οἱ μὴ ἔχοντες δὲ περὶ Θεοῦ ἐννοίας διηρθρωμένας, τοπικῶς ἐκλαμβάνουσιν ἐκ δεξιῶν εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, διὰ τὸ, « Κάθου ἐκ δεξιῶν μου· » ἢ κεχαθηκέναι (*sic*) τὸν Σωτῆρα, μετὰ τὴν ἀνάληψιν, ἐκ δεξιῶν τῆς μεγαλοσύνης. Οἷς ἀδύνατόν τι εἰπεῖν· εἰ γὰρ ἐκ δεξιῶν τοῦ B Πατρὸς ὁ Υἱὸς τοπικῶς, ἀδύνατον ἐκ δεξιῶν τοῦ Υἱοῦ εἶναι τὸν Πατέρα κατ' αὐτὸ τὸ σημαινόμενον· ἀλλὰ λέγει ὁ Υἱός· « Προωρώμην τὸν Κύριον ἐκ δεξιῶν μου. » Ὅθεν ἑτέρως ἢ κατὰ τόπον ἐκληπτέον τὸν Υἱὸν δεξιὸν τοῦ Πατρὸς καὶ τὸν Πατέρα τοῦ Υἱοῦ, ὡσαύτως τῷ, « Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν. »

Σκοπητέον δὲ, ἀνθρώπου καὶ Θεοῦ ἅμα τοῦ Σωτῆρος νοουμένου πότε... ἑρμηνεῦσαι, ἢ ἐπὶ τῆς αὐτοῦ κατὰ σάρκα οἰκονομίας· ἀλλ' οὐ δυνατὸν εὐσεβῶς ἐκλαβεῖν ὡς ἐκ προσώπου τοῦ Θεοῦ Λόγου εἰρῆσθαι ἔχειν ἐκ δεξιῶν αὐτοῦ τὸν Πατέρα καὶ ἐνώπιον ἑαυτοῦ διαπαντὸς, ὅπως ἀκλόνητος διαμείνῃ. Ἄτρεπτος γὰρ ὁ Θεὸς Λόγος, οὐδὲ κατὰ ποσὸν κλόνον ὑφιστάμενος. Καὶ ἐπεὶ ἀπεμφαίνει αἰτίαν εἰπεῖν τοῦ μὴ C σαλευθῆναι τὸν Θεὸν Λόγον, ὄντος ἐν ὄψει αὐτοῦ καὶ ἐκ δεξιῶν διαπαντὸς τοῦ Πατρός· αὐτὸς γὰρ ἐν τῷ Πατρὶ τυγχάνων, καὶ ἔχων αὐτὸν ἐν ἑαυτῷ ἐκ δεξιῶν τινος καὶ ἐνώπιον διαπαντὸς ὑπάρχων, αἴτιος καθίσταται τοῦ μὴ κλονεῖσθαι τὸν ὁρῶντα αὐτὸν καὶ ἐκ δεξιῶν αὐτὸν ἔχοντα. Ἐπεὶ τοίνυν ἀπεμφαίνει, μᾶλλον δὲ ἀσεβές ἐστιν περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ αὐτὰ ἐκλαβεῖν χωρὶς τῆς αὐτοῦ κατὰ σάρκα οἰκονομίας, ἁρμονίως ἐκδοτέον εἰρῆσθαι αὐτὰ ὅτε γέγονεν ἀτρέπτως ἄνθρωπος καὶ ἐταπείνωσεν ἑαυτὸν καὶ ἐπτώχευσεν πλούσιος ὤν. Αὐτοῦ γὰρ γέγονε τὸ ἀνθρώπινον ὁμοιωθὲν ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· ἀλλ' οὐδὲ ἄψυχος ἦν αὐτοῦ ἡ σάρξ· οὐ γὰρ σὰρξ ψυχὴν οὐκ ἔχουσα ἐρεῖ ἐκ δεξιῶν ἔχειν Θεὸν, καὶ D προορᾶν αὐτὸν διαπαντὸς, ἵνα μὴ ἁμαρτάνῃ· ἁμαρτικὴ γὰρ κίνησις ἐκ τοῦ σαλευθῆναι παρίσταται. Εἰ δὲ ἀδύνατα ταῦτα (σῶμα γὰρ οὐ προορᾷ Θεὸν, οὐ νόησιν ἔχει τοῦ ὄντος ἐκ δεξιῶν καὶ ἐνώπιον διαπαντὸς), λείπεται κατ' οἰκονομίαν ἀνθρωπίνως εἰρῆσθαι ταῦτα ὑπὸ τοῦ Θεοῦ Λόγου σαρκωθέντος ἀτρέπτως καὶ τελείως καὶ ἀληθῶς· ὡς ἐξ ἑνὸς γὰρ προσώπου τὰ πάντα λελέξεται, τά τε θεοπρεπῆ καὶ ἀνθρώπινα. Ὡς ἄνθρωπος τοίνυν ὅτε γέγονεν ἐκ δεξιῶν ἔχων τὸν Θεὸν, οὐ κλονηθείη, κἂν πικρὰ περιεστηκότα ᾖ, κἂν παραστῶσιν οἱ βασιλεῖς τῆς γῆς, καὶ συναχθῶσιν οἱ ἄρχοντες ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ

(17) Deest unus scripturæ versiculus propter inanem præcisam codicis .. membranam, quod non semel incommodum infra quoque recurret.

Digitized by Google

τοῦ Χριστοῦ αὐτοῦ. Οὕτω γοῦν μὴ κλονηθεὶς κατὰ ψυχήν, « ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, πειρασθεὶς κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. » Ἐξῆς ἐπιφέρεται ὡς εὐφράνθη ἡ καρδία αὐτοῦ καὶ ἠγαλλιάσατο ἡ γλῶσσα αὐτοῦ ἐπὶ τῷ ἔχειν ἐκ δεξιῶν καὶ ἐνώπιον ἑαυτοῦ τὸν Κύριον διαπαντός. Ἐπαινετὴ ἀγαλλίασις καὶ εὐφροσύνη τυγχάνει, ὅτε οὐ διά τι τῶν τυχόντων γίνεται, ἀλλ' ἐπὶ κατανοήσει Θεοῦ.

Στ. θ'. « Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. » Καὶ ἐκ τούτων τῶν συλλαβῶν δηλοῦται μάλιστα τελείως ἐνηνθρωπηκέναι τὸν Κύριον· τῆς γὰρ σαρκὸς ἀποτεθειμένης ἐν τῷ μνημείῳ, ἡ ψυχὴ αὐτοῦ γέγονεν ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· μεθ' ὃν ἀναστὰς ἔλαβε τὴν σάρκα, ἣν τέως διαζεύξας ἦν ἀπὸ τοῦ πνεύματος. Εἴρηται δὲ ἐπ' ἐλπίδι κατεσκηνωκέναι ἡ σὰρξ, διὰ τὴν ἐσομένην παραυτὰ ἀνάστασιν· οὐ γὰρ διαλυθεῖσα ἢ φθοράν τινα παθοῦσα, ἀλλ' ἀβλαβὴς διαμείνασα συνεζεύχθη πάλιν τῇ μὴ ἐγκαταλειφθείσῃ εἰς τὸν ᾅδην ψυχῇ. Εἰ δὲ ἡ προκειμένη ψυχὴ σαρκὸς χωριζομένη ὑφέστηκεν, καὶ ἐν τῷ ᾅδῃ γίνεται, ἔνθα αἱ λογικαὶ τῶν ἀνθρώπων ψυχαί, δῆλον ὅτι οὐ δύναται ἄλογος εἶναι· ἡ γὰρ ἄλογος ψυχὴ χωριζομένη σαρκὸς, οὐχ ὑφίσταται(17'), οὐδὲ εἰς τὸν ᾅδην πορεύεται. Ἀλλὰ μὴν ἡ τοῦ Ἰησοῦ ψυχὴ ἑκατέρων πεῖραν ἔσχεν· γέγονε γὰρ καὶ ἐν τῷ χωρίῳ τῶν ἀνθρωπίνων ψυχῶν, καὶ τῆς σαρκὸς ἐκτὸς γενομένη ζῇ καὶ ὑφίσταται· λογικὴ ἄρα καὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων ὁμοούσιος, ὥσπερ καὶ ἡ σὰρξ ὁμοούσιος τῇ τῶν ἀνθρώπων σαρκὶ τυγχάνει, ἐκ τῆς Μαρίας προελθοῦσα. Εἰ δὲ καὶ ἔδοξεν πεπονθέναι διὰ τὸν σταυρὸν, ἀλλ' οὖν οὐκ οἶδεν διαφθοράν, ἀβλαβῶν διαμεινάντων τῆς τε ψυχῆς καὶ τῆς σαρκὸς, ἐξ ὧν συντεθέντων ἀνεδείχθη πάλιν ὁ Ὅσιος τοῦ Θεοῦ οὐχ ἑωρακὼς διαφθοράν, ἀλλὰ καὶ αἴτιος τῆς τῶν ἄλλων νεκρῶν ἐγέρσεως· δι' αὐτὸν γὰρ, πρωτότοκον ἐκ τῶν νεκρῶν γεγενημένον, τὸ φθαρτὸν καὶ θνητὸν ἡμῶν ἀφθαρσίαν ἐνδυσάμενον συναπαθανατίζεται τῷ μὴ ἑωρακότι διαφθορὰν Ὁσίῳ τοῦ Θεοῦ.

Στ. ι'. « Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. » Ἐκ νεκρῶν ἀναστὰς ὁ σαρκωθεὶς τοῦ Θεοῦ Λόγος, ὑμνοῖ καθ' ὃ ἄνθρωπος γέγονε, μὴ ἀπολιπὼν καὶ τοῦ εἶναι Θεὸς, τὸν φανερώσαντα αὐτῷ τὰς ἀγούσας ὁδοὺς ἐπὶ τὴν αἰώνιον ζωὴν, ἵνα καὶ εὐφροσύνης πληρωθῇ τελείας ὁ πάσης εὐφροσύνης πνευματικῆς ἐμπιπλῶν τοὺς ἁγίους, Θεοῦ δὲ πρόσωπον, ἡ εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Τί δὲ ἀκολουθεῖ τῷ ὁδεύσαντι τὰς γνωσθείσας ὁδοὺς τῆς ζωῆς, ἢ τὸ θείαν τέρψιν ἔχειν ἐν τῇ δεξιᾷ τοῦ Θεοῦ, οὕτω ἀληθείᾳ καὶ σοφίᾳ; Αὕτη δέ ἐστιν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός· καὶ ἐπεὶ ἀνυπέρβλητος τυγχάνει ἡ ἐν τῇ δεξιᾷ τοῦ Θεοῦ τέρψις,

A adversus Christum ejus. Sic itaque minime commotus in anima, « peccatum non fecit, nec inventus est dolus in ore ejus [10], tentatus alioqui per omnia pro similitudine absque peccato [11]. » Deinde pergit dicere, quomodo lætatum sit cor ejus, et lingua ejus exsultaverit, propterea quod haberet a dextris et in conspectu suo Dominum semper. Laudabilis exsultatio gaudiumque est, cum haud in re qualibet, sed in Dei contemplatione versatur!

Vers. 9. « Insuper et caro mea habitabit in spe. Et non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem. » Ex his quoque dictionibus præcipue demonstratur perfecta Domini humanitas. Etenim carne ipsius in B sepulcro deposita, anima ejusdem in terræ corde fuit tribus diebus tribusque noctibus : post quod tempus resurgens resumpsit carnem, quam nuper ab anima separaverat. Dicta est autem in spe habitasse caro, propter futuram statim resurrectionem : non enim resoluta, aut corruptionem aliquam passa, sed illibata manens, rursus conjuncta est haud derelictæ in inferno animæ. Quod si anima de qua loquimur, a carne separata mansit, et apud inferos fuit, ubi rationales erant hominum animæ; perspicuum est, eam haud irrationalem esse potuisse. Etenim irrationalis anima, a corpore separata, non subsistit, neque ad inferos proficiscitur. Atqui anima Jesu utrumque experta est; fuit enim in humanarum animarum habitaculo, et extra corpus C vixit et substitit. Ergo rationalis est, et hominum animabus consubstantialis; sicut et caro consubstantialis est hominum carni, utpote ex Maria profecta. Quod si visa est in cruce pati, non tamen corruptionem experta est, incolumibus simul manentibus anima et carne; ex quibus recompositis, denuo exstitit Sanctus Dei, quin corruptionem fuisset expertus, sed et causa aliorum mortuorum resurrectionis exsistens. Nam propter eumdem primogenitum mortuorum, corruptibile nostrum incorruptionem induens, immortalitatem adipiscitur cum illo qui corruptionem ignoravit Sancto Dei.

Vers. 10. « Notas mihi fecisti vias vitæ, adimplebis me lætitia cum vultu tuo : delectatio in dextera D tua usque in finem. » A mortuis resurgens incarnatum Dei Verbum hymno celebrat, quatenus homo est, non desinens pariter esse Deus, illum qui sibi ostendit vias ad vitam æternam ducentes; ut et perfecto gaudio repleatur ipse qui cæteroquin omni spiritali lætitia sanctos replet. Dei autem vultus, est imago ejus et forma substantiæ ipsius. Quid autem obvenit terenti vias quas vitæ esse novit, nisi ut divinam delectationem habeat in Dei dextera, quæ est veritas ac sapientia? Hic est nimirum unigenitus Dei Filius; et quia exquisitissima est in dextera Dei delectatio, ipsa erit desiderabilis postre-

[10] I Petr. II, 22. [11] Hebr. IV, 15.

(17') Animadverte Didymi opinionem de brutorum anima, sive de ejus post corporis obitum abolitione.

Digitized by Google

mus finis. Non enim alterius cujuslibet causa, sed propter ipsam sunt omnia. Si ergo Filius Dei est Verbum, tunc etiam cum factus est homo, modo uti Deus, modo uti homo loquebatur, et crucem sustinuit ignominia contempta, et resurrexit, sicuti summus Petrus in Actibus concionans de Davide aiebat : « Propheta igitur cum esset, et sciret quia jurejurando jurasset illi Deus de fructu lumbi ejus suscitare secundum carnem Christum, providens locutus est de resurrectione ejus [12]. » Jam quod addidit *secundum carnem*, ostendit Deum quoque fuisse, et quod tanquam homo sponte immolabatur patiebaturque, cum simul esset Deus.

A τέλος ἔσται ἔσχατον ὀρεκτὸν οὖσα. Οὐ γὰρ ἄλλου χάριν, ἀλλ' αὐτῆς ἕνεκα τὰ πάντα. Εἰ τοίνυν Υἱὸς τοῦ Θεοῦ Λόγος, καὶ ὅτε γέγονεν ἄνθρωπος, πῇ μὲν ὡς Θεὸς, πῇ δὲ ὡς ἄνθρωπος διελέγετο, καὶ σταυρὸν ὑπέμεινεν, αἰσχύνης καταφρονήσας, καὶ ἀπέθανεν, καὶ ἀνέστη, καθὰ καὶ ὁ πρόκριτος Πέτρος δημηγορῶν ἐν ταῖς Πράξεσιν περὶ τοῦ Δαυὶδ ἔλεγεν· « Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ἀναστήσειν κατὰ σάρκα τὸν Χριστὸν, προϊδὼν ἐκάλεσεν περὶ τῆς ἀναστάσεως αὐτοῦ. » Τὸ δὲ, *κατὰ σάρκα*, προσκείμενον, δείκνυσιν ὅτι καὶ Θεὸς ἦν· ὡς ἄνθρωπος τὰ ἀνθρώπινα ἑκουσίως ἐσπένδετό τε καὶ ὑπέμεινεν μετὰ τοῦ εἶναι Θεός.

PSALMUS XVI.

VERS. 1, 2. Jactantiæ arguunt nonnulli David precantem, dicentes quod, modestorum more, nemo unquam audeat dicere: « Exaudi, Domine, justitiam meam, » necnon et, « De vultu tuo judicium meum prodeat. » Non autem gloriatur David, omnes faciens Dei voluntates, sed cum benignitate judicari volens, suum exoptat judicium de vultu divino prodire. « Oculi mei videant æquitates. » Precatur ut interioris hominis oculi æquitates videant, quibus judicat Deus, judicium de vultu suo deducens. Vel precatur virtutem, quam *æquitates* appellat, contemplari. Si vero eam videre expetit, nondum præsentem habet. Ex quo sequitur eum non gloriari has efferentem preces. Hæc quidem de perfecta virtute dici existimandum est, quæ tandem, multis in medio gradibus transcursis, supervenit.

B Στ. α', β'. Ἀλαζονείαν καταψηφίζονταί τινες τοῦ εὐχομένου, φάσκοντες, ὡς τῶν μετρίων τὸ ἦθος, οὐδεὶς λέξει τὸ, « Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου· » καὶ τὸ, « Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι. » Ἀλλ' οὐκ ἀλαζὼν ὁ Δαυὶδ, ποιῶν πάντα τὰ θελήματα τοῦ Θεοῦ· ἀλλὰ σὺν ἀγαθότητι κριθῆναι θέλων, παρεκάλει ἐξελθεῖν αὐτοῦ τὸ κρῖμα ἐκ τοῦ θείκοῦ προσώπου. « Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. » Εὔχεται τοῖς ὀφθαλμοῖς τοῦ ἔσω ἀνθρώπου εὐθύτητας (17**) ἰδεῖν, καθ' ἣν κρινεῖ ὁ Θεὸς ἐξάγων τὸ κρῖμα ἐκ προσώπου ἑαυτοῦ· ἢ εὔχεται τὴν ἀρετὴν, *εὐθύτητας*, θεάσασθαι· εἰ δὲ εὔχεται αὐτὴν ἰδεῖν, οὔπω παροῦσαν αὐτὴν ἔχει· ᾧ ἕπεται τὸ μὴ ἀλαζονεύεσθαι αὐτὸν οὕτω τὴν εὐχὴν ἀναφέροντα. Ταῦτα περὶ τῆς παντελοῦς ἀρετῆς εἰρῆσθαι ἡγητέον, ἥτις C ὀψέ ποτε παραγίνεται πλείστων ὅσων προδιανυσθέντων.

VERS. 3. Supradictis patet multa dicentis fiducia. Hæc enim si de Deo dicit, multam exhibet ipsius munditiam. Probatur enim cor omnis molesta patientis, si pressus undique non demittatur, sed in finem tolerans inveniatur justus. Qualis erat Job, cui dixit Deus : « Credisne tibi me aliter conversatum esse, nisi ut justus appareas [13] ? » Scilicet probato corde ejus a Domino et igne examinato, non inventa est in ipso iniquitas. Quid vero significat, « visitasti nocte ? » Nonne molestias, propter obscuritatem, cumque nihil prorsus lætum habeant, noctem vocat, in qua visitans eum Deus, probatum expertus est, et tribulationibus comburens, omnis iniquitatis purum præstitit. — Hæc quoque possunt sic intelligi : Quandoquidem cordis abscondita non manifesta sunt, nisi soli de quo dictum est : « Tu solus novisti corda hominum [14], » nox appellata sunt. Quæ quidem, cum sint aliis obscura propter impenetrabilem naturam, tibi vero, qui probasti me, cum « nocte visitasti, » manifestata sunt. Quibus consentit et illud : « Si

Στ. γ'. Καὶ διὰ τῶν προκειμένων ἐμφαίνεται πολλὴ παρουσία (18) τοῦ λέγοντος· εἰ γὰρ ταῦτα ἐπὶ Θεοῦ λέγει, πολλὴν ἑαυτοῦ ἐμφαίνει καθαρότητα· δοκιμάζεται γὰρ ἡ καρδία παντὸς τοῦ σκυθρωπὰ ὑπομένοντος, ὅτ' ἂν ἐν παντὶ θλιβόμενος μὴ στενοχωρῆται, ἀλλ' ὑπομένων εἰς τέλος ἀποδείκνυται δίκαιος· οἷος ἦν Ἰὼβ, ᾧ εἶπεν ὁ Θεός· « Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; » πρὸς τὸ δεδοκιμάσθαι τὴν καρδίαν αὐτοῦ ὑπὸ τοῦ Κυρίου, καὶ πεπυρῶσθαι, καὶ μὴ εὑρέσθαι ἐν αὐτῷ ἀδικίαν. Τί σημαίνεται ἐκ τοῦ, « Ἐπεσκέψω νυκτός; » καὶ ὅρα εἰ τὴν κατάστασιν τῶν σκυθρωπῶν, διὰ τὸ ἀφεγγὲς καὶ μηδὲν ἱλαρὸν ἔχειν, νύκτα καλεῖ, ἐν ᾗ ἐπισκε- D ψάμενος αὐτὸν ὁ Θεὸς, δόκιμον ἀπέφηνεν, καὶ πυρώσας διὰ τῶν θλιβερῶν, καθαρὸν πάντων ἀδικημάτων ἀνέδειξεν. — Ῥηθείη τὸ, « Ἐπεσκέψω νυκτὸς, » καὶ οὕτως· Ἐπεὶ τῆς καρδίας τὰ κρύφια οὐκ εἰσὶ φανερὰ ἢ μόνῳ τῷ πρὸς ὃν εἴρηται, « Σὺ μόνος γινώσκεις τὰς καρδίας τῶν ἀνθρώπων, » νὺξ ὠνομάσθη· ἃ καὶ αὐτὰ, καίτοι τοῖς ἄλλοις ὄντα σκοτεινὰ διὰ τὸ ἀκατάληπτον, σοὶ τῷ δοκιμάσαντί με, διὰ τὸ ἐπεσκέ-

[12] Act. II, 30. [13] Job XXXII, 32. [14] Act. I, 24.

(17**) Forte leg. εὐθύτητα, aut mox, καθ' ἃς. EDIT. PATROL.

(18) Vix dubito quin legendum sit παῤῥησία. Id.

Digitized by Google

φθαι με νυκτὸς, πεφανέρωται. Τούτῳ συνᾴδει τὸ « Εἰ ἀδικίαν ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος. »

Στ. δ'. Τὸ ἀπαγγέλλειν τὰ ἔργα τῶν ἀνθρώπων πράξει καὶ διαθέσει, ἔτι μὴν καὶ λόγῳ, φαύλων. Τίνα δὲ τὰ ἔργα τούτων, ἢ ἐκεῖνα περὶ ὧν ὁ Ἀπόστολος γράφει, « Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; » Κωλυτικὸν τοῦ λαλεῖν τὰ ἔργα τῶν ἀνθρώπων τυγχάνει καὶ τὸ μὴ εὑρέσθαι ἐν αὐτῷ ἀδικίαν, ὑπὸ Θεοῦ πυρωθέντι διὰ πειρασμῶν καὶ τῶν παραπλησίων.

Στ. ε'. Τρίβοι δὲ τοῦ Κυρίου καὶ τῶν ἁγίων αὐτοῦ, αἱ τηρήσεις τῶν ἐντολῶν τυγχάνουσιν, μᾶλλον δὲ αἱ κατ' ἀρετὴν ἐνέργειαι, λεῖαι καὶ ὁμαλαὶ ἀναδειχθεῖσαι, ἐκ τοῦ συνεχῶς πατεῖσθαι πρὸς τῶν σπευδόντων φθάσαι ἐπὶ τὸ τέλος αὐτῶν· τέλος δὲ αὐτῶν ἡ μακαριότης καὶ ἡ τῶν ἐπαγγελιῶν ἀπόδοσίς ἐστιν. Δράμωμεν τοίνυν κατ' αὐτὰς, ἵνα σωτηρίας τύχωμεν· οὐ κλονουμένων τῶν διαβημάτων, τοῦτ' ἔστιν οὐ σφαλλομένων, ὅτ' ἂν ὁ Κύριος ἐν ταῖς τρίβοις αὐτοῦ καταρτίσῃ αὐτά· ὁ ταύτης τῆς αἰτήσεως τυχὼν, φησίν· « Ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα· » καὶ τὸ, « Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅτ' ἂν ἐπλάτυνας τὴν καρδίαν μου. »

Στ. ς', ζ', η'. « Ἐγὼ ἐκέκραξα, ὅτι εἰσήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ, καὶ εἰσάκουσον τῶν ῥημάτων μου· θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. » Τὸ, « κεκράξομαι, » πνευματικῶς ἀκουστέον· οὐ γὰρ γεγωνοτέρᾳ τῇ φωνῇ πρὸς τὸν ἀόρατον Θεὸν κεκραγέναι δεῖ, ἀλλ' ἐπιτεταμένῃ ψοήσει· αὕτη δὲ ἡ κραυγὴ τοῦ ἔσω ἀνθρώπου. Θαυμαστοῖ τὰ ἐλέη αὐτοῦ ἐπὶ τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν, ὅτ' ἂν παραδοξότερόν τι ἔχωσιν τὰ δι' εὐεργεσίαν ἐλέη γενόμενα· ὡς τοῦ Θεοῦ κλίνοντος πρὸς ἡμᾶς εἰσακούει τῶν ῥημάτων τῆς φωνῆς ἡμῶν, οὐκ ἄλλο τι τυγχάνον, ἢ ἡ συγκαταβαίνουσα δι' ἀγαθότητα δύναμις αὐτοῦ, ἐπὶ τῷ δέχεσθαι τοὺς ἡμετέρους λόγους. Εἰς τοῦτο λήψῃ τὸ, « Οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους· καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. » Τῆς δεξιᾶς τοῦ Θεοῦ οὐχ ἑτέρας οὔσης τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, ὡς καὶ μικρῷ πρότερον εἴρηται, ὅτε προέκειτο τὸ, « Τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος· » ἀνθιστάμενοι ταύτῃ διάβολος, καὶ οἱ τούτου ἄγγελοι, καὶ πρὸς τούτοις ἄνθρωποι γόητες καὶ πονηροὶ, ἀφ' ὧν ἀβλαβὴς διαμεῖναι ποθῶν ὁ ἅγιος λέγει τῷ Θεῷ· « Φύλαξόν με ἀπὸ τῶν ἀνθισταμένων τῇ σῇ δεξιᾷ, κατὰ τὴν ὀφθαλμοῦ μου κόρην, » ἵνα ἀβλαβὴς ὁ νοῦς μου διαμείνῃ· ἀλλὰ καὶ, « Ἐν σκέπῃ τῶν πτερύγων σου σκέπασόν με, » ἀπὸ προσώπου ἀσεβῶν τῶν περιβαλεῖν με ταλαιπωρίᾳ ποθούντων· δυνατὸν δὲ ἀσεβεῖς καὶ ἀνθεστηκότας τῇ δεξιᾷ τοῦ Θεοῦ, κατ' ἐπίνοιαν διαφόρους εἰπεῖν καθ' ὑποκείμενον τοὺς αὐτοὺς τυγχάνοντας. Οὐ παντὸς δὲ ἡ φωνὴ ἡ, « Φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ, » ἀλλὰ μόνου τοῦ πεφωτισμένου κατὰ τὴν ψυχὴν, ἔχοντος τοὺς ὀφθαλμοὺς τῆς καρδίας πεφωτισμένους. Τὸ δὲ, « Ἐν σκέπει τῶν πτε-

A iniquitatem aspexi in corde meo, non exaudiat me Dominus [15]. »

Vers. 4. Prædicare opera hominum agendi et vivendi, atque etiam loquendi ratione, abjectorum hominum est. Quæ autem sunt opera illa nisi de quibus Apostolus scribit : « Ubi enim lis et simultas in vobis, nonne homines estis et secundum hominem ambulatis [16] ? » Cavet igitur ne opera hominum loquatur, quippe cum in ipso non inventa sit iniquitas, et a Deo per tentationes et alia id genus quasi per ignem sit probatus.

καὶ διίστησιν ᾗ φησιν ὁ προφήτης· « Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου ῥύσασθαι; ἢ ἐβάρυνεν τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; Ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀναμέσον ὑμῶν καὶ τοῦ Θεοῦ. » Καὶ ὅτ' ἂν οὖν ἐν Θεῷ τις γένηται κολλώμενος αὐτῷ πρὸς αὐτὸν γινόμενος, ὑπερβαίνει τὸ τῶν ἁμαρτημάτων τεῖχος, εἰς νῶτον καὶ ὀπίσω αὐτὰ ῥίπτων, ἵνα μὴ ὑπὸ μηδενὸς διϊργόμενος (23) τοῦ Θεοῦ, προσβάλῃ αὐτῷ πρόσωπον πρὸς πρόσωπον. Τάχα δὲ καὶ ὁ τῶν σωματικῶν καὶ αἰσθητῶν ὄγκος, χωρῶν μεταξὺ τῆς νοήσεως ἡμῶν καὶ Θεοῦ, διαζεύγνυσιν ἡμᾶς αὐτοῦ. Ὅτ' ἂν οὖν ἐπιστημονικῶς κατὰ τὸ δυνατὸν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἀνωτέρω πάντων σωμάτων καὶ αἰσθήσεως αὐτὸν καταλάβωμεν ἐνωθῆναι αὐτῷ γλιχόμενοι, ἀναχωροῦμεν τῶν αἰσθητῶν καὶ σωμάτων, ὡς ὑπερπηδῆσαι τὸν κόσμον καὶ τὰ ὁρατὰ πάντα, ἵν' οὕτω τῷ Θεῷ παραστῆναι δυνηθῶμεν.

A est auris ejus ad non exaudiendum? sed peccata vestra medianum exstruxerunt parietem inter vos et Deum [48]. » At cum in Deo fit aliquis agglutinatus, et apud eum vivit, transgreditur peccatorum murum, istis post tergum abjectis, ut a nomine separatus a Deo, ad eum facie ad faciem perveniat. Brevi enim corporalium et sensibilium moles, nostram inter mentem et Deum grassata, nos ab eo disjungit. Quando igitur sapienter quantum possibile est de Deo cogitantes altius omnibus corporibus sensibusque eum suscipiamus, adunari illi peroptantes, discedimus a sensibus corporibusque, ita ut mundum visibiliaque omnia transiliamus, ut apud Deum ita valeamus pervenire.

Στ. λα'. Ὁ ἡμέτερος Θεὸς ἄμωμον ἔχει τὴν πρὸς αὐτὸν ἄγουσαν ὁδόν· αὕτη δέ ἐστιν ἡ ἀρετή, ἣν ὀδεύοντες διὰ μελέτης καὶ ἀσκήσεως, ἄμωμοι ἀποδειχθησόμεθα πρὸς αὐτὸν ἐρχόμενοι· μάλιστα δὲ ἄμωμος εἴη ὁδὸς Θεοῦ ὁ εἰπών· « Ἐγώ εἰμι ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. » Διὰ ταύτης γὰρ τῆς ὁδοῦ πρὸς τὸν Πατέρα ἐλθεῖν ἔστιν. « Τὸ λόγιον Κυρίου πεπυρωμένον, » τῷ ἄδολον καὶ καθαρὸν εἶναι, ἢ τῷ πῦρ εἶναι θερμαῖνον τοὺς μετέχοντας ἀναλίσκειν τὴν τῆς ὕλης ἀχυρμίαν. « Ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. » Οἱ ἐπιγνώμονες τῆς προσούσης αὐτοῖς ἀσθενείας, ὅτ' ἂν ἰσχυροτέρους φωράσωσι τοὺς προσπολεμοῦντας, ἐπὶ Θεὸν τὴν ἐλπίδα ῥίψαντες, ὑπέρμαχον ἔχειν αὐτὸν ἀξιοῦσιν, « Πολέμησον, » λέγοντες, « τοὺς πολεμοῦντάς με· » καὶ οὕτως Θεός, τῇ ἑαυτοῦ ἀσπίδι ὑπερμαχεῖ αὐτῶν· κατὰ τὸ, « Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. »

B Vers. 31. Deus noster immaculatam habet quæ ducit ad se viam. Illa autem est virtus, quam accurate et diligenter sequentes, immaculati apparebimus ad eum euntes: maxime vero immaculata esset via Dei dicens: « Ego sum via, et veritas, et vita [49]. » Per hanc enim viam ad Patrem eundum est. « Eloquium Domini accensum, » quia simplex et purum est, vel quia ignis est proxima quæcunque calefaciens, acervo ligni combusto. « Protector est omnium sperantium in eo. » Propriæ infirmitatis conscii, si quando valentiores deprehenderint adversarios, ad Deum spem suam conversi, propugnatorem sibi eum habere exoptant, « Expugna, » precantes, « expugnantes me [50]. » Atque ita Deus proprio clypeo pro eis pugnat, juxta illud: « Armis circumdabit te veritas ejus. »

C

Στ. λβ'. « Ὅτι τίς Θεὸς πάρεξ τοῦ Κυρίου; » Οὐδεὶς γὰρ ἀληθῶς Κύριος Θεὸς, πλὴν τοῦ Θεοῦ Λόγου, ὡς καὶ Μονογενὴς Θεὸς εἴρηται, διὰ τὸ μόνος εἶναι, ὡς ὁ Πατὴρ Θεός. Πάντες οἱ ἄλλοι παρουσίᾳ Θεοῦ Λόγου θεοὶ κατασκευάζονται· ἐκείνους γὰρ θεοὺς εἶπεν, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο. Ὁ δέ γε Σωτὴρ, οὐ μετέχων θεότητος, Θεός ἐστιν, ποιητικὸς ὢν θεῶν. « Καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; » Εἰπὼν μηδένα Θεὸν κυρίως εἶναι πλὴν τοῦ Κυρίου, λέγει μηδὲ θεὸν εἶναί τινα ὡς τὸν Θεὸν ἡμῶν. Οὐδεὶς γὰρ τῶν κατὰ μετοχὴν θεῶν ὡς ὁ Κύριος Ἰησοῦς Χριστὸς εἶναι δύναται· ἢ ὁ Θεὸς ἡμῶν, ὡς ὁ τοῦ Μονογενοῦς Πατήρ· ἡμῖν γὰρ εἷς Θεὸς ὁ Πατήρ· καὶ εἷς Κύριος Ἰησοῦς ὁ Χριστός. Εἰ δὲ καὶ ἐκ παραλλήλου οἱ δύο στίχοι εἰρῆσθαι δύνανται, καὶ αὐτὸς ἐπιστήσεις.

Vers. 32. « Quoniam quis Deus præter Dominum? » Nullus enim vere Dominus Deus, præter Dei Verbum, quod et Unigenitus Deus dicitur, cum unus sit sicut Pater Deus. Omnes alii præsentia Dei Verbi dii constituuntur; hos enim deos ait, ad quos Dei verbum factum est. Salvator quidem, non deitatis particeps, Deus est, quia fabricator deorum est. « Et quis Deus præter Deum nostrum? » Dicens nullum proprie Deum esse præter Dominum, dicit neque deum esse aliquem sicut Deum nostrum. Nullus enim eorum, qui participatione dii sunt, sicut Dominus Jesus Christus esse potest; vel Deus noster, sicut Unigeniti Pater; et unus Dominus Jesus Christus. Utrum illi duo versiculi paralleli sint, tu examinabis.

D

Στ. λγ'. Ἐνταῦθα « περιζωννύων με δυνάμιν » λέγεται· παρὰ δὲ Παύλῳ τὴν ἀλήθειαν περιζώννυνται οἱ τὴν πανοπλίαν τοῦ Θεοῦ ἐνδυσάμενοι· ἐξ οὗ συνάγεται, τὴν ἀλήθειαν εἶναι τὸν Χριστὸν τὴν Θεοῦ δύναμιν· φησὶ γὰρ ὁ Σωτήρ· « Ἐγώ εἰμι ἡ ἀλήθεια· » ὁ δὲ Παῦλος· « Χριστὸς Θεοῦ δύναμις. » Καὶ ἔθετο ἄμω-

Vers. 33. Hic « præcingens me virtute » dicitur. Apud Paulum veritatem præcinguntur, qui Dei armaturam induerunt: ex quo sequitur ut veritas sit Christus virtus Dei. Dicit enim Salvator: « Ego sum veritas [51]; » Paulus vero: « Christus Dei virtus [52]. » « Et posuit immaculatam viam meam, » id est ostendit.

[48] Isa. LIX, 1, 2. [49] Joan. XIV, 6. [50] Psal. XXXIV, 1. [51] Joan. XIV, 6. [52] I Cor. I, 24.

(23) Lege διειργόμενος.

Digitized by Google

Hic enim ponere *ostendere* significat, sicut et illud : Quem posuit hæredem omnium [43]. » Pulchre autem constat hoc versiculo ad Christi personam totum spectare psalmum. Qui hæc dicit, expurgatis omnibus serpentinis malitiis, perversisque potestatibus a Deo, interioris hominis pedes, id est ambulandi potestates, perfectos habet, ut possit dicere : « Sine iniquitate cucurri, et recte deambulavi [44]. » Cursuque super excelsa peracto, audiet a Deo : « Tu autem sta mecum [45]; » nam super excelsa stetisse, non ex seipso quivis, sed ex Deo habet.

A μον τὴν ὁδόν μου, » τοῦτ' ἔστιν ἀπέδειξεν· τὸ γὰρ, θεῖναι, νῦν τὸ ἀποδεῖξαι σημαίνει· ὥσπερ καὶ τὸ, « Ὃν ἔθηκε κληρονόμον πάντων. » Καλῶς δ' ἔχει καὶ ἀπὸ τούτου τοῦ στίχου ἐκ προσώπου Χριστοῦ τὸν ὅλον ψαλμὸν ἀπηγγέλθαι. Ὁ ταῦτα δὲ λέγων, ἀναιρήσας τὰς ὀφιώδεις κακίας, καὶ τὰς ἐνεργησάσας αὐτὰς πονηρὰς δυνάμεις ὑπὸ Θεοῦ, τοὺς τοῦ ἔσω ἀνθρώπου πόδας, τοῦτ' ἔστιν τὰς πορευτικὰς δυνάμεις, κατηρτισμένους ἔχει, ἵνα δυνηθῇ εἰπεῖν· « Ἄνευ ἀνομίας ἔδραμον, καὶ κατηύθυνα· » καὶ πληρώσας τὴν πορείαν ἐν τοῖς ὑψηλοῖς, ἀκούσεται πρὸς τοῦ Θεοῦ· « Σὺ δὲ αὐτὸς στῆθι μετ' ἐμοῦ· » καὶ τὸ ἑστάναι δ' ἐν τοῖς ὑψηλοῖς, οὐκ ἐξ ἑαυτοῦ τις, ἀλλ' ἐκ τοῦ Θεοῦ ἔχει.

Vers. 35. « Qui docet manus meas ad prælium. » Quemadmodum cætera pulchra, sic et contra adversarias potestates bellare a Deo docemur; manus B enim animæ activas ejus vires significant; quæ quidem, si prudenter intellexerimus, intelligibilem clypeum, et gladium spiritus, et quæcunque spiritalia arma ostendunt, necnon quomodo iis utendum sit docent. Etenim Salvator homo factus, pro nobis prælians, adversam contra potestatem luctari atque decertare nos docuit. Et in oratione, ait, manus extendens hostium victor fio. « Et posuit ut arcum æreum brachia mea, docens manus meas ad prælium. » Symbolice brachia appellatas, æreum posuit arcum; per æreum, invulnerabile et validum designat. Per arcum vero, emitti tela brachiis nostris, quæ adversarios vulnerare valent.

Στ. λε'. « Διδάσκων χεῖράς μου εἰς πόλεμον. » Ὥσπερ τὰ ἄλλα καλὰ, οὕτω καὶ τὸ πολεμεῖν πρὸς τὰς ἀντικειμένας δυνάμεις πρὸς τοῦ Θεοῦ διδασκόμεθα· τὰς γὰρ χεῖρας τῆς ψυχῆς, λέγω δὴ τὰς δραστηρίους αὐτοῦ δυνάμεις τυποῖ· ὥστ' ἐπιστημονικῶς κατέχειν τὴν νοητὴν ἀσπίδα καὶ τὴν μάχαιραν τοῦ πνεύματος, καὶ ἄλλα ὅσα πνευματικὰ ἀμυντήρια, καὶ τὸ πῶς χρῆσθαι δεῖ τοῖς τοιούτοις παιδεύων. Ἀλλὰ γὰρ καὶ ὁ Σωτὴρ ἄνθρωπος γενόμενος ὑπὲρ ἡμῶν πολεμήσας, ἐδίδαξεν ἡμᾶς καταπαλαίειν καὶ καταπολεμεῖν τὴν ἀντικειμένην δύναμιν. Καὶ εἰς εὐχὴν δὲ, φησὶ, τὰς χεῖρας ἐκτείνων περιγίνομαι τῶν δυσμενῶν. « Καὶ ἔθετο τόξον χαλκοῦν τοὺς βραχίονάς μου, διδάξας τὰς χεῖράς μου εἰς πόλεμον. » Συμβολικῶς βραχίονας ὀνομαζομένας, χαλκοῦν ἔθετο τόξον· διὰ μὲν τοῦ χαλκοῦ τὸ ἄτρωτον ἢ εὔτονον παριστάς· διὰ δὲ τοῦ τόξου, τὸ ἀπολύεσθαι βέλη ἀπὸ τῶν βραχιόνων τῶν ἡμετέρων, τρῶσαι δυνάμενα τοὺς ἀντιτεταγμένους.

Vers. 36. « Et dedisti mihi protectionem salutis C tuæ. » Præter hæc omnia et protectionem salutis mihi dedisti, Filium tuum mittens proprio clypeo pro me prælaturum. « Sed et disciplina tua, ait, correxit me in finem; » doctrina scilicet, et correptio, et operosa agendi ratio. « In finem, » id est in perfectam restitutionem et in perfectum statum duxit me; disciplina enim correptionem indicat, sicut in istis : « Suscipe disciplinam meam, nec dimitte [46]; » necnon operosam, propter illud : « Ne parvi facias disciplinam Domini [47]; » ipsa autem utroque modo disciplina tua, magistra mihi bonorum facta est. Symmachus quidem edidit : « Obedientia mea augebit me; » Aquila vero : « Et mansuetudo tua multiplicavit me. »

Στ. λς'. « Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας. » Πρὸς τούτοις ἅπασιν καὶ ὑπερασπισμὸν σωτηρίας μοι δέδωκας, τὸν σὸν Υἱὸν καταπέμψας τῇ ἰδίᾳ ἀσπίδι ὑπὲρ ἐμοῦ μαχησόμενον. « Ἀλλὰ καὶ ἡ παιδεία σου, » φησὶν, « ἀνώρθωσέν με εἰς τέλος· » ἤτοι ἡ παιδευτικὴ διδασκαλία, καὶ ἡ ἐπίπονος ἀγωγή. « Εἰς τέλος δὲ, » τοῦτ' ἔστιν εἰς τελείαν ἀνάστασιν καὶ στάσιν με ἤγαγεν· ἡ γὰρ παιδεία σημαίνει τὴν παιδευτικήν· ὡς ἐν τῷ, « Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς· » ἀλλὰ καὶ τὴν ἐπίπονον, διὰ τοῦ, « Μὴ ὀλιγώρει παιδείας Κυρίου. » Αὕτη δὲ ἡ ἑκατέρως παιδεία σου, διδάσκαλος τῶν καλῶν μοι γεγένηται. Σύμμαχος δὲ ἐξέδωκεν· « Καὶ τὸ ὑπακούειν με αὐξήσει με· » ὁ δὲ Ἀκύλας· « Καὶ πραότης σου ἐπλήθυνέ με. »

Vers. 37. « Dilatasti gressus meos subtus me. » Gressus, prout ex improbitate in virtutem, e sensibilibus in spiritalia, atque e præsente in venturum tempus incedo. « Dilatasti subtus me. » Primo enim angusta et operosa quæ videbantur, tritam incedens per viam, progressusque hæc omnia superata quasi dilatata intuitus sum. Qui enim ad fastigium pervenit, cum ad finem properat, non jam sentit angustias, nec laborem, nec sudores ascensus in laxiore via progrediens. « Et non sunt infirmata vestigia mea; » si continenter in omni esse perse-

D Στ. λζ'. « Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου. » Τὰ διαβήματα, καθὸ ἐκ κακίας εἰς ἀρετὴν, καὶ ἐξ αἰσθητῶν ἐπὶ νοητὰ, καὶ ἀπὸ τοῦ παρόντος εἰς τὸν μέλλοντα αἰῶνα διαβαίνω. « Ἐπλάτυνας ὑποκάτω μου· » κατ' ἀρχὰς γὰρ στενὰ καὶ ἐπίπονα φαινόμενα, τῷ τὴν τεθλιμμένην ὁδεύειν ὁδὸν, ὑπεράνω αὐτῶν τῇ προκοπῇ γεγενημένος, πλατυνθέντα αὐτὰ ἐθεασάμην. Ὁ γὰρ ἀνωτέρω τῶν προκοπῶν γεγενημένος, τῷ ἐπὶ τέλος ἐφθακέναι, οὐκέτι αἴσθεται τῆς στενότητος τῶν πόνων καὶ ἱδρώτων τῶν ἐπὶ ταῖς προκοπαῖς, ἐν εὐρυχωρίᾳ γεγενημένος. « Καὶ οὐκ ἠσθέ-

[43] Hebr. I, 2. [44] Psal. LVIII, 5. [45] Exod. XXXIV, 2. [46] Prov. IV, 13. [47] Prov. III, 11.

Digitized by Google

νησε τὰ ἴχνη μου. » Εἰ διηνεκῶς ἐν τῷ πᾶν εἶναι ἐτέλουν, κἂν ἠσθένησε τὰ ἴχνη μου, τοῦτ' ἔστιν τοῦ ἔσω ἀνθρώπου τὰ σκέλη· ἐπειδὴ δὲ μετὰ τοὺς ὑπὲρ ἀρετῆς καμάτους ἀνάπαυλα διαδέχεται, οὐκ ἀσθενεῖ, ἀλλ' ἰσχυροποιεῖται τὰ ἴχνη μου· ὥστ' ἂν εἴποιμι· « Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου· » ἀλλὰ καὶ ὁ Ἰησοῦ ἑπόμενος ἐπακολουθεῖ τοῖς ἴχνεσιν αὐτοῦ, ἐξ αὐτοῦ τοῦ πατεῖν τὴν τετριμμένην ὑπὸ Ἰησοῦ ὁδὸν ἰσχυρὰ κτᾶται τὰ ἴδια ἴχνη, ὡς ἔργῳ φάναι· « Οὐκ ἠσθένησε τὰ ἴχνη μου. »

Στ. λη', λθ'. Διὰ μυρίων συνεργηθεὶς ὑπὸ Θεοῦ, θάρσος ἀνέλαβεν καταδιῶξαι τοὺς ἐχθρούς· τῆς δὲ καταδιώξεως τέλος ἡ ἐκείνων εἰς τέλος ἔκλειψις· οὐ γὰρ κόπος οὔτε φόβος μοι ἐνεπόδισεν. « Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι. » Φειδόμενος τῶν ἐχθραινόντων, ἐκθλίβει αὐτούς, ὅπως μὴ βέβαιοι καὶ ἀμετακίνητοι ἐν τῇ ἔχθρᾳ γένωνται. Οὐ γὰρ ἀπολέσαι αὐτοὺς προελόμενος, θλίψει περιβαλεῖ, ἀλλ' ἵνα σισθηθέντες οἱ (24) κακῶν εἰσιν, παύσωνται τῆς φιλέχθρου προαιρέσεως. « Πεσοῦνται ὑπὸ τοὺς πόδας μου. » Τὸ πεσεῖν τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας τοῦ ἁγίου οὐκ ἄλλο τι σημαίνει ἢ ὑποταγὴν τῶν διαφορῶν· ὡς γὰρ φαῦλον τὸ ἐν τῇ χειρίστῃ ἕξει, ἀρχὴ σωτηρίας τὸ πεσεῖν· πεσὼν γάρ τις ἀπ' αὐτῆς οὐκέτι ἀντιτείνει.

Στ. μ'-μβ'. Πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ συνεπόδισας, οὐκ ἐπιτρέπων αὐτοῖς ἔμπροσθεν τῆς κακίας ἐλαύνειν· κωλυθέντες γὰρ τῆς ἐπὶ τὸ κακὸν ὁρμῆς ὑποκάτω μου γενήσονται, οὐκέτι διάφορόν με λογιζόμενοι, ἀλλ' ἄρχοντα καὶ κεφαλὴν αὐτῶν. Οὕτω γὰρ ἀντὶ μισούντων γένοιντο φίλοι· οὐ γὰρ κατὰ τὴν οὐσίαν, ἀλλὰ καθ' ὃ μισοῦσιν ἀπώλοντο. Θεοῦ γὰρ ἀγαθοῦ τὸ κακὸν ἀφανίζειν, ἀλλ' οὐ τὴν οὐσίαν ἢ συμβέβηκεν τοῦτο. Φησὶ γὰρ πρός τινας· « Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, τῷ τὰς χεῖρας ὑμῶν, » τοῦτ' ἔστι τὰς πράξεις, « φονικὰς καὶ πλήρεις αἵματος εἶναι. »

Στ. μγ', μδ'. « Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. » Τούτους τοὺς περὶ ὧν ὁ λόγος παχυνθέντας τῷ τὰ ἐπίγεια φρονεῖν καὶ ὑλικοὺς γεγενημένους, φοροῦντας τὴν εἰκόνα τοῦ χοϊκοῦ, λεπτυνῶ διὰ προτροπῶν, νουθεσιῶν, ἀπειλῶν, ἐπιπόνου ἀγωγῆς, ἵν' ὡς χοῦς γεγενημένοι κατὰ πρόσωπον τοῦ θείου Πνεύματος, ἀνέμου τροπικῶς ὀνομαζομένου, ἅπαν τὸ χοϊκὸν διαῤῥιφὲν ὑπ' αὐτῶν ὑπὸ τῆς πνοῆς τοῦ πνεύματος, καθαρὸν παντὸς χοῦ τὸ ὑποκείμενον αὐτῶν ἐάσῃ, ὡς συμβεβήκει χοϊκῷ εἶναι. Εἶεν δὲ καὶ ἑκουσίως ἐπὶ τοῦτο καλούμενοι. Οἷς φησιν ὡς πρὸς ὅλην πόλιν ὁ Κύριος· « Ἐκτινάξαι τὸν χοῦν σου, Ἰερουσαλήμ. » Αὐτοὺς δὲ τούτους καὶ ὡς πηλὸν πλατειῶν λεανεῖ ἤτοι ὁ Κύριος, ἢ ὁ μιμητὴς αὐτοῦ δίκαιος. Λεανώμενος δὲ οὕτως ὁ πηλὸς δυνήσεται ἄγγος ὀστράκινον γενέσθαι, χρησιμεῦον ἐν τῇ μεγάλῃ οἰκίᾳ, ἐν ᾗ χρυσᾶ καὶ ἀργυρᾶ καὶ ξύλινα καὶ ὀστράκινα

A verarem, etsi infirmarentur vestigia mea, id est interioris hominis crura; quando enim post susceptos virtutis causa labores requies datur, non infirmantur, sed validiora fiunt vestigia mea, ita ut dicere queam: « Statuisti in latitudine pedes meos [48]. » Jesu quoque comes ejus vestigia sequitur, viamque proculcans a Jesu tritam, validiora sibi parat vestigia, ita ut reipsa dicendum sit: « Non sunt infirmata vestigia mea. »

Vers. 38, 39. A Deo mille modis adjutus, confidit ad persequendos hostes; nec persecutionis finis, nisi eorum in finem eversio; neque enim lassitudo, neque timor mihi erunt impedimento. « Confringam illos, nec poterunt stare. » Cavens ab iis qui ipsum B oderunt, confringet illos, ut neque firmi, neque immoti in odio suo permaneant. Non enim interimere eos quærens tribulatione circumdabit eos, sed ut quo miseriarum inciderint animadvertentes, invisa abstineant agendi ratione. « Cadent subtus pedes meos. » Cadere hostes sub pedibus sancti, nihil nisi dissidentium obsequium indicat; namque sicut turpe est in pessima sorte versari, principium salutis cadere; qui enim ab ea quasi cadit, jam non resistit.

Vers. 40-42. Supplantatis omnibus qui insurrexerant in me, non dimittis eos donec omnem abjecerint nequitiam; ab iniquitatis via deterriti, subtus me fient, non quidquam a me diversum eloquentes, sed me quasi ducem caputque habentes. C Sic enim ex osoribus amici fient: non enim secundum essentiam, sed secundum id quod oderunt, interibant. Dei enim boni est malum abolere, non autem essentiam cui accidit illud. Ait enim ad nonnullos: « Etsi multiplicaveritis preces vestras, non exaudiam vos, quoniam manus vestræ, » scilicet actus, « homicidæ sunt cruorisque plenæ. »

Vers. 43, 44. « Et comminuam eos ut pulverem ante faciem venti; ut lutum platearum delebo eos. » Illos, de quibus hic mentio est, terrestrium et carnalium meditatione quasi pinguiores factos, limi imaginem ferentes, comminuam per increpationes, admonitiones, minas, vitamque laboriosam, ut quasi pulvis facti ante faciem divini Spiritus, venti allegorice vocati, limus omnis circum eos illitus Spiritus halitu, omnis pulveris puros eos relinquat, quibus contigit limo esse. Sint autem et libenter ad hoc vocati. Quibus ait sicut ad urbem totam Dominus: « Excute pulverem tuum, Jerusalem [49]. » Illos vero quasi lutum platearum delet sive Dominus, sive imitator ejus justus. Deletum autem ita lutum poterit vas fictile fieri, in magna domo utile, in qua aurea, et argentea, et lignea, et fictilia vasa sunt [50]. Cum vero aurea et argentea in honorem, lignea vero fictiliaque in dedecus [51], qui seipsum

[48] Psal. xxx, 9. [49] Isa. lii, 2. [50] II Tim. ii, 20. [51] Ibid.

(24) Ita o^m^.

Digitized by Google

ex istis purificaverit, vas fiet honoris sanctificatum magnique commodi Domino in omne bonum opus paratum. Illos qui sunt adhuc lutum platearum, id est volutabrum voluptatum cupiditatumque, solvit omni passionum asperitate. Qui hæc dicit lævitatem delendo efficiens, eos vasa fictilia faciet, ut libero motu seipsos purificent, vasaque fiant in honorem aurea vel argentea; sicut enim se ipsos nonnulli ex aureis et argenteis vasa fictilia facta sunt: « Filii enim Sion honoratissimi, superbientes argento, quomodo annumerati sunt inter fictilia vasa, figuli opera facientes [52]? » Sic enim sua ipsorum voluntate e fictilibus aurea vel argentea fient.

σκεύη ἐστίν. Ἀλλ' ἐπεὶ τὰ μὲν χρυσᾶ καὶ ἀργυρᾶ εἰς τιμὴν, τὰ δὲ ξύλινα καὶ ὀστράκινα εἰς ἀτιμίαν ἐστὶν, ὁ ἐκκαθαίρων ἑαυτὸν ἀπὸ τούτων γίνεται σκεῦος τιμῆς ἡγιασμένον, καὶ εὔχρηστον τῷ Δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον, τοὺς ὄντας τέως πηλὸν πλατειῶν τοῦτ' ἔστι βόρβορον ἡδονῶν καὶ ἐπιθυμιῶν, ἀπαλλάττων πάσης τραχύτητος τῆς ἀπὸ τῶν παθῶν. Ὁ ταῦτα λέγων, ὁμαλότητα διὰ τοῦ λεαίνειν ἐμποιῶν, αὐτοὺς σκεύη ὀστράκινα ποιήσει, ἵν' αὐθαιρέτῳ ὁρμῇ ἑαυτοὺς ἐκκαθάρωσιν ὡς εἰς τιμὴν σκεύη γεγενῆσθαι χρύσεα ἢ ἀργύρεα· ὡς γὰρ ἑαυτούς τινες ἐκ χρυσῶν καὶ ἀργυρῶν σκεύη ὀστράκινα γεγόνασιν. « Υἱοὶ γὰρ Σιὼν οἱ τίμιοι ἐπηρμένοι ἀργυρίῳ, πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως; » Οὕτω γὰρ οἰκείας προαιρέσεως ἐξ ὀστρακίνων χρυσᾶ ἢ ἀργυρᾶ γενήσονται.

Vers. 45. Duplex cognitionis hic ostenditur genus: prius quidem simpliciter cognoscere, posterius autem cognoscentem cognito adunari miscerique significat. Juxta primum omnes cognoscit Deus, et non diligentes solos. Etenim ad improbos Salvator dixit: « Vos estis justificantes vosmetipsos coram hominibus: Deus autem cognoscit corda vestra [53]. » Atque in propheta: « Quoniam cognovi omnes iniquitates vestras [54]. » Juxta autem secundum solos justos novisse dicitur. « Novit enim Dominus qui ipsius sunt [55]; » improbos vero ignorat. Aitque ad illos Salvator: « Recedite a me, operarii iniquitatis, nunquam vos cognovi [56]. » Atque gentilium populus, ignotus Salvatori, cum idola et dæmonia coleret, cæteramque omnem ageret iniquitatem, pœnitentia conversus, ad Christi cultum perductus est. Optime igitur dictum est, « Quem non cognovi. » Non enim dixit: Populus quem non cognosco servivit mihi; quandiu inique facit, non cognoscitur. Qui autem a peccatis abstinet, prius quidem ignotus, nunc vero cognoscitur. Ad quæ spectant hæc apostolica dicta: « Sed tunc ignorantes Deum, serviebatis illis qui non sunt natura dii; nunc vero cognoscentes Deum, vel potius a Deo cogniti [57]. » Cum enim ignorarent Deum, ignorabantur ab eo; cognoscentes autem eum ab eo cogniti sunt. Forsan vero videtur quibusdam supervacuum esse quod additur, « In auditu auris audivit mihi, » quia omnis audiens aure audit. Non autem supervacue, neque redundanter superadditur auris, cum omnis Deo audiens non humano mortalique utatur auditu, sed aure divina, quæ ei superadditur; addidit enim mihi aurem audiendi.

Στ. με'. Διττοῦ δὲ τοῦ τῆς γνώσεως ὀνόματος σημαινομένου, δηλοῖ ὁτὲ μὲν τὸ ἐπίστασθαι, ὁτὲ δὲ τὸ ἡνῶσθαι καὶ ἀνακεκρᾶσθαι τὸν γινώσκοντα τῷ γινωσκομένῳ. Κατὰ τὸ πρότερον σημαινόμενον, πάντας γινώσκει ὁ Θεὸς, καὶ οὐ τοὺς σπουδαίους μόνους. Πρὸς γὰρ τοὺς φαύλους ὁ Σωτὴρ εἶπεν· « Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἔμπροσθεν τῶν ἀνθρώπων· ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν. » Καὶ ἐν τῷ προφήτῃ· « Διότι ἔγνων πάσας τὰς ἁμαρτίας ὑμῶν. » Κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, μόνους τοὺς δικαίους εἰδέναι λέγεται· « Ἔγνω γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ· » τοὺς δὲ φαύλους ἠγνόει. Ἦ φησιν πρὸς αὐτοὺς ὁ Σωτήρ· « Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται ἀνομίας, οὐδέποτε ἔγνων ὑμᾶς. » Καὶ ὁ ἀπὸ τῶν ἐθνῶν οὖν λαὸς μὴ γινωσκόμενος ὑπὸ τοῦ Σωτῆρος ὅτε εἴδωλα καὶ δαιμόνια ἐθεράπευσεν, καὶ τὴν ἄλλην ἅπασαν ἔπραττεν κακίαν, μεταβαλὼν διὰ μετανοίας, δουλεύειν τῷ Χριστῷ προσελήλυθεν. Εὖ δὲ καὶ τὸ εἰπεῖν· « Ὃν οὐκ ἔγνων. » Οὐ γὰρ εἶπεν, Λαὸς ὃν οὐ γινώσκω ἐδούλευσέν μοι. Ὁ γὰρ ἔτι τὰ τῆς κακίας ἐνεργῶν οὐ γινώσκεται. Ὁ δὲ παυσάμενος τῶν ἁμαρτημάτων, οὐκ ἐγνώσθη μὲν πρότερον, γινώσκεται δὲ νῦν. Τούτοις συνᾴδει τὸ ἀποστολικὸν φάσκον· « Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσιν θεοῖς· νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ. » Ὅτε γὰρ ἠγνόουν Θεὸν, ἠγνοοῦντο ὑπ' αὐτοῦ· γνόντες δὲ αὐτὸν, ἐγνώσθησαν ὑπ' αὐτοῦ· ἴσως δὲ δόξειέν τισιν παρεῖκον εἶναι τὸ εἰρημένον, « Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι, » τῷ πάντα τὸν ὑπακούοντα ὠτίῳ ὑπακούειν. Οὐ παρελκόντως δὲ, οὐδὲ περιττῶς πρόσκειται τὸ ὠτίον, τῷ πάντα τὸν ὑπακούοντα τῷ Θεῷ μὴ ἀνθρωπίνῃ καὶ θνητῇ ἀκοῇ χρᾶσθαι, ἀλλ' ὠτίῳ θείῳ, ἐκ προσθήκης τῷ ἔχοντι παραγινομένῳ· προσέθηκεν γάρ μοι ὠτίον ἀκούειν.

Vers. 46. « Filii alieni inveteraverunt, » et quæ sequuntur. Bonorum initium et fons cum Deus sit, pater fit benefacientium; et quotcunque recte agunt, hi proprii filii Dei sunt, participes unigeniti ejus Filii; si vero declinant, contraria patientur, id est malo alienabuntur a Deo; congruam vim habet inveterare. Communicantes enim cum virtute, præclara et intemerata sapientia et perpetua juventute flo-

Στ. μς'. « Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, » καὶ τὰ ἑξῆς. Τῶν ἀγαθῶν ἀρχὴ καὶ πηγὴ τυγχάνων ὁ Θεὸς πατὴρ γίνεται τῶν ἀγαθοεργούντων· καὶ ὅσον ἐν τῷ ποιεῖν τὰ δέοντα τυγχάνουσιν οὗτοι ἴδιοι υἱοὶ τοῦ Θεοῦ μετέχοντες τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ. Εἰ δὲ ἀπροσεκτήσαντες, τῶν ἐναντίων μεθέξουσιν, ταῦτα δ' ἐστὶν τὰ κακὰ, ἀλλοτριωθεῖεν Θεοῦ· οἷς ἀκολουθήσει καὶ τὸ, παλαιωθῆναι. Κοινωνοῦντες γὰρ τῇ ἀρετῇ,

[52] Thren. IV, 2. [53] Luc. XVI, 15. [54] Isa. LXV, 3. [55] II Tim. II, 19. [56] Luc. XIII, 27. [57] Galat. IV, 8, 9.

Digitized by Google

λαμπρᾷ καὶ ἀμαράντῳ σοφίᾳ καὶ ἀγήρῳ ἀεὶ νεάζοντες ἐτύγχανον· μεταπεσόντες δὲ εἰς τὴν κακίαν, παλαιωθεῖεν ὑπὸ τῆς φθορᾶς αὐτῶν, ἵν' οὕτως εἴπω, τριβακούμενοι. Καὶ ἔτι ἐπεὶ περὶ Ἰουδαίων ἐστὶν ὁ στίχος· οὗτοι δὲ παρακάθηνται τῇ παλαιότητι τοῦ γράμματος, οὐδὲ κατὰ ποσὸν ἔπεσθαι τῇ καινότητι τοῦ πνεύματος ἀνεχόμενοι, « Υἱοὶ ἀλλότριοι καὶ πεπαλαιωμένοι γεγένηνται. » Οὗτοι δὲ καὶ ἐπαμφοτερισταὶ καὶ δίψυχοι γεγενημένοι, χωλεύειν ἀπὸ τῶν σφῶν τρίβων λέγονται. Τὸ γὰρ ἐπαμφοτερίζειν, χωλεύειν Ἠλίας εἶπεν φάσκων· « Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ἰγνύαις ; Εἰ ἔστιν Κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ. » Καὶ τάχα πᾶς ὁ τὴν θείαν Γραφὴν προσηκάμενος, μὴ ὡς δεῖ διανοούμενος αὐτὴν, χωλεύειν ἐν αὐτῇ λέγεται· τοῦ μὴ παραδεξαμένου αὐτὴν, μήτε βαδίζοντος, μήτε χωλεύοντος ἐν αὐτῇ.

A rent ; qui vero in iniquitatem inciderunt, propria corruptione inveterabunt, et, ut ita dicam, obsolescent. Spectat etiam ad Judæos hic versiculus ; isti enim litteræ vetustati serviunt, nec spiritus novitatem sequi valentes, « Filii alieni et inveterati facti sunt. » Isti autem ancipites et consilii ambigui, claudicare a semitis suis dicuntur. Ambigere enim claudicare Elias vocavit dicens : « Quousque claudicabitis utroque poplite ? Si est Dominus, eum sequamini [59]. » Etenim quicunque accepta divina Scriptura non eam ut decet interpretatur, claudicare in ea dicitur ; qui autem non accepit eam, neque ambulat, neque claudicat in ea.

Στ. μζ'. « Ζῇ Κύριος καὶ εὐλογητὸς ὁ Θεός. » Λέγεται ζῆν ὁ Θεὸς, οὐ ζωῆς μεταλαμβάνων, ἀλλὰ ταύτην παρέχων. Καὶ αὐτὸς γοῦν περὶ ἑαυτοῦ πολλάκις τὸ, « Ζῶ ἐγὼ, λέγει Κύριος, » φησὶν· ἀλλὰ καὶ ὁ Σωτὴρ φάσκων, « Καθὼς ἀπέστειλέν με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, » παρίστησιν, ὅτι ζῇ, οὐ κοινωνίᾳ ζωῆς· αὐτὸς γάρ ἐστιν ἡ ζωή. Ἐξ οὗ συνάγεται ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱόν. Εἰ γὰρ ζωὴ ὁ Υἱὸς, οὐ μετουσία ζωῆς, ἀλλὰ ζωοποιῶν αὐτὸς τοὺς μετέχοντας αὐτοῦ. Ζῇ δὲ καὶ ὁ Πατὴρ χορηγῶν ζωὴν κατὰ τὰ αὐτὰ τῷ Υἱῷ, τῆς αὐτῆς ἐνεργείας ἀποδιδομένης πρὸς Πατρὸς καὶ Υἱοῦ. Ἡ αὐτὴ εἰη Πατρὸς καὶ Υἱοῦ οὐσία· καὶ αὕτη δὲ ἡ λέξις τοῦτο παρίστησιν. « Ζῶν, » φησὶν, « ὁ Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, » ὡς εἰ ἔλεγεν, διὰ τὸ τοιοῦτον ἔχειν Πατέρα, ὃς κατ' οὐσίαν ζῇ. Καὶ αὐτὸς ζῶν ὑπάρχει, αὐτὸς ὁ ζῶν Θεὸς καὶ εὐλογητός ἐστιν, εὐλογήσας τοὺς ἁγίους ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις. Ῥηθείη ἂν εὐλογητὸς, τῷ πᾶσαν εὐλογίαν περὶ αὐτὸν εἶναι. Πᾶν γὰρ τὸ περὶ αὐτοῦ λεγόμενον καὶ φρονούμενον, καὶ εὐλόγως λέγεται καὶ φρονεῖται. « Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου. » Ὁ τῆς σωτηρίας μου Θεὸς ὑψοῦται, αἴσθησίν μου λαβόντος τοῦ μεγέθους αὐτοῦ· ὧν γὰρ μεγάλα τὰ ἔργα, καὶ αὐτοὶ μεγάλοι. Ἐπεὶ οὖν ὑψηλὸν ἔργον ἡ σωτηρία τοῦ λογικοῦ ζώου, ἀνάγκη ὑψηλὸν εἶναι τὸν ταύτης αἴτιον· ὑψοῦται δὲ Θεὸς οὐκ ἐκ ταπεινοῦ τόπου εἰς ὑψηλὸν μεταβάλλων, ἀλλ' ἡμῶν μεγάλα περὶ αὐτοῦ φρονεῖν διεγνωκότων.

B Vers. 47. « Vivit Dominus et benedictus Deus. » Dicitur vivere Deus, non vitam accipiens, sed præstans. Et ipse igitur de se ipso sæpe : « Vivo ego, dicit Dominus [60], » ait. Salvator autem dicens, « Sicut misit me vivens Pater, et ego vivo per Patrem [61], » se ostendit vivere, non vitæ communicatione : ipse enim est vita. Ex quo sequitur consubstantialem esse Patri Filium. Si enim vita Filius, non est participatio vitæ, sed vivificans ipse sui particeps. Vivit autem et Pater eodem modo vitam impertiens quo Filius, eadem virtute de Patre pariter ac Filio emanante. Eamdem igitur esse Patris et Filii substantiam, hoc constat versiculo : « Vivens, » ait, « Pater, et ego vivo per Patrem ; » quasi diceret, propterea quod talem habeat Patrem, qui secundum substantiam C vivat. Et ipse vivens est, ipse vivens Deus et benedictus est, sanctis benedicens in omni spirituali benedictione in cœlis. Vocatus est benedictus, quia de ipso est omnis benedictio. Quodcunque enim de eo dicitur et cogitatur, in benedictionem dicitur cogitaturque. « Et exaltetur Deus salutis meæ. » Salutis meæ Deus exaltatur, cum sensum accipio magnitudinis ejus ; quorum enim magna opera, magni et ipsi. Cum igitur excelsum opus sit salus rationalis animantis, necesse est excelsum esse ejus auctorem. Exaltatur vero Deus non ex humili loco in excelsum provectus, sed cum magna de ipso cogitare conamur.

Στ. ν', να'. Ἤτοι γὰρ εὐχαριστῶν ὑπὲρ τῆς τούτων προκοπῆς καὶ σωτηρίας, ἐξομολογεῖται· ἢ τας ἁμαρτίας αὐτῶν εἰς ἑαυτὸν ἀναδεξάμενος, τῆς μετανοίας αὐτῶν πρεσβευτὴς γινόμενος. Ἀμφότερα γὰρ σημαίνει, « Ἐξομολογήσομαί σοι, » φωνή· ἀλλὰ καὶ ψάλλει ὀνόματι τοῦ Πατρὸς ὁ Υἱὸς, πάντα ἐργαζόμενος κατὰ τὸ θέλημα τοῦ Πατρός. « Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ. » Τὰς σωτηρίας; τοῦ βασιλέως Χριστοῦ μεγαλύνων ὁ Πατὴρ, οὐχ ἃς αὐτὸς ὁ Βασιλεὺς σώζεται, ἀλλ' ἃς παρέχει τοῖς πρὸς αὐτοῦ σωζομένοις. Θεοῦ δέ ἐστιν ὁ βασιλεὺς, οὐχ ὡς αὐτοῦ τοῦ Θεοῦ βασιλεύων, ἀλλὰ τῶν τῷ Θεῷ ἀνακειμένων· καὶ γὰρ τὸν ἄρχοντα ὁτὲ μὲν τῶν ἀρχομένων εἶναι λέγομεν, ὡς ἡγούμενον αὐτῶν, ὁτὲ δὲ τοῦ βασιλέως ἄρχοντα κατὰ τοὺς νόμους αὐτοῦ.

D Vers. 50, 51. Profecto enim gratias agens pro illorum incrementis et salute, confitetur ei ; vel illorum delicta in seipsum accipiens, pœnitentiæ eorum deprecator factus. Utrumque enim indicat « Confitebor tibi » vox ; sed et psalmum dicit nomini Patris Filius omnia secundum Patris voluntatem agens. « Magnificans salutes regis ejus. » Salutes regis Christi magnificans Pater, non secundum quas ipse Rex salvatur, sed quas a se ipso salvatis præbet. Dei autem est Rex, non super ipsum Deum regnans, sed super Deo devotos ; etenim ducem nunc quidem subditos quasi dirigere dicimus, nunc vero regis ducem secundum leges ejus.

[59] III Reg. XVIII, 21. [60] Num. XIV, 28 sqq. [61] Joan VI, 58.

Digitized by Google

Vers. 51. « Et faciens misericordias Christo suo. » Misericordias Christo facit, miseratus Christo subditos, quibus præest ut sacerdos atque rex ; sacerdotium enim et regnum significat « Christus » vox. « David et semini ejus usque in sæculum. » Siquidem de David, id est de quolibet, hæc dicuntur, ostendunt miserantem Deum practicos homines, et promptos in agendo, et si qui semen sunt eorum, doctrina et imitatione eorum vitæ. Quam vero facit illis misericordiam, non temporaria, neque in breve tempus est, sed usque in sæculum. Si autem de Deo vere David sermo est, « Suscitabo » enim « vobis pastorem unum servum meum David [61], » æternam ei misericordiam facit et semini ejus, propterea quod chrisma et sacerdotium ejus deleri non potest ; abrogato enim vetere sacerdotio, inviolabile est Christi sacerdotium.

Στ. να'. « Καὶ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτοῦ. » Ἔλεος ποιεῖ τῷ Χριστῷ, ἐλεῶν τοὺς ὑπὸ Χριστὸν, ὑπὲρ ὧν ἱεράται, καὶ ὧν βασιλεύει· ἱερέα γὰρ καὶ βασιλέα σημαίνει ἡ, « Χριστὸς, » φωνή. « Τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. » Εἰ μὲν περὶ τοῦ Δαβὶδ, τουτέστι παντὸς ἱκανοῦ τῇ χειρὶ, εἴη ἡ λέξις, δηλοῖ ἐλεοῦντα τὸν Θεὸν τοὺς πρακτικοὺς ἄνδρας, ἱκανοὺς ὄντας ἐν ταῖς ἐνεργείαις, καὶ εἴ τινες σπέρμα αὐτῶν τυγχάνουσιν, ἐκ διδασκαλίας καὶ μιμήσεως τοῦ σφῶν βίου. Ὃν δὲ ποιεῖ τούτοις ἔλεον, οὐ πρόσκαιρος καὶ πρὸς ὀλίγον ἐστὶν, ἀλλ' ἕως αἰῶνος. Εἰ δὲ περὶ Θεοῦ τοῦ ἀληθῶς Δαυὶδ ὁ λόγος, « Ἀναστήσω » γὰρ « ὑμῖν ποιμένα ἕνα τὸν δοῦλόν μου Δαυὶδ, » αἰώνιον ἔλεος αὐτῷ ποιεῖ καὶ τῷ σπέρματι αὐτοῦ, τῷ τὸ χρίσμα καὶ τὴν ἱερωσύνην αὐτοῦ ἀκατάλυτον εἶναι· τῆς γὰρ παλαιᾶς ἱερωσύνης μετατιθεμένης, ἀπαράβατος ἡ Χριστοῦ ἱερωσύνη.

PSALMUS XVIII.

Vers. 2. Cœli igitur Dei enarrant gloriam. Gloria autem Dei, sive Unigenitus secundum gloriæ splendorem, juxta illud, « Et videbitur gloria Domini [62], » sive ordo et magnificentia regni ejus. Hanc igitur enarrant hymnos canentes ac de Deo loquentes propriæ cœlis potestates, homonymice cum cœlis quos habitant nominatæ, juxta metonymiæ tropum. Opus vero activarum Dei facultatum, quæ manus ejus vocatæ sunt, annuntiat firmamentum, non tantum verbis, sed et ipsis operibus. Sed et qui contemplativam amplectuntur vitam, thesaurizant in cœlo, ibique cor habentes, cœli sunt enarrantes hanc Dei gloriam per spiritalium rerum contemplationem. Practici vero firmamentum sunt, cum firmi sint, annuntiantque opera Christi manuum, quæ Dei sunt operantes et ipsi Dei opera. Lucida mens est dies; vocavit enim Deus lucem diem [63]. Hæc lucida menti consona dies eructat verbum, sicut Vetus Scriptura spiritalibus impleta cibis ex abundantia eructans inducitur verba Testamento Novo. Nox vero altissima mysticarum rerum perceptio ad alteram nos obscuritatem dirigit, quam quidem perceptionem dat Dei Spiritus possidentibus eum, qui et profunda Dei scrutatur. Loquela sermones parit, sermones vero scientiam inducunt, argumenta præbentes. Utrumque propterea apud Deum dictum est ut audiatur. Contumacibus ideo non defensio est; accipiunt sonum quicunque quasi terra sunt ad sementes accipiendas idonea, lectionem scilicet sensumque Scripturæ. Qui illos supergressi sunt, finesque nominantur, accipiunt verba sapienter eruditi. Quem sonum Petrus cum audiret, ait : « Verba vitæ æternæ habes [64]; » et Salvator dixit : « Verba quæ locutus sum vobis, spiritus sunt [65]. » Hæc enim dixit apostolis, qui fines terræ sunt.

Στ. β'. Οἱ οὐρανοὶ οὖν τὴν Θεοῦ διηγοῦνται δοξαν· δόξα δὲ Θεοῦ ἤτοι ὁ Μονογενὴς κατὰ τὸ τῆς δόξης ἀπαύγασμα, κατὰ τὸ, « Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, » ἢ ἡ διάταξις καὶ ἡ ὑπεροχὴ τῆς βασιλείας αὐτοῦ. Ταύτην οὖν διηγοῦνται ὑμνοῦσαι καὶ θεολογοῦσαι αἱ οἰκεῖαι τοῖς οὐρανοῖς δυνάμεις, ὁμωνύμως οἷς οἰκοῦσιν οὐρανοῖς ὀνομαζόμεναι, κατὰ τὸν τῆς μετωνυμίας τρόπον. Τὴν δὲ ποίησιν τῶν δραστηρίων Θεοῦ δυνάμεων, χειρῶν αὐτοῦ ὀνομαζομένων, ἀναγγέλλει τὸ στερέωμα, οὐ τοσοῦτον λόγοις, ἀλλ' ἔργοις αὐτοῖς. Ἀλλὰ καὶ οἱ τὸν θεωρητικὸν ἀσπαζόμενοι βίον θησαυρίζουσιν ἐν οὐρανῷ, κἀκεῖ τὴν καρδίαν ἔχοντες, οὐρανοί εἰσιν διηγούμενοι τὴν προειρημένην θεοδόξαν διὰ θεωρίας τῆς περὶ τῶν νοητῶν πραγμάτων. Οἱ πρακτικοὶ δὲ στερέωμά εἰσιν, ἑδραῖοι τυγχάνοντες, καὶ ἀπαγγέλλουσι τὴν ποίησιν τῶν τοῦ Χριστοῦ χειρῶν, ἐργαζόμενοι τὰ Θεοῦ, καὶ τούτου τυγχάνοντες ἔργα. Καὶ ἡ φωτεινὴ δὲ νόησις ἡμέρα οὖσα (ἐκάλεσε γὰρ ὁ Θεὸς τὸ φῶς ἡμέραν), ἑτέρᾳ φωτεινῇ νοήσει σύμφωνος οὖσα, ἐρεύγεται ῥῆμα, ὡς ἡ Παλαιὰ Γραφὴ, τῶν πνευματικῶν πληρωθεῖσα τροφῶν, ἀπὸ τοῦ πληρώματος ἐρευγομένη προφέρεται ῥήματα τῇ Καινῇ Διαθήκῃ. Ἡ δὲ νὺξ, ἡ βαθυτάτη τῶν μυστηρίων πραγμάτων διάληψις, πρὸς ἑτέραν ἡμᾶς ἀσάφειαν ὁδηγεῖ, ἥνπερ διάληψιν δίδωσι τὸ τοῦ Θεοῦ Πνεῦμα τοῖς ἔχουσιν αὐτὸ, τὸ καὶ τὰ βάθη ἐρευνῶν τοῦ Θεοῦ. Ἡ λαλιὰ δὲ προποιοῦ (25) τοῖς λόγοις· οἱ δὲ λόγοι τὴν ἐπιστήμην ἐπάγουσιν, τὰς ἀποδείξεις παρέχοντες. Ἀμφότερα δὲ διὰ τοῦτο παρὰ Θεοῦ λέλεκται, ὅπως ἂν ἀκουσθῶσιν. Διὸ τοῖς ἀπειθοῦσιν οὐκ ἔστιν ἀπολογία· χωροῦσι δὲ τὸν φθόγγον ὅσοι τυγχάνουσι γῆ πρὸς σπόρον ἐπιτηδεία, τὴν λέξιν τὴν κατὰ τὸ αἰσθητὸν τῆς Γραφῆς. Οἱ δὲ τούτοις ὑπερβεβηκότες καὶ πέρατα χρηματίζοντες, δέχονται τὰ ῥήματα σαφῶς παιδευόμενοι. Θῦ φθόγγου γὰρ ὁ Πέτρος ἀκούων ἔλεγε· « Ῥήματα ζωῆς αἰωνίου ἔχεις· » καὶ ὁ Σωτὴρ ἔφη· « Τὰ ῥήματα ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστιν. » Ἀποστόλοις γὰρ ἔλεγε πέρατα τυγχάνουσιν οἰκουμένης.

[61] Jer. XXIII, 5. [62] Isa. XL, 5. [63] Gen. I, 5. [64] Joan. VI, 69. [65] ibid. 64.

(25) Ita cod.

Digitized by Google

Στ. ς'. Κατὰ δὲ τὸν τῆς ἀναγωγῆς νόμον, σκήνωμα Θεοῦ ἡ Ἐκκλησία εἶναι δύναται, τεθεῖσα ἐν τῷ ἡλίῳ, τοῦτ' ἔστιν ὅσον καὶ ὅπου ἥλιος φαίνει· συντρέχει γὰρ ταῖς ἡλιακαῖς . . τα αὐτοῦ εἰς τὰ πέρατα τῆς οἰκουμένης φθάσαντα. Δύναται δὲ καὶ ἕκαστος τῶν χωρούντων Θεοῦ δόξαν, σκήνωμα αὐτοῦ ὀνομαζόμενος, ἐν τῷ ἡλίῳ τῆς δικαιοσύνης, τοῦτ' ἔστιν Χριστῷ, τεθεῖσθαι. Τῶν γὰρ τοιούτων σκηνωμάτων κρηπὶς καὶ θεμέλιος τὸ φῶς τοῦ κόσμου. Καὶ φῶς ἀληθινὸν, καὶ ἥλιος δικαιοσύνης ὁ Σωτὴρ λέγεται (οὐχ οἷόν τε τούτου τοῦ φωτὸς νόησιν εἰληφέναι, ἀγνοοῦντα τὸ αἰσθητὸν φῶς), ὁ προσβαλὼν τῷ ὑπερέχοντι τῶν αἰσθητῶν· ἔστιν δὲ ὁ ἥλιος, ἐκ τῆς τούτου νοήσεως φαντασίαν λαμβάνων τοῦ νοεροῦ φωτὸς, ὥσπερ οἰκοῦν τὸ φῶς τὸ ἀληθινὸν ἐν τῷ αἰσθητῷ ἡλίῳ εὑρήσει. Οὐ γὰρ προσεκτέον τισὶν ἑτεροδόξοις λέγουσιν, ὅτι μετὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν ὁ Σωτὴρ ἐν τῇ ἡλιακῇ σφαίρᾳ ἀπέθετο ὃ ἐφόρεσεν σῶμα, φυλάττεσθαι μέχρι τῆς δευτέρας καὶ ἐνδόξου αὐτοῦ παρουσίας. « Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· » καὶ τὰ ἑξῆς, πρὸς τῇ λέξει νοήσεις κατὰ ἀναγωγὴν, ὅτι ὁ ἥλιος τῆς δικαιοσύνης ἐκ παστοῦ τῶν κόλπων τῶν πατρικῶν . . Θεοῦ ἤτοι πράγμασιν, ἤτοι πονηραῖς δυνάμεσιν. Φείσεται δὲ τοῦ ἑαυτοῦ δούλου ὁ Θεὸς, ὅτ' ἂν μὴ φείσηται τοῦ ἰδίου Υἱοῦ, ὑπὲρ πάντων παραδοὺς αὐτόν· τὸ γὰρ φείσασθαι τοῦ Υἱοῦ, πάντων ἀπώλεια. Τὸ δὲ μὴ φείσασθαι, πρὸς τῷ σωτηρίαν πᾶσιν γενέσθαι, καὶ αὐτὸς ὁ Υἱὸς ἐκτὸς ἔσται πάσης βλάβης, ταύτην δέχεσθαι οὐδ' ὅλως πεφυκώς.

A

B

Vers. 6. Secundum gradationis legem, tabernaculum Dei Ecclesia esse potest, posita in sole, id est ubicunque et quandiu sol apparet; congruit enim solaribus . . . . . ejus in fines orbis terræ properantia. Potest autem et quisque Dei gloriam capientium, tabernaculum ejus nominatus, in sole justitiæ, id est Christo reponi. Talium enim tabernaculorum fundamentum et basis est lux mundi. Atqui lux vera et sol justitiæ Salvator dicitur (nec licet hujusce lucis intellectum accepisse, sensibile lumen ignorantem), qui particeps est lucis sensum superemiuentis, sol est, ex hujus intellectu formam induens spiritualis luminis, quemadmodum habitans lumen verum in sensibili sole inveniet. Non enim attendendum est quibusdam hæreticis dicentibus quod post resurrectionem e mortuis Salvator in solari sphæra deposuerit quod gestavit corpus, servandum usque ad secundam præclaramque ipsius manifestationem. « In sole posuit tabernaculum suum, » et quæ sequuntur, altiore sensu accipies, qria sol justitiæ de thalamo patriorum sinuum . . . . Dei sive rebus, sive perversis potestatibus. Parcet autem servo suo Deus, quando non pepercerit proprio Filio, pro omnibus tradens illum. Quid enim fuisset Filio pepercisse? Omnium exitium. Ei autem non pepercisse, saluti fuit omnibus. Et ipse Filius omnis detrimenti immunis erit, illud cum non possit omnino ipsius natura pati.

Στ. η'. Ἀξιόπιστος ὁ Θεὸς μαρτυρῶν ἀγαθοῖς ἔργοις καὶ γνώσει τῆς ἀληθείας, κατὰ τὸ, « Πιστὸς ὁ λόγος, » οὐ γὰρ πιστεύων, ἀλλ' ὡς πιστευόμενος· καὶ πάλιν· « Ὁ Θεὸς πιστός· » καὶ, « Οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· » καὶ, « Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε, » ἤγουν ἡ μαρτυρία πιστὴ διὰ τὸ βέβαιον. Αὕτη δὲ σοφοὺς ποιεῖ τοὺς στραφέντας καὶ γενομένους ὡς τὰ παιδία. Σοφίζει δὲ καὶ τὰ διὰ τοῦ Εὐαγγελίου ἀρτιγενῆ βρέφη, ἴσως δὲ καὶ τοὺς ἀπείρους ἀνθρωπίνης σοφίας ἀγραμμάτους καὶ ἰδιώτας. Τὰ δικαιώματα δὲ μηδὲν ἔχοντα σκολιὸν, εὐθεῖς δὲ τοὺς παραδεχομένους ποιεῖ· οἵπερ λύπην οὐκ ἔχοντες, ἐν εὐφροσύνῃ γίνονται θείᾳ. Ὡς μὴ παθητικὸς δὲ ὁ θεῖος φόβος ἁγνός· οὐ γάρ ἐστι κατὰ τὸν ἐκβαλλόμενον ἀπὸ τῆς θείας ἀγάπης, ὁ αὐτὸς ὢν, ἐν εὐλαβείᾳ καὶ σεβασμῷ, ὃς καὶ ἁγνοὺς ἀπεργάζεται, καὶ πρόσκαιρος οὐκ ἔστιν. Ἃ δὲ κρίνει Θεὸς κρίματα, διὰ τὴν ἀλήθειαν λέγεται καθ' ἣν κρίνει. Λέγει καὶ Παῦλος· « Οἴδαμεν γὰρ, ὅτι τὸ κρῖμα τοῦ Θεοῦ ἐστιν κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. » Ἔστι δὲ καὶ ψευδῆ καὶ ἄδικα κρίματα, πρὸς ἃ καὶ διέστειλεν· ταῦτα δὲ τὰ θεῖα μετ' ἀλλήλων ἠρτημένα γνωρίζεται· τῇ δὲ τῶν εἰρημένων ἡδονῇ, φησὶν, οὐδὲν ἐν βίῳ τίμιον παραβάλλεται· τῇ γὰρ τῶν νοητῶν γλυκύτητι τῶν αἰσθητῶν οὐδὲν ἀπεικάζεται. Ὧν αἰσθησιν ψυχικὴν ὁ μεταστήσας ἀπὸ τούτων εἰς ἐκεῖνα τὴν ἐπιθυμίαν ὅλην λαμβάνει· ταῦτα γὰρ πᾶς ὁ τοῦ Θεοῦ

C

D

Vers. 8. Fide dignus est Deus testimonium perhibens bonis operibus et veritatis scientia, juxta illud : « Fidelis sermo [66]; » non enim credens, sed quasi creditus; et rursus : « Fidelis Deus [67]; » et : « Non est iniquitas in eo [68]; » et : « Fidelis Deus, per quem vocati estis [69]. » Ergo testimonium fidele, quoniam firmum. Illud sapientes efficit qui conversi et sicut parvuli facti sunt. Sapientia quoque donat per Evangelium recens natos infantes, necnon humanæ sapientiæ imperitos, illitteratos et ingenio crassos. Justitiæ autem nihil obliquum habentes, rectos faciunt qui accipiunt eas; qui quidem nihil mœroris experti, in lætitia fiunt divina. Haud quidquam patitur, ideoque purus Dei timor; non est enim apud hominem a divina dilectione rejectum, idem ipse, in pietate et veneratione, qui et sanctos efficit, nec temporarius est. Quæ autem judicat Deus judicia, cum veritate judicat. Dicit et Paulus : « Scimus enim quoniam Dei judicium est secundum veritatem in eos qui talia agunt [70]. » Sunt autem et mendacia et injusta judicia, quorum et discrimen fecit; divina autem invicem cohærentia deprehenduntur; eorumque voluptati, ait, nihil in vita pretiosum æquiparatur; nam spiritalium dulcedini sensibilium nihil assimilandum est. Quorum sensum animalem convertens ab istis in hæc cupiditatem omnem accipit; hæc enim

[66] I Tim. I, 15; III, 1. [67] II Cor. I, 18 sqq [68] Psal. XCI, 16. [69] I Cor. I, 9. [70] Rom. II, 2.

Digitized by Google

omnis Dei servus custodit, multam habiturus remunerationem, quam non e sensibilibus consequitur.

VERS. 13. Magnam autem culpam astrologiam vocat. Nisi enim ab occultis meis mundarer, hæc omnia quæ permanerent delicta turpem agendi ratonem inducerent, magnique reus peccati fierem.

VERS. 15. « Et erunt ad voluntatem eloquia oris mei. » Hæc enim cum mihi a te evenerint, tunc ad voluntatem erunt verba oris mei, quæ protuli deprecans te, hymnos tibi canens, gratias agens tibi. Ad voluntatem sunt eloquia, quæ laude digna sunt. « Et meditatio cordis mei in conspectu tuo, » . . . eloquiis et cogitationibus, cum sit extra omnem vituperationem, ubique in conspectu tuo versatur. Quod autem meditatio reprehensione careat, haud aliunde oritur nisi abs te qui me ab occultis meis mundasti. « Domine, adjutor meus et redemptor meus. » Te mihi auxiliante, Domine, nulli cedo eorum qui adversum me spiritaliter præliant. Quod si propria accidit incuria ut adversariis cedam, tu me ab opprimentibus redimas, adjutor simul et redemptor mihi factus.

δοῦλος φυλάττει, πολλὴν ἔξων τὴν ἀνταπόδοσιν, ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν αἰσθητῶν.

Στ. ιγ'. Μεγάλην δὲ ἁμαρτίαν τὴν ἀποτελεσματικὴν φησιν. Εἰ γὰρ μὴ ἀπὸ τῶν κρυφίων μου καθαρισθείην, ἐπιμένοντα ταῦτα τὰ παραπτώματα, εἰς πρᾶξιν φαύλην μεταφέρει, καὶ γίνομαι ὑπεύθυνος ἁμαρτίᾳ μεγάλῃ.

Στ. ιε'. « Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου. » Ὅτ' ἂν ταῦτά μοι ὑπαρχθῇ παρὰ σοῦ, τότε εἰς εὐδοκίαν ἐστὶν τὰ λόγια τοῦ στόματός μου, ἃ προήνεγκα εὐχόμενός σοι, ὑμνῶν σε, εὐχαριστῶν σοι. Εἰς εὐδοκίαν δ' ἐστὶν τὰ λόγια, τὰ ἀποδοχῆς ἄξια. « Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου, » . . λογισμοῖς καὶ νοήσεσιν, ἐκτὸς οὖσα παντὸς μώμου, ἐνώπιόν σου τυγχάνει διαπαντός. Τὸ μέντοι τῆς μελέτης ἄμεμπτον οὐκ ἄλλοθεν ἢ ἐκ σοῦ ὑπῆρκται, καθαρίσαντός με ἀπὸ τῶν κρυφίων μου. « Κύριε, βοηθέ μου καὶ λυτρωτά μου. » Σοῦ βοηθοῦντος, ὦ Δέσποτα, οὐδενὶ ὑποπίπτω τῶν πνευματικῶς προσπολεμούντων. Εἰ δὲ καὶ παρ' ἐμὴν ἀπροσεξίαν ἀλῶναι τοῖς ἐναντίοις συμβῇ, σύ με ἐκ τῶν κρατησάντων λύτρωσαι, ἅμα βοηθὸς καὶ λυτρωτής μου εὑρισκόμενος.

PSALMUS XIX.

VERS. 5. Tribuit Deus secundum cor precantis, cum talia rogantur quæ et Deum dare decet, et accipienti prosunt. De talibus enim recte facta petitio obsequentem inveniet Deum. « Et omne consilium tuum confirmet; » consilium, rectam scilicet voluntatem confirmet. Impletur autem voluntas, quando non excidit proposito, sed obvia habet quæ jam antea constituerat.

Στ. ε'. Δίδωσι Θεὸς κατὰ τὴν καρδίαν τοῦ εὐχομένου, ὅτ' ἂν τοιαῦτα αἰτῆται, ἃ καὶ Θεῷ πρέπει διδόναι, καὶ τῷ λαμβάνοντι συμφέρει. Ἡ γὰρ περὶ τούτων αἴτησις ὀρθῶς γινομένη ἕξει τὸν Θεὸν παρέχοντα. « Καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι· » βουλὴν, τουτέστιν τὴν βούλησιν ὀρθῶς γινομένην πληρώσαι. Πληροῦται δὲ βούλησις, ὅτ' ἂν μὴ διαμάρτῃ ἐν ταῖς σκέψεσιν, ἀλλ' ἐκεῖνα ἀπαντήσῃ περὶ ὧν προεβουλεύσατο.

VERS. 6. « Lætabimur in salutari tuo. » Hoc est de quo dictum est: « Ecce natus est nobis hodie Salvator qui est Christus Dominus [71]. » Salutem indicat qua salvabitur is quem exaudiet Deus in die tribulationis, de qua salute exsultatio erit. « Et in nomine Domini Dei nostri magnificabimur. » Cæteris de mundi rebus magnificantibus, nos in nomine Domini Dei nostri magnificabimur. In iis quæ vere bona sunt progressum indicat vox illa, « Magnificamur; » haud enim ait, Magni sumus; hac enim ratione procedens etiam Isaac major fiebat, donec valde magnus fieret. Magnificatur vero aliquis in nomine Domini, si veri perfectique servi fungitur officiis.

Στ. ς'. « Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου. » Ἔστι δὲ τοῦτο περὶ οὗ εἴρηται· « Ἰδοὺ ἐτέχθη ἡμῖν σήμερον Σωτὴρ, ὅς ἐστιν Χριστὸς Κύριος. » Λέγεται σωτήριον λέγειν τὴν σωτηρίαν ἣν σώζεται ᾧ ἐπακούει Θεὸς ἐν ἡμέρᾳ θλίψεως, ἐφ' ᾗ σωτηρίᾳ ἀγαλλίασις ἔσται. « Καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. » Ἄλλων ἐπὶ κοσμικοῖς πράγμασι μεγαλυνομένων, ἡμεῖς ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Σημαίνει δὲ τὴν ἐν τῷ ὄντως ἀγαθῷ προκοπὴν τὸ, « Μεγαλυνόμεθα. » Οὐ γὰρ εἶπεν, Μεγάλοι ἐσμέν· ταύτῃ τοι καὶ ὁ Ἰσαὰκ προβαίνων μείζων ἐγίνετο, ἕως μέγας ἐγένετο σφόδρα. Μεγαλύνεται δέ τις ἐν ὀνόματι Κυρίου, τὰ γνησίου καὶ τελείου δούλου ἐπιτελῶν.

VERS. 7. « Impleat Dominus omnes petitiones tuas. » Laus magna est illi, de quo dicitur omnes petitiones ejus a Domino esse implendas, ipsumque nihil expostulare quin concedat Deus. Petitionum vero impletio est, cum eveniunt ac prospere cedunt quæcunque exoptavimus. « Nunc cognovi quoniam salvum fecit Dominus christum suum. » Christus vocabulum nunc sacerdotem, nunc regem, nunc vero secundum carnem Dei Verbi incarnationem significat. Hic autem David, juxta nonnullos, vel

Στ. ζ'. « Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου. » Ἐγκώμιον μέγα τοῦ περὶ οὗ ὁ λόγος, τὸ πληρωθήσεσθαι ὑπὸ Κυρίου πάντα τὰ αἰτήματα αὐτοῦ, οὐδὲν αἰτουμένου ὧν μὴ παρέχει ὁ Θεός. Πλήρωσις δὲ αἰτήσεων τὸ ἐκβῆναι καὶ εἰς ὕπαρξιν ἐλθεῖν ἐκεῖνα ὑπὲρ ὧν τις ἠξίωσεν. « Νῦν ἔγνων, ὅτι ἔσωσεν Κύριος τὸν χριστὸν αὐτοῦ. » Τῆς χριστοῦ φωνῆς ὁτὲ μὲν ἐπὶ τοῦ ἱερέως, ὁτὲ δὲ ἐπὶ τοῦ βασιλέως, ὁτὲ δὲ ἐπὶ τῆς κατὰ σάρκα τοῦ Θεοῦ Λόγου οἰκονομίας. Ὁ μέν τις φησιν ἐπὶ τοῦ Δαυΐδ, ὁ δὲ ἐπὶ Ἐζεκίου, περὶ οὗ καὶ

[71] Luc. II. 11.

Digitized by Google

τὴν ὑπόθεσιν εἴληφεν τοῦ ψαλμοῦ· ὁ δὲ καὶ εἰς τὴν οἰκονομίαν ἀνθρωπίνως εἰρημένον. — Τάχα δὲ καὶ τῶν πιστευόντων ἁπάντων συμπληρούντων τὸ σῶμα Χριστοῦ, κατὰ τὸ, « Οὕτω καὶ ὁ Χριστὸς ἓν σῶμα, πολλὰ δὲ μέλη, » σώζεσθαι λέγεται ὁ Χριστὸς, ὅτ' ἂν οἱ γενόμενοι αὐτοῦ σῶμα καὶ μέλη σωτηρίαν ἔχωσιν. Εὖ δὲ καὶ τὸ εἰπεῖν· « Νῦν ἔγνων· » νῦν γὰρ, τοῦτ' ἔστιν ἐν τῷ παρόντι αἰῶνι, γινώσκομεν τὸν Χριστὸν σωζόμενον, τῷ ἀπεντεῦθεν ἀρραβῶνα σωτηρίας δέχεσθαι. « Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. » Ἐπακούει τοῦ Χριστοῦ κατὰ πᾶσαν ἀπόδοσιν προειρημένην. Τὰ δεξιὰ δὲ τοῦ Θεοῦ, τοῦτ' ἔστιν ὁ Λόγος αὐτοῦ, σωτηρίαν ποιεῖ· οὐχ ὡς ἔτυχεν, ἀλλ' « ἐν δυναστείαις, » οἷα στρατηγὸς ἢ βασιλεὺς ἄριστος.

Στ. η'. Ἵπους μὲν νοῶν τὰ σκιρτητικὰ τῶν παθῶν, οἷς ἐπιβαίνουσιν αἱ ἀντικείμεναι δυνάμεις· ἅρματα δὲ τὴν σύμπνοιαν τῶν ὁρμητικῶν παθῶν, ἐν οἷς παρασκευάζονται καθ' ἡμῶν· ἀλλ' εἰ καὶ οὗτοι ἐν τούτοις, ἀλλ' ἡμῶν ἀμυντήριον ἀκαταμάχητον ἡ τοῦ Θεοῦ προσηγορία.

A Ezechiam, secundum alios, cui ascribitur hic psalmus; quidam illum quoque humane ad incarnationem referunt. — Cæterum omnibus credentibus impletur Christi corpus, juxta illud: « Sic et Christus unum corpus, multa autem membra [72]. » Salvus fieri dicitur Christus, cum illi, quibus ipsius corpus et membra constant, accipiunt salutem. Recte autem dicitur: « Nunc cognovi; » nunc enim, id est in præsenti tempore, Christum cognovimus salvatum, exinde arrhabone salutis accepto. « Exaudiet illum de cœlo sancto suo; in potentatibus salus dextræ ejus. » Exaudit Christum, hæc omnia quæ antea diximus consecutum. Dextra autem Dei, scilicet Verbum ejus, salutem facit; nec quolibet modo, sed « in potentatibus, » ut ducem vel præ-
B stantissimum regem decet.

Vers. 8. Equi sunt cupiditatum stimuli quibus invehuntur adversariæ potestates; currus vero vehementium conspirationem cupiditatum designant, quibus nos adoriuntur; quod si illi hæc pro se habent, nobis autem inexpugnabile propugnaculum est Dei invocatio.

PSALMUS XX.

Στ. β', γ'. Ὁ κατασταθεὶς βασιλεὺς ἐπὶ Σιὼν ὄρος, κυρίως καὶ ἀληθῶς βασιλεύς ἐστιν, εὐφραινόμενος θείαν εὐφροσύνην ἀπὸ τῆς παρούσης αὐτῷ δυνάμεως Θεοῦ. Πᾶς δὲ ὁ ψαλμὸς ἑρμηνευθείη περὶ Χριστοῦ βασιλέως καὶ τοῦ συμβασιλεύοντος αὐτῷ, ἵνα μὴ ἐφ' ἑκάστης λέξεως τοῦτο σημαίνειν ἀναγκαζώμεθα. — « Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα· τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. » Ὁ ἐπιθυμίαν σαρκὸς μὴ τελῶν, τῷ πνεύματι περιπατεῖ· οὗτος ἀνακραθεὶς τῷ πνεύματι, ἐπιθυμίαν καρδίας λαμβάνει ἀπὸ Θεοῦ· οὐ γὰρ τῶν τῆς σαρκὸς ὀρεκτῶν ἀπεσχημένος, ἃ ὀρέγεται ἡ καρδία αὐτοῦ, τοῦτ' ἔστιν ὁ νοῦς, λαμβάνει παρὰ Θεοῦ, ἐμπιπλῶντος ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν αὐτοῦ· ἀλλὰ καὶ τυχών εἰς ὧν δεῖται, οὐκ ἐστερήθη ὑπὸ Κυρίου τῆς δεήσεως τῶν χειλέων αὐτοῦ.

Vers. 2, 3. Qui constitutus rex super Sion montem, peculiariter ac vere rex est, divina exsultatione exsultans, propter præsentem sibi Dei virtutem. Omnis autem psalmus accipi potest de Christo rege et de regnante cum eo, ne singulis versiculis illud indicare cogamur. — « Et super salutare tuum exsultabit vehementer. Desiderium cordis ejus tribuisti ei, et voluntate labiorum ejus non fraudasti eum. » Qui carnis desiderium non exsequitur, spiritu ambulat. Hic igitur spiritu temperatus, a Deo cordis desiderium accipit; non enim a carnis incitamentis impeditus, hæc quibus incitatur cor ejus, scilicet animus, accipit a Deo, qui in bonis desiderium ejus implet; atque hæc quibus sibi opus est si quis consequitur, non voluntate labiorum suorum fraudatur a Domino.

Στ. δ', ε'. Ὁ Χριστὸς ἔλαιον παρὰ τοῦ Ὑψίστου λαβὼν, τῷ κεχρίσθαι ἐλαίῳ ἀγαλλιάσεως, ἀπαράβατον ἔχει τὴν ἐκ τῆς χρίσεως ἱερωσύνην κατὰ τὴν τάξιν Μελχισεδέκ· οὐ γὰρ πρόσκαιρος ἔσται, μὴ σαλευόμενος.

Vers. 4, 5. Christus oleum ab Altissimo accipiens, cum ungitur exsultationis oleo, intemeratum habet Christi sacerdotium, secundum ordinem
D Melchisedec; non enim temporarius est vel labefactandus.

Στ. ιβ'. Λέγοις δ' ἂν, ὅτι ἔκλιναν εἰς αὐτὸν κακὰ ἢ ἄθεα δόγματα περὶ τοῦ Θεοῦ· ἢ τὴν αἰτίαν τῆς κακίας προσῆψαν αὐτῷ· ἐξέκλιναν δὲ εἰς τὸν Σωτῆρα κακὰ οἵ τε προδόται καὶ ἐχθροὶ αὐτοῦ. Σημειωτέον δὲ, ὅτι κατ' ἔγκλισιν ἐπιτελεῖται τὰ κακὰ, καὶ οὐ κατ' εὐθύτητα· ἀλλὰ δυνατοῖς ἐπιχειροῦσι διαστραφέντες οἱ φαῦλοι. Τῷ γὰρ οὐχ ὑπομένοντι βλάβην ἐπιβουλεύουσιν. Καὶ ἄλλως τε πᾶς κακὸς ἔχει τὴν κακίαν ἀβέβαιόν τε καὶ ἄστατον. Οὓς δὲ Θεὸς ἀποστρέφεται, τίθησι νῶτον, δυναμένους πρόσωπον εἶναι· καὶ τοὺς μὴ καθαρὰν δὲ καρδίαν ἔχοντας, καὶ τὸ πρόσωπον αὐτοῦ διὰ τοῦτο μὴ δυναμένους ἰδεῖν, τί-

Vers. 12. Dicitur quod declinaverunt in illum mala, impia scilicet de Deo dogmata. Causam malitiæ suæ imputaverunt illi; inclinaverunt autem in Salvatorem mala traditores et inimici ejus. Observandum est quod secundum inclinationem, non autem secundum rectitudinem perficiuntur mala; sed in potentes deviis itineribus imbecilles grassantur. Nihil enim damni suspicantem adoriuntur. Prætereaque omnis malus incertam et male firmam habet malitiam suam. Quos autem evertit Deus, ponit dorsum, cum vultus fieri possent; et qui non cor purum habent, ideoque vultum ejus videre nequeunt,

[72] Ephes. v, 30.

Digitized by Google

quasi dorsum constituit ad meditanda quæ post ipsum sunt, scilicet opera, ut creationis spectaculo ad eum reducantur. Reliqua enim Dei sensibilibus creaturis ejus altiora sunt.

VERS. 14. « Exaltare in virtute tua. » Postquam infirmitati nostræ indulgens infirmum aliquid acceperis, quod validius est hominibus; crucifixus ex infirmitate, « exaltare in virtute tua. » — « Cantabimus et psallemus virtutes tuas. » Cantare de speculatione accipiendum, et psallere de conatibus ad virtutem. Contemplantes igitur virtutum cogitationem et secundum illas agentes, « cantabimus et psallemus virtutes tuas, » quas extulisti ut triumphans Rex adversus diabolum et adversarias potestates. Illud quoque sic intelligi potest: Gratas laudes concinemus tibi de morte triumphanti.

A θεται τὰ ὀπίσθια κατανοεῖν τὰ μετ' αὐτὸν, δηλονότι δημιουργήματα, διὰ τῆς κτίσεως εἰς αὐτὸν παρέχων ἀνάγεσθαι. Περίλοιπα γὰρ τοῦ Θεοῦ τὰ ἀνωτέρω τῶν αἰσθητῶν κτισμάτων αὐτοῦ ἐστιν.

Στ. ιδ'. « Ὑψώθητι ἐν τῇ δυνάμει σου. » Ἐπεὶ συγκαταβαίνων τῇ ἀσθενείᾳ ἡμῶν ἀσθενές τι ἀνείληφας, ὅπερ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· σταυρωθεὶς ἐξ ἀσθενείας, « ὑψώθητι ἐν τῇ δυνάμει σου. » — « Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας. » Τὸ ᾄδειν ἐπὶ θεωρίας ληπτέον, τὸ δὲ ψάλλειν ἐπὶ τῷ κατὰ ἀρετὴν ἐνεργεῖν. Θεωροῦντες οὖν τὸ νοητὸν τῶν δυναστειῶν, καὶ πράττοντες κατ' αὐτὰς, « ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, » ἃς ἐδυνάστευσας οἷα τροπαιοῦχος βασιλεὺς κατὰ διαβόλου καὶ τῶν ἀντικειμένων δυνάμεων. Δύναται δηλοῦν καὶ τό, Χαριστηρίους αἴνους ἀνακρουσόμεθά σοι δυναστεύσαντι κατὰ τοῦ θανάτου.

B

PSALMUS XXI.

VERS. 1. Susceptio matutina recte dicitur, cum sol justitiæ exsurgat, dieique principium præparet; vera enim lux oritur, quæ ignorantiæ et erroris finem faciens, spiritalem auroram illuminat. Ipsa autem incipiens ad perfecti luminis terminum perveniet; per quod lumen omnia alia spiritalia et spiritaliter perfecta sunt, quia est ipse finis. Illius causa cætera omnia, ipsum vero nullius causa; quod et supremum exoptatum vocant, quia nihil hoc altius est, et summum concupiscenti bonum est. Titulus igitur hujusce psalmi, « In finem, » canitur susceptionis matutinæ David, id est secundum carnem de semine ejus nascituro. Atque illud animadvertendum est, quod ab initio ad finem unam hic psalmus personam servat, nihilque de hac persona transfert; cumque verba hujus psalmi quasi a Christo habita Novum Testamentum acceperit, necesse est omnia de eadem Christi persona interpretari; explicabimus autem quibus usum est Novum Testamentum sicubi ad ea accesserimus.

Στ. α'. Ἀντίληψις ἑωθινὴ κατορθοῦται, τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνίσχοντος, καὶ ἀρχὴν ἡμέρας κατασκευάζοντος· ἡ γὰρ ἀνατολὴ τοῦ ἀληθινοῦ φωτὸς, τῇ νυκτὶ τῆς ἀγνοίας καὶ πλάνης τέλος ἐπιθεῖσα, ἓω πνευματικὴν ἀνέλαμψεν. Αὕτη δὲ ἀρχομένη ἐπὶ τέλος φωτισμοῦ τελείου καταντήσει· δι' ὃν φωτισμὸν, πάντα τὰ ἄλλα πνευματικὰ καὶ πνευματικῶς ἐτελέσθη τῷ τέλος εἶναι. Οὗ χάριν τὰ ἄλλα πάντα, αὐτὸ δὲ οὐδενὸς ἕνεκα· ὃ καὶ ἔσχατον ὀρεκτὸν καλοῦσιν, τῷ μὴ εἶναι ἀνωτέρω τούτου, οὗ τις ὀρεχθείη, τῷ τούτου εἶναι τὸ τελικώτατον ἀγαθόν. Ἡ προγραφὴ οὖν τοῦ προκειμένου ψαλμοῦ, « Εἰς τέλος, » ᾄδεται τῆς ἑωθινῆς ἀντιλήψεως τῷ Δαυΐδ, τουτέστιν τῷ ἐκ σπέρματος αὐτοῦ, τὸ κατὰ σάρκα, γεγεννημένῳ. Καὶ τοῦτο δὲ τηρητέον, ὅτι φυλάττει πρόσωπον ἓν λέγον ἀπ' ἀρχῆς μέχρι τέλους ὁ ψαλμὸς, οὐδεμιᾶς μεταβολῆς εὑρισκομένης περὶ τὸ λέγον πρόσωπον. Καὶ ἐπεὶ ἡ Καινὴ Διαθήκη λέξεις ἀπὸ τοῦ ψαλμοῦ ἔλαβεν ὡς ὑπὸ τοῦ Χριστοῦ ῥηθείσας, ἀνάγκη πάντα αὐτὸν ἐκ προσώπου τοῦ Χριστοῦ ἑρμηνεῦσαι· δηλώσομεν δὲ τὰς λέξεις αἷς ἡ Καινὴ Διαθήκη ἐχρήσατο, ἐπ' αὐτὰς φθάσαντες.

C

VERS. 2. Animadvertendum est quod nominativo pro vocativo utitur casu. Nam cum posset dicere, Mi Deus, mi Deus, utquid? « Deus, Deus meus, » ait; hoc in pluribus locis facere solet Scriptura: quod autem vult dicere, hoc est: Tu, qui universus verusque Deus, Deus meus es, mihi adsis prælianti, multisque miseriis circumdato: « utquid enim me dereliquisti? » Interrogantis causam derelictionis vox; cum sibi conscius esset altæ puritatis (non cognoverat enim peccatum), sciebat se non ob peccatum derelictum fuisse, sed ob aliud quid, quod omnibus erat profuturum. Hoc igitur manifestum vult fieri, se non propter seipsum pati, sed propter illos qui cernunt eum. Cognoscentes enim quod propter ipsos derelictus est, hymnis eum ut Salvatorem celebrabunt. Dicendum igitur « verba delictorum, » non verba de delictis habita; sicut enim verbum cœli dicimus, quo constat, et verbum solis, quo subsistit: sic et verbum delictorum dice-

Στ. β'. Σημειωτέον δὲ, ὅτι ὀρθῇ πτώσει ἀντὶ κλητικῆς κέχρηται· ἀντὶ γὰρ τοῦ εἰπεῖν, Θεέ μου, Θεέ μου, ἵνα τί; « Ὁ Θεὸς, ὁ Θεός μου, » εἶπεν· ἔθος δὲ τῇ Γραφῇ ἐν πολλοῖς τοῦτο ποιεῖν. Ὃ οὖν βούλεται εἰπεῖν, τοῦτό ἐστιν· Ὁ καθόλου καὶ ἀληθινὸς Θεὸς, Θεός μου τυγχάνων, πρόσχες μοι πολεμουμένῳ, καὶ πολλοῖς ἐπιπόνοις περιτυχόντι· « ἵνα τί γὰρ ἐγκατέλιπές με; » Πυνθανομένου δὲ τὴν αἰτίαν τῆς ἐγκαταλείψεως ἡ φωνή· ἐπεὶ γὰρ συνῄδει ἑαυτῷ ἄκραν καθαρότητα (οὐκ ᾔδει γὰρ ἁμαρτίαν), ἠπίστατο μὴ ἐπὶ ἁμαρτίᾳ ἐγκαταλελεῖφθαι, ἀλλὰ δι' ἕτερόν τι τῷ παντὶ συμφέρον. Τοῦτ' οὖν βούλεται φανερὸν γενέσθαι, οὐ δι' ἑαυτὸν πάσχοντα, ἀλλὰ διὰ τοὺς ὁρῶντας αὐτόν. Γνόντες γὰρ, ὅτι δι' αὐτοὺς ἐγκατελείφθη, ὑμνήσουσιν αὐτὸν ὡς Σωτῆρα. Λεκτέον τοίνυν, « λόγους παραπτωμάτων, » οὐ τὰς περὶ τῶν παραπτωμάτων προφοράς· ὡς γάρ φαμεν λόγον οὐρανοῦ καθ' ὃν γίγονεν, καὶ λόγον ἡλίου δι' ὃν ὑπῆρκται· οὕτω καὶ λόγον παραπτωμάτων ἐροῦμεν, καὶ οὐκ αὐτὰ τὰ πα-

D

Digitized by Google

ραπτώματα ἀνειληφέναι τὸν Σωτῆρα εἰς τὸ ἑαυτοῦ σῶμα. Τούτους δὲ τοὺς τῶν παραπτωμάτων λόγους πρὸ τοῦ πάθους ἔφερεν αὐτοῦ τὸ σῶμα. Ἀναστὰς δὲ ἐκ νεκρῶν, ὅτι καὶ σεσῶσθαι λέγεται, μακρὰν ἀπὸ τῆς σωτηρίας αὐτοῦ τοὺς λόγους τῶν προειρημένων ἁμαρτημάτων ἔσχεν, ἀπεκδυσάμενος τὰς ἐνεργούσας τὰ παραπτώματα ἀρχὰς καὶ ἐξουσίας, ὅτε ἐθριάμβευσεν αὐτὰς ἐν αὐτῷ παῤῥησιασάμενος ἐπὶ τῷ σταυρῷ.

Στ. γ'. « Ὁ Θεός μου, κεκράξομαι ἡμέρας πρὸς σὲ, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. » Οὐ μόνον ἐπιπόνων καὶ σκυθρωπῶν περιεστηκότων, ἃ νὺξ ἀλληγορικῶς ἐστιν, βοῶ πρὸς σὲ, Θεέ μου, ὅπως μὴ πάθω τι, ἀλλὰ γὰρ καὶ φαιδρῶν καὶ λαμπρῶν ὄντων τῶν κατ' ἐμὲ, πάλιν κράζω, ὅπως μὴ βλαβερόν τι ἐξ ἐπάρματος γένηται. Ταῦτα δὲ περὶ ἡμῶν ἐξομολογούμενος ὁ Σωτὴρ λέγει· Οὕτω δέ μου βοῶντος οἶδα, ὅτι εἰσακούσῃ· μεθ' ὑποστιγμῆς γὰρ ἀναγνωστέον· « Καὶ νυκτὸς διακεκράξομαι· » οὐκ ἀνοίας μου λογιζομένης, ὅτε τὰ περιεστηκότα ἐστὶν σκυθρωπὰ, τῶν πολλῶν ἐν ταῖς περιστάσεσιν σκοτιζομένων· ὡς καὶ αὐτὸ τί δεῖ κράζοντα πρὸς Θεὸν λέγειν, ἀγνοεῖν· ἐπίσταμαι γὰρ ἐγὼ τίνος ἕνεκα περὶ ἐμὲ νυκτερινὴ κατάστασίς ἐστιν.

Στ. ε'. Καὶ οἱ πατέρες δὲ ἐξ ὧν εἰμι τὸ κατὰ σάρκα, οὗτοί εἰσιν οἱ πατριάρχαι, ἐπὶ σοὶ ἤλπισαν προσδοκῶντες τὴν ἐμὴν ἐπίλαμψιν· ἀλλὰ καὶ ἐλπίσαντες οὐκ ἀπέτυχον. Ἐῤῥύσθησαν γὰρ ἀπὸ θανάτου καὶ διαβόλου, ἐμοῦ λυτρωσαμένου καὶ ῥυσαμένου αὐτούς. Πρὸς σὲ γὰρ καὶ αὐτοὶ βοήσαντες, τὴν δι' ἐμοῦ καὶ ἐξ ἐμοῦ σωτηρίαν ἔσχον. Οὐ γὰρ κατῃσχύνθησαν ἐπὶ σὲ ἐλπίσαντες· ἀπέσχον γὰρ τὰ ἐλπίδος καὶ προσδοκίας. Ἴστωσαν δὲ οἱ ταῦτα λέγοντες, νομοθεσίας εἶναι ἐπαγγελλόμενοι, ψευδοδοξοῦντες ἐπὶ τῆς Προνοίας. Τὰ γὰρ αὐτὰ λέξειεν ἄν τις Ἡσαΐου πριζομένου, καὶ οἵτινες ἄλλοι ὑπὲρ εὐσεβείας πεπόνθασιν. Ἡμεῖς γὰρ τὸ ῥυσθῆναι καὶ σωθῆναι ἐκ τῶν περιεστηκότων ἐπιπόνων, οὐ τὸ ἐκτὸς αὐτῶν γενέσθαι φαμὲν, ἀλλὰ τὸ ἀνδρείως καὶ τλητικῶς αὐτὰ ἐνεγκεῖν, ὥστε μὴ βλαβῆναι τὴν διάνοιαν, ἐκκρουομένης τῆς ὀρθῆς προθέσεως ἐκ τῶν πόνων. Τοὺς γοῦν μάρτυρας τῆς ἀληθείας, μυρία ὅσα παθόντας, καὶ ἐναποθανόντας ταῖς βασάνοις, ἐῤῥύσθαι καὶ σεσῶσθαι ἐκ τῶν θλίψεων λέγομεν. Οἱ γὰρ ἐκτὸς τῶν θλιβερῶν δι' ἀρνήσεως γεγενημένοι, οὐ μόνον οὐκ ἐῤῥύσθησαν καὶ ἐσώθησαν ἀπὸ τῶν πειρασμῶν, ἀλλὰ καὶ κατεπόθησαν ὑπ' αὐτῶν.

Στ. ι'. Τάχα γὰρ ὁ ἐκ σπέρματος συλληφθεὶς ἐν τῇ γαστρὶ, πληρωθέντος τοῦ καιροῦ τῆς ἀποτέξεως, ὑπ' αὐτῆς τῆς μήτρας ἐπὶ τὰ ἔξω βάλλεται. Μόνον δὲ τὸν Σωτῆρα ὁ Πατὴρ ἐκ τῆς γαστρὸς τῆς Παρθένου ἐξασπᾷ (26), οὐκ ἔξωθεν σπέρματος αὐτῇ καταβληθέντος, ἀλλ' ἐξ αὐτῆς τοῦ θείου τόκου ἐξεσπασμένου. « Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου, ἐπὶ σὲ ἐπερρίφην ἐκ τῆς μήτρας. » Τοῖς ἄλλοις ἀνθρώποις τὸ ἐλπίζειν καὶ προσδοκᾶν τὰ μέλλοντα, μετὰ συμπλήρωσιν τοῦ λόγου ἐφ' ἡλικίαις γενομένοις ἐπέρχεται, μόνον δὲ τὸ ἐκ Μαρίας βρέφος ἀπὸ μαστῶν

A mus, et non ipsa delicta accepisse Salvatorem in proprium corpus; hæc enim delictorum verba ante passionem tulit corpus ejus. Surgens autem a mortuis, quod et salvatum esse dicitur, procul a salute ejus verba prædictorum delictorum habebat, exutis delictorum principiis et facultatibus, cum triumphans in seipso libere exposuit in cruce.

Vers. 3. « Deus meus, clamabo per diem ad te, et non exaudies; et nocte, et non ad insipientiam mihi. » Non solum ob molestias et miserias circumdantes me, quæ hic nocte allegorice significantur, clamo ad te, Deus meus, ne quid patiar, sed etiam vigentibus et florentibus qui adversum me grassantur, rursus clamo, ne quid mali ex exaltatione eorum fiat. Hæc de nobis confessus Salvator dicit: Sic autem ego clamans me exaudiendum scio; cum punctatione enim legendum est, « Et nocte clamabo; » ne meam respicias insipientiam, cum sint omnia circum me obscura, plerisque caliginem obducentibus; adeo ut vel nesciam quid, ad Deum clamans, dicere debeam; scio enim ego quam ob causam nocturna sint circum me omnia.

Vers. 5. Et patres e quibus secundum carnem ortus sum, patriarchæ scilicet, in te speraverunt illuminationem meam exspectantes, nec spe sua frustrati sunt. Liberati sunt enim a morte et diabolo, et ego eos ipse liberavi ac redemi. Ad te enim et ipsi cum clamavissent, a me et propter me salutem consecuti sunt. Non enim confusi sunt in te sperantes; nam acceperunt quæ speraverant et exspectaverant. Sciant autem hæc dicentes, cum se legisperitos esse profitentur, se errare de Providentia. Hæc enim eadem de Isaia serrato dici possunt, et si qui alii propter sanctitatem passi sunt. Nos autem liberari et salvari ab ærumnis circumdantibus nos, non extra illas fieri dicimus, sed eas viriliter et fortiter tolerare, ita ut nihil detrimenti patiatur mens, deflectente recto proposito propter miseries. Etenim veritatis martyres, innumera mala perpessos, atque in suppliciis exspirantes, liberari a tribulationibus salvosque fieri dicimus. Qui enim extra tribulationes per abjurationem facti sunt, non modo non liberati sunt, neque a tribulationibus salvati, sed et iis victi cesserunt.

Vers. 10. Etenim de semine conceptus in utero, impleto partus tempore, ab ipso utero ad auras emittitur. Solum autem Salvatorem Pater e Virginis utero extrahit, non foris ei immisso semine, sed divino partu inde educto. « Spes mea ab uberibus matris meæ; in te projectus sum ex utero. » Cæteris hominibus sperare et quæ futura sunt exspectare, post completionem verbi ætate crescentibus advenit, solus vero Mariæ infans ab uberibus matris suæ perfectionem sperat; Deum enim spem habet; nec unquam in malitia factus

(26) Forte leg. ἐξέσπα, vel ἔξω σπᾷ.

Digitized by Google

est, cunctis hominibus post ignorantiam et perversitatem bonum amplectentibus, illudque Isaias ostendens dixit : « Antequam cognoscat ille bonum aut malum, reprobat malum ut eligat bonum [73]. »

VERS. 11. « De ventre matris meæ, Deus meus es tu. » Ante incarnationem suam, Jesus solam cum Patre consuetudinem habebat ; erat enim ejus Pater Deus, et ipse Filius Dei. Ex quo autem caro factus ex utero processit, relationem habuit et cum Patre, et cum Deo. Ideo ait : Si et semper Pater meus es, sed et Deus meus esse incepisti ex matris utero.

VERS. 12. « Ne discesseris a me, quoniam tribulatio proxima est, quoniam non est qui adjuvet. » Cum tribulationi adest Deus, constantiam præstare valet ad tribulationem generose ferendam. Absente autem Deo, valida sunt circumstantia. Precatur igitur qui psalmum dicit, typus nobis hominibus factus, et docens nos in tentationibus, sic precatur, ne talia committat ob quæ recedat Deus, ut Deo præsente eos qui tribulationem excitant debellare valeat. Si enim ab aliquo discesserit Deus, non erit qui illum adjuvet.

VERS. 13. Vituli esse videntur ad terrestria et corporalia incitantes perversæ potestates ; terræ enim cultura hoc animal exercetur. Quæ autem vanis credunt erroribus, dolosis verbis et sophismatibus quasi cornibus insultantes, tauri sunt pingues, propter eruditionem et verborum elegantiam. Dici quoque potest Judæos secundum legem boves immolantes, ex illis quos apparabant vitulos nominatos, Dominum hostiliter circumdare ; Pontius vero Pilatus, nonnullique alii in amplissimo dignitatis gradu, ideoque quasi cornigeri tauri, eum obsidere festinant. Quinetiam de corpore suo Ecclesia, abjectos videns homines, terramque hostiliter excolentes, circumdantes corpus suum, dicere potest Salvator : « Circumdederunt me vituli multi. » Duces hujus sæculi sapientiam professos, videns circumdantes ipsius corpus, dicet : « Tauri pingues obsederunt me. »

VERS. 14. Exposita autem istorum perversitatis feritate, semper ad opprimendum paratorum, ait : « Aperuerunt super me os suum, sicut leo rapiens et rugiens. » Os enim eorum apertum ad deceptos arripiendos, captiosæ sapientiæ verbum est. Fortasse autem « sicut leo rapiens et rugiens, » ad diabolum spectat ; a quo leone eripuit bonus Pastor duo crura, infimamque auriculam devorante ; per auditum, aurem hominis animæ, et per crura viam ejus intelliges.

VERS. 15. « Sicut aqua effusus sum, et dispersa sunt omnia ossa mea » Cum Christi corpus cre-

[73] Isa. VII, 15, 16.

A τῆς μητρὸς ἐλπίζει τελειότητα· Θεὸν γὰρ ἔχει τὴν ἐλπίδα· οὐδέποτε γὰρ ἐν κακίᾳ γεγένηται, πάντων ἀνθρώπων μετὰ ἄγνοιαν καὶ πονηρίαν τὸ ἀγαθὸν ἀσπαζομένων. Καὶ τοῦτο ὑποδηλῶν Ἡσαΐας ἔλεγεν· « Πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. »

Στ. ια'. « Ἀπὸ γαστρὸς μητρός μου, Θεός μου εἶ σύ. » Πρὸ τῆς ἐνανθρωπήσεως ὁ Ἰησοῦς μόνην τὴν πρὸς Πατέρα ἔφερεν οἰκειότητα· ἦν γὰρ αὐτοῦ Πατὴρ ὁ Θεὸς, καὶ αὐτὸς Υἱὸς Θεοῦ. Ἀφ' οὗ δὲ σὰρξ γενόμενος ἐκ κοιλίας προῆλθεν, σχέσιν ἔσχεν τὴν πρὸς τὸν Πατέρα, τὴν πρὸς Θεόν. Διό φησιν· Εἰ καὶ ἀεὶ Πατήρ μου τυγχάνεις, ἀλλὰ καὶ Θεός μου εἶναι ἤρξω ἐκ κοιλίας μητρός.

Στ. ιβ'. « Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, B ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. » Παρούσης θλίψεως συνὼν ὁ Θεὸς οἷός τέ ἐστιν καρτερίαν παρασχεῖν ὡς γενναιάζειν τὸν θλιβόμενον· ἀπόντος δὲ Θεοῦ ἰσχυρὰ τὰ περιεστηκότα. Εὔχεται οὖν ὁ τὸν ψαλμὸν λέγων, τύπος ἡμῖν τοῖς ἀνθρώποις γινόμενος, καὶ διδάσκων ἡμᾶς ἐν πειρασμοῖς, οὕτω προσεύχεται, μὴ τοιαῦτα αὐτῷ πραχθῆναι ἐφ' οἷς ἂν χωρῇ Θεὸς, ἵνα παρόντος Θεοῦ καταπαλαίσῃ τοὺς ἐγείροντας τὴν θλῖψιν· εἰ γὰρ ἀποσταίη τινὸς ὁ Θεὸς, οὐχ ὑπάρξει ἐκείνῳ βοηθός.

Στ. ιγ'. Μόσχοι δ' ἂν εἶεν καὶ αἱ περὶ τὰ γήϊνα καὶ σωματικὰ ἐνεργοῦσαι πονηραὶ δυνάμεις· γεωπόνον γὰρ τοῦτο τὸ ζῶον. Αἱ δὲ ψευδοδοξίας προϊστάμεναι, δι' ἀπατηλῶν λόγων καὶ σοφισμάτων κερατίζουσαι, ταῦροι τυγχάνουσιν πίονες ὄντες, διὰ τὸ δῆθεν πολυμαθὲς καὶ κεκομψευμένον τῆς φράσεως. Δυνατὸν δὲ καὶ τοὺς Ἰουδαίους κατὰ νόμον βουθυτοῦντας, ἐξ ὧν ἐπιτηδεύουσιν μόσχους ὠνομασμένους, περικυκλοῦν ἐχθρικῶς τὸν Κύριον· Πόντιος δὲ Πιλᾶτος, καὶ εἴ τινες ἄλλοι ἐν ὑπεροχῇ, ταῦροι κερατισταὶ ὑπάρχοντες, περιέχειν σπουδάζουσιν αὐτόν. Λέγει δ' ἂν ταῦτα ὁ Σωτὴρ καὶ περὶ τοῦ σώματος αὐτοῦ, τῆς Ἐκκλησίας, ἰδὼν ἀνθρώπους χαμαιπετεῖς καὶ γῆν ἐργαζομένους πολεμικῶς, περικυκλοῦντας αὐτοῦ τὸ σῶμα· τό, « Ἐκύκλωσάν με μόσχοι πολλοί. » Τοὺς δὲ ἄρχοντας τούτου τοῦ αἰῶνος σοφίαν ἐπαγγελλομένους ἐωρακὼς περιθέοντας αὐτοῦ τὸ σῶμα ἐρεῖ· « Ταῦροι πίονες περιέσχον με. »

Στ. ιδ'. Παριστὰς δὲ αὐτῶν τὸ ἐξηγριωμένον τῆς D πονηρίας καὶ τὸ ἕτοιμον εἰς τὸ θλῖψαι, φησίν· « Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. » Στόμα γὰρ ἠνεῳγμένον αὐτῶν εἰς τὸ ἁρπάσαι τοὺς ἀπατωμένους, ὁ σοφιστικὸς εἴη λόγος. Τάχα δὲ « ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος » ἀναφέρεται ἐπὶ τὸν διάβολον. Ἀφ' οὗ λέοντος ἐξέσπασεν ὁ Ποιμὴν ὁ καλὸς δύο σκέλη, καὶ λοβὸν ὠτίου καταπιόντος· διὰ μὲν παρακοῆς, τὸ οὖς τοῦ ἀνθρώπου τῆς ψυχῆς, διὰ δὲ τῶν σκελῶν, τὴν πορείαν αὐτῆς.

Στ. ιε'. « Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. » Ἐπεὶ σῶμα Χριστοῦ οἱ πεπι-

Digitized by Google

στευκότες εἰσὶν, τὰ τῶν πεπιστευκότων πάθη εἰς ἑαυτὸν ἀναλαβὼν πεπονθέναι λέγει ταῦτα, ἃ συμβέβηκεν τοῖς συμπληροῦσιν αὐτοῦ τὸ σῶμα. Ἐπεὶ οὖν σκορπισμὸν ὑπέμειναν τὰ πρόβατα παταχθέντος τοῦ Ποιμένος, φησίν· « Ὡσεὶ ὕδωρ ἐξεχύθη· » τὸ γὰρ ἐκχυθὲν ὕδωρ σκορπίζεται. Ἀλλὰ καὶ περὶ τῶν ἀποστόλων φησὶ τὸ, « Διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. » Αὐτοὶ γὰρ ὀστᾶ αὐτοῦ τυγχάνουσιν διὰ τὸ εὔτονον, καὶ διακρατεῖν πᾶν τὸ σῶμα. « Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου· ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου. » Τάχα γίνεταί τινος ἡ καρδία τηκομένη οἷα κηρὸς ἐν μέσῳ τῆς κοιλίας, ὅτ' ἂν ἴδῃ τοὺς ὠδινηθέντας καὶ γεννηθέντας ὑπ' αὐτοῦ συμφορὰν ὑπομένοντας. Ἐπεὶ τοίνυν καὶ τὰ προειρημένα περὶ τοὺς μαθητὰς Ἰησοῦ γέγονεν, ἡ καρδία αὐτοῦ διακειμένη πρὸς αὐτοὺς ἀγαπητικῶς πυρουμένη, κηροῦ πάθος ἀνεδέξατο ἐν μέσῳ τῆς κοιλίας συμπαθούσης οἷς ἔτεκεν. Ἀλλὰ καὶ τὸ γλυκὺ τῆς καρδίας, ὅτε κηρὸς ὑπῆρχεν, ἐτάκη· ὅτε τροφὴ γέγονεν, καὶ εἰς γαστέρα ἐχώρησεν· τὰς γὰρ νοήσεις τῆς καρδίας ὡς κηρὸν τραφέντας εἰς κοιλίαν κατέβαλον τηκόμενον καὶ λεπτυνόμενον διὰ τῆς συνεχοῦς μελέτης, ἐπὶ τῷ εἰς τὴν σύστασιν τοῦ τραφέντος ἀναδοθῆναι. Ἀλλὰ καὶ ἰσχὺς εἰς τὴν κάμινον τοῦ βίου εἰσαχθεῖσα, ὀστράκῳ παραπλησίως ἐξηράνθη· μετὰ πεῖραν γὰρ θλιβερῶν ὡς ἐκ καμίνου τις ἐξαφθεὶς, ξηρασίαν ὀστράκου ἀναδέξεται, οὐκέτι ὑγραινόμενος οἷα πηλὸς ὑπὸ τῆς ὑγρότητος τοῦ πηλοῦ καὶ τοῦ ῥεύστου τῶν ἡδονῶν.

dentes sunt, credentium passionibus in semetipso susceptis, se hæc passum fuisse dicit, quæ iis acciderunt, quibus Christi corpus constituitur. Postquam igitur dispersionem passæ sunt oves percusso Pastore, dicit : « Quasi aqua effusæ sunt ; » effusa enim aqua dispergitur. Sed et de apostolis dicit : « Dispersa sunt omnia ossa mea. » Hi enim ejus ossa sunt, prout solidi corpusque totum dirigentes. « Factum est cor meum tanquam cera liquescens in medio ventris mei. Aruit tanquam testa virtus mea. » Fortasse fit cujusdam cor liquescens sicut cera in medio ventris, cum videt quos peperit genuitque adversa ferentes. Postquam igitur Jesu discipulis evenerunt quæ modo retulimus, cor ejus, quod erat in eos amore accensum, ceræ vicem accepit in medio ventris, quos genuit commiserati. Sed et dulcedo cordis, veluti qua cera est, liquescit, cum cibus fit atque in ventrem descendit; cordis enim cogitationes quasi ceram nutritas in ventrem demiserunt liquescentem atque imminutam propter assiduam meditationem, ut in concretionem nutriti daretur. Sed et virtus in vitæ fornacem immissa, tanquam testa aruit; namque post tribulationum experientiam sicut e fornace homo eductus testæ siccitatem præbet, non amplius quasi limus madens humore limi fluxuque voluptatum.

Στ. ις'. « Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου. » Τῶν ἀκροατῶν διεσκορπισμένων, οὐκέτι παρόντων εἰς οὓς ἡ γλῶττα ἐνήργει διδάσκουσα καὶ διαλεγομένη, ἀνενέργητος εἶη τῷ λάρυγγι κεκολλημένη· ἡ γὰρ προ...

Vers. 16. « Et lingua mea adhæsit faucibus meis. » Dispersis discipulis, nec jam præsentibus quibus edocendis instruendisque lingua exerceretur, otiosa faucibus adhærebat; etenim.....

Στ. ιζ'. Τὸ οὖν ὀρύξαι τὴν τῶν ἥλων σημαίνει διάτρησιν. Ἐξαριθμεῖται δὲ σώματος ὀστᾶ ἡνίκα ἐγυμνώθη τῶν συμπεπαρμένων ὀστῶν· ὀστᾶ μὲν οὖν αὐτοῦ οἱ ἀπόστολοι· σάρκες δὲ οἱ ἐπιπολαιότερον καὶ σωματικώτερον πιστεύσαντες. Ὅταν οὖν ἐπὶ τὸ αὐτό ἐστι τὸ σῶμα, τὰ μὲν ὀστᾶ διακρατεῖ τὰς σάρκας. Αἱ δὲ σάρκες περὶ τὰ ὀστᾶ τυγχάνουσιν καλύπτουσαι αὐτά.

Vers. 17. Fodere igitur, clavorum foramen significat. Dinumerantur corporis ossa cum nudatus est ossibus sub pelle rigentibus; ossa quidem ejus apostoli sunt; carnes vero, qui magis stricte et corporaliter crediderunt. Cum vero ambobus unum constet corpus, ossibus quidem reguntur carnes. Hæ autem ossa protegunt.

Στ. ιη', ιθ'. Ὅταν οὖν φόβος ἐκταράξῃ, φευγόντων τῶν ἐπιπολαίων πιστῶν, καταλείπονται οἱ στερρὸι καὶ εὔτονοι ζηλωταὶ, καὶ γυμνωθέντες τοῦ πλήθους ἐξαριθμοῦνται ῥᾳδίως. Πρὸς τῇ ἱστορίᾳ νοήσεις ἱματισμὸν Ἰησοῦ τὰς προχείρους τῶν Γραφῶν λέξεις· ἕκαστος γὰρ αὐτῶν τὰς μὲν δέχεται τῶν Γραφῶν, τὰς δὲ οὔ. Καὶ τούτου οὐ χιτῶνος Ἰησοῦ ἀσχίστου τυγχάνοντος, διὰ τὸ εἶναι ἄῤῥαφον· οὐ γὰρ βεβιασμένην ἕνωσιν, ἀλλὰ συμφυῆ ἔχει· ἔστιν δὲ καὶ ἄνωθεν διὰ τὸ θεόπνευστος εἶναι· ὑφαντὸς δι' ὅλου, διὰ πάσης γὰρ δυνάμεως ἡ Γραφὴ ἄνωθέν ἐστιν. Ἡ δὲ Ἐκκλησία οὐ μερίζεται τὰ ἱμάτια, οὐδὲ κλῆρον βάλλει ἐπ' αὐτοῖς. Ὅλα γὰρ ἔχει καὶ ἐνδέδυται παραστᾶσα ἐκ δεξιῶν Ἰησοῦ οἷα βασιλὶς ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ὑπεραναβᾶσα

Vers. 18, 19. Cum igitur timor exturbaverit, fugientibus qui debilioris sunt fidei, robusti firmique permanent zelatores, et multitudine quasi nudati facile dinumerantur. Præter historicum sensum putabis vestimentum Jesu vulgares Scripturarum voces; quisque enim eorum has quidem Scripturas accipit, illas rejicit. Hic non Jesu tunica indicatur, indivisa quippe, cum sine sutura esset; cui enim non coacta, sed naturalis unitas; est etiam de sublimi, quia divinitus afflata; textilis tota, nam omni virtute Scriptura de sublimi est. Ecclesia non vestimenta dividit, nec sortem mittit super ea. Tota enim habet atque induit, stans ad dextram Jesu sicut regina vestimento deaurato circumdata et distincta [74]. Hæc vero supergressa vestimenta, et

[74] Psal. XLIV, 10.

Digitized by Google

ipsum induetur Jesum, Patris sapientiam virtutemque, sapiens fortisque facta.

Vers. 20. « Tu autem, Domine, ne elongaris auxilium tuum a me, ad defensionem meam conspice. » Hæc igitur facientibus istis, ne elongaris auxilium tuum a me; te enim auxiliante et ad defensionem meam conspiciente, qui tertio die a mortuis resurrexisti, inanes adversum me molitiones ostendam.

Vers. 21. « Erue a framea animam meam. » Cum circumdantes me inimici adversum me sanguinem sitientes gladium stringunt, qui non corpus, sed animam vulnerare potest, erue ab eorum framea animam meam, integram eam a turbatione et timore custodiens. Etsi enim satis instruitur anima nostra, videns quidem diabolum cum omni dæmonum phalange et adversariarum potestatum pravorumque hominum ab iis incitatorum turma exturbata, quæ quidem versatilis est naturæ, auxiliatorem habere precatur eum qui ab hostium framea ipsam eruere valet. Atque etiam ipse diabolus allegorice framea vocatur, propter suam adversus omnem animam audaciam, vulnerare eam quæritans; et ab ista framea se liberari expetit. « Et de manu canis unicam meam. » Quos prius pluraliter circumdantes seipsum canes dixit, nunc singulariter per genus vocat. Unicam autem ipsius animam dicit, quod segregatur et separatur ab aliis animis; etenim omnes quidem istæ noverunt iniquitatem, ipsa autem non novit. Istis quidem ex intervallo adest et conversatur Deus Verbum; huic vero continenter et sine intermissu usque in finem indissolubilis permanet. Hæc præclara quæ illi insunt unica ejus esse dicuntur; necnon apud eum stans Ecclesia, labem aut rugam non habens, omnino perfectis repleta, unica ejus habetur. Qui quidem in ordinibus multis juxta perfectionis gradum sunt distributi; namque cum sexaginta sint reginæ et octoginta concubinæ, et puellarum innumerabilis numerus, una hæc super omnes est columba perfecta, et unigenita ipsius matri supernæ Jerusalem [75].

Vers. 22. « Salva me ex ore leonis, et a cornibus unicornium humilitatem meam. » A paulo ante dicto leone diabolo nunc salvari precatur; sed et humilitatem suam, juxta quam humiliavit semetipsum. Patri obediens factus usque ad mortem, mortem autem crucis [76]. Salvari autem vult et ab unicornium cornibus, alius generis adversariæ potestatis regnum sibi vindicantis; regni enim symbolum cornu. Sunt autem qui putent crucem significari hoc loco cornu figuram præbentem.

Vers. 23. Hunc quoque versiculum de Christi persona dici ad Hebræos Epistola dicit [77], ad Patrem ex-

A δὲ ταῦτα τὰ ἱμάτια, καὶ αὐτὸν Ἰησοῦν ἐνδύσεται, ὄντα σοφίαν καὶ δύναμιν Πατρὸς, σοφὴ καὶ δυνατὴ γινομένη.

Στ. κ'. « Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. » Ταῦτα δὲ ποιούντων ἐκείνων, μὴ μακρύνῃς τὴν βοήθειάν μου· σοῦ γὰρ βοηθοῦντος, καὶ εἰς τὴν ἀντίληψίν μου προσέχοντος, τριταῖος ἀναστὰς ἐκ νεκρῶν, ματαίαν τὴν κατ' ἐμοῦ ἐπιβουλὴν ἀναδείξω.

Στ. κα'. « Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου. » Ἐπεὶ οἱ περικυκλοῦντές με ἐχθροὶ, κατ' ἐμοῦ φονῶντες μάχαιραν ἔχουσιν, οὐ σῶμα ἀλλὰ ψυχὴν τρῶσαι δυνατὴν, ῥῦσαι ἀπὸ τῆς τούτων ῥομφαίας τὴν ψυχήν μου, ἀβλαβῆ αὐτὴν ἀπὸ ταράχου καὶ δειλίας φυλάττων. Εἰ γὰρ καὶ ἱκανῶς παρεσκεύασται ἡ ἡμετέρα B ψυχὴ, ἀλλά γε θεωροῦσα τὸν διάβολον μετὰ πάσης τῆς τῶν δαιμόνων φάλαγγος καὶ τοῦ στίφους τῶν ἀντικειμένων ἐνεργειῶν καὶ πονηρῶν ἀνθρώπων ὑπ' αὐτῶν ἐνεργουμένων, ταραχθεῖσα (τρεπτῆς γάρ ἐστι φύσεως), σύμμαχον ἔχειν παρακαλεῖ τὸν δυνάμενον ῥύσασθαι ἀπὸ τῆς ῥομφαίας τῶν πολεμίων. Τάχα δὲ καὶ αὐτὸς ὁ διάβολος ἀλληγορικῶς ῥομφαία λέγοιτο, ἐπεὶ τολμᾷ κατὰ πάσης ψυχῆς, τρῶσαι αὐτὴν προαιρούμενος· καὶ ἐκ ταύτης τοίνυν τῆς ῥομφαίας ῥυσθῆναι παρακαλεῖ. « Καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. » Οὓς πρότερον πληθυντικῶς περικυκλώσαντας αὐτὸν κύνας εἶπεν, νῦν ἑνικῶς διὰ τὸ γένος καλεῖ. Μονογενῆ δὲ αὐτοῦ τὴν ψυχὴν εἶπεν, διὰ τὸ μεμονῶσθαι καὶ κεχωρίσθαι τῶν ἄλλων ψυχῶν· πᾶσαι μὲν γὰρ ἐκεῖναι ἔγνωσαν ἁμαρτίαν, αὕτη δὲ οὔ. Κἀκείναις μὲν ἐκ διαλειμμάτων ἐπιφοιτᾷ καὶ σύνεστιν ὁ C Θεὸς Λόγος, ταύτῃ δὲ ἀχωρίστως καὶ ἀδιαστάτως μέχρι τέλους ἀδιάζευκτος διαμενεῖ. Ταῦτ' οὖν τὰ ἐξαίρετα αὐτῇ συνόντα μονογενὴς εἶναι αὐτοῦ λέγεται· τάχα δὲ καὶ ἡ παραστᾶσα αὐτῷ ἔνδοξος Ἐκκλησία, οὐκ ἔχουσα σπίλον ἢ ῥυτίδα, συμπληρουμένη ἐκ τῶν ἀμώμως τελείων, μονογενὴς αὐτοῦ τυγχάνει. Ὧν προκοπτόντων εἰς τάγματα πολλὰ διῃρημένων διὰ τὴν ἐκ τῆς προκοπῆς διαφοράν· ἑξήκοντα γοῦν οὐσῶν βασιλίδων, καὶ ὀγδοήκοντα παλλακῶν, καὶ νεανίδων ὧν οὐκ ἔστιν ἀριθμὸς, μία αὕτη ὑπὲρ πάσας ἐστὶν περιστερὰ τελεία, μονογενὴς οὖσα τῇ μητρὶ αὐτῆς τῇ ἄνω Ἱερουσαλήμ.

Στ. κβ'. « Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. » Ἀπὸ D τοῦ μικρῷ πρόσθεν εἰρημένου λέοντος διαβόλου νῦν σωθῆναι παρακαλεῖ, ἀλλὰ καὶ τὴν ταπείνωσιν ἑαυτοῦ, καθ' ἣν ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Σωθῆναι δὲ βούλεται καὶ ἀπὸ κεράτων μονοκερώτων, ἄλλου εἴδους ἀντικειμένης δυνάμεως βασιλείαν ἐπαγγελλομένης· βασιλείας γὰρ σύμβολον τὸ κέρας. Εἰσὶν δὲ οἱ νομίζοντες τὸν σταυρὸν σημαίνεσθαι ἀπὸ τῆς προκειμένης λέξεως, κέρατος σχῆμα φέροντα.

Στ κγ'. Καὶ ταύτην τὴν λέξιν ἐκ προσώπου τοῦ Χριστοῦ εἰρῆσθαι, ἡ πρὸς Ἑβραίους Ἐπιστολή φη-

[75] Cant. vi, 7, 8. [76] Philipp. ii, 8. [77] Hebr. ii, 12.

Digitized by Google

σιν, ἀναφθεγγομένου πρὸς τὸν Πατέρα· Ὦ Πάτερ, τὸ A clamantis: Pater, nomen tuum, id est propriam cogi-
σὸν ὄνομα, τοῦτ' ἔστιν τὴν σὴν ἰδιότητα, τὴν ἔννοιάν tationem tuam narrabo, manifestam eam efficiens
σου διηγήσομαι, φανερὰν αὐτὴν ποιῶν τοῖς γεναμέ- iis qui fratres mei facti sunt, quibus Spiritum meum
νοις μου ἀδελφοῖς, οἷς τὸ ἐμὸν Πνεῦμα κατέπεμψας· misisti; ad quos dicitur: « Filii estis, emisit Deus
πρὸς οὓς ῥηθείην ἄν, ὅτι « Ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Spiritum Filii sui in cordibus vestris. » Illi vero sunt
Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις qui adoptionis Spiritum a Deo acceperunt, ut Dei
ὑμῶν. » Οὗτοι δέ εἰσιν οἱ τὸ Πνεῦμα τῆς υἱοθεσίας ἐκ quidem filii, fratres autem Unigeniti sint. Atque
Θεοῦ λαβόντες, ἵνα τοῦ Θεοῦ μὲν υἱοί, ἀδελφοὶ δὲ τοῦ ex mortuis igitur resurgens, mulieribus manifesta-
Μονογενοῦς ὦσιν. Καὶ ἐκ νεκρῶν γοῦν ἀναστὰς, ἐπι- tus, Ite, dixit, dicite fratribus meis, quia sur-
φανεὶς ταῖς γυναιξὶν, Πορευθεῖσαι, ἔφη, εἴπατε τοῖς rexi. In medio autem ex iis congregatæ Ecclesiæ
ἀδελφοῖς μου, ὅτι ἠγέρθην. Ἐν μέσῳ δὲ τῆς ἐκ τού- laudabit Patrem hymnis et canticis.
των συναγομένης Ἐκκλησίας ὑμνήσει τὸν Πατέρα αἴ-
νους καὶ παιᾶνας.

Στ. κδ'. Κατὰ πλείονας τρόπους τοῦ Ἰακὼβ ὀνομα- Vers. 24. Vario sensu Jacob nominatur. Signifi-
ζομένου. Σημαίνει γὰρ ἡ προσηγορία αὕτη ὁτὲ μὲν cat autem hæc denominatio nunc quidem sanctum
τὸν θεῖον ἄνδρα, υἱὸν μὲν Ἰσαὰκ, πατέρα δὲ τῶν virum, filium Isaac, duodecimque patriarcharum
δώδεκα πατριαρχῶν· ὁτὲ δὲ τὸν ἐκ τούτου προελθόντα B patrem; nunc vero exortam ab eo duodecim tribuum
δωδεκάφυλον λαόν· ὁτὲ δὲ τὰς δέκα φυλὰς μόνας ἀπο- gentem; nunc autem solas decem tribus a domo
σχισθείσας τοῦ οἴκου Δαυὶδ, καὶ ἀκολουθησάσας τῷ David separatas et Jeroboam secutas; nunc quo-
Ἱεροβοάμ· ὁτὲ δὲ τὸν Σωτῆρα αὐτὸν, κατὰ τὸ, « Ἰα- que Salvatorem ipsum, juxta illud: « Jacob, filius
κὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ. Ἰσραὴλ ὁ ἐκλε- meus, suscipiam eum. Israel, electus meus, accepit
κτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. » Ταύτην eum anima mea [78]. » Hanc enim prophetiam de Sal-
γὰρ τὴν προφητείαν περὶ τοῦ Σωτῆρος ὁ Ματθαῖος vatore Matthæus dictam scripsit. Ad quem eorum
εἰρημένην ἔγραψεν. Ζητητέον κατὰ τί τῶν σημαινο- quos modo enumeravimus referatur inquirendum
μένων εἴρηται τὸ, « Ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξά- est illud: « Universum semen Jacob, glorificate
σατε αὐτόν. » Καὶ ὁ μὲν πολὺς ἐρεῖ [ὅτι], τοῦ πατρι- eum. » Plerique dicent, patriarchæ Jacob semen,
άρχου Ἰακὼβ τὸ σπέρμα τὸ δωδεκάφυλον ἐντραφὲν duodecim scilicet tribus, legis et prophetarum
τῇ ἀναγνώσει τοῦ νόμου καὶ τῶν προφητῶν, δοξάσαι lectione nutritum, glorificare vult Deum cogitatio-
βούλεται τὸν Θεὸν, καὶ διὰ νοημάτων καὶ λόγων καὶ nibus, verbis, bonisque operibus. Hoc vero falsis
ἔργων ἀγαθῶν. Τάχα δὲ ἐπὶ ψεῦδος εἴη τοῦτο, πολ- esset annumerandum, cum multi e Jacob exorti,
λῶν ἐκ τοῦ Ἰακὼβ γεγενημένων ἀπίστων καὶ προδο- C infideles et Jesu traditores facti sint. Illud dici po-
τῶν Ἰησοῦ. Λέξει τις, ὅτι τοῦ Ἰακὼβ τοῦ πτερνιστοῦ test de Jacob illo calcitrante et dejiciente mortem
καὶ καταπαλαίσαντος τὸν θάνατον καὶ τὴν ἀντικειμέ- adversamque potestatem; hic vero est Jesus; semen
νην δύναμιν· Ἰησοῦς δέ ἐστιν οὗτος· τὸ σπέρμα αὐ- ejus, doctrina genitum, glorificare Deum penitus
τοῦ, τὸ γενόμενον ἐκ διδασκαλίας, δοξάσαι τὸν Θεὸν poterit. Si autem et Israel est quem suscepit anima
ἅπαν δυνήσεται. Ἐπειδὴ δὲ καὶ Ἰσραὴλ ἐστιν ὃν Dei, electum semen ejus, qua Israel est, timebit
προσεδέξατο ἡ ψυχὴ τοῦ Θεοῦ, ἐκλεκτὸν ὄντα σπέρμα Deum. Et quisque imitatorum Jesu, si quidem
αὐτοῦ, ᾗ Ἰσραὴλ ἐστιν, φοβηθήσεται τὸν Θεόν. Καὶ luctam sustinet cum potestatibus, principibusque
ἕκαστος δὲ τῶν μιμητῶν Ἰησοῦ, εἰ μὲν ἔχει τὴν πά- ac tyrannis, harum tenebrarum Jacob est adversa-
λην πρὸς ἀρχὰς καὶ ἐξουσίας καὶ κοσμοκράτορας τοῦ rios lucta dejiciens. Quod si puram habet animam
σκότους τούτου, Ἰακώβ ἐστιν πτερνίζων τοὺς ἀντι- lucidamque mentem, videbit Deum, Israelque ideo
πάλους. Εἰ δὲ καρδίαν ἔχει καθαρὰν, καὶ νοῦν διαυ- erit. Omnis igitur talis semen Deum timebit.
γῆ, ὄψεται τὸν Θεὸν, Ἰσραὴλ κατὰ τοῦτο τυγχάνων.
Παντὸς οὖν τοῦ τοιούτου τὸ σπέρμα Θεὸν φοβηθή-
σεται.

Στ. κε'. Ἐπεὶ οὐκ ἐξουδένωσεν ἐμοῦ τοῦ πτωχοῦ D Vers. 25. Quoniam non despexit mei pauperis
τὴν δέησιν, οὐδὲ προσώχθισεν μυχθίζων αὐτὴν, τού- deprecationem, neque iratus est aspernans eam, hu-
του χάριν εὐχάριστοι γινόμενοι ἐπὶ τῷ ἐπηκοῦσθαι jus gratia grati acceptique facti exaudita a Domino
ὑπὸ Κυρίου τὴν δέησιν ὑπὲρ ἡμῶν γινομένην, αἰνέ- deprecatione pro nobis habita, laudate, et glorificate,
σατε καὶ δοξάσατε καὶ φοβήθητε αὐτόν. Εἰ γὰρ καὶ et timete eum. Si enim quasi mendicus . . . . . .
ὡς πτωχὸς... ὀφείλετε, ὅτι ἐγὼ πλούσιος ὢν, θησαυ- debetis, quoniam ego, qui dives sum et bonorum
ρὸς ὢν τοῦ πληρώματος τῶν ἀγαθῶν, δι' ὑμᾶς ἐπτώ- plenitudinis thesaurus, propter vos pauper factus
χευσα, ἵνα διὰ τῆς ἐμῆς πτωχείας πλουσίους ὑμᾶς sum, ut paupertate mea divites vos efficerem. Non
ποιήσω. Οὐ γὰρ οἷοί τε ἦτε σάρκα περικείμενοι, δέ- enim potuissetis, qui carne circumdati estis, meas
ξασθαί μου τὸν πλοῦτον, τέως ἐκ μέρους γινώσκον- accipere divitias, ex parte cognoscentes ac prophe-
τες καὶ προφητεύοντες. Πτωχεύσας οὖν δι' ὑμᾶς, tizantes. Pauper igitur propter vos factus, pro vobis
ὑπὲρ ὑμῶν πρὸς Κύριον ἐκέκραξα, καὶ ὑπήκουσέν ad Dominum clamavi, et exaudivit me, hæc dans

[78] Isa. XLII, 1.

Digitized by Google

vobis, quibus divites efficeremini. Sic enim me ad vos misso, « Non avertit faciem suam a me, » sed magis etiam eam collustravit mihi; ideoque clamorem exaudivit.

A μου, δοὺς ὑμῖν ἐκεῖνα, ἐφ' οἷς πλούσιοι ἀπεφάνθητε. Οὕτω γὰρ, μοῦ περὶ ὑμῶν πρεσβευομένου, « Οὐκ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, » ἀλλ' ἔτι μᾶλλον ἐπέλαμψέ μοι αὐτό· διὸ καὶ τὴν κραυγὴν προσήκατο.

Vers. 26. Homines quidem ex manifestis operibus studiisque laudant; Deus autem abscondita videns, de perfecta virtute et excellenti scientia laudat. Magni igitur cujusdam est libere dicere: « Apud te, Deus, laus mea; » non in quolibet loco, sed « in Ecclesia magna; » magna autem Ecclesia, quæ congregatur e singulatim magnis, sicut Ecclesia multa, quæ multis constat. — Precatio est gratiarum actionum consensus, si rebus ad Deum spectantibus constet.

Στ. κς'. Ἄνθρωποι μὲν ἐπὶ φανεροῖς ἔργοις καὶ ἐπιτηδεύμασιν ἐπαινοῦσιν· Θεὸς δὲ τὸ κρυπτὸν ὁρῶν, ἐπὶ τελείᾳ ἀρετῇ καὶ γνώσει ὑπερβαλλούσῃ ἐπαινεῖ. Μεγάλου τινὸς οὖν ἐστιν μετὰ παῤῥησίας εἰπεῖν, « Παρὰ σοῦ, ὦ Θεὲ, ὁ ἔπαινός μου, » οὐκ ἐπὶ τῶν τυχόντων, ἀλλ' « ἐπὶ Ἐκκλησίας μεγάλης· » μεγάλη δὲ Ἐκκλησία, ἡ ἐκ τῶν καθ' ἕκαστον μεγάλων συναγομένη, ὡς Ἐκκλησία πολλὴ ἡ ἐκ πολλῶν συναγομένη. — Εὐχή ἐστιν ὁμολογία γινομένη εὐχαριστίας, εἰ τῶνδέ τινων θεόθεν τεύξοιτο.

Vers. 28. Qui dicuntur fines terræ, illorum B enim regnum est in cœlo, convertuntur ad eum; gentesque, quæ prius adorare non poterant secundum legem Jerusalem, cum remotiores essent, Sophoniæ prophetiam implent: « Et adorabunt in conspectu ejus quisque ex loco suo, universæ familiæ gentium [79]. »

Στ. κη'. Ἀλλὰ καὶ οἱ περάσαντες ἀπὸ τῆς γῆς, τῷ ἔχειν ἐν οὐρανῷ τὸ πολίτευμα, πρὸς αὐτὸν ἐπιστρέφουσιν· τὰ δὲ πάλαι μὴ δυνάμενα προσκυνεῖν ἔθνη, κατὰ τὸν νόμον, Ἱερουσαλὴμ, διὰ τὸ πόῤῥω τυγχάνειν, τὴν Σοφονίου πληροῦσι προφητείαν· « Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. »

Vers. 30. Pingues terræ esse possunt qui terrestribus nutriti sunt, spiritu autem in pœnitentiam vocati, spiritu corporis actus mortificantes, non jam terrestria sapiunt, spiritalemque a Jesu suppeditatum cibum manducantes, adoraverunt Deum spiritu. Dici quoque possunt pingues sapientia præstantes, sive mundi sapientiæ participes, sive florentes opibus et dominantes. Hi enim acceptum a Jesu cibum manducantes, adversus ingruentia C mala propugnaculum, Deum adorant, invenientes eum super omnem quam possident sapientiam, divitiasque et principatum. Descendentes in terram vocari possunt omnes de cœlo in terram missi angeli, et Dominum Salvatoremque adorantes juxta illud: « Adorent eum omnes angeli Dei [80]. » Animadvertendum etiamnum in terram possint descendere qui communem mortem sortiti, adorabunt Dominum, pro ipsis in profundissimas terræ partes demissum.

Στ. λ'. Πίονες γῆς εἶναι δύνανται οἱ τοῖς γηΐνοις ἐντεθραμμένοι· πνεύματι δὲ οἵτινες εἰς μετάνοιαν κεκλημένοι, πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦντες, ὡς μηκέτι τὰ ἐπίγεια φρονεῖν, φαγόντες τὴν ὑπὸ Ἰησοῦ ὀρεγομένην πνευματικὴν τροφὴν, προσεκύνησαν τῷ Θεῷ πνεύματι. Λέγοις δ' ἂν καὶ πίονας τοὺς σοφίᾳ διαφέροντας, ἤτοι κοσμικὴν σοφίαν μετερχομένους, ἢ πλουτοῦντας καὶ ἄρχοντας αἰσθητῶς. Καὶ οὗτοι γὰρ φαγόντες τὴν παρὰ Ἰησοῦ τροφὴν, ἀλεξητήριον οὖσαν τῶν προκαταλαβόντων κακῶν, προσκυνήσουσι τῷ Θεῷ, εὑρόντες αὐτὸν ὑπὲρ πᾶσαν ἣν εἶχον σοφίαν καὶ πλοῦτον καὶ ἀρχήν. Καταβαίνοντας δὲ εἰς γῆν εἴποι ἂν τις τοὺς ἐξ οὐρανοῦ εἰς γῆν κατιόντας ἀγγέλους πάντας, καὶ τῷ Δεσπότῃ καὶ Σωτῆρι προσκυνοῦντας, κατὰ τὸ, « Προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Ἐπίστησον δὲ, εἰ καταβαίνειν εἰς γῆν δύνανται οἱ τὸν κοινὸν ἀναδεχόμενοι θάνατον, οἵτινες προσκυνήσουσι τὸν Κύριον, ὑπὲρ αὐτῶν εἰς τὰ κατώτερα μέρη τῆς γῆς γενόμενον.

Vers. 32. « Annuntiabitur Domino generatio ventura, et annuntiabunt justitiam ejus populo qui nascetur, quem fecit Dominus. » Illud, « Generatio D abit, et generatio venit [81], » de duobus populis nonnulli accipientes, generationem abeuntem circumcisionis populum dixerunt, qui a Domino recessit. Quapropter fallax et perversa generatio facta est; veniens autem generatio, gentilium vocatio..... Ipsa igitur annuntiabitur Domino ab iis qui pro ea legati missi sunt, tibi dicentes: « Gentes venient ab extremis terræ [82]; » et: « Omnes gentes quas fecisti, venient et adorabunt in conspectu tuo [83]. » Hanc enim ad eum venientem generationem non repulit Salvator dicens: « Venientem ad me non ejiciam foras [84]. » Optime qui-

Στ. λβ'. « Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἐρχομένη, καὶ ἀναγγελοῦσιν τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος. » Τὸ, « Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, » ἐπὶ τῶν δύο λαῶν ἐκλαμβάνοντές τινες, γενεὰν πορευομένην τοὺς ἐκ περιτομῆς εἰρήκασιν, τῷ ἀποπεφοιτηκέναι τοῦ Κυρίου. Διὰ τὸ, γενεὰ σκολιὰ καὶ πονηρὰ γεγονέναι· ἐρχομένη δὲ γενεὰ, ἡ ἀπὸ τῶν ἐθνῶν κλῆσις... ἐπειγομένη. Αὕτη οὖν ἀναγγελήσεται τῷ Κυρίῳ πρὸς τῶν πρεσβευόντων ὑπὲρ αὐτῆς, λεγόντων πρὸς σέ· « Ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς· » καὶ, « Πάντα ἔθνη ὅσα ἐποίησας, ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου. » Ταύτην γὰρ πρὸς αὐτὸν ἐρχομένην τὴν γενεὰν οὐκ ἐκβάλλει ὁ λέγων Σωτήρ· « Τὸν ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω. » Εὖ δὲ καὶ τὸ

[79] Sophon. II, 11. [80] Psal. XCVI, 7; Hebr. I, 7. [81] Eccle. II, 4. [82] Jer. XXXI. 8. [83] Psal. LXXXV 9 [84] Joan. VI, 37.

Digitized by Google

εἰπεῖν, τὸν ἐρχόμενον, καὶ οὐ, τὸν ἐλθόντα· τὸν γὰρ ἀεὶ ἐνεργοῦντα τὸ πρὸς αὐτὸν ἥκειν, τῷ πράττειν τὰ τῆς ἀρετῆς, οὐκ ἐκβάλλει ἔξω. Καὶ γενεὰ οὖν περὶ ἧς ὁ λόγος, οὐκ ἦλθεν, ἀλλ' ἔρχεται πρὸς αὐτόν, τὰ τῆς πίστεως περιέπουσα. Αὐτοὶ δὲ οὗτοι οἱ ἀναγγέλλοντες τῷ Κυρίῳ τὴν ἐρχομένην γενεὰν, καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην τὴν διὰ πίστεως Ἰησοῦ εἰς πάντας τοὺς πιστεύοντας ἐνεργουμένην, ἀναγγελοῦσιν τῷ τεχθησομένῳ θεῖον τόκον λαῷ, « ὃν ὁ Κύριος ἐποίησεν, » περιποιησάμενος αὐτὸν διὰ τοῦ ἰδίου αἵματος, καλέσας τὸν λαὸν ἑαυτοῦ. A

dem dicitur veniens, non autem quæ jam venit, semper enim conantem ad eum venire, virtutis opera agentem, non ejicit foras; et generatio igitur de qua sermo habetur, non jam venit, sed nunc ad eum est veniens, fidei præcepta sectans. Hi vero ipsi annuntiantes Domino venientem generationem, et Dei justitiam per fidem Jesu in omnes credentes penetrantem, annuntiabunt nasciturο per divinum partum populo, « quem fecit Dominus; » hunc enim proprio formavit sanguine, vocavitque populum suum.

PSALMUS XXII.

Στ. α', β'. Ὁ διὰ τὸ κατορθῶσαι τὸ πρᾶον καὶ εὐσταθὲς Χριστοῦ πρόβατον χρηματίσας, περὶ τοῦ καλοῦ Ποιμένος ἐρεῖ, « Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· » ἀπάγει γάρ με ἐπὶ τὴν σωτήριον νομὴν, ἔνθα θεῖαι βοτάναι· περὶ ἧς αὐτὸς ὁ Ποιμὴν περὶ τοῦ ἰδίου προβάτου φησίν· « Εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. » Τάχα δὲ τόπος χλόης, ἡ θεία παίδευσις εἶναι δύναται, ἔνθα πνευματικὴ πόα εὑρίσκεται, ἠθικὴ οὖσα διδασκαλία. Ἐν τούτῳ οὖν τῷ τόπῳ κατεσκήνωσέν με, ἀλλ' οὐ κατῴκισεν. Βούλεται γάρ με ἐς ὅσον προκόπτω, χρᾶσθαί με τῇ τοιαύτῃ νομῇ τελείως. Παυσάμενος γὰρ προκοπῆς, οὐ ποιμένος, ἀλλὰ παιδευτοῦ καὶ διδασκάλου, ἐκ προβάτου ἄνθρωπος γεγονὼς, πειραθήσομαι. Οὐκέτι πρόβατον ὤν, ὅτε καὶ δι' ἁμαρτίαν πλανηθεὶς τῆς νομῆς, ἐπὶ ταύτην πάλιν ἐπέστρεψεν ὑπὸ τοῦ ποιμένος, τοῦτο ἀπολωλὸς ἐπιστρέφοντος, τῷ δεκτικὸς ἐπιστροφῆς εἶναι πρὸς τὸ ὄθεν ἐξέβη· ἐπισυνέβη γὰρ ἡ ἁμαρτία τοῖς ἀποστραφεῖσι Θεόν. « Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με. » Τὸ γὰρ ἠθικὸν μάθημα οὐ μόνον ἄκος ἐστὶν δίψης, ἀλλὰ καὶ λύσιν ἁμαρτημάτων παρέχει. B C

Verses 1, 2. Qui mitem et recte ordinatum Christi gregem effecerit, de bono Pastore dicet: « Dominus regit me, et nihil mihi deerit. » Deducit enim me in salutaria pascua, ubi divinæ herbæ. Exinde ipse Pastor de proprio grege ait: « Ingredietur et egredietur, et pascua inveniet [88]. » Etenim graminosus locus divina doctrina esse potest, ubi spiritalis herba invenitur, morum scilicet disciplina. In hoc igitur loco collocavit me, sed non habitavit. Vult igitur me, in quantum proficio, uti tali pascua perfecte. Cum enim proficiens destiterim, non pastore, sed magistro ac præceptore ex ove homini facto mihi opus erit. Non jam ovis, quæ propter iniquitatem de pascua deerrans, ad eam rursus a pastore reducta est, perditam reperiente; quæ enim unde exierit redire valet; peccatum enim Deum rejicientibus supervenit. « Super aquam refectionis educavit me. » Ethica enim scientia non modo sitis est remedium, sed et peccatorum remissionem præbet.

Στ. γ'. « Τὴν ψυχήν μου ἐπέστρεψεν. » Εἰ γὰρ καὶ πρόβατον ὂν πεπλάνημαι, ἐκτὸς τῆς νομῆς διὰ τοῦ ἁμαρτάνειν γεγονὸς, ἀλλ' ὁ ἐπιστρέφων τὸ πεπλανημένον ποιμὴν, τὴν ψυχήν μου ἐπέστρεψεν. Σημειωτέον, ὅτι οὐδεὶς κακὸς φύσει, τῷ δεκτικὸς εἶναι ἐπιστροφῆς· ἐπιστρέφεται δέ τις ἐκεῖ, ἔνθα τὴν ἀρχὴν διῆγεν· συμβεβηκυῖα ἄρα ἡ ἁμαρτία τοῖς ἀποστραφεῖσι Θεόν· διὸ καὶ ἀναιρεθείη. « Ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. » Περὶ τοῦ ποιμένος φησὶ τὸ, « Ὡδήγησέν με, » προάγοντος καὶ ὁδοποιοῦντος, ἵν' ἐπιβαίνωμεν αἷς αὐτὸς ἔτριψε τρίβοις, ἐπακολουθοῦντες τοῖς ἴχνεσιν αὐτοῦ· ὅτ' ἂν γὰρ τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ ἴδια πρόβατα αὐτῷ ἀκολουθεῖ. Δικαιοσύνην δὲ λέγει τὴν ἕξιν, καθ' ἣν πρακτικοὶ τῶν δικαίων ἐσμέν. Τρίβους δὲ αὐτῆς τὰ κατ' αὐτὴν ἐπιτελούμενα· ἢ τάχα δικαιοσύνη ἐστὶν ἡ καθόλου καὶ γενικὴ ἀρετή· τρίβοι δὲ αὐτῆς αἱ κατ' εἴδος ἀρεταί. Ἕνεκεν οὖν τῆς ἐπικληθείσης αὐτοῦ ἐπ' ἐμὲ προσηγορίας, ὡδήγησέν με ἐπὶ τὰς προειρημένας τρίβους τῆς δικαιοσύνης. D

Verses 3. « Animam meam convertit. » Si enim, cum ovis essem, extra pascuam deerravi propter peccata mea, reducens autem errantem pastor, animam meam reduxit, animadvertendum est quod nullus natura malus, dum sit conversionis capax; reducitur autem quispiam huc ubi prius fuit: superveniens igitur Deum rejicientibus peccatum, tunc aufertur ab iis. « Deduxit me super semitas justitiæ, propter nomen suum. » De pastore sit, « Deduxit me, » procedente et iter faciente, ut incedamus iisdem quas ipse calcavit semitas, ipsius insequentes vestigia; cum enim proprias educit oves, it prævius, ovesque ipsum comitantur. Justitiam autem dicit habitum, quo justitiæ opera colimus; semitas vero ejus, qui in eam proficiunt. Protinus justitia est universe et generatim virtus; et hujus semitæ diversæ virtutum species. Ergo propter ejus in me invocatum nomen, deduxit me super prædictas justitiæ semitas.

Στ. δ'. Ὅτ' ἂν συνῇ Θεὸς, οὐδὲν τῶν ἐπιβλαβῶν βλάψαι ἢ ζημιῶσαι δύναται, ὡς φησιν ὁ προφήτης·

Verses 4. Ille quocum Deus est, nihil damni malive ab impugnatoribus pati potest, sicut ait pro-

[88] Joan. x, 9.

Digitized by Google

pheta: « Ecce Dominus auxiliabitur mihi, quis mihi nocebit? » Si quando igitur in tribulationibus ambularem atque in acerbis, quæ umbra mortis dicuntur, non timebo mala, Deum mecum habens. Mala hic non proprie dicit, sed molestias, paupertatem, morbum, calamitatem cæteraque ejusdem generis, de quibus Job : « Mala non sufferamus [86]? » Qui enim Deum secum non habet, versatur ubi mala peculiariter bonis contraria. Alii quidem virgam dicunt castigare et edocere, juxta illud : « Quid vultis? in virga veniam ad vos [87]? » baculum vero animos fulciturum esse consilio, exhortatione atque incitamento. « Parasti in conspectu meo mensam in facie eorum qui tribulant me. » Quid sibi vult illud, « in facie eorum qui tribulant me? » Inest ineffabile mysterium, ut tribulari precemur. Advertas, quæso, quemadmodum in certaminibus magnis præmia pro singulis luctis proposita, sic pro singulis tribulationibus, cum tribulatio sæviat, necnon tribulantes adversæ potestates: præparatam, cogites, spiritalem intellectualemque mensam hujus tribulationis causa. Quoties igitur tribulaberis, toties et apponitur tibi mensa spiritalis. Sint modo oculi tui ejusmodi qui conspiciant mensas meas, ut gratias agens cum Apostolo dicas : « Non tantum autem, sed et gloriantes in tribulationibus [88]. »

A « Ἰδοὺ Κύριος βοηθήσει μοι, τίς κακώσει με; » Εἴ ποτ' οὖν καὶ πορευθείην ἐν θλιβεροῖς καὶ ἐπιπόνοις, ἃ λέγεται σκιὰ θανάτου, οὐ φοβηθήσομαι τὰ κακωτικά, Θεὸν ἔχων μετ' ἐμαυτοῦ. Κακὰ δὲ ἐνταῦθα οὐ τὰ κυρίως λέγει, ἀλλὰ τὰ ἐπίπονα, πενίαν, νόσον, δυσφορίαν καὶ τὰ παραπλήσια, περὶ ὧν ὁ Ἰώβ· « Τὰ κακὰ οὐχ ὑποίσομεν; » Οὐ γὰρ Θεόν τις ἔχων μεθ' ἑαυτοῦ, γίνεται ἔνθα κακὰ τὰ ἀντικείμενα τοῖς κυρίως ἀγαθοῖς. Ἄλλοι τὴν μὲν ῥάβδον ἐπιτιμᾶν φασι καὶ παιδεύειν, κατὰ τό· « Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; » τὴν βακτηρίαν ὑποστηρίξειν διὰ συμβουλῆς, προτροπῆς τε καὶ παραινέσεως. « Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με. » Τί βούλεται τὸ « ἐξεναντίας τῶν θλιβόντων με; » Ἔχει τι μυστήριον ἀπόῤῥητον, ἵνα τις εὔχηται θλίβεσθαι. Ἐπινόει μοι ὥσπερ ἐπὶ τῶν ἀγώνων τῶν μεγάλων ἆθλους ἐπικειμένους καθ' ἕκαστον ἀγώνισμα, οὕτως καθ' ἑκάστην θλῖψιν, ἡνίκα ἂν τὸ θλῖβον παρῇ, καὶ αἱ θλίβουσαι δυνάμεις αἱ ἀντικείμεναι· νόει μοι ἀντικειμένην τράπεζαν πνευματικὴν καὶ νοητὴν διὰ ταύτην τὴν θλῖψιν. Ὅσάκις γοῦν ἐὰν θλιβῇς, τοσαυτάκις καὶ τράπεζά σοι παρατίθεται πνευματική. Μόνον ἔχε ὀφθαλμοὺς τοὺς βλέποντας τραπέζας μου, ἵν' εὐχαριστῶν λέγοις μετὰ τοῦ Ἀποστόλου· « Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν ταῖς θλίψεσιν. »

B quemadmodum in certaminibus magnis præmia pro singulis luctis proposita, sic pro singulis tribulationibus, cum tribulatio sæviat, necnon tribulantes adversæ potestates: præparatam, cogites, spiritalem intellectualemque mensam hujus tribulationis causa. Quoties igitur tribulaberis, toties et apponitur tibi mensa spiritalis. Sint modo oculi tui ejusmodi qui conspiciant mensas meas, ut gratias agens cum Apostolo dicas : « Non tantum autem, sed et gloriantes in tribulationibus [88]. »

Στ. ε'. Ἐν ἀρχαῖς ἐφάσκομεν, τὸν ἐν ταῖς προκοπαῖς ὄντα κατασκηνοῦν εἰς τόπον χλόης· ἐπεὶ οὖν ὁ προκόπτων καὶ ἐπὶ τὸ τέλος φθάσειεν, οὐκέτι μείνας πρόβατον, ἀλλὰ λογικὸς ἀναδειχθείς, τράπεζαν

C Verbs. 5. Supra dicebamus, eum, qui multum profecisset, graminosum locum inhabitare: quippe proficiens et ad perfectionem properans, non jam ovis remanet, sed ratione præditus apparens, mensam habet rationalibus ferculis instructam a Domino. Dominus enim, qui sapientia est, ipse hanc paravit mensam in qua proprias oblationes obtulit gratias agens, ait : « Parasti in conspectu meo mensam, » non jam sicut prius suasoriam atque moralem doctrinam, sed mysticam et veritatis contemplationem. Scito enim, unumquemque, quandiu in hac vita versatur, quasi per speculum et ænigma veritatem aspiciens, ovem esse a Pastore ductam; cum pervenerit ad eam ætatem, quæ ventura est, facie ad faciem veritati obviam stans, spiritalis mensæ participem fore, secundum illud : « Et ego constituam vobis testamentum, comedere et bibere ad mensam Spiritus in veritate; » unde et « parasti » dicitur. Ideoque paravit Deus « quæ oculus non vidit, et

D auris non audivit, et ad cor hominis non ascendit quæ præparavit Deus diligentibus se [89]. » Illud « in conspectu meo » ostendit manifestatam esse mihi atque cognitam « mensam in facie eorum qui tribulant me, » multis mecum hostiliter agere volentibus, ideoque tribulantibus me. Fortiter me adversus eos stare Dominus volens, paravit in conspectu meo mensam, cui solidus impositus est cibus, ut illo more athletarum saturatus, fortiter contra tribulantes me defendere possim. Etenim cum perfectis fruimur bonis, validi et plures lacessunt nos adversarii. Ait itaque Apostolus : « Porta enim mihi aperta est, et

ἔχει λογικῶν τροφῶν ηὐτρεπισμένην ὑπὸ Κυρίου. Τῷ γὰρ Κυρίῳ τυγχάνοντι καὶ σοφίᾳ ἡτοιμασμένῃ τὴν ἑαυτῆς τράπεζαν, ἐφ' ᾗ τὰ ἴδια θύματα παρέθηκεν, εὐχαριστῶν φησιν· « Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, » οὐκέτι ἐπαγωγικὴν καὶ ἠθικὴν διδασκαλίαν καθὰ πρότερον, ἀλλὰ μυστικὴν καὶ τὴν τῆς ἀληθείας θεωρίαν. Ἐπίστησον δὲ, εἰ καὶ ὅσον τίς ἐστιν ἐν τῷ βίῳ τούτῳ, δι' ἐσόπτρου καὶ δι' αἰνίγματος τὴν ἀλήθειαν βλέπων, πρόβατόν ἐστιν ὑπὸ ποιμένι ἀγόμενον· μεταβὰς δὲ ἐπὶ τὸν μέλλοντα αἰῶνα, πρόσωπον πρὸς πρόσωπον προσβάλλων τῇ ἀληθείᾳ, πνευματικῇ προσβάλλει τραπέζῃ, κατὰ τό· « Κἀγὼ διαθήσομαι ὑμῖν διαθήκην, ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης τοῦ Πνεύματος ἐν τῇ ἀληθείᾳ· » ὅθεν καὶ τὸ « ἡτοίμασας » εἴρηται· ἀπεντεῦθεν γὰρ ἡτοίμασεν ὁ Θεὸς « ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐ κατέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Καὶ τὸ « ἐνώπιον » δέ « μου » δηλοῖ, πεφανερῶσθαί μοι καὶ ἐγνῶσθαί μοι « τὴν τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με, » πολλῶν ἐχθρεύειν μοι βουλομένων, καὶ διὰ τοῦτο θλιβόντων με. Ἐνίστασθαί με ἰσχυρῶς πρὸς αὐτοὺς ὁ Κύριος θέλων, ἡτοίμασεν ἐνώπιόν μου τράπεζαν, ἐν ᾗ ἐπίκειται στερεὰ τροφὴ, ἵνα ταύτης ἀθλητικῶς ἐμφορηθεὶς, ἀντιστῆναι γενναίως πρὸς τοὺς θλίβοντας δυνηθῶ. Καὶ γὰρ ὅτε ἀγαθῶν τελείων τυγχάνομεν, ἰσχυροὺς καὶ πλείονας ἔχομεν τοὺς ἀντικειμένους. Ἣ φησιν ὁ

[86] Job II, 10. [87] I Cor. IV, 21. [88] Rom. V, 3. [89] I Cor. II, 9.

Digitized by Google

Ἀπόστολος· « Θύρα γάρ μοι ἀνεῳγμένη, καὶ οἱ ἀντικείμενοι πολλοί. » Τοῦτ' ἔστι, τὸν νοῦν δαψιλῶς ἐπιχέων αὐτῷ· τοῦτο δὲ τὸ χρίσμα ἱερατικόν ἐστι μύρον, οὗ σύμβολον ἔφερεν Ἀαρών· « Ὡς μύρον » γάρ, φησίν, « ἐπὶ κεφαλὴν, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν Ἀαρών. » Καὶ « Τὸ ποτήριόν μου μεθύσκον ὡς κράτιστον. » Ἐπεὶ μὴ μόνον τράπεζαν ἡτοίμασεν ἡ Σοφία, ἀλλὰ καὶ εἰς κρατῆρα ἐκέρασε τὸν ἑαυτῆς οἶνον ἐξ αὐτῆς γεγενημένον, οὔσης ἀμπέλου ἀληθινῆς· ἐκέρασε δὲ τοῦτον τὸν οἶνον καταμίξασα τὰ θεῖα θεωρήματα λέξεσιν ἀνθρωπίναις· ἐκ τούτου τοῦ κρατῆρος μερίζουσα ἑκάστῳ δίδωσι ποτήριον· ὅπερ ποτήριον κράτιστον, τουτέστι τίμιον καὶ ἐξαίρετον τοῦ λαβόντος λέγεται, ὡς καὶ τὸ Πνεῦμα τὸ ἅγιον χρηματίζει· Τοῦ εἰληφότος αὐτὸ, φησίν, καὶ τὸ ποτήριόν μου· εἰ δὲ φέροιτο, « Τὸ ποτήριόν σου, » τοιαύτην ἔχον (27') διάνοιαν· Σοῦ τοῦ Κυρίου τὸ ποτήριόν ἐστιν, ὅπερ ἵνα πίω δέδωκας· οὐ γὰρ ἀνθρώπινον τὸ προειρημένον κρᾶμα τὸ πρὸς τῆς Σοφίας προτεινόμενον.

A adversarii multi [99]. » Id est, intellectum ei abundanter infundens. Hoc autem oleum sacerdotale est unguentum, cujus symbolum ferebat Aaron. Ait enim, « Sicut unguentum in capite, quod descendit in barbam Aaron. » —Et « Calix meus inebrians quam præclarus est. » Non modo mensam paravit Sapientia, sed et in calicem infudit vinum suum, ex semetipsa ortum, cum sit vitis vera. Fudit autem illud vinum divinam miscens scientiam cum humanis « loquiis. Ex hoc calice distribuens unicuique, dat potum; atque calix ille præclarus, id est decorus pretiosusque accipienti dicitur, sicut et ipse ait Spiritus sanctus: Qui accipit illum, accipit et calicem meum. Quodsi legeretur « Calix tuus, » hic sensus foret: Tuus Domini calix est, quem, ut bibam dedisti. Non enim humana, quam prius diximus, mistio, a Sapientia oblata.

Στ. ς'. « Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. » Οὐ τοσοῦτον ἐξ ἔργων τις καρποῦται σωτηρίαν, ὅσον ἐκ χάριτος Θεοῦ ἐλεήμονος ὄντος· ὁ γὰρ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ πολλὴν προσοῦσαν αὐτῷ πρὸς ἀνθρώπους ἀγάπην, Χριστῷ συνεζωοποίησε τοὺς νεκροὺς δι' ἁμαρτήματα καὶ τὰ παραπτώματα γεγενημένους. Ὅθεν καὶ ὁ ἁγιός φησιν· « Καὶ τὸ ἔλεός σου καταδιώξεται » ἀεὶ ἐπερχόμενον καὶ ἐπιχεόμενόν μοι. Οὐ γὰρ ποτὲ μὲν, ποτὲ δὲ οὔ, ἀλλὰ « πάσας τὰς ἡμέρας τῆς ζωῆς μου καταδιώκει με. » Πᾶσαι δὲ αἱ ἡμέραι τῆς ζωῆς, ἤτοι αἱ διάφοροι φωτισμοὶ τῆς ἀληθείας, καὶ (27'') οὓς ζωοποιούμεθα, τυγχάνουσιν, ἢ ὁ διὰ βίου παρὼν ἡμῖν Χριστός. « Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν. » Εἰς τόπον μὲν χλόης κατασκηνοῖ, ἐν οἴκῳ δὲ Κυρίου κατοικεῖ, οὐκ ἐπί τινα καιρὸν, ἀλλὰ πάσας τὰς ἡμέρας τῆς ζωῆς τῆς ἀθανάτου, ἀδιαστάτως καὶ ἐπαλλήλως φωτιζόμενος. Πεποιθὼς τῷ σῷ ἐλέει καὶ τῇ σῇ χάριτι, οἶδ' ὅτι οὐκ ἐκπεσοῦμαι τῆς παρὰ σοῦ ἐλπίδος, παιδαγωγούμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς μου ὑπὸ τοῦ σοῦ ἐλέους. Τοῦτο γοῦν τὸ σὸν ἔλεος καὶ αὐτή σου ἡ χάρις κατηξίωσέν με οἰκητήριον κτήσασθαι τὸν σὸν οἶκον καὶ τὴν σὴν Ἐκκλησίαν, ἵνθα τὰς διατριβὰς ποιούμενος ὡς ἐν οἴκῳ Θεοῦ ἱερῷ καὶ ἁγίῳ ναῷ, μακρότητος τῶν παρὰ σοὶ ἡμερῶν καὶ ζωῆς αἰωνίου τεύξομαι. Τὸ γὰρ κατοικεῖν με ἐν τῷ σῷ οἴκῳ καὶ μηδέποτε αὐτοῦ ἐξίστασθαι μηδὲ ἀπονεύειν, ἀεὶ δὲ εἴσω περιβόλων ἱερῶν τὰς διατριβὰς ποιεῖσθαι, ταῦτά μοι αἴτια γενήσεσθαι πιστεύω μακρότητος ἡμερῶν τῶν ἐκ τοῦ σοῦ φωτὸς ὑφισταμένων. Ἀντὶ δὲ τοῦ « εἰς μακρότητα ἡμερῶν, » εἰς *μῆκος χρόνου* ὁ Σύμμαχος ἡρμήνευσεν, τῆς κατὰ Θεὸν ζωῆς τὸ ἄπειρον καὶ ἀθάνατον σημήνας.

Vers. 6. « Et misericordia tua subsequetur me omnibus diebus vitæ meæ. » Non tam ex operibus quispiam percipit salutem, quam e gratia Dei misericordis. Deus enim misericordia dives, propter multum in homines amorem, cum Christo ad vitam revocavit qui ob peccata et transgressiones mortui erant. Unde et sanctus ait: « Et misericordia tua subsequetur » semper insiliens atque irruens mihi. Atque hoc non per intermissionem quamdam, aut ad tempus, sed « omnibus vitæ meæ diebus subsequitur me. » Omnes autem vitæ dies, seu variæ veritatis illuminationes, per quas vivificamur, sunt, seu qui per vitam nobis præsens est Christus. « Atque, inhabitare me in domo Domini, in longitudinem dierum. » In loco quidem pascuæ commoratur, in domo autem Domini inhabitat, non ad certum tempus, sed omnes vitæ immortalis dies, perpetuo et nulla intermissione illuminatus. Confisus misericordiæ tuæ et gratiæ tuæ, novi me nunquam excisurum de spe tua, misericordia tua omnes dies vitæ meæ institutum. Hæc igitur misericordia tua atque hæc gratia tua me dignata est inhabitare domum tuam atque Ecclesiam tuam, ubi commorationem faciens quasi in domo Dei sacra et in sancto templo, dierum apud te longitudinem, et vitam æternam consequar. Etenim me habitare in domo tua, et ab ea nunquam recedere neque declinare, semperque intra circuitus sacros commorari, has mihi causas fore credo longitudinis dierum e luce tua exortorum. Pro « in longitudinem dierum, » *in longitudinem temporis* Symmachus interpretatus est, vitam significans secundum Deum, interminatam scilicet atque immortalem.

PSALMUS XXIII.

Στ. α'. Ἐν ἐνίοις ἀντιγράφοις εὗρον, « τῆς μιᾶς τῶν Σαββάτων, » ἐν δέ γε τῷ *Ἑξαπλῷ* τοῦτο οὐ πρόσκειται· πλὴν ἵνα μηδὲ τοῦτο καταλίπωμεν ἀνερμή-

Vers. 1. In nonnullis manuscriptis inveni « prima Sabbati, » quod quidem in *Hexaplo* (27) non invenitur. Verumtamen ne hoc inexplicatum relin-

[99] I Cor. xvi, 9.

(27) Animadverte laudata nominatim Hexapla a Didymo.
(27') Fortasse legendum ἔχοι. Edit.
(27'') Pro καί videtur legendum καθ'. Id.

Digitized by Google

quamus, scire oportet quod Dominicam resurrectionem indicat. Mystico quodam modo Domini facta est terra, cum descendens liberavit eam ab opprimentibus eam dæmonibus, eversis omnibus in ea fallaciter patratis, magia, veneficio, oraculis quæ dæmones in terra edebant, cum legibus de simulacris et sacrificiis; sed et plenitudo ejus bonis malisque constat, prout ab iniquitate recedant, juxta illud : « Misericordia Domini plena est terra [91]. »

A

Vers. 2. Catholica autem Ecclesia a credentibus habitata, cum habitantibus, qui sapiunt et vivunt ecclesiastice, ejus est. Quæ quidem immotam sedem habet, cum tentationum salo et procella jactata, inconcussa in fide permanet. Hanc vero et super flumina constituit, idoneam præ- B stans per divinam legislationem ad accipiendum Spiritum sanctum, ex quo sicut e fonte variæ gratiæ fluunt flumina aquæ viventis.

Didymi et Eusebii. Vers. 3. Mons Dei supremum bonum Verbumque divinum significat; raro enim quis ad verticem ejus procedendo ascendere valet.

Didymi et Origenis. Cum jam non altius, qui perfectus est, procedere valeat, stat firmus, ideoque sanctus Dei locus vocatur. Etenim post Dominum deambulans ascendit, relictis quæ a tergo sunt, properansque ad superiora, finem quærens stare cum Deo in loco sancto ejus, in quem ne- C cesse est ut ascendat atque stet evangelizatus Sion. Ad quem properanti Mosi dixit Deus : « Tu vero hic mecum stes [92]; » sed et, « Constituit super petra pedes meos, » sicut de alio sanctuario ait propheta, cum petra esset Christus [93].

Vers. 4. Quis vero promissionibus illis fruetur? Hic « non accepit in vano animam ejus. » Quippe et accipiens quispiam rationalem animam, virtutis et doctrinæ capacem, nec suscipiens ea quorum capax est, et vitæ fallacia ac sollicitudine cruciatus, voluptatibus cupiditatibusque deditus, in vano animam accepit. Qui autem aliter sese habet, non in vano eam accepit. Igitur vanitas vanitatum tota plerorumque vita est.

Vers. 5, 6. Quandoquidem non de uno quo- D dam ascendente in montem Domini, atque stante in loco sancto ejus, interrogatio facta est, nec responsio de uno, sed de omni innocente manibus et mundo corde. Quare subdit : « Hæc est generatio quærentium Dominum, » pro, Omnes tales, virtutemque inter prædictas illam habentes, generatio quærentes sunt, Dominum autem quærentes, ad inveniendam faciem Dei Jacob, quem intueri volunt, ut scientia et splendore ejus meliores effecti, dicant : « Signatum est super nos lumen vultus tui, Domine [94]. »

νευτον, εἰδέναι χρὴ ὡς τὴν Δεσποτικὴν ἀνάστασιν προσημαίνει. Μυστικώτερον δὲ τοῦ Κυρίου γέγονεν ἡ γῆ, ὁπηνίκα κατελθὼν ἠλευθέρωσεν αὐτὴν τῶν τυραννικῶς κρατούντων αὐτὴν δαιμόνων, καταλύσας πάντα τὰ ἐπ' αὐτῆς ἀπατηλῶς ἐπιτελούμενα, μαγείαν, φαρμακείαν, τὰ χρηστήρια τῶν ἐπὶ γῆς δαιμόνων, σὺν τοῖς περὶ ἀγαλμάτων καὶ θυσιῶν νόμοις· ἀλλὰ καὶ τὸ πλήρωμα αὐτῆς τοῦ περὶ ἀγαθῶν καὶ κακῶν, ὡς ἀναχωρῆσαι τῶν φαύλων, κατὰ τὸ « Ἐλέους Κυρίου πλήρης ἡ γῆ. »

Στ. β'. Καὶ ἡ καθολικὴ δὲ Ἐκκλησία πρὸς τῶν πιστῶν οἰκουμένη, μετ' αὐτῶν τῶν οἰκούντων αὐτοῦ ἐστιν, φρονούντων τε καὶ βιούντων ἐκκλησιαστικῶς. Ἥτις ἀμετακίνητον ἔχει τὴν ἕδραν, ὅταν τῆς τῶν πειρασμῶν ἁλμυρίδος καὶ τρικυμίας προσβαλόντων, ἄσειστος ἐπιμείνῃ τῇ πίστει. Ταύτην δὲ καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν εὐτρεπῆ ποιήσας διὰ τῆς θείας νομοθεσίας πρὸς ὑποδοχὴν τοῦ ἁγίου Πνεύματος, ἀφ' οὗ καθάπερ ἐκ πηγῆς τὰ ποικίλα χαρίσματα ῥέουσιν ποταμοὶ ὕδατος ζῶντος.

Διδύμου καὶ Εὐσεβίου. Στ. γ'. Ἡ καὶ ὄρος Κυρίου τὸ τελικὸν ἀγαθὸν, καὶ τὸν Θεὸν Λόγον· σπάνιος γὰρ ὁ πρὸς τὴν ἀκρώρειαν αὐτοῦ διὰ προκοπῆς ἀναβῆναι δυνάμενος.

Διδύμου καὶ Ὠριγένους. Ὁ γὰρ τελειωθεὶς μηκέτι περαιτέρω χωρεῖν οἷός τε ὢν, ἵσταται βέβαιος, καὶ χρηματίζων ἅγιος τόπος Θεοῦ. Ὀπίσω γὰρ Κυρίου πορευόμενος ἀναβαίνει, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐκτεινόμενος, τέλος ἔχων τὸ στῆναι μετὰ Θεοῦ ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ἐφ' ὃν δεῖ ἀναβῆναι καὶ στῆναι τὸν εὐαγγελιζόμενον τὴν Σιών. Πρὸς ὃν ἐφθακότι τῷ Μωϋσῇ φησιν ὁ Θεός· « Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ· » ἀλλὰ καὶ, « Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, » ὡς ἐφ' ἕτερον ἁγίασμά φησιν ὁ προφήτης· ἐπεὶ πέτρα ἦν ὁ Χριστός.

Στ. δ'. Ἀλλὰ τίς ὁ τῶν ἐπαγγελιῶν τούτων τευξόμενος; Οὗτος « οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ. » Τάχα δὲ καὶ λαβών τις ψυχὴν λογικὴν, δεκτικὴν ἀρετῶν καὶ ἐπιστημῶν, καὶ μὴ δεξάμενος ταῦτα τὰ ὧν ἐστιν δεκτικὸς, ἀλλ' ἀπάτῃ τοῦ βίου καὶ μερίμνῃ βιωτικῇ καταξανθεὶς ἡδοναῖς καὶ πάθεσιν, ἐπὶ ματαίῳ τὴν ψυχὴν εἴληφεν. Ὁ δ' ἐναντίως τούτῳ διακείμενος, οὐκ ἐπὶ ματαίῳ αὐτὴν ἔλαβεν. Καὶ ὅλος ματαιότης ματαιοτήτων ὁ τῶν πολλῶν βίος ἐστίν.

Στ. ε', ς'. Ἐπεὶ μὴ περὶ ἑνός τινος ἀναβαίνοντος εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ ἱσταμένου εἰς τόπον ἅγιον, αὐτοῦ ἐρώτησις γέγονεν, οὐδὲ ἀπόκρισις περὶ ἑνὸς, ἀλλὰ περὶ παντὸς ἀθώου χερσὶν καὶ καθαροῦ τῇ καρδίᾳ. Διὸ καὶ ἐπιφέρει τό· « Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, » ἀντὶ τοῦ, Πάντες οἱ τοιοῦτοι, καὶ τὴν ἐκ τῶν προειρημένων ἀρετῶν ἐσχηκότες, γενεὰ (28) ζητοῦντές εἰσι, τὸν Κύριον ζητοῦντες δὲ, ἐπὶ τῷ εὑρεῖν τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ, ὃν θεωρῆσαι θέλουσιν, ἵνα βελτιωθέντες ἐκ τῆς κατανοήσεως καὶ ἐκλάμψεως αὐτοῦ εἴπωσιν· « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. »

[91] Psal. xxxii, 5. [92] Exod. xxxiii, 21. [93] I Cor. x, 4. [94] Psal. iv, 7.

(28) Locus mendosus.

Digitized by Google

Στ. ζ'. Προτρέχοντες θεῖοι ἄγγελοι προσεφώνουν τοῖς ἐφεστηκόσιν ταῖς οὐρανίαις πύλαις· « Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, » τὰς ὑμετέρας, καὶ (29) φύλακές ἐστε. Ὡς γὰρ κατιὼν, κλίνας οὐρανὸν καὶ οὐκ ἀνοίξας κατῆλθεν, οὕτως ἀναληφθεὶς οὐκ ἀνοιχθεισῶν πυλῶν εἰσῆλθεν, ἀλλὰ αἰρομένων. Εἶτα ἐπεὶ αὗται αἱ πύλαι καὶ λογικαὶ τυγχάνουσιν, καὶ πρὸς αὐτὰς οἱ ἄγγελοί φασιν· « Ἐπάρθητε, πύλαι αἰώνιοι. » Αὗται δὲ αἱ πνευματικαὶ πύλαι, οὐ πρόσκαιροι, ἐπεὶ μὴ σωματικαὶ, ἀλλ' αἰώνιοι διὰ τὸ ἄϋλον καὶ ἀκήρατον. Πλὴν φάσκοντες ἀρθῆναι καὶ ἐπάρθῆναι τὰς πύλας, οὐχ ἕνα τῶν ἐπιδόξων εἰσελεύσεσθαι, ἀλλὰ τὸν Βασιλέα τῆς δόξης φασίν. Βασιλεὺς δὲ δόξης ὁ Σωτὴρ, τῷ ἄρχειν πάντων τῶν ἐπιδόξων, κατὰ Θεὸν εἴρηται, καὶ ὡς τὴν παρὰ πάντων κομιζόμενος δόξαν, καὶ τὴν ἀληθῆ καὶ μόνιμον ἔχων βασιλείαν· ταύτην δὲ παρέχων τοῖς ἀξίοις. Καὶ Κύριος αὐτῆς εἴρηται, κατὰ τὸ· « Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. »

Στ. η'. Ἀλλ' ἐπεὶ μὴ μόνος ὁ Θεὸς Λόγος ἀνῆλθεν, ἀλλ' ἐπιφερόμενος ἣν ἀνείληφεν σάρκα ἐψυχωμένην ψυχῇ νοερᾷ, ξενιζόμεναι αἱ ἄνω δυνάμεις ἐπυνθάνοντο, « Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; » Σάρκα γὰρ περικείμενον τὸν λεχθέντα Βασιλέα τῆς δόξης ἰδοῦσαι, ἐθαύμαζον.

Πάλιν δὲ οἱ προτρέχοντες· « Κύριος, ἔλεγον, κραταιὸς καὶ δυνατὸς, » ἀντικρυς τοῦτο βοῶντες· Ὃν ἴστε παμβασιλέα καὶ τῶν ὅλων Δεσπότην κραταιὸν καὶ δυνατὸν, οὗτός ἐστι σῶμα περικείμενος, ἀριστεύσας κατὰ τῶν ἀφ' ἡμῶν πεσόντων, καὶ τυραννικὴν ἕξιν ἀναλαβόντων· Κύριος ὢν δυνατὸς ἐν πολέμῳ ὀφθεὶς τῷ πάντας καταλελυκέναι, ἀντιδοξῆσαι καὶ ἀντίστασθαι θελήσαντας.

Στ. θ'. Ταῦτα ἀκούσαντες οἱ ἄρχοντες μετὰ καὶ τῶν αἰωνίων πυλῶν αὐτῶν, οὐκ ἠρκέσθησαν τὸ προσταχθὲν μόνον ποιῆσαι, ἀλλὰ καὶ ταῖς ὑπερτέρω δυνάμεσιν, ἐπιστατούσαις, καὶ αὐταῖς ταῖς πύλαις τῶν ἀνωτέρων οὐρανῶν, ἅπερ ἠκουσαν, ἀνήγγειλαν, κηρύττουσαι (30) τὸ, « Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, » καὶ τὰ ἑξῆς· καὶ πυθομέναις πάλιν αὐταῖς ἀπεκρίναντο ἣν ἔσχον καὶ αὗται ἀπόκρισιν.

Στ. ι'. « Κύριος τῶν δυνάμεων, » εἰποῦσαι (31), « αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης. » Δυνάμεων δὲ Κύριον αὐτὸν εἶπον, ὡς ἄρχοντα στρατοπέδων. Σημειωτέον δὲ ὅτι οἱ τὰ Ἑβραίων ἠκριβωκότες φασὶν, τὴν « Σαβαὼθ » φωνὴν ἐν τῷ Ἑβραϊκῷ κειμένην, εἰς Ἑλλάδα φωνὴν οἱ Ἑβδομήκοντα μεταλαμβάνοντες, ὁτὲ μὲν τὸ « Κύριος τῶν δυνάμεων, » ὁτὲ δὲ « Κύριος στρατιῶν, » ὁτὲ δὲ τὸ « Παντοκράτωρ » ἑταξαν. Λέγουσι γοῦν καὶ ἐν τῷ τόπῳ τούτῳ κειμένου τοῦ « Σαβαὼθ, » μετάληψις εἰς τὸ « Κύριος τῶν δυνάμεων, » γέγονεν· εἰ δὲ τὸ « Σαβαὼθ, » ἐπὶ τοῦ Σωτῆρος εἴρηται, ἑρμηνεύεται δὲ καὶ εἰς τὸ « Παντοκράτωρ, » εἰκότως ἡ « Παντοκράτωρ » φωνὴ, τοῦ Σωτῆρος κατηγορηθείη. Εἰ γὰρ πάντα δι' αὐτοῦ γέ-

[29] I Cor. II, 3.

(29) Forte leg. καὶ ὢν φύλ. EDIT.

(30) Ἀκολουθία sermonis postulare videtur, ut hic legatur κηρύττοντες, et mox ἦν ἔσχον καὶ οὗτοι ἀπόκρισιν, siquidem participium et pronomen ad ἄρχοντας referenda sunt. ID.

(31) Legendum, nisi fallor, εἰπόντες. Vide notam præcedentem. ID.

A VERS. 7. Præcurrentes divini angeli cœli portas obsidentibus dicebant : « Attollite portas, principes, vestras, » quarum custodes estis. Sicut enim descendens inclinavit cœlum pervenitque non adaperiens, sic assumptus non apertis intravit foribus, sed sublatis. Cum deinde hæ portæ rationales sint, ad eas angeli dicunt : « Elevamini, portæ æternales. » Hæ vero spirituales portæ non ad breve tempus, cum non sint corporales, sed æternales, utpote materiæ expertes et ab omni concretione segregatæ. Cæterum dicentes attolli et elevari portas, non unum e præclaris intraturum esse, sed Regem gloriæ dicunt. Rex autem gloriæ Salvator, propterea quod præclaris omnibus imperat, de Deo dicitur, et quasi super omnes ferens B gloriam, verumque et stabile regnum habens, quod dignis præbet. Dominusque ejus dicitur, juxta illud : « Si enim cognovissent, non gloriæ Dominum crucifixissent [29]. »

VERS. 8. Sed cum non solus Deus Verbum ascendit, sed auferens quam accepit carnem anima spiritali animatam, stupore affectæ supernæ potestates interrogabant, « Quis est iste Rex gloriæ? » Carne enim circumdatum videntes qui Rex dicitur gloriæ, mirabantur.

Rursus autem præcurrentes : « Dominus, » inquiebant, « fortis et potens : » protinus hoc clamantes, Quem novisti Regem regum, universorumque Dominum fortem et potentem, hic adest corpore circumdatus, triumphans de illis qui de nobis C defecerunt atque tyrannidem sibi arrogarunt : Dominus fortis in prœlio apparuit, cum omnes adversarios sibique resistere volentes profuderit.

VERS. 9. Hæc audientes principes qui ad æternales portas erant, non satis habuerunt jussum exsequi, sed et potestatibus superius constitutis, ipsisque superiorum cœlorum portis, quæ audierant, annuntiaverunt, exclamantes : « Attollite portas, principes, vestras, » et quæ sequuntur. Et interrogantibus rursum illis, quam et ipsi obtinuerant responsionem reddidere.

VERS. 10. « Dominus virtutum, » dicentes, « ipse est Rex gloriæ. » Virtutum eum dixere Dominum, ut exercitibus imperantem. Animadverte quod qui D Hebræorum textus diligenter perspexerunt, dicunt « Sabaoth » vocem quæ in Hebraico est, in Græco, vertentibus Septuaginta, nunc quidem « Dominum virtutum, » nunc vero « Dominum exercituum » translatam esse; interdum autem, « Omnipotentem. » Dicunt igitur hoc in loco « Sabaoth » per « Dominum virtutum » versum fuisse. Quod si « Sabaoth » de Salvatore dicitur, et transfertur « Omnipotens, » vox « Omnipotens » merito ad Salvatorem spectat. Si enim omnia per ipsum facta sunt, et ipse est ante omnia, et omnia

Digitized by Google

in illo sunt, regit vero providenter omnia in se ipso facta, et ante omnia est eorum quæ sunt in eo, recte Omnipotens vocatur : ipsius igitur persona est, quæ dicit in Zacharia : « Sic dicit Dominus omnipotens : Post gloriam misit me, et noveris quia Dominus omnipotens misit me ad te [96]. » Omnipotens enim ab Omnipotente missus, Filius est quem misit Pater. Manifestissime et in Joannis Apocalypsi omnipotens Salvator dicitur : « Hæc enim dicit Dominus testis fidelis ac verus, qui erat, qui est, qui erit, Dominus Deus omnipotens [97]. » Quæ quidem haud dubie de Filio dicuntur.

A γονεν, καὶ αὐτός ἐστιν πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν, κρατεῖ δὲ προνοητικῶς τῶν δι' αὐτοῦ πάντων γεγενημένων, καὶ πρὸ πάντων ἐστὶν τῶν ἐν αὐτῷ συστάντων, ἀκολούθως Παντοκράτωρ λέγεται· αὐτοῦ γοῦν ἐστι πρόσωπον λέγον ἐν Ζαχαρίᾳ· « Οὕτως λέγει Κύριος παντοκράτωρ· Ὀπίσω δόξης ἀπέστειλέν με· καὶ γνώσῃ, ὅτι Κύριος παντοκράτωρ ἀπέστειλέν με πρὸς σέ. » Παντοκράτωρ γὰρ ὑπὸ Παντοκράτορος ἀποστελλόμενος, ὁ Υἱός ἐστιν ὑπὸ τοῦ Πατρὸς πεμπόμενος. Ἀριδηλότατα δὲ ἐν τῇ Ἰωάννου Ἀποκαλύψει παντοκράτωρ ὁ Σωτὴρ λέγεται· « Τάδε B γὰρ λέγει Κύριος ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινός, ὁ ἦν, καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος, Κύριος ὁ Θεὸς παντοκράτωρ. » Ἀναμφισβητήτως γὰρ ταῦτα περὶ τοῦ Υἱοῦ εἴρηται (32).

PSALMUS XXIV.

Vers. 2. Qui in quovis alio ac Deo confidit, ut in divitiis, irridebitur : quod ego non patiar in te confisus ; inimici autem diabolus cum dæmonibus impiisque hominibus. Forte et prævidet Salvatoris incarnationem, qua facta desiit inimicorum risus.

Στ. β'. Ὁ δὲ ἐπ' ἄλλῳ τινὶ παρὰ τὸν Θεὸν πεποιθώς, οἷον ἐπὶ πλούτῳ, καταγελασθήσεται· ὅπερ οὐ πείσομαι, πεποιθὼς ἐπὶ σοί· ἐχθροὶ δὲ ὁ διάβολος μετὰ δαιμόνων καὶ τῶν ἀσεβούντων ἀνθρώπων. Ἴσως δὲ καὶ προορᾷ τοῦ Σωτῆρος τὴν ἐνανθρώπησιν, μεθ' ἣν ὁ τῶν ἐχθρῶν πέπαυται γέλως.

Vers. 4. Dicit fortasse vias et mandata, quorum dignatur et semitas discere, quas prævii calcaverunt, ut vestigia secutus eorum, rectam faciat ambulationem ; et quia non satis est practica ad salutem, exoptat et veritatis contemplationem.

Στ. δ'. Λέγοι δ' ἂν ὁδοὺς καὶ τὰς ἐντολάς, ὧν ἀξιοῖ καὶ τὰς τρίβους μαθεῖν, ἃς οἱ προοδεύσαντες ἔτριψαν, ἵνα τοῖς ἴχνεσιν ἀκολουθῶν ἐκείνων, ἁπλανῆ ποιήσηται τὴν πορείαν· ὡς οὐκ ἀρκοῦντος δὲ πρὸς σωτηρίαν τοῦ πρακτικοῦ, προλαβεῖν ἱκετεύει καὶ τῆς ἀληθείας τὴν θεωρίαν.

Vers. 10. « Universæ » ad Dominum ducentes « viæ, » vel quas ipse dicto modo incedit, secundum veritatem directæ et cum probitate transactæ, « misericordia sunt et veritas. » Misericordia enim [divina] ante omnia opus est, ut quis illis insistat et sic progrediens ad ipsam veritatem perveniat. Non omnibus autem misericordia et veritas videntur viæ Domini, sed « requirentibus testamentum ejus et testimonia ejus ; » qui enim est extra testamentum et testimonia, rudis est excellentiæ atque pulchritudinis Dominicarum viarum. Requirendum est igitur testamentum quod constituit Dominus patribus, educens eos ex spiritali Ægypto, idololatriæ scilicet errore ; requirentes enim et perscrutantes illud, cognoscemus et novum testamentum, quod stabilivit Jesus sanguine proprio. Omne enim testamentum infirmum, nondum mortuo qui illud pepigit, sicut ait Apostolus : « Testamentum enim in mortuis firmum, cum nunquam vigeat quandiu vivit qui illud sanxit [97a]. » Quare suum impleri testamentum Jesus cum vellet, mortem obiit. Requirenda sunt et in testamento testimonia Dei, testificantia inspirataque ab eo verba.

Στ. ε'. « Πᾶσαι αἱ » πρὸς Κύριον φέρουσαι « ὁδοί, » ἢ ἃς αὐτὸς βαδίζει τὸν εἰρημένον τρόπον, κατ' ἀλήθειαν κατορθούμεναι, καὶ σὺν χρηστότητι γινόμεναι, C « ἔλεός εἰσιν καὶ ἀλήθεια. » Δεῖ γὰρ ἐλεηθῆναι πρότερον, ἵνα τις ἐπιβῇ αὐταῖς, καὶ οὕτω δι' αὐτοῦ τοῦ ὁδεύειν ἐπ' αὐτὴν τὴν ἀλήθειαν φθάσῃ. Οὐ πᾶσιν δὲ ἔλεος καὶ ἀλήθεια θεωροῦνται αἱ ὁδοὶ τοῦ Κυρίου, ἀλλὰ « τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ· » ὁ γὰρ ἐκτὸς ὢν τῆς διαθήκης καὶ τῶν μαρτυρίων, ἄπειρός ἐστιν τῆς χρηστότητος καὶ τοῦ κάλλους τῶν Κυριακῶν ὁδῶν. Ἐκζητητέον οὖν τὴν διαθήκην ἣν διέθετο ὁ Θεὸς τοῖς πατράσιν, ἐξάγων αὐτοὺς ἐκ τῆς πνευματικῆς Αἰγύπτου, τουτέστι τῆς πολυθέου πλάνης· ἐκζητήσαντες γὰρ καὶ ἐρευνήσαντες αὐτὴν, εἰσόμεθα καὶ τὴν καινὴν διαθήκην ἣν ἐβεβαίωσεν Ἰησοῦς τῷ αἵματι τῷ ἰδίῳ. Πᾶσα γὰρ διαθήκη ἀνίσχυρος, μὴ θάνατον ἐσχηκότος τοῦ διατι- D θεμένου, ᾗ φησιν ὁ Ἀπόστολος· « Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅσον ζῇ ὁ διατιθέμενος. » Διὸ πληρῶσαι τὴν ἑαυτοῦ διαθήκην ὁ Ἰησοῦς βουλόμενος, θάνατον ἀνεδέξατο· ἐκζητητέον δὲ ἐν τῇ διαθήκῃ καὶ τὰ μαρτύρια τοῦ Θεοῦ, τοὺς μεμαρτυρηκότας καὶ ἐμπνευσθέντας ὑπ' αὐτοῦ λόγους.

Vers. 11. « Propter nomen tuum, Domine, »

Στ. ια'. « Ἕνεκα τῆς σῆς προτηγορίας, ὦ Δέσπο-

[96] Zacnar. II, 8, 9. [97] Apoc. III, 14. [97a] Hebr. IX, 16, 17.

(32) Præter citatum a nobis in præcedente pagina fragmentum Corderianum Didymi, aliud erat, ad hunc psalmum pertinens, apud eumdem Corderium p. 430 ; quod quia a nostris codicibus aberat, omisimus. Hoc enim deinceps institutum tenebimus, ut Didymum ex codicibus tantum Vaticanis sumamus, suis peculiaribus Corderio relictis. Interim, quippe nos brevitati studentes, Didymum undique colligendum augendumque futuris editoribus permittemus.

Digitized by Google

τα, » ἐγὼ ὁ σὸς οἰκέτης ἐκζητήσω τὴν διαθήκην σου, ἐλευθερίαν ἐξ αὐτῆς προσδοκῶν ἢ κληρονομίαν, ἣν ὡς υἱῷ γενομένῳ ὥρισας· ἀλλὰ καὶ « ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, » οὐ τῇ ἔτι ἐνεργουμένῃ, ἀλλὰ παυσαμένῃ· « πολλὴ γάρ ἐστιν, » οὐ κατὰ ποσότητα, ἀλλὰ κατὰ σύγκρισιν τῆς προσεῖναι ὀφειλούσης καθαρότητος.

Ego, famulus tuus, testamentum tuum requiram, libertatem ab eo exspectans vel hæreditatem, quam sicut filio facto constituisti; sed et « propitiabere peccato meo, » non præsenti, sed præterito; « multum est enim, » non secundum quantitatem, sed puritatis qua præditi esse debemus, ratione habita.

Στ. ιγ'. Ἡ ψυχὴ τοῦ εὐλαβοῦς, τῶν ἀγαθῶν περαιτέρω μὴ γινομένη, ἐν αὐτοῖς αὐλίζεται, ἐνεργοῦσα αὐτὰ ἀεί· διὸ καὶ καθόλου τεύξεται τὸ σπέρμα ἔχειν κληρονομοῦν τὴν γῆν, οὐ τὴν ὑπὸ πόδας, ἀλλὰ τὴν τῶν πραέων.

Vers. 13. Anima prudentis, ultra bona non facta, in illis demoratur, hæc semper operatur: ideoque ipsi eveniet ut semen suum hæreditet terram, non quæ sub pedibus jacet, sed eorum qui mansueti sunt.

Στ. ιϛ'. Μονογενῆ ἑαυτὸν φάσκει, κατὰ τὸν λέγοντα· « Ἐγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. » Διὸ καὶ πτωχός εἰμι, οὐκ ἔχων τὴν ἐκ τῶν ὁμοζήλων ἀρωγήν. Ἰστέον δὲ ὅτι τὸ « Μονογενὴς » ἐρεῖς, οὐ ταυτὸν ὂν τῷ μονογενεῖ Υἱῷ· ὅπου γὰρ πρόσκειται τῷ Μονογενεῖ « Υἱός, » ἢ, « παρὰ Πατρὸς μονογενής, » λέγεται τὸ μόνον ἐξ ἐκείνου τυγχάνον.

Vers. 16. Unigenitum se dicit, sicut dictum est: « Ego derelictus sum solus, et inquirunt animam meam [98]. » Ideoque pauper sum, non habens a sodalibus auxilium. Hic autem *Unigeniti* nomen non in sensu unigeniti Filii accipies: ubi enim voci « unigenitus » additur vox « Filius, » aut cum dicitur, « a Patre unigenitus, » tunc Filii unice ex Deo geniti generatio exprimitur.

Στ. ιζ'. Θλίψεις δὲ τῆς καρδίας νοήσεις, καὶ τοὺς διοχλοῦντας ἐναντίους λογισμούς· ἀναγκαῖαι δὲ περιστάσεις, τῆς προθέσεως ἐκπεσεῖν βιαζόμεναι.

Vers. 17. Tribulationes autem cordis intelliges de molestis adversisque sermonibus; et necessariæ causæ sunt quæ nos a proposito declinare cogunt.

Στ. κα'. Ἀκάκους λέγει ἢ τοὺς στερομένους κακίας, ἢ τοὺς ἁπλουστέρους· εὐθεῖς δὲ τοὺς κατορθώσαντας τὴν τελείαν ἀρετήν. Οὗτοι οὖν « ἐκολλῶντό μοι » δι' ὁμοφροσύνην, « ὅτι ὑπέμεινά σε, Κύριε. » Τάχα δὲ καὶ ἀκάκους λέγει τοὺς ἐξ ἀνθρώπων σπουδαίους· εὐθεῖς δὲ τοὺς θείους ἀγγέλους κολλωμένους αὐτῷ, τῷ καὶ θείας δυνάμεις γίνεσθαι περὶ τὸν σπουδαῖον.

Vers. 21. Innocentes vocat malitiæ expertes, vel simpliciores; rectos vero ad perfectam virtutem provectos. Hi enim « adhæserunt mihi » unanimo consensu, « quia sustinui te, Domine. » Fortasse etiam innocentes vocat homines probos; rectos vero, divinos angelos adhærentes ei, cum divinæ virtutes probum circumdent.

PSALMUS XXV.

Στ. β'. Οὐδεὶς ἁμαρτάνων κριθῆναι βούλεται ἐφ' οἷς πεποίηκεν, καὶ μάλιστα πρὸς τοῦ τὰ κρυπτὰ ὁρῶντος. Ὁ δὲ ἐν ἀκακίᾳ πορευθείς, τουτέστιν προκόψας, ἀξιοῖ τούτου τυχεῖν· οἶδεν γὰρ μισθοῦ ἢ κληρονομίας τευξόμενος. Ἡ ἀκακίαν καλεῖ τὸ μὴ μετασχεῖν τῆς φαυλότητος καὶ τῆς κακίας τῶν ἰδίων καὶ τῆς ἀπονοίας τῶν ἀλλοφύλων. « Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω· » ὅσον περιέχομαι τῆς πρὸς Θεὸν ἐλπίδος, ὑπ' αὐτῆς ἐνδυναμούμενος « οὐκ ἀσθενήσω. » Φέρεται Γραφὴ λέγουσα, « οὐ μὴ σαλευθῶ· » καὶ διὰ ταύτης οὖν, δηλοῦται· Ἕτει ἡ ἐλπὶς ἡ πρὸς Θεὸν ἕδραν μοι βεβαίαν καὶ ἀμετακίνητον παρέχει, ἐλπίζων ἐπὶ τῷ Κυρίῳ οὐ μὴ σαλευθῶ. Οὐκ ἂν ἠξίωσα παθεῖν τὰ προειρημένα ἐπίπονα, εἰ μὴ κατανενοήκειν, τὸν ἔλεόν σου συμμαχούμενόν μοι εἰς τὸ ἐνεγκεῖν αὐτά.

Vers. 2. Peccator nemo judicari vult de iis quæ fecit, et maxime ab illo qui videt abdita. Qui autem in innocentia ambulavit, id est processit, hoc sibi fieri exoptat; novit enim se mercedem vel hæreditatem consecuturum esse. Aut innocentiam vocat, si quis non est particeps iniquitatis improbitatisve suorum et amentiæ aliorum. « Et in Domino sperans non infirmabor. » Quandiu spes in Deum me tenebit, ea corroboratus « non infirmabor. » Fertur Scripturæ locus, « non vacillabo; » quo significatur: Postquam mihi spes in Deum sedem firmam immotamque præbuit, sperans in Domino non vacillabo. Non enim exoptavissem quæ prius dicta sunt pati, nisi mentem subiisset misericordiam tuam mihi auxilio fore ad ista tolerranda.

Στ. γ'. Τὰς πρακτικὰς τῆς ψυχῆς δυνάμεις, χεῖρας τροπικῶς καλουμένας, ἐν ἀθώοις νίπτεταί τις, οὐδὲν φαῦλον ἀλλ' εἴ τι σπουδαῖον ἐνεργῶν ἐν αὐταῖς· τάχα δὲ καὶ ὁ μολύνας αὐτὰς, ἀνθ' ὕδατος χρώμενος τῇ ἀγαθοεργίᾳ.

Vers. 6. Activas animæ virtutes, manus symbolice vocatas, inter innocentes lavat, quicunque nihil turpe per eas, verum egregium aliquid operatur: fortasse etiam qui prius inquinavit illas, si pro aqua bonis operibus utitur.

Στ. η'. Ὁ τὸν Κύριον ἐξ ὅλης ψυχῆς ἀγαπῶν, καὶ τὰ τοῦ Θεοῦ πάντα, ὧν ἦν (32') καὶ ἡ εὐπρέπεια τοῦ οἴκου αὐτοῦ τυγχάνει, ἀγαπᾷ· εὐπρέπεια δὲ τοῦ οἴκου τοῦ Θεοῦ, ἡ τῶν δογμάτων ἀλήθεια, καὶ ἡ διαταγὴ τῶν κανόνων τῆς Ἐκκλησίας οἴκου νοουμένης. Πρὸς τού-

Vers. 8. Qui Dominum tota anima diligit, Dei quoque omnia, in quibus decor domus ejus censendus est, diligit: decor autem domus Dei est dogmatum veritas et canonum constitutio Ecclesiæ, domo assimilatæ. Ac præterea se tabernaculum gloriæ Dei

[98] III Reg. XIX, 10; Rom. XI, 3.

(32') Vox ἦν redundat. EDIT.

Digitized by Google

diligere ait. Tabernaculum quippe testimonii, quod in deserto posuit Moyses, Dei gloriæ tabernaculum est. Symbolum progressionis hoc. Quam vero ædificavit Salomon, post profectionem in Jerusalem, domus est, cujus decorem diligit, perfectionis typum gerens. Precatur etiam ne de se ipso sicut de impiis agatur, ne cum iis perdatur anima sua. Piam enim mentem quivis habens non istud patietur; exoptat quoque ne sanguineus fiat, ut vita sua cum viris sanguinum non perdatur.

τοις δὲ καὶ τὸ σκήνωμα τῆς δόξης τοῦ οἴκου τοῦ Θεοῦ ἀγαπᾷν φησι. Καὶ τάχα μὲν ἡ σκηνὴ τοῦ μαρτυρίου, ἣν Μωϋσῆς κατεσκεύασεν ἐν τῇ ἐρήμῳ, τὸ σκήνωμα τῆς δόξης τοῦ Θεοῦ ἐστιν. Σύμβολον δὲ προκοπῆς τοῦτο· ὃν δὲ ᾠκοδόμησεν Σολομὼν μετὰ τὴν ὁδοιπορίαν εἰς τὴν Ἱερουσαλήμ, οἶκός ἐστιν, οὗ τὴν εὐπρέπειαν ἀγαπᾷ, τελειότητος τύπον φέρων. Εὔχεται δὲ μὴ ὡσαύτως τοῖς ἀσεβέσι διατεθεῖναι, ἵνα μὴ συναπόληται αὐτοῖς ἡ ψυχὴ αὐτοῦ· εὐσεβῆ γάρ τις γνώμην ἔχων, οὐ πείσεται τοῦτο· παρακαλεῖ δὲ μηδὲ φονικὸς γενέσθαι, ὅπως ἡ ζωὴ αὐτοῦ ἀνδράσιν αἱμάτων μὴ συναπόληται.

Vers. 11. « Redime me et miserere mei. » Etiamsi bona conscientia sustentatus superiora dixerit, tamen veritus, ut ideo justificetur, cum peccata in occulto sæpe lateant, redemptione et misericordia dignus haberi cupit.

Στ. ια'. Εἰς τὸ « Λύτρωσαί με καὶ ἐλέησόν με. » Εἰ καὶ τὰ κάλλιστα συνειδὼς αὐτῷ τὰ προειρημένα εἶπεν· εὐλαβούμενος μὴ οὐκ ἐν τούτῳ δεδικαίωται, λανθανόντων πολλάκις τῶν ἐν κρυπτῷ ἁμαρτημάτων, λυτρωθῆναι καὶ ἐλεηθῆναι ἀξιοῖ.

PSALMUS XXVI.

Theodoreti et Didymi. Vers. 1. In quibusdam inscribitur « Psalmus David, priusquam ungeretur. » Hanc in *Hexaplo* inscriptionem non invenias, sed in nonnullis manuscriptis. Exinde causam quidam prætenderunt cur omnes inscriptiones, quasi non veras rejicerent. Quomodo enim fieri potuit ut David, nondum unctus, nondum accepta sanctissimi Spiritus gratia, prophetices scripserit psalmos? Cæterum et tunc temporis junior erat, pascens oves, non regnum dirigens, nullisque ab hostibus oppressus. Illos autem oportebat scire quod bis unctum fuisse David Regum historia refert, imo potius ter: primum quidem in Bethlehem a Samuele propheta; secundum in Chebron a tribu Judæ post Saulis occisionem; tertium ab omnibus tribubus post finem Memphiboseth. Hunc igitur psalmum dixit antequam secundam acciperet unctionem, et manifeste rerum gubernationem susciperet. Adhuc igitur a Saule exagitatus, his usus est verbis, cum ad Achimelech accessit sacerdotem, et in Dei tabernaculo precatus est, et accepta sacrorum panum benedictione, effugit bellantis manus. Hoc autem et in ipso psalmo dicit, « Quoniam abscondit me in tabernaculo suo, in die malorum meorum. » Tunc et Doec Idumæus, regias ibi pascens mulas, Davidis fugam Sauli denuntiavit. Quare et in psalmo dicit, « Quoniam insurrexerunt in me testes iniqui. » Salvator noster Deus est, nos a peccatis et morte liberans; illuminatio autem, nebulam solvens malitiæ et ignorantiæ, et splendens scientiæ luce. Sic igitur adunatus atque illuminatus a Domino, quem timebit? Talium enim bonorum et tantæ securitatis participem nullus unquam lædere poterit.

Θεοδωρήτου καὶ Διδύμου. Στ. α'. Ἐν τισιν ἐπιγέγραπται, « Ψαλμὸς τοῦ Δαβὶδ πρὸ τοῦ χρισθῆναι. » Ταύτην ἐν τῷ Ἑξαπλῷ (33) τὴν ἐπιγραφὴν οὐκ ἔστιν εὑρεῖν, ἀλλ' ἐν ἐνίοις ἀντιγράφοις. Ἐντεῦθεν δὲ ὅμως τινὲς ἔλαβον ἀφορμὴν τοῦ πάσας τὰς ἐπιγραφὰς ὡς οὐκ ἀληθεῖς ἐκβαλεῖν. Πῶς γὰρ, φησὶν, οἷόν τε ἦν μηδέπω χρισθέντα τὸν Δαυὶδ, μηδὲ τοῦ παναγίου Πνεύματος τὴν χάριν δεξάμενον, προφητικοὺς γράψαι ψαλμούς; ἄλλως τε καὶ νέος ἦν τηνικαῦτα, πρόβατα ποιμαίνων, οὐ βασιλείαν ἰθύνων, οὐδὲ ὑπό τινων διωκόμενος δυσμενῶν. Ἔδει δὲ αὐτοὺς συνιδεῖν ὡς δὶς λέγει χρισθῆναι τὸν Δαυὶδ ἡ τῶν Βασιλέων ἱστορία, μᾶλλον δὲ τρίς· πρῶτον μὲν ἐν τῇ Βηθλεὲμ ὑπὸ Σαμουὴλ τοῦ προφήτου· δεύτερον δὲ ἐν Χεβρὼν ὑπὸ τῆς τοῦ Ἰούδα φυλῆς μετὰ τὴν ἀναίρεσιν τοῦ Σαούλ· τὸ δὲ τρίτον, ὑπὸ πασῶν φυλῶν μετὰ τὴν τελευτὴν τοῦ Μεμφιβοσθέ. Τὸν τοίνυν ψαλμὸν τοῦτον εἴρηκεν πρὶν τὴν δευτέραν δέξασθαι χειροτονίαν, καὶ προφανῶς ἐγχειρισθῆναι τὴν τῶν πραγμάτων οἰκονομίαν. Ἔτι τοίνυν διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, τούτοις ἐχρήσατο τοῖς λόγοις, ἡνίκα πρὸς Ἀχιμέλεχ εἰσῆλθεν τὸν ἱερέα, καὶ ἐν τῇ τοῦ Θεοῦ σκηνῇ προσευξάμενος, καὶ τὴν ἀπὸ τῶν ἁγίων ἄρτων εὐλογίαν λαβὼν, διέφυγεν τοῦ πολεμοῦντος τὰς χεῖρας. Τοῦτο δὲ καὶ ἐν αὐτῷ τῷ ψαλμῷ λέγει· « Ὅτι ἐκρυψέν με ἐν τῇ σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν μου. » Τότε δὲ καὶ Δωὴκ ὁ Ἰδουμαῖος τας βασιλικὰς ἡμιόνους νέμων ἐκεῖ, τοῦ Δαυὶδ τὴν φυγὴν τῷ Σαοὺλ κατεμήνυσεν. Διόπερ καὶ ἐν τῷ ψαλμῷ λέγει· « Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι. » Σωτὴρ ἡμῶν ὁ Θεός ἐστιν, ῥυόμενος ἡμᾶς ἐξ ἁμαρτιῶν καὶ τοῦ θανάτου· φωτισμὸς δὲ, λύων τὴν ἀχλὺν τῆς κακίας καὶ τῆς ἀγνοίας, καὶ ἐναυγάζων τῷ φωτὶ τῆς γνώσεως. Οὕτως οὖν ἐνωθεὶς καὶ πεφωτισμένος ὑπὸ τοῦ Κυρίου, τίνα φοβηθήσεται; οὐδεὶς γὰρ οἷός τέ ἐστιν βλάψαι τὸν ἀγαθῶν τοιούτων καὶ ἀσφαλείας τετυχηκότα.

Vers. 3. Hæc dici possunt et de sensilibus hostibus et de invisibilium hostium phalange. « Si enim » ait, « exsurgat adversum me bellum, » in hac non timente eos anima mea spero, auxiliatorem Deum me habere confisus.

Στ. γ'. Ῥηθείη ταῦτα καὶ περὶ αἰσθητῶν ἐχθρῶν, καὶ περὶ φάλαγγος ἀοράτων πολεμίων· « Ἐὰν γὰρ, φησὶν, ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, » ἐν ταύτῃ τῇ μὴ φοβουμένῃ αὐτοὺς καρδίᾳ μου ἐλπίζω, ὑπέρμαχον Θεὸν ἔχειν θαῤῥήσας.

(33) Rursus *Hexaplorum* mentio apud Didymum.

Digitized by Google

Στ. δ'. Αἰτεῖ τὴν Ἐκκλησίαν οἰκεῖν διὰ τοῦ φρο- A
νεῖν τὰ ἐκκλησιαστικὰ πάσας τὰς ἡμέρας τῆς πεφω-
τισμένης αὐτοῦ ζωῆς. Ἐπὶ γῆς δέ, φησὶ, τυγχάνων,
εἰ καὶ πολλῶν δεῖ μοι τῶν ἀγαθῶν, μίαν αἴτησιν τέως
αὐτῷ (34). Ἀθρόως γὰρ ἐν πᾶσιν οὐχ οἷόν τε γε-
νέσθαι τοῖς ἀγαθοῖς, μή ποτε δὲ λείπει τὸ μεγάλην
(35) ἢ ἐξαίρετον.

Στ. ε'. Καὶ ἄλλως δὲ πολλάκις εἴρηται, τὴν μὲν
σκηνὴν δηλοῦν προκοπὴν, τὸν οἶκον δὲ τελειότητα.
Οὐδεὶς οὖν, ἐνεστηκυίας αὐτῷ τῆς τῶν κακῶν ἡμέ-
ρας, ἐν οἴκῳ εἶναι δύναται τοῦ Θεοῦ, ἀλλ' ἐν τῇ σκιᾷ
κρύπτεται, τῷ τὴν προκοπὴν σκεπάζειν τὸν κακίας
ἀπαλλαττόμενον· τὰ μέν ἐστι προφανῆ, τὰ δὲ μυ-
στικά. Οὐκ ἐν τοῖς ἐπιπολαίοις οὖν ὁ Θεὸς τὸν προ-
κόπτοντα σκέπει. Αὐτοῦ δὲ εἶπε σκηνὴν, ἐπὶ (36) μὴ
πᾶσα εἰς Θεὸν προκοπή· διεδέξατο δὲ τὴν προκοπὴν B
ἡ πέτρα τῆς τελειότητος. Κατάλληλον δὲ τῇ μὲν
προκοπῇ τὸ « ἔκρυψε, » τῇ δὲ τελειότητι τὸ « ὕψω-
σεν. » Λέγοις δ' ἂν σκηνὴν καὶ τὴν διὰ νόμου καὶ
προφητῶν ἀγωγὴν, ἧς (37) ἐν τῷ κρύπτειν τὸν παι-
δευόμενον ὁ Θεὸς ὑψῶν αὐτὸν ἐν τῇ πέτρᾳ Χριστῷ.

Στ. ζ'. Ἐπιστάμενος ὁ ταῦτα λέγων εὐχαῖς δικαίων
ἐπακούοντα τὸν Θεὸν, ἀπὸ τῆς αὐτῆς διαθέσεως τοῖς
δικαίοις κεκραγὼς, εἰσακουσθήσεσθαι ἀξιοῖ. Οὐδεὶς
γὰρ ἄξιος εἰσακουσθῆναι παρὰ Θεοῦ μὴ ἐλεούμενος.
Ταῦτα δὲ, φησὶν, οὐκ ἐξ ἐπιπολῆς εἶπον χειλέων,
ἀλλ' ἐξ αὐτῆς πῆς καρδίας· τοιαύτης γὰρ εἰσακούει
φωνῆς ὁ Θεός.

Στ. ια'. « Νομοθέτησόν με, » ἵνα τοιοῦτον νόμον
παρὰ σοῦ λαβὼν, ὁδεύσω τὸν εἰπόντα, « Ἐγώ εἰμι ἡ C
ὁδός· » καὶ, « Ὁδήγησόν με τῇ εὐθείᾳ » καὶ ἀκαμπεῖ
ὁ ᾧ σου, « ἕνεκα τῶν ἐπικειμένων ἐχθρῶν, » σκάν-
δαλα ἐχόμενα τρίβου τιθέντων μοι· ἔτι μὴν, τῆς
ἀρετῆς μεσότητος οὔσης ὑπερβολῆς καὶ ἐλλείψεως,
τοῦ τηρεῖν τὸ σύμμετρον, σὺ, Δέσποτα, « ὁδήγησον, »
φέρων με εἰς τὸ τέλος αὐτῆς, « ἕνεκα τῶν ἐχθρῶν μου, »
τῶν ἐνεργούντων τὴν κακίαν· καθ' ὑπερβολὴν ἐνερ-
γοῦντες, παρὰ θύραν ἱστάμενοι τῆς ἀρετῆς, δι' ἀπά-
της λαμβάνουσιν τοὺς μὴ ἐφιστάνοντας τῇ διαφορᾷ
μεσότητος καὶ ὑπερβολῆς. Εἰ δὲ καὶ εὐθεῖαν ὁδὸν τὴν
τῶν ἀληθῶν δογμάτων πορείαν λέγοις, ἴσθι ὅτι μὴ
ὁδηγοῦντος Θεοῦ, οἱ τὰ παρακείμενα ψευδῆ δόγματα
τῆς ἀληθείας ἄγοντες, ἄρχοντες τούτου τοῦ αἰῶνος,
ἐχθροί εἰσιν· ὧν ἕνεκα, ὅπως μὴ ἐκπέσωμεν εἰς τὴν
ἀπάτην αὐτῶν, παρακαλοῦμεν ὁδηγηθῆναι ὑπὸ Κυ- D
ρίου τὴν εὐθεῖαν ὁδόν.

Στ. ιβ'. Ἐπεὶ εἱλόμην ὁδεύειν τὴν εὐθεῖαν ὁδὸν,
πάντες οἱ πονηροὶ θλίβειν με προτέθεινται. Σὺ δὲ,
Κύριε, κηδόμενός μου, μὴ παραδῷς με εἰς ψυχὰς
αὐτῶν· ἤτοι εὐχόμενος μὴ παραδοθῆναι αὐτοῖς, ἢ
μὴ συναριθμηθῆναι ταῖς ψυχαῖς αἷς εἶχον οἱ θλίβον-
τες, αὐτὸ τοῦτο μάρτυρες ἄδικοι εἶναι ἑλόμενοι. Ἀλλ'
ἡ ἀδικία ἧς ἑαυτοὺς προσῳκείωσαν, ἀσύστατος καὶ
ἀβέβαιος οὖσα, ἐψεύσατο ἑαυτῆς· οὐχ οἷα γὰρ εἶναι
ἐπαγγέλλεται, τοιαύτη εὑρέθη. Ἡ γὰρ « ἐψεύσατο »

Vers. 4. Rogat Ecclesiam habitare meditando ecclesiastica omnes dies illuminatæ suæ vitæ. Cum in terra sim, ait, etsi multis mihi opus sit bonis, unum modo ab eo petivi. Cum quidem omnibus frui bonis sit impossibile, cave ne magnum aut pretiosum relinquas.

Vers. 5. Alias quidem sæpe dictum est tabernaculum progressum significare, domum autem perfectionem. Nemo igitur, imminente sibi malorum die, in domo esse potest Dei, sed in umbra absconditur, quoniam progressum tegit malitia exsolutus : alia quidem manifesta sunt, alia mystica. In levis igitur momenti rebus non protegit Deus progredientem. Ipsius autem ait tabernaculum, quia non omnis ad Deum progressus; progressui autem successit perfectionis petra. Congrue ait cum progressu « abscondit, » et cum perfectione « exaltavit. » Dices forte tabernaculum legis prophetarumque synagogam, in qua absconditur homo, quem eruditum Deus exaltat in petra Christo.

Vers. 7. Sciens qui hæc dicit justorum preces exauditurum Deum, eadem mente ac justi exclamans, se exauditum iri exoptat. Nemo enim dignus qui exaudiatur a Deo non miserante ejus. Hæc autem, ait, non extremis labiis, sed toto corde dixi : talem enim exaudit vocem Deus.

Vers. 11. « Legem pone mihi, » ut talem a te legem accipiens, sequar qui dixit : « Ego sum via [98a] ; » et : « Dirige me in semitam rectam » et in viam tuam non sinuosam, « propter inimicos meos, » insidiis obstruentes viam meam. Cum in medio stet virtus, redundantiam inter et penuriam servandum medium, tu, Domine, « dirige me, » ducens me in finem ejus, « propter inimicos meos, » iniquitatem operantes : qui cum immoderate nituntur, prope januam stantes virtutis, fraudulenter capiunt parum attendentes quibus inter se differant quod medium est et quod nimium. Quod si rectam viam verorum dogmatum ambulationem vocas, scito quod, Deo non dirigente, qui mendacia et extra veritatem dogmata inducunt, principes sunt hujus sæculi atque inimici : propter quos, ne in dolos eorum incidamus, precamur a Domino in rectam viam dirigi.

Vers. 12. Postquam constitui per rectam viam ambulare, omnes mali tribulare me quærunt. Tu autem, Domine, circa me sollicitus, ne tradideris me in animas eorum : sive precatus non illis tradi, sive non annumerari animabus quas habebant tribulantes, hoc ipso testes injusti facti sunt. Verum injustitia qua se ipsos instruxerunt, cum infirma atque imbecillis esset, mentiti sunt ei : non enim talis inventa est quæ esse nuntiabatur. Vox enim

[98a] Joan. XIV, 6.

(34) Lege αἰτῶ. Ed.
(35) Μέγα ? An deest aliquid ? Id.
(36) Forsitan ἐπεί, quamquam nec sic plana erit constructio. Id.
(37) Forsitan ᾗ, et mox ὑψοῖ. Id.

Digitized by Google

« mentiti sunt, » non semper veritati contrarium significat, sicut in propheta : « Area et vinum mentita sunt sibi [39], » pro his : Non ut promittebatur, juxta annum area et vinum inventa sunt.

VERS. 13. Terra viventium vocata est promissionis terra, propter æternam vitam, cum nemo in ea patiatur mortem quæ venit a peccato. Hæc autem terra in invisibilibus atque æternis sita est, et super eam sedet veritas et proprie Dei. . . . . tale est : Credo vitæ æternæ me participem fore, ut per hanc vitam inhabitem in viventium terra, ad videnda quæ in ea sunt bona Domini, quæ juxta promissionem sancte viventes manent : recte autem dicitur « videre, » et non comedere, vel contrectare, vel quodvis aliud; in contemplandis enim Dei bonis omnis utilitas est.

VERS. 14. In virilitate, ait, animæ et impotentia corporis viriliter age : etenim cum validis et non carnalibus inimicis nobis prælium est ; sed et resistentes victoria simul et annuntiatis a Deo bonis fruimur.

φωνή, οὐκ ἀεὶ τὸ ἐναντίον τῇ ἀληθείᾳ σημαίνει, ὡς ἐν τῷ προφήτῃ· « Ἄλων καὶ οἶνος ἐψεύσατο αὐτούς· » ἀντὶ τοῦ· Οὐχ ὡς ἐπηγγέλλετο κατ' ἔτος ἡ ἄλων καὶ οἶνος εὑρεθέντα.

Στ. ιγ'. Γῆ ζώντων ἐκλήθη ἡ ἐν ἐπαγγελίαις γῆ, κατὰ τὴν αἰώνιον ζωήν, ἐπεὶ οὐδεὶς ἐν αὐτῇ μετέχει τοῦ ἑπομένου τῇ ἁμαρτίᾳ θανάτου. Αὕτη δὲ ἡ γῆ ἐν τοῖς μὴ βλεπομένοις καὶ αἰωνίοις ἵδρυται, καὶ ἐπ' αὐτῆς ἐστι τὰ ἀληθῶς καὶ κυρίως τοῦ Θεοῦ... τοιοῦτόν ἐστιν· Πιστεύω ζωῆς αἰωνίου μετασχεῖν, ἵνα κατ' αὐτὴν ζωὴν μετοικισθῶ εἰς τὴν τῶν ζώντων γῆν, ὥστε ἰδεῖν τὰ ἐπ' αὐτῆς τοῦ Κυρίου ἀγαθά, τὰ κατὰ τῆς ἐπαγγελίας ἀποκείμενα τοῖς ὁσίως βεβιωκόσιν· εὖ δὲ εἰπεῖν καὶ τὸ « ἰδεῖν » καὶ μὴ φαγεῖν καὶ ἅψασθαι, ἢ ἕτερόν τι· τὸ γὰρ ὅλον ἐν τῷ θεωρεῖσθαι τὰ θεῖα ἀγαθὰ παρέχει τὴν ὠφέλειαν.

Στ. ιδ'. Ἐν ἀνδρείᾳ, φησὶ, ψυχῆς καὶ ἀκρατείᾳ σώματος ἀνδρίζου· πρὸς ἐχθροὺς γὰρ ἰσχυροὺς καὶ ἀσάρκους μαχόμεθα· ἀλλὰ καὶ διὰ τῆς ὑπομονῆς νίκην ὁμοῦ καὶ τὰ παρὰ Θεοῦ ἐπηγγελμένα ἀγαθὰ κερδαίνομεν.

PSALMUS XXVII.

VERS. 1. Designat nomen lacus locum ubi custodiuntur damnati.

VERS. 2. Cum igitur multis indigens, noverim hæc a te adimpleri posse, ad te clamans oro ut exaudias vocem deprecationis meæ, me non alium ac te implorante. Neque enim alius implere potest ea quibus indigeo. — Templum vero Dei, Dei gloria est : templum Dei esset quoque supercœlestis locus, atque ibi potestates Dei præsentiam capientes, quoad fieri potest; esset etiam Dei Verbum, dicens : « Pater manens in me, facit opera [1]. »

VERS. 3. Precatur igitur dicens : Cum omnino inique agentem exsilium maneat, justitiam præbeas mihi, ne sinas me in iniquitate poni, ne cum operantibus eam peream.

VERS. 4. Qui prudenter res perspicit, ut noxia quæ turpia sunt odit, bona præferens ut utilia ; malus autem voluptate illectus, operatur mala, non videns eorum noxium. Cum igitur sapienter non sentiat hoc damnum, precatur sanctus tribui malo secundum opera laboriosa, ut per has molestias mala oderit, quæ pœnæ ipsi causæ facta sunt.

VERS. 5. Sicut facit homo, nunc opera sunt ejus, nunc opera manuum ejus : ipse enim prout sese habet agit. Activæ autem virtutes, manus ejus vocatæ, quæ in peccatis agenda sunt, operantur. Rogat igitur inter cætera, retributionem fieri, « quoniam non intellexerunt opera Domini, et opera manuum ejus : » operum Dei alia quidem visibilia, alia invisibilia sunt. Hos igitur qui non intellexerunt opera Dei et opera manuum ejus, retributionem

Στ. α'. Σημαίνει δὲ τὸ ὄνομα τοῦ λάκκου καὶ τὸν τόπον τὸν φυλάττοντα τοὺς κατακρίτους.

Στ. β'. Ἐπεὶ οὖν πολλῶν ἐνδεὴς ὢν, ἔγνων πρὸς σοῦ ταῦτα ἀναπληροῦσθαι δύνασθαι, πρὸς σὲ βοῶν ἀξιῶ εἰσακοῦσαί σε τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαι οὐ πρὸς ἄλλον τινὰ ἢ σέ. Οὐδὲ γὰρ ἄλλως (37') ἀναπληρῶσαι δύναται τὰ ὧν ἐλλειπής εἰμι. — Ὁ ναὸς δὲ τοῦ Θεοῦ, δόξα ἐστὶ τοῦ Θεοῦ· ναὸς δὲ Θεοῦ εἴη ἂν καὶ ὁ ὑπερουράνιος χῶρος, καὶ αἱ ἐν αὐτῷ δυνάμεις χωροῦσαι παρουσίαν Θεοῦ, κατὰ τὸ ἐφικτόν· εἴη δὲ καὶ ὁ Λόγος τοῦ Θεοῦ, ὁ φάσκων· « Ὁ Πατὴρ μένων ἐν ἐμοὶ, ποιεῖ τὰ ἔργα. »

Στ. γ'. Εὔχεται οὖν λέγων· Ἐπεὶ πάντως τῷ ἀδικοῦντι ἀπώλεια ἕπεται, δικαιοσύνην παρέχων μοι, ἐάσῃς (38) με ἐν ἀδικίᾳ γενέσθαι, ὅπως μὴ ἀπόλωμαι μετὰ τῶν ἐργαζομένων αὐτήν.

Στ. δ'. Ὁ διορατικὸς ἐπιστημονικῶς τοῖς πράγμασιν προσερχόμενος, ὡς βλαπτικὰ τὰ φαῦλα ἀποστρέφεται, αἱρούμενος τὰ ἀγαθὰ ὠφέλιμα ὄντα· ὁ δὲ φαῦλος ἡδονῇ θελγόμενος, ἐργάζεται κακά, οὐχ ὁρῶν αὐτῶν τὸ βλαβερόν. Ἐπεὶ οὖν λογικῶς οὐκ αἰσθάνεται τῶν βλαβερῶν, εὔχεται ὁ ἅγιος ἀποτῖσαι τῷ φαύλῳ κατὰ τὰ ἔργα ἐπίπονα, ὅπως κἂν διὰ τοὺς πόνους, ἀποστραφῇ τὰ κακὰ αἴτια κολάσεως αὐτῷ γεγενημένα.

Στ. ε'. Ὡς πράττει ὁ ἄνθρωπος, τὰ μὲν αὐτοῦ ἔργα, τὰ δὲ τῶν χειρῶν αὐτοῦ ἐστιν· αὐτὸς γὰρ κατὰ διάθεσιν ἐργάζεται. Αἱ δὲ ἐνεργητικαὶ δυνάμεις, χεῖρες αὐτοῦ καλούμεναι, ἐπιτελοῦσι τῶν ἁμαρτημάτων τὰ πρακτέα. Ἀξιοῖ οὖν καθ' ἕτερα ἀνταπόδοσιν γενέσθαι, « ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· » τῶν ἔργων τοῦ Θεοῦ τὰ μὲν ὁρατὰ, τὰ δὲ ἀόρατα τυγχάνει. Τοὺς γοῦν μὴ συνέντας τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν

[39] Ose. IX, 2. [1] Joan. XIV, 10.

(37') Pro ἄλλως leg. ἄλλος. EDIT.

(38) Lege μὴ ἐάσῃς. ID.

Digitized by Google

αὐτοῦ, ἀνταπολαβεῖν βούλεται τὸ ἀνταπόδομα αὐτῶν· αὐτοὶ γὰρ προαιρετικῶς εἵλοντο τὸ μὴ συνιέναι τὰ ἔργα· ᾧ ἠκολούθησε τὸ τιμωρίαις αὐτοὺς ὑποπεσεῖν.

A suam vult accipere; isti enim ultro constituerunt non intelligere opera : unde sequebatur ut darent pœnas.

Στ. ζ'. Ἐπὶ τῷ βοηθῷ καὶ ὑπερασπιστῇ Κυρίῳ ἐλπίσασα ἡ καρδία μου, ἐβοηθήθη, ὡς μηδὲν ἐν αὐτῇ εἶναι ἐνθύμημα αἰσχρὸν ἢ δόγμα φαῦλον· βοηθουμένης γὰρ καρδίας ἐστὶ τὸ συγκατατίθεσθαι οἷς δεῖ, καὶ ἀνανεύειν πρὸς τὰ ἐναντία. Οὕτω δὲ τῆς καρδίας μου βοηθηθείσης, ἀνέθαλεν ἡ σάρξ μου ἐν τῷ πράττειν αὐτά. Τάχα δὲ καὶ ἡ ἐλπίζουσα καρδία βοηθηθείη ἀπολαμβάνουσα κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν ἀνατείλασαν τὴν σάρκα· παραπλήσιον τούτῳ τό· « Καὶ τὰ ὀστᾶ ἡμῶν ὡς βοτάνη ἀνατελεῖ. » Σπέρματος γὰρ λόγον τὸ νῦν ἡμῶν σῶμα ἔχει πρὸς τὸ ἐξ ἀναστάσεως· αὐτὸ γὰρ τοῦτο σπαρὲν ἐν φθορᾷ, ἀναθάλλει ἐν ἀφθαρσίᾳ σπειρόμενον· ὅθεν καὶ τῷ παραδείγματι τῷ σπειρομένῳ, εἰς τὰ περὶ ἀναστάσεως ἐχρήσατο Παῦλος.

Vers. 7. In adjutore protectoreque Domino sperans cor meum, adjutum est, ita ut in ipso nulla turpis cogitatio vel prava sententia supersit : cordi enim sic adjuto proprium est, annuere iis quæ recta sunt, contrariisque obsistere. Ita autem adjuto corde meo, refloruit caro mea, hæc cum facerem. Mox et sperans cor adjutum esset, suscipiens resurrectionis tempore exsurrectam carnem ; quod fere simile est huic : « Et ossa nostra sicut herba surgent. » Nunc enim corpus nostrum quasi semen est illius quod in resurrectione erit; illud enim in corruptione seminatum reflorescet in incorruptione seminatum : inde B et exemplo seminationis, cum sermonem de resurrectione haberet, usus est Paulus.

Στ. η'. Τῷ γὰρ τοῦ Θεοῦ λαῷ τί ἕτερον ἔρυμα, πλὴν τοῦ Κυρίου; Πᾶς δὲ Χριστοῦ μετέχων, ὁμωνύμως καλεῖται Χριστός. Ὧν οὖν σώζεται σωτηρίων, οὕτω Χριστὸς αὐτὸς ὑπερασπιστής ἐστιν· ἢ καὶ τοῦ ὄντως Χριστοῦ ὑπερασπιστὴς τῶν σωτηρίων ἐστὶ καθ' ἃ σώζει.

Vers. 8. Etenim Dei populo quod munimentum aliud, nisi Dominus? Omnis enim Christi particeps, pari denominatione vocatur Christus. Sic et Christus salvationum protector est quas ipse facit, vel et cum sit reipsa Christus, protector salvationum est secundum quas salvat.

Στ. θ'. « Σῶσον τὸν λαόν σου » τοῦτον, οὗ κραταίωμα τυγχάνεις, « εὐλογῶν τὴν κληρονομίαν σου, » οὐκ ἄλλην τοῦ λαοῦ σου οὖσαν· εὐλόγησον δὲ αὐτὴν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις, ἐπάρας καὶ μετεωρίσας δι' ἀρετῆς αὐτούς· ἀλλὰ καὶ « ποιμαίνων αὐτοὺς » εἰς πάντα τὸν αἰῶνα τοῦτον· ἐν γὰρ τῷ μέλλοντι ὑπερβάντες τὴν θρεμμάτων κατάστασιν, C παιδευτῇ καὶ διδασκάλῳ σοι χρήσονται.

Vers. 9. « Salvum fac hunc populum, » cujus es fortitudo, « et benedic hæreditati tuæ, » quæ non aliud est atque plebs tua : benedic autem ei omni benedictione spirituali in cœlis, elatis atque erectis illis per virtutem; et « pasce eos » in omne hoc sæculum ; in futuro enim superantes jumentorum conditionem, præceptore ac magistro te utentur.

PSALMUS XXVIII.

Στ. α'. Ὁ προκείμενος ψαλμὸς, μέγιστα περιέχων μυστήρια, εἰκότως κατὰ τὸν εἰκοστὸν ὄγδοον ἀριθμὸν τέτακται, ὄντα δυνάμει ἑβδομάδα. Ἐὰν γοῦν συνθῇς τοὺς ἑξῆς ἀριθμοὺς ἀπὸ μονάδος ἕως ἑβδομάδος εἰκοστὸς ὄγδοος ἀπαρτίζεται· ὅθεν καὶ τρίγωνός ἐστιν, ἑκάστης αὐτοῦ πλευρᾶς συγκειμένης ἐξ ἑβδομάδος. Ἔστι δὲ καὶ τέλειος ἀριθμὸς, δεύτερος μετὰ τὸν ἕκτον. Τέλειον δὲ ἀριθμόν φασιν, τὸν ἐκ τῶν μερῶν ἑαυτοῦ συντιθέμενον, ὥστε μὴ ὑπερβάλλειν μηδὲ ἐλλείπειν. Καὶ ὁ παρὼν οὖν ἀριθμὸς μέρη ἔχει ἥμισυ, τέταρτον, ἕβδομον, τεσσαρεσκαιδέκατον, εἰκοστὸν ὄγδοον· ἅπερ συντεθέντα ἀπαρτίζει ἑαυτόν· ιδ', ζ', δ', β', α'.

Vers. 1. Hic psalmus, maxima tractans mysteria, merito vicesimus octavus numero habitus est, propter septenariam vim. Si enim numerorum ab uno ad septem summam facis, viginti octo perficitur numerus : unde et triangularis est, ab omni latere septem ostendens; est quoque perfectus numerus; secundus post sex numerum. Perfectum autem numerum dicunt, qui ex propriis suis partibus compositus est ita, ut neque ejus quid superet neque deficiat. Atqui numerus de quo agitur partes habet dimidiam, quartam, septimam, decimam quartam, vicesimam octavam ; quorum si quis summam facit, ipsum complet numerum : 14, 7, 4, 2, 1.

Προστάττει ἤτοι τοῖς ἀγγέλοις, ἤτοι τοῖς τὸ πνεῦμα τῆς υἱοθεσίας ἔχουσιν ἀνθρώποις ἐνεγκεῖν ἐπὶ τὴν D σκηνὴν τὰ πρὸς θεραπείαν. — Οἱ τὸ πνεῦμα τῆς υἱοθεσίας λαβόντες, ἄλλα τε προστάττονται καὶ υἱοὺς κριῶν ἐνεγκεῖν· κριοὺς δὲ νοητέον τοὺς εὐτόνους κατὰ θεοσέβειαν βίον ἐπανελομένους, δίχα τοῦ λογικῶς θεωρεῖν τὴν ἀλήθειαν· διὸ καὶ ἄρχειν εἰσὶν ἱκανοί· υἱοὶ δὲ κριῶν οἱ μιμήσει τῆς πολιτείας γεννηθέντες ὑπ' αὐτῶν. Δόξαν μὲν οὖν φέρουσιν οἱ τὸ προσῆκον περὶ Τριάδος δοξάζοντες· τιμὴν δὲ πάντες οἱ τηροῦντες τὰς ἐντολάς. Εἴπερ καὶ ὁ παραβαίνων τὸν νόμον διὰ τοῦ παραβαίνειν τὸν Θεὸν ἀτιμάζει. Ἐν

Imperat sive angelis, sive hominibus adoptionis spiritu præditis, afferre in tabernaculum sacris necessaria.—Qui spiritum adoptionis acceperunt, jubentur inter alia quoque filios arietum adducere : arietes autem intelligendi sunt qui cum omni animi intentione ad pietatem feruntur, neque sapienter veritatem non contemplantur : ideoque ad regendum idonei sunt ; filii vero arietum, qui administrationis imitatione ab eis quodammodo geniti sunt. Gloriam quidem igitur afferunt, qui de Trinitate ut decet credunt; honorem, quicunque observant mandata. Siquidem is qui legem transgreditur, ea transgressione Deum

Digitized by Google

dedecore afficit. In atrio autem adorat sancto, qui secundum dogmata et canones Ecclesiæ Deum colit.

Vers. 3, 7. Propiorem quispiam sumens, dicet Joannem in Jordane flumine baptizantem [1], « vocem esse Domini super aquas. » — Atque etiam austeram et recte ordinatam vitam professus Joannes, ponetrabilem vitæ voluptatum æstum faciens, « vox est Domini flammam ignis intercidentis. »

Vers. 9. Animas significant cervi, spiritu actus corporis occidentes, et spiritu per labra juxta imitationem Dei impium serpentem tollentes de medio. — Et manifesta fiant inhabitantes in eis feræ, cervi scilicet excitentur, quippe locus sterilium naturæ lignorum silva est, quæ verbi securi præcidunter atque in ignem mittuntur [2]. — Cum sublata erunt quæ propter densitatem hominum progressibus impedimento erant, tunc omnis homo, falsorum deorum errore relicto, gloriam dicet in templo Dei.

Vers. 10. Hæc sessio Dei immutabilitatem ostendit. Hunc igitur assignat illis qui propter mutationem perierunt, dicens se in æternum sedere; nos quoque cum tempore perimus. Hic igitur sui regni stabilitatem demonstrat.

A αὐλῇ δὲ προσκυνεῖ ἁγίᾳ ὁ κατὰ τὰ δόγματα καὶ τοὺς κανόνας τῆς Ἐκκλησίας τῷ Θεῷ λατρεύων.

Στ. γ', ζ'. Προχειρότερόν τις ἐπιβάλλων ἐρεῖ τὸν Ἰωάννην βαπτίζοντα ἐν τῷ Ἰορδάνῃ ποταμῷ, « φωνὴν εἶναι Κυρίου ἐπὶ τῶν ὑδάτων. » — Ἔτι μὴν εὐτονον καὶ αὐστηρὸν βίον ἀναλαβὼν ὁ Ἰωάννης, διοδεύσιμον τὸν φλογμὸν τῶν ἡδονῶν τοῦ βίου ποιήσας, « φωνή ἐστι Κυρίου διακόπτοντος φλόγα πυρός. »

Στ. θ'. Ψυχὰς δηλοῦσιν ἂν ἔλαφοι, πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦσας, καὶ πνεύματι διὰ χειλέων κατὰ μίμησιν Θεοῦ ἀναιροῦντας τὸν ἀσεβῆ ὄφιν. — Ὅπως φανερὰ γένωνται τὰ ἐν αὐτοῖς φωλεύοντα θηρία, ἅπερ ἀνειμῶνται ἔλαφοι· σύμφυτος γὰρ τόπος ξύλων ἀκάρπων ἐστὶν ὁ δρυμὸς, κοπτομένων ὑπὸ τῆς ἀξίνης τοῦ λόγου καὶ εἰς πῦρ βαλλομένων. — Ὅτε τὰ ἐπισκιάζοντα τῇ τῶν ἀνθρώπων προκοπῇ περιαιρεθῇ, τότε πᾶς τις τὴν πολύθεον πλάνην ἐάσας δόξαν ἐρεῖ ἐν τῷ ναῷ τοῦ Θεοῦ.

Στ. ι'. Ἡ δὲ καθίδρυσις τὸ ἄτρεπτον παρίστησι τοῦ Θεοῦ, διαστέλλει γοῦν αὐτὴν τοῖς δι' ἀλλοίωσιν ἀπολλυμένοις, φάσκων συγκαθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. Τὸ τοίνυν μόνιμον αὐτοῦ τῆς βασιλείας παρέστησεν.

PSALMUS XXIX.

Vers. 1. Verus David, de semine David secundum carnem natus, postquam ædificavit Ecclesiam, cujus fundamentum proprio jecit sanguine, dicens: Domum sanctam meam fundabo, hanc dedicare statuit, principium habitationis in ea dans credentibus: in qua dedicatione, hic « psalmus Cantici » in gratiarum actionem canitur. Sensibilem domum ædificandi cupidissimus David audierat: « Non tu ædificabis mihi domum, quoniam præliator vir ab adolescentia tua fuisti, sed qui nascetur de semine tuo, hic ædificabit mihi domum [4]. » Materiis igitur filio præparatis, hunc quoque psalmum quasi necessarium quid reliquit, in gratiarum actiones canendum.

Vers. 4. Salvat autem Deus sive morti succumbere non sinens, sive lapsos erigens. Hæc etiam accipi possunt de Christi persona, qui animam suam pro nobis dedit, atque a mortuis surrexit Deo et Patre annuente.

Vers. 6. Sed et quibus occidit lux vera defient, in noctis initio positi: quibus autem exortus est sol justitiæ, lætantur; occidit et veteri populo, et fleverunt; exortus est gentibus, et exsultaverunt.

Didymi et Basilii. Vers. 7. Convenit hoc Adamo ante transgressionem et Ezechiæ post victoriam. Namque in Paralipomenis cor ejus exaltatum fuisse dicit [5].

Vers. 8. Decor autem animæ virtutum ejus concordia, sicut et corporis membrorum symmetria. Hunc igitur mihi decorem præbe, quem accepi facta tua et Patris tui qui in cœlis est voluntate; etenim qui-

B

C

D

Στ. α'. Ὁ ἀληθῶς Δαυΐδ, ὁ ἐκ σπέρματος Δαυΐδ τὸ κατὰ σάρκα γενόμενος, οἰκοδομήσας τὴν Ἐκκλησίαν, ἧς τὸν θεμέλιον αἵματι τῷ ἰδίῳ κατέβαλεν, λέγων· Τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω, ταύτην ἐγκαινίσαι προὔθετο, ἀρχὴν τῆς ἐν αὐτῷ οἰκήσεως διδοὺς τοῖς πιστεύουσιν· ἐφ' ᾧ « ψαλμὸς Ὠδῆς » εὐχαριστικῶς ἀνακρούεται· τὸν αἰσθητὸν δὲ οἶκον οἰκοδομῆσαι προθυμηθεὶς ὁ Δαυΐδ ἀκήκοεν· « Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον διὰ τὸ ἀνὴρ πολεμιστὴς εἶναι ἐκ νεότητός σου, ἀλλ' ὁ ἐξερχόμενος ἐκ τῆς ὀσφύος σου, οὗτος οἰκοδομήσει μοι οἶκον· » τὰς οὖν ὕλας προετοιμάσας τῷ παιδὶ, καὶ τὸν ψαλμὸν ὡς ἕν τι τῶν ἀναγκαίων κατέλειπεν, ὡς ἂν συμπληρωθέντος εὐχαριστικῶς ἀνακρούηται.

Στ. δ'. Σώζει δὲ Θεὸς ἢ μὴ συγχωρῶν εἰς θάνατον κατελθεῖν, ἢ καταβαίνοντας ἀναστῶν. Νοηθείη δὲ ταῦτα καὶ ἐκ προσώπου Χριστοῦ τοῦ τὴν ψυχὴν αὐτοῦ δόντος ὑπὲρ ἡμῶν, καὶ ἀναστάντος ἐκ νεκρῶν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρός.

Στ. ς'. Ἀλλὰ καὶ οἷς ἔδυ τὸ φῶς τὸ ἀληθινὸν κλαίουσιν, ἐν ἀρχῇ νυκτὸς γεγονότες· οἷς δὲ ἀνατέλλει τῆς δικαιοσύνης ὁ ἥλιος, χαίρουσιν· ἔδυ καὶ τῷ προτέρῳ λαῷ, καὶ ἔκλαυσαν· ἀνέτειλε δὲ τοῖς ἔθνεσι, καὶ ἠγαλλιάσαντο.

Διδύμου καὶ Βασιλείου. Στ. ζ'. Ἁρμόττει καὶ τῷ Ἀδὰμ πρὸ τῆς παραβάσεως, καὶ τῷ Ἐζεκίᾳ νενικηκότι· ἐν γὰρ ταῖς Παραλειπομέναις ὑψωθῆναι λέγει τὴν τούτου καρδίαν.

Στ. η'. Κάλλος δὲ ψυχῆς ἡ τῶν ταύτης δυνάμεων συμφωνία, ἐπεὶ καὶ σώματος ἡ τῶν μελῶν συμμετρία. Τοῦτό μοι τοίνυν τὸ κάλλος παράσχου, ὅπερ ἀνέλαβον ποιήσας σου τὸ θέλημα καὶ τοῦ ἐν οὐρανοῖς Πατρός·

[1] Matth. III, 6. [2] Matth. VII, 19. [4] II Reg XXII, 25. [5] II Paral. VII, 5, 12, 13; I Paral. XVIII, 3, 4.

Digitized by Google

ἐπεὶ πᾶς ὁ σύμμορφος γεγονὼς τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ, κάλλος θεόθεν ἔσχεν ἐνωθεὶς τῷ Κυριακῷ θελήματι.

Στ. ια'. Διὰ δὲ τοῦ, « Κύριος ἐγενήθη βοηθός μου, » δείκνυται τὸ « ἐγενήθη, » μὴ πάντως οὐσίωσιν ἀλλὰ καὶ σχέσιν πρός τι δηλοῦν. Τοῦτο τοίνυν νοητέον καὶ περὶ τοῦ Σωτῆρος εἴ ποτε λέγοιτο. Ὁ δὲ κυρίως κοπετὸς, ὅταν κόπτωσι τὸ στῆθος αἱ χεῖρες· ἀφ' οὗ λέγεται τὸ (39) ἐν συναισθήσει τῶν ἰδίων ἁμαρτημάτων γενόμενοι διὰ χειρῶν πνευματικῶν μεταβαλεῖν τὸν θρῆνον εἰς εὐφροσύνην, χαρὰν τὸν καρπὸν ἀναλαβόντα τοῦ Πνεύματος. Τὸ δὲ « οὐ μὴ μεταγνῶ (40) · » δόξα δὲ τοῦ ψάλλοντος ὀρθὴ πολιτεία καὶ γνῶσίς ἐστιν εἰλικρινής.

A cunque similis forma factus est imaginis Dei Filii, divinum assumpsit decorem, Dominicæ coalescens voluntati.

Vers. 11. Per hæc, « Dominus factus est adjutor meus, » monstratur illud « factus est, » non omnino creationem, sed et habitum ad aliquid ostendere. Quod sane intelligendum est de Salvatore, si forte diceretur. Proprie fit planctus, cum manibus plectitur pectus : ex quo dicitur, in conscientia propriorum peccatorum factum manibus spiritalibus planctum in lætitiam convertere, gaudium fructum accipientem Spiritus. « Ut non compungar. » Gloria psallentis recta administratio et scientia est illuminata.

PSALMUS XXX.

Στ. β'. Ἀλλὰ καὶ ὁ τοῦ μακαρίου τέλους ἐλπίζων τυχεῖν, ὃς δὲ μὴ καταισχυνόμενος· ἀξιοῖ δὲ πολεμούμενος ῥυσθῆναι τῷ Μονογενεῖ τοῦ Θεοῦ δικαιοσύνῃ τυγχάνοντι· καὶ ἐπεὶ μὴ φθάνει, φησίν· Ἡ ἱκετήρα κραυγὴ πρὸς τὸ σὸν ὕψος, κλῖνον τὸ οὖς σου πρός με διὰ συγκαταβάσεως, ὅπως ἂν καὶ τάχος ἐπιθείης αἰτούμενος. — Καὶ νῦν δὲ τὸ « γενοῦ μοι » σχέσιν δηλοῖ τοῦ ὑπερασπίζοντος πρὸς τὸν ὑπερασπιζόμενον· ἀξιοῖ δὲ καὶ φρούριον αὐτῷ γενέσθαι, τοὺς ἐχθροὺς ἀποφυγόντι, καὶ τὸν οὐράνιον ἄρτον τραφῆναι.

B Vers. 2. Qui beato fine speravit frui, non confunditur : ab hoste lassessitus, rogat liberari ab Unigenito Dei qui ejus justitia est ; et cum ægre pervenit, ait : Clamor noster ad excelsitudinem tuam, inclina aurem tuam ad me, descendens ut celeritatem adjicias imploratus. — Et nunc « este mihi, » habitum ostendit protegentis ad protectum ; rogat et domum refugii sibi hostes fugienti, cœlestemque panem comedendum dari.

Στ. γ'. « Ἀγαλλίωμαι καὶ εὐφραίνομαι, » λύπην καὶ τὰ λοιπὰ πάθη καταπαίσας. Ἡ δὲ ταπείνωσις ποτὲ μὲν τὴν ἀτυφίαν δηλοῖ, ποτὲ δὲ τὴν ὑπ' ἐχθροῖς κάκωσιν· ἀγαθὸν δὲ τὸ ἐπιδεῖν τὸν Θεὸν τὴν ἑκατέρως ταπείνωσιν. Δηλοῖ δὲ νῦν τὴν κάκωσιν, τὰς ἀνάγκας ἐπαγαγών· ἀνάγκας γὰρ τὰς περιστάσεις ἐκάλεσεν. Εἰ τὸ εὐρύχωρον δὲ ταυτὸν τῇ ὁδῷ τῇ πλατείᾳ καὶ εὐρυχώρῳ δηλοῖ, ἧς ἐστιν ἡ φιληδονία, εὐχαριστεῖ διότι ἐν τῷ περιγείῳ τόπῳ τυγχάνων, ἐν ᾧ διὰ τὰς ἐμφωλευούσας (41) τὸ ζῆν ἐστιν ἐπισφαλές, στάσιν ἔσχε τοῦ μὴ ἧδε κἀκεῖσε πρὸς τῶν παθῶν περιφέρεσθαι ἡδέως, ἐπαινετόν (42) φησι τὸ εὐρύχωρον, ὁμολογεῖ χάριν ὅτι οὐ στενοχωρεῖται, πλατυνόμενός τε καὶ τοῖς πόνοις ἐγκαρτερῶν.

C Vers. 8. « Exsultabo et lætabor, » mœrorem cæterasque passiones pedibus obterens. Humilitas vero nunc modestiam indicat, nunc damna ex hostibus accepta : bonum est autem a Deo hanc utramque respici humilitatem. Hic vero de damnis sermo est, cum subjiciantur necessitates ; necessitates enim rerum vices vocat. Si autem spatiosum idem ac vastum spatiosumque iter significat, sicut est libidinosa vita, gratias agit quod, cum in spatioso sit loco, ubi propter latentes insidias vivere periculosum est, ita steterit, ut neque huc neque illuc cupiditatibus circumferatur; laudabiliter ait spatiosum, refert gratiam quod non sit in angusto, dilatatus et tribulationes æquo ferens animo.

Στ. ια'. Κατὰ μὲν τὸ αἰσθητὸν, οὐ πάντως οὔτε πτωχεύων τις ἀσθενεῖ, οὔτε μὴν ἀσθενῶν πτωχεύει· ἐν δὲ τοῖς πνευματικοῖς, ἐπεὶ ταυτὸν ἰσχύς τε καὶ πλοῦτος, ὁ πλουτῶν ἐν ἔργοις ἀγαθοῖς, ἰσχὺν ἔχει. Λέγει τοίνυν ὡς, « Ἠσθένησα » τὸν βλέποντα (43) πλοῦτον ἀποστραφείς· ἰσχὺν δὲ φησιν, ἀντὶ τοῦ ταύτην ἔχοντος τὴν ἕξιν εἰπών· Ὡς γὰρ οὐκ ἔστιν ἀγνοεῖν ἐπιστήμην, οὕτως οὐδὲ ἰσχὺν ἀσθενεῖν. Τοιοῦτον παρὰ Παύλῳ τὸ, « Ἵνα δικαιοσύνη γενώμεθα Θεοῦ ἐν αὐτῷ, » ἀντὶ τοῦ δικαίῳ (44).

Vers. 11. Sensibili acceptione, non omnino quivis mendicans infirmatur, neque infirmus mendicat; spiritali autem, cum idem sint fortitudo et divitiæ, qui ditescit in bonis operibus, vires habet. Ergo dicit : « Infirmatus sum » contemplantem divitias odio habens ; fortitudinem autem ait pro hunc habitum gerente, dicens : Sicut enim scientiam ignorare non par est, ita neque fortitudinem infirmari. Tale apud Paulum illud [a], « Ut justitia simus Dei in eo, » pro justo.

Στ. ιβ'. Οἱ ἐχθροὶ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι τυγχάνοντες, οὐ μόνον οὐκ αἰσχύνονται οὐδ' ἐνδοιάζουσι

D Vers. 12. Inimici, voluptatum amantes magis quam Dei, non modo non erubescunt, neque op-

[a] II Cor. v, 21.

(39) Nisi scribatur τόν, et mox γενόμενον, non video qualis sensus elici possit. Edit.

(40) *Τὸ δὲ οὐ μὴ μεταγνῶ.* Quid hæc sibi velint non video. Forte aliquid deest. Ib.

(41) Deest nomen ad quod participium referatur. Ib.

(42) Legendum, ni fallor, et interpungendum sic : Περιφέρεσθαι ἡδέως· εἰ δ' ἐπαινετόν φησι, etc. Ib.

(43) Sententiæ ἀκολουθία demonstrat participium βλέποντα, idem significare ac ἀληθῆ. *Dicit igitur, Infirmatus sum veras aversatus divitias* (divitias spirituales, bona opera). Ib.

(44) Lege δίκαιοι. Ib.

Digitized by Google

probrium accipere putant ex iis quæ male operantur, sed e contrario iis gloriantur. Quare de eis dictum est : « Quorum gloria in confusione eorum [7]; » magnifice jactant quæ ipsos afficiunt ignominia. Vos igitur pudeat jactantiæ vestræ coram Dominô : unde et consurgent isti in opprobrium et confusionem sempiternam. Qui igitur se in ista, de qua prius mentio habebatur, inopia versari senserit, se opprobrium factum esse fatetur; ideoque ait : « Super omnes inimicos meos factus sum opprobrium; » sed et super omnes proximos mihi habitatione, id est eadem sentientes, qui quidem reputantes e quantis opibus in quantam inopiam delapsus sim, cavent ne similia paterentur, calamitatem meam effugerunt, quoniam vas cum olim essem pretiosum et Domino perutile, adeo factus sum inutile ut quasi perditum viderer. Vituperationem audit Magister ab iis qui ejus discipuli videntur, quod non doctrinis adhærent, nec in eis commorantur; forsan et apud istos vituperatos habitando, perditum vas factus sum, juxta illud : « Quis infirmatur, et ego non infirmor [8] ? quis scandalizatur, et ego non uror [9] ? » — « Factus est timor propinquis meis, » quod veriti sunt, inquit, mecum una esse, ne inimicis meis occurrerent.

Vers. 16. Manus autem adjutrices dicit virtutes, in quibus ait esse omnes sortes, secundum divinam sententiam, vel pati, vel liberari. Ne putes enim hæc fortuito evenire. — In protegentibus et auxiliantibus virtutibus, quæ manus tuæ nuncupantur, sortes meæ sunt, omnia scilicet quæ sortitus sum juxta judicium tuum, nempe liberari ab iis vel pati : nihil enim opinor fortuito evenire. Alii vero hunc locum ita interpretantur : Data auctoritas, aiunt, imperantibus, vel magistris, vel imperium aliquod exercentibus, sortes eorum nominantur. Hæ igitur in manibus Dei sunt; sicut enim ipse constituit, ita et dejicit reges. Si igitur propter præstitam mihi auctoritatem quidam veniunt eam subvertere volentes, non poterunt, quoniam omnia quæ spectant ad me, in manibus tuis sunt.

Vers. 20, 21. Non penitus abscondit dulcedinem timentibus eum; multum enim ejus jam vident; sed « multitudinem, » ne offendantur. Recte autem dicitur « timentibus te; » iis enim eam reponit. Manifesta eam illis, cum perfectum ad amorem provecti, foras ejecerint timorem. Hæc autem ipsa quæ abscondisti « timentibus te, » jam efficaciter manifestasti plus spei quam timoris habentibus coram filiis hominum. Homines autem dices qui verbum et signum intemeratum custodierunt; filios vero eorum, qui sapienter discipuli atque imitatores eorum facti sunt. Absconditum autem facies Dei nuncupabis, quod nunc non cognitum est, sed tunc revelabitur cum sicut est eum videbimus [9]. Cui quidem abscondito opponitur quod dicitur apud Paulum [10], « Scientia

A ἔχειν δοκοῦσιν ἐφ' οἷς πράττουσιν κακῶς, ἀλλ' ἐκ τοῦ ἐναντίου σεμνύνονται. Ὡς λεχθῆναι περὶ αὐτῶν, « Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν · » καυχῶνται δὲ ἐφ' οἷς ὀνειδιστέοι γίνονται. Αἰσχύνθητε γοῦν ἀπὸ καυχήσεως ὑμῶν ἐναντίον Κυρίου · ὅθεν καὶ ἀναστήσονται οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον. Ὁ δὲ αἰσθόμενος ἐν τῇ προειρημένῃ πτωχείᾳ ἑαυτὸν γεγονέναι, ὁμολογεῖ ὀνειδιστέος εἶναι · διό φησι, « Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος · » ἀλλὰ καὶ παρὰ πᾶσιν τοῖς πλησιάζουσίν μοι κατὰ τὴν οἴκησιν, τουτέστιν τοῖς ὁμοδοξοῦσιν, οἵπερ κατανοήσαντες ἐξ οἵου πλούτου πρὸς οἵαν πτωχείαν ἐξέπεσαν (44'), εὐλαβούμενοι παθεῖν ἴσα, τὴν κατάστασιν ἀπέφυγον τὴν ἐμήν, ὅτι σκεῦος ὢν πάλαι τίμιον καὶ εὔχρηστον τῷ Δεσπότῃ, τοσοῦτον ἠχρειώθην ὡς B ἀπολωλέναι δοκεῖν. Ψόγου δὲ ἀκούει Διδάσκαλος παρὰ τῶν δοκούντων εἶναι περὶ αὐτὸν μαθητῶν, τῷ δὲ μὴ τοῖς μαθήμασιν ἐμμένειν μὴ κατοικούντων ἐν αὐτοῖς · ἴσως δὲ καὶ ψεγομένων ἐκείνων τῷ παροικεῖν, σκεῦος ἐγενόμην ἀπολωλός · κατὰ τὸ, « Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; » — « Ἐγενήθην φόβος τοῖς γνωστοῖς μου, » διὰ τὸ δεδιέναι, φησὶν, αὐτοὺς συγγενέσθαι μοι, μὴ τοῖς ἐμοῖς ἐχθροῖς περιπέσωσιν.

Στ. ις'. Χεῖρας δέ φησι τὰς φρουρούσας δυνάμεις, ἐν αἷς φησιν εἶναι πάντα τὰ συγκληρωθέντα κατὰ κρίσιν αὐτῷ θεῖαν ἤτοι παθεῖν ἢ ῥυσθῆναι. Μηδὲ γὰρ οἴεσθαι ταῦτα συμβαίνειν συντυχικῶς. — Ἐν ταῖς σκεπαζούσαις καὶ φρουρούσαις δυνάμεσι, χερσίν σου C χρηματιζούσαις, οἱ κλῆροί μου τυγχάνουσιν, τουτέστιν, πάντα τὰ συγκληρωθέντα μοι κατὰ κρίσιν σὴν ἤτοι ῥυσθῆναι ἀπ' αὐτῶν, ἢ παθεῖν · οὐδὲ γάρ τι συντυχικῶς οἶομαι συμβαίνειν. Ἕτερο. δὲ τὴν λέξιν σαφηνίζουσιν οὕτως · Αἱ δεδομέναι ἐξουσίαι, φησὶν, ἤτοι ὡς ἄρχουσιν, ἢ διδασκάλοις, ἢ ἄλλην τινὰ ὑπεροχὴν ἔχουσιν, κλῆροι αὐτῶν ὀνομάζονται. Οὗτοι οὖν ἐν ταῖς χερσὶν τοῦ Θεοῦ εἰσιν · ὡς γὰρ αὐτὸς καθιστᾷ, οὕτως καὶ μεθιστᾷ βασιλεῖς. Κἂν τοίνυν διὰ τὴν παροῦσάν μοι ὑπεροχὴν ἐπέρχωνταί τινες μετακινῆσαι αὐτὴν βουλόμενοι, οὐ δυνήσονται, τῷ πάντα τὰ κατ' ἐμὲ ἐν ταῖς χερσίν σου εἶναι.

Στ. κ', κα'. Οὐχ ἁπλῶς κρύπτει τὴν χρηστότητα τοῖς φοβουμένοις αὐτόν · πολὺ γὰρ αὐτῆς ἤδη καθορῶσιν · ἀλλὰ « τὸ πλῆθος » ἵνα μὴ βλαβῶσιν. Εὖ δὲ D καὶ τὸ εἰπεῖν « τοῖς φοβουμένοις σε · » αὐτοῖς γὰρ αὐτὴν ταμιεύεται. Φανέρωσον αὐτὴν αὐτοῖς, ὅτ' ἂν τελείᾳ ἀγάπῃ γενόμενοι ἔξω βάλωσι τὸν φόβον. Αὐτὰ δὲ ταῦτα ἃ ἔκρυψας « τοῖς φοβουμένοις σε, » ἤδη κατ' ἐνέργειαν ἐφανέρωσας τοῖς πλέον τοῦ φόβου τὴν ἐλπίδα ἔχουσιν ἐναντίον τῶν υἱῶν ἀνθρώπων. Ἀνθρώπους δ' ἐρεῖς τοὺς τὸ λογικὸν καὶ κατ' εἰκόνα ἀδιάστροφον φυλάξαντας · υἱοὺς δὲ αὐτῶν τοὺς λογικῶς μαθητὰς καὶ μιμητὰς αὐτῶν γενομένους. Ἀπόκρυφον δὲ τοῦ προσώπου τοῦ Θεοῦ ἐρεῖς, τὸ μὴ ἐφικτὸν νῦν πρὸς γνῶσιν, φανερωθησόμενον δὲ τότε ὅτε ὀψόμεθα αὐτὸν καθὼς ἔστιν. Τούτῳ τῷ ἀποκρυφῳ

[7] Philipp. III, 13. [8] II Cor. XI, 29. [9] I Joan. III, 2. [10] Rom. I, 19.

(44') Legendum ἐξέπεσον. Edit.

Digitized by Google

ἀντιδιαστέλλεται τὸ λεγόμενον παρὰ Παύλῳ, « Γνωστὸν αὐτοῦ φανερωθὲν τοῖς ἀνθρώποις, » τουτέστιν τὸ δημιουργὸν καὶ προνοητικὸν αὐτοῦ. Ἐξῆς γὰρ τοῦ, « Ὁ Θεὸς ἐφανέρωσεν, » εἴρηται· « Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται. » Τάχα καὶ ὁ Σωτὴρ, πρόσωπον ὢν Θεοῦ, ἀπόκρυφον ἔχει πᾶν τὸ κατὰ τὴν θεότητα, ἐμφανὲς δὲ τὸ κατὰ τὴν οἰκονομίαν. Ὅτ' ἂν οὖν ὁ Λόγος γενόμενος σὰρξ σκηνώσῃ ἐν ἡμῖν, κατακρυπτόμεθα ἐν τῷ ἀποκρύφῳ τοῦ προσώπου αὐτοῦ, ὀψόμενοι αὐτὸ, ὅτ' ἂν ὀψώμεθα « τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Ἐπίστησον δὲ, εἰ καὶτὰ προφανῆ ἔργα τῆς προνοίας, πρόσωπον αὐτοῦ εἶναι δύναται· δι' αὐτῶν γὰρ Θεὸν φανταζόμεθα· ἀπόκρυφον δὲ αὐτοῦ οἱ ἀπόῤῥητοι λόγοι καθ' οὓς γίνεται τὰ γινόμενα, οὓς ἐπὶ τέλει τῶν πραγμάτων εἰσόμεθα, ἀπὸ ταραχῆς ἀνθρώπων. Οἱ ἀνθρώπινα δόγματα ἐπαγγελλόμενοι, ἄνθρωποί εἰσιν ταραχὴν προβαλλόμενοι, δι' ἧς ταράττουσιν τοὺς ἀνερματίστους. Ταύτης τῆς ταραχῆς ἐκτὸς ποιῶν τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ὁ Θεὸς, κατακρύπτει αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου αὐτοῦ, κατὰ πάντας τοὺς εἰρημένους τρόπους. Ὁ δὲ προκόπτων ἔτι, καὶ ἐν σκηνῇ χρῄζει σκέποντος ἐν αὐτῇ τοῦ Θεοῦ διὰ τὸ τὰς ψευδοδοξίας ἀποφυγεῖν ἃς ἐκάλεσε « γλώσσας· » πρὸς δὲ τὸν τέλειον πάσης ἀπαλλαγέντα προκοπῆς, καὶ κατανοοῦντα λοιπὸν αὐτὴν τὴν ἀλήθειαν λέγεται, Καὶ πᾶσα φωνὴ ἡ ἀναστήσεταί ἐπὶ σὲ εἰς κρίσιν, πάντας ἠττήσεις.

Στ. κϐ', κγ'. Οὐ τοσοῦτον θαύματος ἄξιον ὅτ' ἂν ἐμφαίνηται ὁ ἔλεος τοῦ Θεοῦ ἐν ταῖς ἀνετικαῖς καὶ ἠπλωμέναις πόλεσιν, ὅσον θαυμαστούμενος τότε, ὅτ' ἂν ἐν πόλει περιοχῆς γένηται· ὡς καὶ διὰ τοῦτο εὐλογητὸν εἶναι τὸν Θεὸν, πάνυ εὐλογούντων τῶν ἐκ πλείονος περιστάσεως ῥερυσμένων· τὸ δὲ τῆς ἐκστάσεως ὄνομα σημαίνει τὴν παραφροσύνην, δηλοῖ δὲ καὶ τὸν θαυμασμὸν μετ' ἐκπλήξεως γινόμενον. Σημαίνει ἡ παροῦσα λέξις τὸ δεύτερον τῶν σημαινομένων. Ὁ γὰρ λέγει ἔστι τοιοῦτον· « Ἐν ἐκστάσει, » τουτέστιν ἐν ἐκπλήξει γεγενημένος « εἶπα· Ἀπέῤῥιμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου, » τουτέστι μακρὰν ἔδοξα εἶναι τῶν ἐποπτικῶν καὶ ἐπισκοπευτικῶν σου δυνάμεων· καὶ ἐπεὶ οὕτως διατεθεὶς παρεκάλεσα μὴ ἀπεῤῥιμμένος μεῖναι, ἀλλ' ἐπιφανῆναί μοι τὸ πρόσωπον τῶν ὀφθαλμῶν σου, « διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. »

Στ. κδ'. Μιᾶς ἀληθείας οὔσης τῆς εἰπούσης, « Ἐγώ εἰμι ἡ ἀλήθεια, » πολλαὶ συνίστανται ἐν τοῖς μετέχουσιν τῆς μιᾶς ἑκάστης ψυχῆς ἀλήθειαν ἐχούσης· ὃν ἐδέξατο τύπον ἐκ τῆς μονογενοῦς ἀληθείας. Ἐπεὶ οὖν πάσας τὰς ἀληθείας ταύτας ἐκζητεῖ Κύριος, τιμῆσαι ἐπ' αὐτὰς βούλεται τοὺς ἔχοντας αὐτάς· τούτου χάριν, οἱ ὅσιοι αὐτοῦ, ἐκζητήσατε αὐτόν· οὐκ ἀμισθὶ καταλύοντες ἐφ' ᾗ ἔχετε ἀληθείᾳ.

ejus revelata hominibus, » id est creatio atque providentia ejus. Continuo enim post « Deus manifestavit, » dicitur : « Invisibilia enim ejus a creatione mundi in operibus perspiciuntur [11]. » Fortasse et Salvator, cum Dei sit facies, absconditum habet quodcunque ad divinitatem ejus spectat, manifestum vero quodcunque ad Incarnationem. Cum igitur Verbum caro factum habitaverit in nobis [12], abscondimur in abscondito faciei ejus, visuri eam, cum videbimus « gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis [13]. » Vide autem, num manifesta providentiæ opera facies ejus esse possint; per ea enim Deum nobis fingimus : abscondita vero ejus mystica verba, secundum quæ fiunt, quæ eveniunt, et quæ in fine rerum noverimus, citra conturbationem hominum. Qui humana prædicant dogmata, homines sunt perturbationem spargentes, qua non confirmatos confundunt. Extra hanc conturbationem ponens in se sperantes Deus, abscondit eos in abscondito faciei suæ, secundum omnes quos modo retulimus modos. Qui autem progreditur amplius etiam in tabernaculo cupit ut Deus in illo habitans protegat eum, depellens ab eo falsas opiniones, quas vocavit « linguas; » quod vero ad perfectum attinet, omni exsolutum progressu, meditantemque deinceps ipsam veritatem, dicitur : Et omnis vox quæ ascendet ad te in judicium, omnes superabis.

Vers. 22, 23. Non tam admiratione dignum cum apparuerit misericordia Dei in fluxioribus nulliusque defensionis civitatibus, quam admirabilis fuerit cum in munita civitate evenerit. Quamobrem benedictum esse Deum decet, et benedicunt ei qui de multis rerum vicibus liberati fuerunt; excessus autem vox amentiam significat, ostendens quoque admirationem cum stupefactione. Præsens vero locus secundam indicat verbi acceptionem. Quod enim dicit, tale est : « In excessu, » scilicet in stupefactione factus « dixi : Projectus sum a facie oculorum tuorum, » id est, procul existimavi me esse ab illis in quibus inspiciunt et invigilant oculi tui; sed cum hæc mihi fingerem, rogavi ne projectus remanerem, sed ut appareret mihi facies oculorum tuorum, « et propterea exaudisti vocem deprecationis meæ, dum clamarem ad te. »

Vers. 24. Una cum sit veritas quæ dicat : « Ego sum veritas [14], » multæ oriuntur in unius animæ veritatem habentis participibus : quem accepit typum ex unica veritate. Cum igitur omnes veritates illas requirat Dominus, pœnas repetere propter illas vult ab iis qui habent eas : cujus gratia, sancti ejus, requirite eum; non gratis retribuentes pro illa quam habetis veritate.

PSALMUS XXXI.

Στ. α'. Καὶ ἐπὶ (45) πολλὰ κεκρυμμένα ὁ ψαλμὸς

Vers. 1. Cum abscondita multa psalmus habeat,

[11] Rom. I, 20. [12] Joan. I, 14. [13] ibid. [14] Joan. XIV, 6.

(45) Lege ἐπεί. Edit.

Digitized by Google

intellectu cuivis opus est, ut singula obscure dictorum possit intelligere.

VERS. 2. Qui sine peccato est, non simpliciter homo, sed « vir » propter perfectionem dicitur. Sic igitur « Deus non imputat peccatum, » sive ut deleatur illud, sive ut nunquam exstiterit. Convenit enim illud maxime Christo secundum incarnationem; atque illud : « Non est in ore ejus dolus, » similiter interpretandum, sive quod rejectus est dolus, sive quod nunquam exstitit : non est vero dolus in ore illius qui verbum verum probatissimumque habet.

VERS. 3. Vera luce illuminatus in die vixi, inque hac tota clamabam hymnis precando. Cum igitur propter incuriam a clamore cessarem, inveteraverunt valida et robusta dogmatum, ossa mea vocata. Inveteratio defectionem indicat hæc dicentis, ossaque ejus non natura inveterata fuisse.

A delictis extra legem per legis transgressionem peccata secernit : priora vero remittuntur; etenim cum sint extra legem, veniam consequuntur; peccata autem non omnino remittuntur; amore solummodo velantur : amor enim abscondit peccatorum multitudinem, cum legis transgressores tandem pœnituerit. Postquam igitur per lavacrum remissio, et per pœnitentiam occultatio, utrumque complectitur. Quidam remissionem de gentilibus dicunt, occultationem vero de circumcisis qui crediderunt.

VERS. 4. Jam supra dictum est, in multis Scripturæ locis castigatoriam Dei virtutem manum ejus vocari. Hanc igitur graviter impendere sibi die ac nocte, id est perpetuo, dicit, propter suam in pejora conversionem; vitæ autem sollicitudines voluptatesque hujus sæculi spinas interpretatus est Salvator[15]. Cum igitur tali quispiam configitur spina, statim ad ærumnam vertitur. Scire operæ pretium est quod per conversionem atque immutationem miser fiat aliquis, cum natura non talis est. Indicat vero hic locus miserum et miseratione dignum; spinamque configi, eam ostendit non natura, sed extrinsecus penetrantem. Qua igitur exulceratus, vertitur ad ærumnam; quæ scilicet ex pœnitentia Dominique castigatoria admonitione nascitur. « Quem enim diligit Dominus, castigat; virgis cædit omnem filium quem recipit[16]. » Novimus et ex libris Regum quanta passus sit propter hoc peccatum, a Domino castigatus ob priorem ipsius justitiam, ut isto peccato pœnaque quam meritus fuerat, liberatus ad priorem sanitatem restitueretur.

VERS. 5. Qui in peccatum incidit, cum vult illud invalescere, occultat et abscondit; qui vero illud detestatur, manifestum efficit ei qui illud curare potest, et libera confessione patefacit. Hic autem delictum peccato non absimile detegit. Imago enim peccati delictum : peccat enim quicunque delictum

[15] Matth. XIII, 22. [16] Hebr. XII 6.

A ἔχει. συνέσεως χρεία τῷ ἐντυγχάνοντι, ἵνα συνιέναι δυνηθῇ ἕκαστα τῶν ἀσαφῶς εἰρημένων.

Στ. β'. Ὁ ἀναμάρτητος, οὐχ ἁπλῶς ἄνθρωπος, ἀλλ' « ἀνήρ, » διὰ τὴν τελειότητα λέγεται. Οὕτω γοῦν « ὁ Θεὸς οὐ λογίζεται ἁμαρτίαν, » ἤτοι τῷ ἀφίεσθαι αὐτὴν, ἢ τῷ μηδ' ὅλως γεγονέναι. Ἁρμόσει γὰρ τοῦτο μάλιστα τῷ Χριστῷ κατὰ τὴν οἰκονομίαν· καὶ τὸ, « Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος, » ὁμοίως ἐκδεκτέον, ἢ τὸ ἀποβεβληκέναι, ἢ τὸ μὴ ἐσχηκέναι δόλον· οὐκ ἔστιν δὲ δόλος ἐν στόματι τοῦ λόγον ἀληθῆ καὶ ἀκατάγνωστον ἔχοντος.

Στ. γ'. Ἀπὸ τοῦ ἀληθινοῦ φωτὸς καταυγαζόμενος ἐν ἡμέρᾳ διῆγον, καὶ ἐν ὅλῃ ταύτῃ ἔκραζον ὑμνῶν εὐχόμενος. Ἐπεὶ οὖν ἀπὸ ταύτης τῆς κραυγῆς ἐξ B ἀπροσεξίας ἐσίγησα, ἐπαλαιώθη τὰ ἰσχυρὰ καὶ τὸ εὔτονα τῶν δογμάτων, ὀστᾶ μου ὀνομαζόμενα. Σημαίνει δὲ τὴν μετάπτωσιν τοῦ τοιαῦτα λέγοντος, τῷ πεπαλαιῶσθαι, καὶ μὴ φύσει παλαιὰ εἶναι τὰ ὀστᾶ αὐτοῦ.

Ταῖς ἀνομίαις ταῖς χωρὶς νόμου τὰς διὰ νόμου παραβάσεως ἁμαρτίας ἀντιδιέστειλεν· ἀλλ' αἱ μὲν ἀνομίαι ἀφίενται· χωρὶς γὰρ οὖσαι νόμου, συγγνώμης τυγχάνουσιν· αἱ δὲ ἁμαρτίαι παντὶ μὲν οὐκ ἀφίενται, ἐξ ἀγάπης δὲ μόνον ἐπισκιάζονται· ἀγάπη γὰρ καλύπτει πλῆθος ἁμαρτιῶν, ὅταν παρακούσαντες τοῦ νόμου ὕστερον μετανοήσωσιν. Ἐπεὶ τοίνυν διὰ λουτροῦ μὲν ἡ ἄφεσις, διὰ δὲ μετανοίας ἐπικάλυψις, ἀμφότερα περιέλαβεν. Τινὲς δὲ τὴν μὲν ἄφεσιν ἐπὶ τῶν ἐθνικῶν φασιν, τὴν γε μὴν ἐπικάλυψιν ἐπὶ τῶν ἐκ περιτομῆς πιστευσάντων.

C Στ. δ'. Καὶ ἐν τοῖς προάγουσιν εἴρηται, ὡς ἐν πολλοῖς τόποις τῆς Γραφῆς ἡ κολαστικὴ τοῦ Θεοῦ δύναμις χεὶρ αὐτοῦ ὀνομάζεται. Ταύτην οὖν βαρέως ἐπικεῖσθαι αὐτῷ ἡμέρας καὶ νυκτὸς, τουτέστιν συνεχῶς, λέγει, διὰ τὴν ἐπὶ τὸ χεῖρον μεταβολήν· τὰς βιωτικὰς μέν τοι μερίμνας ἡδονάς τε τούτου τοῦ αἰῶνος, ἀκάνθας ἡρμήνευσεν ὁ Σωτήρ. Ὅτ' ἂν οὖν τοιαύτη ἄκανθα ἐμπαγῇ τινι, εὐθέως εἰς ταλαιπωρίαν στρέφεται. Ἰστέον ὅτι κατὰ μεταβολὴν καὶ τροπὴν ταλαίπωρός τις γίνεται, μὴ φύσει ὢν τοιοῦτος. Σημαίνει δὲ ἡ λέξις τὸν οἰκτρὸν καὶ ἐλεεινόν· καὶ τὸ ἐμπαγῆναι δὲ ἄκανθαν τὸ μὴ φύσει δηλοῖ, ἀλλ' ἔξωθεν ἐπεισιοῦσαν. Νυττόμενος οὖν ὑπὸ ταύτης, ἐστράφην εἰς ταλαιπωρίαν, τὴν διὰ τῆς μετανοίας καὶ τῆς ὑπὸ τοῦ Κυρίου παιδευτικῆς νουθεσίας· « Ὃν D γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ πάντα υἱὸν ὃν παραδέχεται. » Ἔγνωμεν δὲ ἐν ταῖς Βασιλείαις, ὅσα ὑπέμεινεν διὰ ταύτην τὴν ἁμαρτίαν, ὑπὸ Κυρίου παιδευόμενος διὰ τὴν προτέραν αὐτοῦ δικαιοσύνην, ἵν' ἐκείνης τῆς ἁμαρτίας καὶ τῆς δι' αὐτὴν τιμωρίας ἀπαλλαγεὶς, τὴν προτέραν ὑγείαν ἀναλήψηται.

Στ. ε'. Ὁ εἰς ἁμαρτίαν ἐμπεσὼν, ὅσον ἐνεργεῖν αὐτὴν βούλεται, σκέπει καὶ κρύπτει αὐτήν· ὁ δὲ μισήσας αὐτὴν, φανερὴν ποιεῖ τῷ δυναμένῳ ἰάσασθαι, δι' ἐξομολογήσεως ἐξαγορεύων αὐτήν· ἀλλὰ καὶ τὴν ταύτῃ κατάλληλον ἀνομίαν ἀποκαλύπτει. Εἶδος γὰρ ἁμαρτίας ἡ ἀνομία· πᾶς γὰρ ὁ ἀνομῶν ἁμαρτάνει· οὐ,

Digitized by Google

παντὸς ἁμαρτάνοντος ἀνομοῦντος, δύνατσι ἐκ παραλλήλου εἰρῆσθαι· μάλιστα διὰ τὸ, « Ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἁμαρτία ἐστὶν ἡ ἀνομία. » Πραγματικῶς δὲ εἰπὼν « ἐξαγορεύειν κατ' ἐμαυτοῦ ἣν πεποίηκα ἀνομίαν, » πλέον οὗ ἠτησάμην ἔσχον· οὐ μόνον γὰρ ταύτην, ἀλλὰ καὶ τὴν τῆς καρδίας ἀσέβειαν ἀφῆκεν ὁ Θεός· ἀσέβεια δὲ καρδίας εἶναι δύναται, ἡ συμβαίνουσα τοῖς πολλοῖς δυσαρέστησις τῆς προνοίας, ἐκ τῆς δοκούσης τῶν πραγμάτων ἀνωμαλίας.

A facit. Non autem quæ de peccatore, eadem et de delinquente dici possunt; præsertim ob illud, « Qui facit peccatum, et delictum facit; et peccatum est delictum. » Consulto autem dicens « confiteri adversum me quam feci injustitiam, » plus quam quod petieram habui. Namque non eam solummodo, sed et cordis impietatem remisit Deus: impietas autem cordis esse potest, quæ multis accidit indolis morositas, e rerum confusione nata.

Στ. ς'. Εἰ καὶ πρακτικῆς ἀνομίας καθαρεύουσιν οἱ ὅσιοι, ἀλλά γε χραινομένους ἔχουσι τοὺς λογισμοὺς πολλάκις ἐκ τῆς εἰρημένης καρδίας ἀσεβείας· καίτοι οὐ περὶ ἀνομίας ἧς οὐκ ἔχουσιν οἱ (46) προσευχόμενοι, ὑπὲρ τῆς ἀσεβείας προσεύξονται, ἄφεσιν αὐτῆς αἰτούμενοι ἐν εὐθέτῳ καιρῷ· εὔθετος δὲ καιρὸς προσευχῆς περὶ τῆς εἰρημένης ἀφέσεως, ὅτε τις ἀπὸ πράξεως ῥυπαρᾶς καθαρεύει· καὶ ὥσπερ τις τραυματίας ὅλος ὤν, περὶ ἀμυχῆς οὐκ ἀπαιτήσει ἰατροῦ θεραπείαν, ἀλλ' ὅλον τὸ σῶμα ὁλόκληρον ἔχων ἐν μόνῃ τῇ ἀμυχῇ τυγχάνων· οὕτως οὐδεὶς πράξεων ἐνάγων πεπληρωμένος, περὶ καθαρότητος λογισμῶν προσεύξεται, ἀλλὰ μόνος πᾶς ὅσιος. — Ὅτ' ἂν κατακλυσμὸς πολλῶν πνευματικῶν ὑδάτων γένηται, ἐσχηκότος τινὸς ἐν ἑαυτῷ πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστιν τῶν ὑδάτων ἐξαφανιζόντων πάντα τὰ ἁμαρτήματα, καὶ τὴν ἐπ' αὐτοῖς ἀσέβειαν τῆς καρδίας, οὐκ ἐγγιοῦσιν ἡ ἀσέβεια καὶ ἡ ἀνομία τῷ ὑπὲρ αὐτῶν προσευξαμένῳ.

B Vers. 6. Etsi practicæ injustitiæ immunes sint sancti, cogitationes tamen habent hac quam modo diximus cordis impietate leviter perstrictas. Quare non pro injustitia quam non habent, sed pro ista impietate exorabunt, ejus remissionem rogantes in tempore opportuno: opportunum autem exorationis tempus de hac remissione est, quando quis se immunditiis purificat; et sicut quis totus vulneratus de levi cutis laceratione non medici requirit officium, sed qui corpus totum integrum habens sola laceratione læsus est: ita nemo expiandis rebus gravatus puritatem mentis exoptat, nisi qui omnino sanctus est. — Quando diluvium multarum spiritalium aquarum advenerit, et in semetipso quispiam habuerit fontem aquæ salientis in vitam æternam [17], aquarum scilicet omnia peccata delentium, atque in eis cordis impietatem, non approximabunt impietas et injustitia ad eum qui pro illis oravit.

Στ. ζ'. Τῆς περιεστηκυίας θλίψεως ἀπαλλαγὴν οὐκ ἄλλως εὑρίσκειν ὁ ταῦτα λέγων νομίζει, ἢ καταφυγὼν πρὸς Χριστόν.

C Vers. 7. Circumdantis tribulationis liberationem non aliter invenire hæc dicens existimat, nisi ad Christum confugiens.

Στ. θ'. Τουτέστιν μὴ τὸ λογικῶς ἐνεργεῖν ἀποβαλόντες, εἰς ἄλογον πέσωνται κατάστασιν, ὥστε ἵππῳ διὰ τὸ θηλυμανὲς ὁμοιωθῆναι, ἢ ἡμιόνῳ διὰ τὸ ἐστερεῶσθαι πρὸς τὰ κακά. — Οἱ μὲν εὔεικτοι καὶ εὐήνιοι ἑκουσίᾳ ὁρμῇ ἐγγίζουσι τῷ Θεῷ· οἱ δὲ προειρημένοι, ὡς ἵππος καὶ ἡμίονος διὰ τὸ ἀσύνετον γεγονότες, τῇ προειρημένῃ ἀνάγκῃ τῶν πωλοδαμνῶν ἀχθήσονται πρὸς σέ.

Vers. 9. Id est ne prudenter agere omittentes, in brutorum animalium conditionem incidant, ita ut equo propter mulieris concupiscentiam similes sint, vel mulo propter indurationem ad mala. — Qui quidem dociles sunt et freno audientes, sponte ad Deum accedunt; illi vero, de quibus modo dixi, sicut equus et mulus propter dementiam facti, prædicta frenorum necessitate trahentur ad te.

PSALMUS XXXII.

Στ. α'. Οἱ τὸν ἠθικὸν κατορθώσαντες βίον, δίκαιοί εἰσιν ἀγαλλιώμενοι ἐν τῷ Κυρίῳ· εὐθεῖς δὲ οἷς πρέπει αἴνεσις, οἱ πᾶσαν σκολιότητα ψευδοδοξίας διαφυγόντες· τούτοις γὰρ ἁρμόζει Θεὸν αἰνεῖν· ἐπεὶ « οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. »

D Vers. 1. Qui in morali proficiunt vita, justi sunt exsultantes in Domino; recti autem, quos decet collaudatio, qui omnem falsæ doctrinæ obliquitatem effugerunt: hos enim decet Deum laudare, quia: « Non opportuna laus in ore peccatoris [18]. »

Στ. β'. Ἡ ἐξομολόγησις ἡ ἐνταῦθα τὴν εὐχαριστίαν δηλοῖ· ταύτην οὖν ἐν κιθάρᾳ ποιητέον· καὶ εἰ μὲν κιθάρα εἴη τὸ σῶμα, νευραὶ τεταμέναι οὐκ ἄλλαι τῶν αἰσθήσεων εἶεν, αἷς ἐπαινετῶς χρώμενοι, εὐρύθμως καὶ ἐναρμονίως ἐξομολογούμεθα τῷ Κυρίῳ. Εἰ δὲ τὴν ψυχὴν ὑπολάβοι τις κιθάραν, αἱ δυνάμεις αὐτῆς οἷον μνημονικὴ καὶ συγκαταθετικὴ καὶ ἀνανευτικὴ καὶ ἄλλαι κατὰ λόγον κρουόμεναι νευρῶν δίκην ὑπὸ νοῦ, μυστικῶς ἐξομολογήσονται τῷ Κυρίῳ. Ψαλ-

Vers. 2. Quæ hic indicatur confessio gratiarum actionem significat; quodsi cithara corpus est, extensæ chordæ nihil aliud ac sensus sunt, quibus ad laudandum utentes, numerose ac modulate confitemur Domino. Si autem de anima accipienda est cithara, ejus facultates, sicut memoria, approbatio, negatio, cæteræque quas chordarum instar mens per rationem pulsat, mystice confitebuntur Domino. Hanc vero psalterii et

[17] Joan. IV, 14. [18] Eccli. XV, 9.

(46) Παρέλκει articulus. Edit.

Digitized by Google

citharæ differentiam esse dicunt musici : citharam quidem ex inferioribus partibus sonum perficere dicunt; psalterium vero ex superioribus, dum sit præterea ex omnibus rectissimum. Datæ igitur animæ esse citharam ; spiritus vero hominis, qui est in eo, cum nihil aliud sit ac mens, psalterium est, psallens nemini nisi Deo. Cum igitur rectis utimur cogitationibus, et spiritui nostro sanctum adjicimus Spiritum, tunc psallimus in decem chordarum psalterio. Decem chordarum numerus perfectionem ejus probat. Hunc enim numerum assiduo prædicatum in Scripturis reperire est, et pontifici igitur Mosi non amplius quam decem mandata revelavit Deus; nec non et decimas pendere populus jubetur.

Vers. 3. Qui in omnibus celebrat Deum, et per vocis exclamationem laudes ei tribuit. Hæc enim vociferatio vox quædam est undique et confuse adversus devictos in prælio habita, unde et pulchrum est vociferare; canticum vero novum Novo Testamento et spiritus novitati congruum est.

Vers. 4. Domini verbum, quod dat Dei scientiam inquirentibus, neque dolos, neque fraudem habet. Huic verbo opera congrua, quæ faciunt operarii ejus in fide confirmata, et opera verbi inconcussa sunt : verbum autem rectum est, secundum ea quæ prædicit. Quod si rectum Deum Verbum putaverimus, quæ quidem in eo facit opera, in fide erant eorum in quibus Jesus omne faciebat miraculum : « Fiat » enim « tibi secundum fidem tuam [19]. »

Vers. 6. Hoc in loco consentiunt spectatæ pietatis viri, creatorem sanctum Spiritum esse designatum.

Vers. 7. Postquam congregatam maris undam in omnem terram infundit per pluvias jussu suo utris instar, vento sublimatam aeriam facit, ita ut suspensis nubibus imber super terram feratur. Allegorice autem hominum vita sæpius mare dicitur, propter instabilitatem æstumque in terra viventium, quæ quidem quasi in utre congregavit Salvator in corpore quod sumpsit, sereno et tranquillitate compositis. Ostendit quoque nihil in creationis rebus fuisse inordinatum. Quasi in thesauro omnia cogit propria voluntate, ventos scilicet non proprio agitatos impulsu, e thesauris suis educere dicitur, non secundum propriam eorum vim abductis. Sic igitur et multam aquarum multitudinem proprio regit arbitrio, coercere visus vel demittere imbres : quod et per Eliam prophetam fecit.

Vers. 7. Sed et thesauro bono, cœlo scilicet aperto, dat pluviam semini terræ; sicut et rursum sistit pluviam, clauso cœlo. Et abyssos igitur, qui propter immensam aquarum multitudinem nocere

[19] Matth. IX, 29.

τηρίου δὲ πρὸς κιθάραν διαφορὰν εἶναι λέγουσι μουσικοὶ τοιαύτην· τὴν μὲν κιθάραν ἐκ τῶν κάτω μερῶν ἀποτελεῖν ἦχόν φασιν· τὸ δὲ ψαλτήριον ἐκ τῶν ἄνω μερῶν, μετὰ τοῦ καὶ εὐθύτατον εἶναι δι' ὅλων. Τῆς οὖν ψυχῆς ἀποδοθείσης εἶναι κιθάραν (47), τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, οὐχ ἕτερον τάχα τοῦ νοῦ τυγχάνον, ψαλτήριόν ἐστι, ψάλλον οὐκ ἄλλῳ τινὶ ἢ τῷ Θεῷ. Ὅτε γὰρ χρώμεθα νοήσεσιν ὀρθαῖς, καὶ τῷ πνεύματι τῷ ἡμετέρῳ τὸ ἅγιον προσλαμβάνομεν Πνεῦμα, τὸ τηνικάδε ψάλλομεν ἐν ψαλτηρίῳ δεκαχόρδῳ. Ἡ τάχα ἐκ τοῦ δέκα χορδὰς ἔχειν τὸ τέλειον αὐτοῦ παρίσταται. Τὸν γὰρ τοιοῦτον ἀριθμὸν συνεχῶς ὑμνούμενον ἐν ταῖς Γραφαῖς ἔστιν εὑρεῖν· καὶ τῷ ἱεροφάντῃ γοῦν Μωϋσεῖ οὐ πλείων δέκα γενικῶν λόγων ἐχρημάτισεν ὁ Θεός· καὶ δεκάτας προσφέρειν ὁ λαὸς προστάττεται.

Στ. γ'. Ὁ διὰ πάντων γὰρ ὑμνῶν τὸν Θεὸν, καὶ διὰ φωνῆς ἀλαλάζει· ὁ γὰρ ἀλαλαγμὸς φωνή τίς ἐστιν ἀθρόως καὶ ἀσήμως κατὰ νενικημένων ἐν πολέμῳ γινομένη, ὅτι καὶ καλῶς ἀλαλάζεται· τὸ δὲ καινὸν ᾆσμα συγγενὲς τῇ Καινῇ Διαθήκῃ καὶ τῇ καινότητι τῇ τοῦ πνεύματος.

Στ. δ'. Ὁ τοῦ Κυρίου λόγος ὃν δίδωσι τοῖς τὰ τῆς γνώσεως μεταδιώκουσιν, οὐδὲν ἀπάτης ἐστὶν ἔχων ἢ σκολιόν. Τούτῳ τῷ λόγῳ καὶ τὰ ἔργα κατάλληλα, ἃ δὴ πράττουσιν οἱ ἐργάται τούτου ἐν πίστει ὄντα καὶ βέβαια, ἐπεὶ καὶ τὰ ἔργα τοῦ λόγου ἀμετακίνητα· καὶ ὁ λόγος δὲ εὐθής ἐστι καθ' ὃν προνοεῖ. Εἰ δὲ καὶ εὐθῆ τὸν Θεὸν Λόγον νοήσωμεν, ἅπερ ἐν αὐτῷ ποιεῖ ἔργα, ἐν πίστει ἦσαν τῶν ἐν οἷς ὁ Ἰησοῦς ἅπαν ἐποίει παράδοξον, « Κατὰ » γὰρ « τὴν πίστιν σου γενηθήτω σοι. »

Στ. ς'. Καὶ τούτῳ τῷ ῥητῷ συναγορεύουσιν εὐσεβεῖς ἄνδρες, τῷ δημιουργικὸν εἶναι τὸ ἅγιον Πνεῦμα (48).

Στ. ζ'. Ἐπεὶ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, ἐκχέει αὐτὸ ἐπὶ πᾶσαν τὴν γῆν διὰ τῶν ὑετῶν τῷ προστάγματι αὐτοῦ ἀσκοῦ δίκην· ἀνεμώμενον τὸ ὕδωρ ὑπεραέριον ποιεῖ, ὡς συστασῶν νεφελῶν ὄμβρον ἐπὶ γῆς ἐνεχθῆναι. Ἀλληγορικῶς δὲ ὁ βίος τῶν ἀνθρώπων πολλαχοῦ θάλαττα εἴρηται διὰ τὸ ἄστατον καὶ ἁλμυρὸν ἦθος τῶν ἐπὶ τῆς γῆς, ὅπερ ὡς ἐν ἀσκῷ συνήγαγεν ὁ Σωτὴρ ἐν ᾧ ἀνείληφε σώματι γαληνόν τε ποιήσας καὶ εὔδιον. Δείκνυσι δὲ καὶ μηδὲν ἀτάκτως τῶν ἐν τῇ κτίσει φερόμενον. Ὡς ἐν θησαυρῷ δὲ πάντα συνέχει τῷ ἰδίῳ βουλήματι, ἀμέλει καὶ τοὺς ἀνέμους μὴ κατ' ἰδίαν κινουμένους φορὰν, ἐκ θησαυρῶν αὐτοῦ ἐξάγειν λέγεται, οὐ κατ' ἰδίαν φορὰν τούτων φερομένων. Οὕτω τοίνυν καὶ τὸ πολὺ τῶν ὑδάτων πλῆθος κατ' ἰδίαν κρίσιν οἰκονομεῖ, πρὸς τὸ δοκοῦν ἐπέχων ἢ πέμπων τοὺς ὄμβρους· ὃ καὶ δι' Ἠλίου τοῦ προφήτου πεποίηκεν.

Στ. ζ'. Ἀλλὰ καὶ τὸν θησαυρὸν τὸν ἀγαθὸν οὐρανὸν ἀνοίγων δίδωσιν ὑετὸν τῷ σπέρματι τῆς γῆς· ὥσπερ αὖ καὶ ἐπέχει τὸν ὑετὸν, κλείων τὸν οὐρανόν. Καὶ τὰς ἀβύσσους οὖν ἱκανῶς ἐχούσας διὰ τὸ πλῆθος τὸ ἀπερι-

(47) Rectius κιθάρας. Edit.

(48) Apte Didymus hoc animadvertit, qui et librum *De Spiritu sancto* scripsit, abs Hieronymo Latine nobis conservatum.

Digitized by Google

ὁριστον τῶν ὑδάτων βλάψαι, ἐν θησαυρῷ τίθεται περικλείων αὐτὰς, ἵν' ὅτε βούληται χρήσηται αὐταῖς ὡς συμφέρει κατὰ καιρόν. Δύναται δὲ καὶ τὰ ἀκατάληπτα τῶν νοημάτων καὶ ἀνεξερεύνητα τῶν κριμάτων αὐτοῦ τυγχάνοντα, ἀβύσσους τεθεικέναι ἐν τοῖς ἀποκρύφοις θησαυροῖς τῆς γνώσεως καὶ τῆς σοφίας· ὡς μηδένα ἐξ αὐτοῦ τούτου τυγχάνειν, εἰ μήπω ὁ Θεὸς παράσχοι.

possent, in thesauris ponit, concludens eos, ut, cum voluerit, iis utatur, ut æquum erit secundum tempora. Potest etiam quæ non intelligi possunt in cogitationibus, neque scrutanda in judiciis suis, abyssos posuisse in absconditis scientiæ et sapientiæ thesauris : ita ut nihil eorum sit cuique perspiciendum, nisi præbeat ipse Deus.

Στ. θ'. Ἐπεὶ αὐτοῦ εἰπόντος ἐγενήθησαν, καὶ αὐτοῦ ἐντειλαμένου ἐκτίσθησαν, σαλευθήτωσαν ὑπ' αὐτοῦ· τοῦ γὰρ πεποιηκότος καὶ τὸ ἀλλοιοῦν ἐπὶ τὸ καλόν ἐστιν. Σημαίνει δὲ τὸ, «ἐγενήθησαν,» τὴν οὐσίωσιν τῶν εἰς τὸ εἶναι ἠγμένων· τὸ «ἐκτίσθησαν (49)» δὲ, τὴν διακόσμησιν τὴν μετὰ τὴν οὐσίωσιν γεγενημένην. Εἰ δὲ εἰπόντος καὶ ἐντειλαμένου Θεοῦ ἐγενήθη καὶ ἐκτίσθη τὰ πάντα, ἔστιν ᾧ εἶπεν καὶ ἐνετείλατο οὐκ ἄλλος τοῦ δημιουργικοῦ Λόγου· ἔστι δὲ οὗτος ὁ τοῦ Θεοῦ Υἱός.

Vers. 9. Cum ipso dicente facta sunt, et ipso imperante creata sunt omnia, ab eo contrectata sunt : est enim illius qui fecit et ad decorum immutare. Significat vero, « facta sunt, » essentiam eorum quæ ad exsistentiam vocata sunt; et, « creata sunt, » coordinationem quæ post exsistentiam facta est. Si autem dicente et imperante Deo facta et creata sunt omnia, est cui dixit et mandavit, non alius ac creator Verbum : nempe Filius Dei.

Στ. ι'. *Διδύμου καὶ Βασιλείου.* Ἀλλὰ καὶ τῶν ἐθνικῶν ἤθη καὶ δόγματα διεσκέδασται· μόνη δὲ τῷ κόσμῳ ἡ ἀλήθεια τοῦ Εὐαγγελίου ἐμπολιτεύεται. Πολλὴ γὰρ βουλὴ ἐν ἀνθρώποις, ἀλλ' ἡ βουλὴ τοῦ Κυρίου ἐκράτησεν· καὶ ἐν ταῖς ψυχαῖς δὲ ταῖς ἡμετέραις ἔστη βεβαία, ἡνίκα προδιασκεδάσωμεν τὰς ἀνθρωπίνα; βουλὰς, καθάπερ ἐν δέλτῳ τῶν προγραφέντων τύπων λεαινομένων. Τότε γὰρ καθαρῶς ἡ ψυχὴ τὰ θεῖα δέχεται λόγια. Διὸ ἐπήγαγεν, « Ὁ διασκεδάσας τὰς βουλὰς τῶν ἀθέων ἐθνῶν, » ἀνατρέψας τὰ λαοπλάνα αὐτῶν ἤθη καὶ πάτρια, καὶ τοὺς κατὰ τῆς ἀληθείας λογισμοὺς, τουτέστι συλλογισμοὺς, ἀθετήσει ἀθετῶν τὴν σοφίαν τῶν σοφῶν· ἀλλὰ καὶ τῶν ἐκ περιτομῆς λαῶν, πολλὰ κατὰ Ἰησοῦ λογισαμένων, τοὺς λογισμοὺς ἀθετήσει ὁ Κύριος. Ἀθετήσει δὲ καὶ « τὰς βουλὰς τῶν ἀρχόντων » Ἡρῴδου καὶ Ποντίου Πιλάτου καὶ τῶν ἐνεργούντων αὐτοὺς ἀοράτων ἀρχόντων τούτου τοῦ αἰῶνος.

Vers. 10. *Didymi et Basilii.* Gentium mores et doctrinæ dissipantur : sola in mundo veritas Evangelii regnat. Multum enim consilium in hominibus, sed Domini consilium prævaluit; et in animabus nostris firmum stetit, cum dissipabimus humana consilia, sicut in tabulis prius scripta eraduntur. Tunc enim pure anima divina verba accipit : ideo adjicit, « Qui dissipavit impiarum consilia gentium, » dejecit populis exitiosos mores ususque patrios, et veritati contrarios sermones, id est syllogismos, reprobabit reprobatorum sapientiam sapientium; sed et circumcisionis populorum, qui multa adversus Jesum elocuti sunt, eloquia reprobabit Dominus. Reprobabit et « consilia principum, » Herodis, et Pontii Pilati, et excitantium eos invisibilium principum hujus sæculi.

Στ. ια'. Ὥσπερ τὰ ἄλλα ἀφ' ὧν οἴδαμεν ἀνθρωπίνων, περὶ Θεοῦ λέγει, ὡς χεῖρας καὶ ὀφθαλμοὺς καὶ τὰ ἄλλα ἔχοντος, οὕτω καρδίαν αὐτοῦ τὴν, ἵν' οὕτως εἴπω, βουλευτικὴν καὶ νοητικὴν αὐτοῦ ἐνέργειαν. Ταύτης οὖν οἱ λογισμοὶ ἀραρότες καὶ βέβαιοι τυγχάνοντες παρατείνουσιν ἀπὸ γενεᾶς εἰς γενεὰν, τουτέστι κατὰ πᾶσαν τὴν ἐν γενεᾷ διαδοχὴν οἱ αὐτοὶ θεῖοι λογισμοὶ μένουσιν· ἢ τάχα οὓς ἐνέβαλε λογισμοὺς τῇ ἐκ περιτομῆς γενεᾷ, τούτους ἐμβάλῃ τῇ ἀπὸ τῶν πιστευόντων ἐθνῶν γενεᾷ· οὐ γὰρ ἐπ' ἄλλοις κέκληται τὰ ἔθνη, ἀλλ' ἐκείνοις οἷς ἔσχον οἱ ἐκ περιτομῆς σκιᾷ κρυπτομένοις.

Vers. 11. Quemadmodum alia, quæ hominis propria novimus, de Deo dicit, sicut manus et oculos et cætera habente, ita cor ejus, ut ita dicam, deliberandi capax, cogitandique vim habens. Hujus igitur cogitationes, firmæ et solidæ, permanent a generatione in generationem, id est in omni generationum successione divinæ permanent cogitationes : quippe quas dirigit cogitationes ad circumcisam generationem, eas ad credentium populorum generationem transtulit; non aliis enim vocatæ sunt gentes verbis ad ea quæ habuerat circumcisionis populus, umbra abscondita.

Στ. ιδ'. Κατοικοῦσι δὲ τὴν γῆν οὐκ ἄνθρωποι μόνον, ἀλλὰ πνεύματα ἀόρατα, καὶ τὰ ἄλλα θνητὰ ζῶα. Εἰς πάντας οὖν τοὺς ἐπὶ γῆς παρατείνει ἡ τοῦ Θεοῦ κηδεμονία ἐφορῶντος αὐτοὺς ἐκ τοῦ προειρημένου κατοικητηρίου αὐτοῦ.

Vers. 14. Habitant autem terram non homines solum, sed spiritus invisibiles, cæteraque mortalia animalia. Super omnes igitur terram habitantes extenditur sollicitudo Dei, respicientis in eos de præparato habitaculo suo.

Στ. ις'. Ὅτι δὲ « οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, » μαθήσῃ ἐκ τῆς ἱστορίας· Φαραὼ... ἀλλὰ τὰ ἅρματα καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν ὁ Θεὸς εἰς

Vers. 16. Quod « non salvatur rex per multam virtutem, » historia disces : Pharao . . . sed currus et virtutem ejus dejecit Dominus in mare : pleus

(49) Observent sacri critici differentiam verborum ἐγενήθησαν et ἐκτίσθησαν, prout Latine in theologicis distinguimus *genuit* a *fecit*, et a *creavit*.

Digitized by Google

autem talium omnis historia. Et gigantem magnopere validum non salvatum iri dicit viribus suis : quod quidem videbis si attendas quæ Goliath evenerint. Si autem ad illum qui pugnat adversus Deum spectat hæc denominatio, neque ita salvabitur in abundantia virtutis impiarum quas sequitur doctrinarum. Fortem igitur sic vocatum reperire est in Isaia dicente, « Gigantem et vigentem [30]; » præliantemque adversus Deum, apud eumdem : « Gaudentes eunt ad exercendam iracundiam meam : » gaudentes pariter. Et in Genesi : « Et erat Nembrod gigas venator coram Domino [31]. »

A τὴν θάλασσαν· πλήρης δὲ τῶν τοιούτων πᾶσα ἡ ἱστορία. Καὶ γίγαντα δὲ τὸν ὑπερβαλλόντως ἰσχυρὸν οὐ σωθήσεσθαι ἔφη ἐν τῇ παρούσῃ αὐτῷ ἰσχύϊ· ὄψει δὲ τοῦτο ἐπιστήσας τῷ κατὰ τὸν Γολιάθ. Εἰ δὲ καὶ τὸν θεομάχον ἡ προσηγορία δηλοῖ, οὐδὲ οὕτως σωθήσεται ἐν πλήθει ἰσχύος ὧν ἔχει δογμάτων ἀθεότητος. Τὸν μὲν οὖν ἰσχυρὸν οὕτω καλούμενον ἔστιν εὑρεῖν ἐν Ἡσαΐᾳ λέγοντι, « Γίγαντα καὶ ἰσχύοντα· » τὸν δὲ θεομάχον πάλιν παρὰ τῷ αὐτῷ· « Χαίροντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου· » χαίροντες ἅμα. Καὶ ἐν Γενέσει, « Καὶ ἦν Νεβρὼδ γίγας κυνηγὸς ἐναντι Κυρίου. »

Vers. 20. Quippe et qui ante incarnationem se ipsos adjuvare non poterant, sperant exspectantque futurum sibi adjutorem et protectorem Salvatorem : cui quidem soli fideles omnes toto corde exsultantes gratulantur, temporariorum voluptate neglecta. Liberius forsan dicere : Pro mea spe misericordiam tuam mihi metire. Hoc vero et Salvator ipse docuit dicens : « Eadem mensura qua mensi eritis, metietur et vobis [32]. »

Στ. κ'. Τάχα δὲ καὶ οἱ πρὸ τῆς ἐπιδημίας ἑαυτοῖς βοηθεῖν μὴ δυνάμενοι, ὑπομένουσι τῇ προσδοκίᾳ τὸν ἐσόμενον βοηθὸν καὶ ὑπερασπιστὴν Σωτῆρα· ἐφ' ᾧ καὶ μόνῳ τὴν καρδίαν οἱ πιστοὶ πάντες εὐφραίνονται, μηδενὶ τῶν προσκαίρων ἡδόμενοι. Παῤῥησίας δὲ τὸ φῆσαι, Τῇ ἐμῇ ἐλπίδι τὸν ἔλεον μέτρησον. Τοῦτο μέντοι καὶ ὁ Σωτὴρ ἐδίδαξε, φήσας· « ὯΙ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. »

PSALMUS XXXIII.

Vers. 4. Sicut qui Babylone visi sunt in fornace nihil ab ignibus læsi, Deum hymnis celebrantes [33], omnem creationem ad id adhibuerunt, conscii se ipsos ad tam grandia impares (magnum est enim Deum hymnis celebrare), sic et qui dicit : « Magnificate Dominum mecum, » vel omnem creationem, vel justos ad id secum concurrere vult. Magnificare autem Deum, non augere est magnitudinem ejus (nam sine magnitudine est : corporum enim hæc propria est, Deus autem incorporeus), at magna non secundum eum, sed secundum nos, sapere et dicere de eo. Exaltant autem nomen ejus in idipsum, qui eidem menti et scientiæ eidem accommodati sunt; exaltatur a creatis Dei nomen, non ex humili ad sublimem locum provectum, sed cum meditantes illud nihil terrestre, sed excelsa cœlestiaque cogitant. Sicut enim violant Dei nomen, ne ipso quidem strictim læso nomine, sed quantum refert ad profana facientes meditantesque, sic et sanctificatur virtutibus nostris. Unde Salvator inter alia hoc quoque dicit in oratione docens : « Sanctificetur nomen tuum [34], » non quidem ita ut nomen tuum, ex non sancto, sanctum fiat : precandum enim sanctificari illud in nobis, sancte cogitantibus et agentibus, et sic de Deo idea quam secundum Dei cognitionem accuratissimam habemus, Dei nomen est. Hoc sanctificatum habebimus, cum sancte omnia perficiemus. Si quando enim in errore et ignorantia nonnulli hominum sunt, Dei nomen quodammodo læditur, ad ea quæ non oportet abreptum, deos namque signa ipsorumque ventrem quidam vocavere.

Στ. δ'. Ὥσπερ οἱ ἐν τῇ καμίνῳ βληθέντες ἐν Βαβυλῶνι ἐπὶ τὸ μὴ βεβλάφθαι ὑπὸ τοῦ πυρὸς, Θεὸν ὑμνοῦντες, πᾶσαν τὴν κτίσιν παρέλαβον εἰς τοῦτον, εἰδότες μὴ αὐτάρκεις εἶναι πρὸς τηλικοῦτον (μέγα γὰρ τὸ Θεὸν ὑμνεῖν), οὕτω καὶ ὁ λέγων, « Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ, » ἢ πᾶσαν τὴν κτίσιν, ἢ τοὺς πραεῖς συνδραμεῖν αὐτῷ τοῦτο βούλεται. Τὸ δὲ μεγαλῦναι τὸν Θεὸν, οὐκ αὐξῆσαι μέγεθός ἐστιν αὐτοῦ (ἀμεγέθης γὰρ, σωμάτων γὰρ ἴδιον τοῦτο, ὁ δὲ Θεὸς ἀσώματος), ἀλλὰ τὸ μεγάλα οὐχ ὡς πρὸς αὐτὸν, ἀλλὰ πρὸς ἡμᾶς φρονῆσαι καὶ εἰπεῖν περὶ αὐτοῦ. Ὑψοῦσι δὲ τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτὸ οἱ κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ· ὑψοῦται δὲ πρὸς τῶν γενητῶν ἡ τοῦ Θεοῦ προσηγορία, οὐκ ἐν ταπεινοῦ μετεωριζομένη, ἀλλ' ὅταν οἱ φρονοῦντες αὐτὴν μηδὲν χαμαιπετὲς, ἀλλὰ ὑψηλὰ καὶ οὐράνια διανοοῦνται. Ὡς γὰρ βεβηλοῦσι τὸ ὄνομα τοῦ Θεοῦ, οὐκ αὐτοῦ χραινομένου τοῦ ὀνόματος, ἀλλ' ὅσον ἐπὶ τοὺς περικειμένους βέβηλα πράττοντας καὶ φρονοῦντας, οὕτω καὶ ἁγιάζεται ἐκ τῶν ἡμετέρων ἐνεργημάτων. Ὅθεν ὁ Σωτὴρ πρὸς ἑτέροις καὶ τοῦτο λέγει ἐν τῇ εὐχῇ διδάσκων τὸ, « Ἁγιασθήτω τὸ ὄνομά σου, » οὐκ αὐτοῦ τοῦ ὀνόματος καθ' ἑαυτὸ ἐκ μὴ ἁγίου, ἁγίου γινομένου· εὐκτέον γὰρ ἁγιασθῆναι αὐτὸ ἐν ἡμῖν, ἁγίως νοούντων καὶ πραττόντων ἡμῶν, καὶ οὕτως ἡ περὶ Θεοῦ διάληψις ἣν κατ' ἔννοιαν Θεοῦ ἠκριβωμένην ἔχομεν, ἡ τοῦ Θεοῦ προσηγορία ἐστί. Ταύτην ἁγιαζομένην ἕξομεν, ὅταν καθ' ἁγιότητα ἁπάντα ἐπιτελῶμεν. Ὅσον γὰρ ἐν πλάνῃ καὶ ἄγνοιᾳ ἔνιοι τῶν ἀνθρώπων εἰσὶν, ἡ τοῦ Θεοῦ προσηγορία τρόπον τινὰ χραίνεται, ἐλκομένη ἐφ' ἃ μὴ δεῖ· θεοὺς γοῦν ἀγάλματα καὶ τὴν σφῶν κοιλίαν ἐκάλεσάν τινες.

Vers. 7. Pauperem hic vocat eum qui non valet a præsentibus tribulationibus seipsum salvare : omnes autem hanc paupertatem habemus. Quare

Στ. ζ'. Πτωχὸν ἐνταῦθα καλεῖ τὸν μὴ δυνάμενον ἐκ τῶν παρουσῶν θλίψεων ἑαυτὸν σῶσαι· πάντες δὲ ταύτην τὴν πτωχείαν ἔχομεν. Ὥστε περὶ παντὸς λέ-

[30] Isa. xiv, 9. [31] Gen. x, 9. [32] Matth. vii, 1. [33] Dan. iii, 19 sqq. [34] Matth. vi, 9.

Digitized by Google

γει χρήζοντος ἐκ Θεοῦ σωτηρίας τὸ, « Οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ. »

Στ. η'. Εἰ τελείους ἐκλαμβάνοιμεν τοὺς Θεὸν φοβουμένους, παρεμβάλλοντα κύκλῳ αὐτῶν ἄγγελον ἐπὶ τὸ ῥύεσθαι αὐτοὺς, οὐκ ἄλλον ἐροῦμεν ἢ τὸν τῆς μεγάλης βουλῆς Θεὸν Σωτῆρα. Τούτου ἀκόλουθον καὶ τὸ ὑπὸ Ἰακὼβ λεγόμενον· « Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. » Οὐχ οἷός τε ῥύεσθαι ἄγγελος, ἀλλ' ὁ σημαινόμενος Σωτήρ.

Στ. θ'. Ἐπεὶ Θεοῦ τὸ χρηστὸν, ταυτὸν τῷ ἀγαθῷ σημαίνει. Ἐπεὶ οὖν καὶ τρόφιμός ἐστιν ἄρτος ὢν ζωῆς, προστάττει τὸ Πνεῦμα τοῖς μὴ ὀρεκτικῶς ἔχουσιν, ὥστε αὐτοῦ ἐμφορηθῆναι, κἂν μόνον γεύσασθαι αὐτοῦ· ἡ γὰρ γεῦσις ἱκανή ἐστιν ὀρεκτικοὺς αὐτοὺς ποιῆσαι, ὡς καὶ κατατρυφῆσαι αὐτοὺς θελῆσαι τὸ γεύσασθαι δηλοῖ, κἂν ἄλλως γέ πως (50) ἐκστῆσαι καὶ ἐξετάσαι περὶ Θεοῦ. Μακάριος δὲ ὁ διὰ τελειώσεως ἀνελλειπῶς ἐλπίζων ἐπὶ τὸν Κύριον ὑπάρχων ἀνήρ.

Στ. ιβ'. Οὐδὲ γὰρ φόβον νῦν λέγει τὸν εἰσαγωγικὸν, ὃς καὶ τὰς ἐντολὰς κατορθοῖ, κατὰ τὸ, « Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε. » Νῦν γὰρ ἁγίους καλεῖ διὰ τῆς εἰσαγωγῆς ὠδευκότας ἐπὶ τὴν τελειότητα, οἷς καὶ φόβον ὑποβάλλει τὸν πληροῦντα παντὸς ἀγαθοῦ. — Σημειωτέον, ὅτι ὡς τὰ ἄλλα ἀγαθὰ, οὕτω καὶ ὁ θεῖος φόβος διδακτός ἐστιν· ἐξ οὗ μανθάνομεν μὴ τὸν παθητὸν δηλοῦσθαι φόβον. Οὗτος γὰρ ἀδίδακτος τῇ φύσει, οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ἄλλοις ζώοις ἐνυπάρχει.

Στ. ιϛ'. Ἐπεὶ αἱ ἐπιβλέπουσαι τὸ πᾶν τοῦ Θεοῦ δυνάμεις, τροπικῶς ὀφθαλμοὶ λεγόμεναι, ἐπιβλέπουσι ἐπὶ τοὺς δικαίους, ἀλλὰ καὶ τὰ ὦτα αὐτοῦ ἕτοιμα εἰς τὸ δέξασθαι τὴν δέησιν αὐτῶν, τούτου χάριν, φησὶν, εἰ θέλετε τούτων ἀπολαῦσαι, ἐκκλίναντες ἀπὸ κακοῦ, τὸ ἀγαθὸν ποιήσατε. — Προνοεῖται γὰρ, φησὶν, τῶν δικαίων ὁ Θεός· ὀφθαλμοὺς γὰρ ἐνταῦθα οὐχ ἁπλῶς καλεῖ τὸ ἐποπτικῶς, ἀλλὰ τὸ ἐπ' εὐεργεσίᾳ καὶ προνοίᾳ παρὰ τοῦ Θεοῦ γιγνόμενον. — Ἐφορῶντος δὲ τούτους τοῦ Θεοῦ, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.

Στ. κα'. Τὰ ὀστᾶ τῶν δικαίων, ἤτοι δόγματα ἀληθείας, ἢ ψυχῆς δυνάμεις, φυλάξει ὁ Κύριος, οὐκ ἐῶν οὐδὲ τὸ τυχὸν αὐτὸν συντριβῆναι· τὸ μηδὲ τὰ δόγματα τῶν δικαίων μηδ' αὐτὰς δυνάμεις αὐτῶν ἀνατρέπεσθαι.

Στ. κβ'. Ὁ ἁμαρτάνων στερεῖται τῆς ζωῆς τῇ ἐπιτηρήσει τῶν ἐντολῶν παραγινομένης, θανάτῳ πονηρῷ περιπίπτων· πονηρὸς δὲ θάνατος, ἤτοι ὁ ἐναντίος τῇ ἀγαθῇ ζωῇ, ἢ ὁ πόνον ἐμποιῶν τῷ ὑποκειμένῳ. Οὕτως γὰρ καὶ ἕλκει πονηρῷ ἐπαίσθη ὁ Ἰὼβ, τῷ δηλονότι πόνον ἐμποιοῦντι.

Στ. κγ'. Σημειωτέον, ἡ κυρίως λύτρωσις ψυχὰς ἀπὸ αἰχμαλωσίας ἐλευθεροῖ· εἰ γάρ ποτε καὶ σώματα λυτροῦται, οὐ προηγουμένως, ἀλλὰ κατὰ συμβεβηκός· καὶ ψυχὴν δὲ ῥύεται οὐκ ἄλλη ἀλλ' ἢ τῶν δούλων αὐτοῦ.

de omnibus dicit, salutem a Deo exquirentibus : « Iste pauper clamavit, et Dominus exaudivit eum. »

Vers. 8. Si perfectos intelligimus Deum timentes, immittentem in circuitu eorum angelum ad eripiendum eos, non alium dicemus ac magni consilii Salvatorem Deum. Quod confirmant et quæ a Jacob dicta sunt : « Angelus eripiens me ex omnibus malis [25]. » Non valet liberare angelus, sed Salvator.

Vers. 9. Dei optimum idem est ac bonum. Cum igitur alibilis est panis vitæ, jubet Spiritum non appetentes eo repleri, eumque vel solum gustare : gustus enim ad eos appetentes efficiendos sufficiet, sicut et satiari eos velle gustare indicat, etsi aliter extrahere et exquirere de Deo. Beatus autem vir pro ter perfectionem omnino sperans in Domino.

Vers. 12. Neque enim timorem nunc dicit inductum, qui mandata observat, juxta illud : « Deum time, et mandata ejus serva [26]. » Nunc enim sanctos vocat per inductionem iter facientes ad perfectionem, quibus et timorem subjicit implentem omni bono. — Animadvertendum quod, ut et alia bona, sic et divinus timor doceatur : ex quo discimus non passivum ostendi timorem. Hic enim non docetur natura, non tantum hominibus, sed et animalibus cæteris inest.

Vers. 16. Cum inspicientes omnia Dei facultates, allegorice oculi dictæ, inspiciunt super justos, sed et aures ejus paratæ ad eorum precationem accipiendam, hujus gratia, inquit, si vultis iis frui, recedentes a malo, bonum facite. — Consulit enim, ait, justis Deus : oculos enim hic non simpliciter vocat quod ad inspectionem refert, sed quod beneficentia et providentia Dei fit. — Inspiciente autem eos Deo, recede a malo et facias bonum.

Vers. 21. Ossa justorum, sive veritatis dogmata, vel animæ facultates, custodiet Dominus, non sinet ne unum eorum quidem conteri ; justorum scilicet neque dogmata, neque virtutes ipsæ franguntur.

Vers. 22. Peccator vita privatur ea quæ manet mandatorum observatores, morti pessimæ succumbens : pessima autem mors, sive quæ contraria est bonæ vitæ, sive quæ pœnam morienti parit. Sic enim et ulcere pessimo cruciatus est Job, pœnam scilicet incutiente.

Vers. 23. Animadverte quod proprie redemptio animas captivitate liberat. Nam si quando et corpora redimerentur, non primitus sed per accidens : ac non quævis liberatur anima, sed servorum ejus.

PSALMUS XXXIV.

Στ. α'. Ἐπεὶ πολλοὶ οἱ διὰ ψευδοδοξίας καὶ τῆς

Vers. 1. Cum multi per falsas doctrinas, aliam-

[25] Gen. XLVIII, 16. [26] Eccle. XII, 13.

(50) Suppl. ἐξῇ, vel aliquid simile. Edit.

Digitized by Google

que improbitatem prœliare constituerunt, hujus gratia tu pro me expugna eos : profecto enim dissolventur, quoniam Dominus es conterens bella. — Significat autem nocere detrimentum, in hoc loco : « Ecce dedi vobis ambulare super serpentes et scorpiones, et super omnem potestatem inimici : et nihil nocebunt vobis [37]. »

VERS. 2. Arma similiter intelligere oportet de Deo. — Via impiorum vita est molesta. Ne sit lumen in ea, ait, etsi latam eam putaverint. Precatur quoque ne stationem isti inveniant in ea : et virtutes angelorum arma sunt Dei.

VERS. 8. Ostendit autem ut secundum ea quæ fecerit quisque retribuitur; pro optativis utitur imperativis.

VERS. 10. Qui omnia ad litteram nihilque allegorice accipiendum volunt, hoc coarguantur versiculo. Nihil enim sic absurdum est ut credere sensilia ossa cognitionem habere Dei ita ut celebrent eum, et sciant nullum ei esse similem : nam de interioris hominis ossibus virtutes ejus et dogmata vera hæc dicta sunt, « Omnia ossa mea. » Nanique per omnem scientiam veramque doctrinam roborata sunt, cum nihil eorum creatorum simile sit Domino; solus enim Filius imago Dei invisibilis et character divinæ substantiæ est. — Sequitur eumdem esse pauperem atque egenum, primo ut amissis opibus, dein cum labore vitæ necessariis consulens.

Στ. ι'. Καὶ ἐκ τῆς παρούσης λέξεως μανθάνομεν τὰς λεγομένας μάστιγας τοῦ Θεοῦ μὴ ἄλλας οὔσας ἐλέγχων. Μετὰ γὰρ τὸ εἰπεῖν, « Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου, » ἐπενήνεκται τὸ « ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας » εἶναι αὐτάς. Τοῖς γὰρ ὑπὲρ ἀνομίας προσφερομένοις ἐλεγμοῖς παιδεύεται ἄνθρωπος, ἐκτηκομένης τῆς ψυχῆς αὐτοῦ τῷ ἀποβαλεῖν πᾶσαν σαρκώδη παχύτητα.

Vers. 10. Hoc discimus versiculo dictas Dei plagas non alias esse ac exprobrationes. Postquam enim dictum est : « Amove a me plagas tuas, » subjicitur eas in correptionibus pro peccatis sitas esse. Correptionibus enim propter iniquitates corrigitur homo, extenuata ejus anima in abjicienda omni carnali pinguedine.

(64) Legendum ἀνεγράφην. Edit.

(65) *Ὑπερβὰς δὲ ... εἶναί μοι τὸν ἀγῶνα.* Nota τὸ ἀνακώλουθον. Ip.

(66) Ita cod. errore manifesto, pro *οὐσία*. Ip.

Digitized by Google

Vers. 12. Tunc enim sicut araneam texere potest non foris subjectam materiam, sed quam domo ac de seipso profert. Postquam me ab omnibus iniquitatibus meis liberari deprecatus sum, hucusque non veni, contumeliose agit insipiens, quasi opus suum in manu habens. « A fortitudine enim manus tuæ ego defeci. » Nam cum castigans manus valde corripit, deficit castigatus secundum id quo talis est.

Vers. 14. Postquam seipsum noverit multis adhuc egentem, precatur sibi concedi ut in hac vita adhuc remaneat, ut refrigeretur perfectis fruitus bonis. Quod si non ita se res haberet, sed adhuc deficiens abiret, non amplius esset, non in nihilum recidens, immortalis enim et indelebilis anima est, sed non jam exsistentiæ particeps factus. Hoc enim verum esse patet, sociis illius qui dixit : « Ego sum qui sum [42]. » Dicuntur autem non esse, qui non hac participatione fruuntur, juxta illud quod in oratione ad Deum dicitur : « Ne tradas sceptrum tuum his qui non sunt. » Cujus exsistentiæ particeps esse cupiens, precatur tempus sibi dari ut refrigeretur illius qui est, communicatione, ad vere exsistendum.

Στ. ιβ'. Τότε γὰρ κατὰ τὴν ἀράχνην ὑφαίνειν δύναται οὐκ ἔξωθεν ὑποκειμένην ὕλην, ἀλλ' οἰκοθεν ταύτην καὶ ἐξ ἑαυτοῦ προφέρων. Ἐπεὶ ῥυσθῆναι ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ἀξιώσας, τέως τούτου οὐ τετύχηκα, ὀνειδίζει ὁ ἄφρων, ὡς τὸ σὸν ποίημα ὑποχείριον ἔχων· « ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον· » ὅτ' ἂν γὰρ ἡ κολάζουσα χεὶρ ἰσχυρῶς μαστίζῃ, ἐκλείπει ὁ κολαζόμενος, καθ' ὃ τοιοῦτός ἐστιν.

Στ. ιδ'. Ἐπεὶ οἶδεν ἔτι ἑαυτὸν πολλῶν δεόμενον, παρακαλεῖ ἐνδοθῆναι αὐτῷ ἔτι ἐνδιατρῖψαι ἐν τῷ βίῳ τούτῳ, ὅπως ἀναψύξῃ κατατρυφήσας ἐν τελείοις ἀγαθοῖς. Εἰ γὰρ μὴ οὕτως, ἀλλ' ἔτι λείπων ἀπέλθοι, οὐκέτι μὴ ὑπάρξῃ, οὐ τῷ καταστρέφειν εἰς τὸ μὴ ὄν, ἀθάνατος γὰρ καὶ ἀνώλεθρος ἡ ψυχὴ, ἀλλὰ τῷ μηκέτι ἐν μετοχῇ τοῦ ὄντος ὑπάρχειν. Τοῦτο γὰρ τὸ ἀληθῶς εἶναι τυγχάνει, τὸ μετέχειν τοῦ εἰρηκότος· « Ἐγώ εἰμι ὁ ὤν· » λεγομένων μὴ εἶναι τῶν ταύτην τὴν μετοχὴν οὐκ ἐχόντων, κατὰ τὸ λελεγμένον ἐν εὐχῇ πρὸς τὸν Θεόν· « Μὴ παραδῷς τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσιν. » Ταύτης τῆς ὑπάρξεως μετασχεῖν ποθῶν, εὔχεται καιρὸν αὐτῷ δοθῆναι τοῦ ἀναψύξαι τῇ μετουσίᾳ τοῦ ὄντος, ἵν' ἀληθῶς ὑπάρξῃ.

PSALMUS XXXIX.

Vers. 3. Hoc in loco dicant qui nihil in Scriptura significari existimant, quam egregium consecutus sit bonum ille cujus pedes super sensibilem petram statuti sunt; magnopere enim ei qui hoc sibi impertitus est, gratias agit. Nos autem dicimus quod hæc prædicat qui de prædictis lacu et luto eductus in infrangibili immarcescibilique per virtutem constitutus est perfectione. Sic enim stantis super petram consequitur recte a Domino dirigi gressus : transit enim ab improbitate ad virtutem, a mortalibus ad immortalia, sed et in omni progressione.

Vers. 4. Proprium novitati spiritus. Et profecto canticum novum moralis est sermo; hymnus vero theologia.

Vers. 5. Vanitatem existimandum est dicere eum vitæ sollicitudines, insaniasque falsas fallaces doctrinas mendacesque prophetias. Notandum est quod, cum non veræ sint insaniæ, adjecit insanias esse «mendaces :» quippe qui veri sunt prophetæ, verum habent furorem ; at pseudoprophetæ mendacem.

Vers. 6. Cogitationes Dei vocat meditationes, ut ita dicam, de Dei providentia ; his igitur cogitationibus tuis, ait, non inventus est qui sit similis, quia nemo est qui montem Domini cognoscat. — Mirabilia et cogitationes tuæ. Si quis enim de profundo aliquo disserere voluerit, tunc obscurius invenerit illud quam prius. « Dixi enim : Sapiens fiam [43], »

[42] Exod. III, 14. [43] Eccle. VII, 24.

Στ. γ'. Ὑπὲρ τῆς λέξεως μηδὲν δηλοῦσθαι ἐν τῇ Γραφῇ νομίζοντες λέγετε, ὡς ἂν πηλὸς (67) ἀγαθοῦ τυχὸν ὁ ἐπὶ τῆς αἰσθητῆς πέτρας τοὺς πόδας τοῦ σώματος στάς· οὕτως εὐχαριστεῖ τῷ τοῦτο δωρησαμένῳ. Ἡμεῖς δέ φαμεν, ὅτι ὁ τῶν προειρημένων λάκκου καὶ πηλοῦ ἀπαλλαγεὶς, ἐπὶ τὴν ἀῤῥαγῆ καὶ ἀκλόνητον κατ' ἀρετὴν τελειότητα ἱδρυνθεὶς ἀπαγγέλλει τὰ προκείμενα. Τῷ γὰρ οὕτω στάντι ἐπὶ πέτραν, ἀκολουθεῖ καὶ τὸ κατευθύνεσθαι τὰ διαβήματα αὐτοῦ ὑπὸ Κυρίου, διαβαίνοντος ἀπὸ κακίας εἰς ἀρετὴν, καὶ ἀπὸ θνητῶν εἰς ἀθάνατα, ἀλλὰ καὶ κατὰ πᾶσαν προκοπήν.

Στ. δ'. Οἰκεῖον τῇ καινότητι τοῦ πνεύματος. Καὶ τάχα ᾆσμα καινὸν ὁ ἠθικός ἐστι λόγος· ὕμνος δὲ, θεολογία.

Στ. ε'. Ματαιότητας ἡγητέον λέγειν αὐτὸν τὰς βιωτικὰς σπουδὰς, μανίας δὲ ψευδεῖς τὰς ψευδεῖς διδασκαλίας καὶ ψευδοπροφητείας. Σημειωτέον δὲ, ὅτι ὡς οὐσῶν ἀληθινῶν μανιῶν προσέθηκεν τὸ, « ψευδεῖς, » ταῖς μανίαις· τάχα γὰρ οἱ προφητικῶς κατεχόμενοι, ἀληθῆ ἔχουσιν μανίαν· οἱ δὲ ψευδομάντεις, μανίαν ψευδῆ.

Στ. ς'. Διαλογισμοὺς Θεοῦ λέγει τοὺς, ἵν' οὕτως εἴπω, ἐκλογισμοὺς τῶν κατὰ πρόνοιαν Θεοῦ γινομένων. Τούτοις οὖν, φησὶ, τοῖς διαλογισμοῖς σου οὐχ εὑρεθείη τις τῶν γενητῶν ὁμοιούμενος, τῷ μηδένα εἶναι τὸν γινώσκοντα νοῦν Κυρίου. — Τὰ θαυμάσια καὶ οἱ διαλογισμοί σου. Ὅταν γάρ τις περὶ βαθέος τινὸς διεξελθεῖν ἐθέλοι, τότε μᾶλλον ἀσαφέστερον εὑ-

(67) Ita cod. Mai. Mox legendum forte τυχών. Edit.

Digitized by Google

ρήσει αὐτὸ ἢ πρότερον. « Εἶπα » γὰρ, « Σοφισθήσομαι, » καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν, καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν;

Στ. ζ'. Τούτους δὲ τοὺς στίχους ἐκ προσώπου τοῦ Σωτῆρος εἰρῆσθαι, ἡ πρὸς Ἑβραίους Ἐπιστολὴ φησι, λέγουσα· « Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. » Δίδωσιν ἀφορμὴν ὅλον τὸν ψαλμὸν ὡς ἐκ προσώπου τοῦ Σωτῆρος εἰρημένον νοεῖν. Θέλησιν δὲ λέγει Πατρὸς, καθ' ὃ ἦρε τὴν ἁμαρτίαν τοῦ κόσμου τυθεὶς ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας. Ὡς ἂν ἀφέσεως γενομένης, μηκέτι χρεία τις ᾖ τῆς περὶ ἁμαρτίας θυσίας.

Στ. η'. Κεφαλίδα βιβλίου πᾶσαν τὴν θεόπνευστον Γραφὴν, νομικήν τε καὶ προφητικὴν, λέγει. Ἐν ταύτῃ γὰρ γέγραπται περὶ τῆς δεῦρο φοιτήσεως τοῦ Σωτῆρος. Κεφαλίδα δὲ εἶπεν διὰ τὸ τὴν πᾶσαν εἰς ἓν ἀνακεφαλαιοῦσθαι. Ἔστι δὲ τὸ τὸν Σωτῆρα ἄνθρωπον γενέσθαι, ὅπως ποιῆσαι τὸ θέλημα τοῦ Κυρίου βουληθῇ. Ἀκύλας δὲ καὶ Σύμμαχος « τὸ εἱλημμά » φασιν. Οὕτω δὲ τὰς θείας Γραφὰς μέχρι καὶ σήμερον Ἰουδαῖοι κατασκευάζειν εἰώθασιν.

Στ. θ'. Σημειωτέον δὲ, ὅτι τὸ συντρέχον βούλημα ἐξ ἄλλου ἑτέρῳ θελήματι, παραστατικόν ἐστι τοῦ ὁμοούσιον εἶναι τὴν βουλευτικὴν ὑπόστασιν τῇ τοῦ θέλοντος οὐσίᾳ. « Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου· ἔγραψας αὐτὸν τῷ ἡγεμονικῷ μου. » Καὶ πᾶς δὲ ὁ κατὰ τὸν νόμον τὸν πνευματικὸν πιωθεὶς, ἔχοι ἂν τὸν νόμον ἐν τῇ καρδίᾳ, τουτέστιν ἐν τῇ ἕξει τῇ ἑαυτοῦ. Ἐκ μεταφορᾶς δὲ τοῦτο εἴρηκε τῶν εὖ περί τινα διακειμένων, καὶ ἔνδον ἐφιεμένων ἐμβάλλειν τὸν ποθούμενον. Λέγει τοίνυν, ὅτι, Πᾶσαν ἔχω σπουδὴν τὰς σὰς πληροῦν ἐντολὰς, καὶ κατὰ σὸν πολιτεύεσθαι θέλημα. Ταῦτα δὲ οὔτε τῷ Δαυὶδ, οὔτε ἄλλῳ τινὶ τῶν προφητῶν ἁρμόσει λέγειν. Τοῦ νόμου κρατοῦντος, ὁλοκαυτώματα καὶ θυσίαι προσεφέροντο τῷ Θεῷ· ὁ δὲ προφητικὸς λόγος ἐκβαλὼν πάντα τὰ τοιαῦτα, τὴν λογικὴν θυσίαν ὑπέδειξεν.

Στ. ι'. Μεγάλη ἡ Ἐκκλησία ἡ ἐκ μεγάλων καὶ τελείων συμπληρουμένη, ἐν ᾗ εὐαγγελίζεται δικαιοσύνην τὴν διὰ πίστεως Ἰησοῦ. Ἔγνω δὲ αὐτοῦ ταύτην ὡς ἀποδεξάμενός τε καὶ οἰκειούμενος. Ὡς ἀδιαστάτως δὲ ἀπαγγέλλων ἔφη, « Τὰ χείλη μου οὐ μὴ κωλύσω. »

Στ. ια'. Δηλοῖ δὲ διὰ τούτων τὴν κατ' ἔλεον γενομένην ἄφεσιν ἁμαρτιῶν· ἀλήθειαν δὲ τὴν ἀντιδιαστελλομένην τῇ σκιᾷ. Ὁ τὰ καλὰ γινώσκων Θεὸς, καὶ τὴν τοῦ λέγοντος, « Ἔγνω δικαιοσύνην, » ἀποδεξάμενος αὐτήν. Πολλὴν συναγωγὴν τὴν ἀπὸ πάντων ἐθνῶν συνηγμένην λέγει, ἐν ᾗ τὸν ἔλεον τοῦ Θεοῦ καὶ τὴν ἀλήθειαν μετὰ παῤῥησίας ἐπαγγέλλων φησὶ μὴ κεκρυφέναι αὐτά. Καὶ τάχα ἔλεον μὲν ἐπαγγέλλει, δηλῶν τὴν κατ' ἔλεον γινομένην ἄφεσιν ἁμαρτιῶν· ἀλήθειαν δὲ, τὴν ἀντιδιαστελλομένην τῇ σκιᾷ.

Στ. ιε'. Ἐπεὶ μονοπρόσωπος ὁ ψαλμὸς ὢν ἀπὸ Χριστοῦ λέγεται, ῥητέον καὶ πρὸς τοὺς μόνον σῶμα πεφορεκέναι τὸν Κύριον λέγοντας, χρωμένους τῷ,

et eas a me procul elongasti, et abditum profundum quis inveniet?

VERS. 7. Hos autem versiculos de Salvatoris persona dici ad Hebræos Epistola ostendit dicens: « Ideo ingressus mundum dicit: Sacrificium et oblationem noluisti, corpus vero aptasti mihi [46]. » Ex quo censere possumus totum psalmum ad Salvatoris personam spectare. Voluntatem autem dicit Patris, qua sustulit peccata mundi pro omnium peccato immolatus. Qua quidem absolutione facta, non jam opus erat pro iniquitate sacrificio.

VERS. 8. Caput libri vocat omnem divinitus inspiratam Scripturam, et legalem et propheticam. In ea enim scriptum est de Salvatoris apud nos commoratione. Caput autem dicit quia omnis in uno coacervatur. Salvator vero homo factus est, ut Dei voluntatem facere vellet. Aquila et Symmachus « volumen » vertunt. Ita enim divinas Scripturas usque ad nos Judæi servare consueverunt.

VERS. 9. Notandum est, quod congruens voluntas cum alterius voluntate indicat consubstantialem esse voluntariam substantiam volentis essentiæ. « Et legem tuam in medio cordis mei; scripsisti eam in mente mea. » Quicunque juxta spiritalem legem informatus est, legem habet in corde, id est in propria agendi ratione. Metaphorice hoc dicit de bene erga aliquem dispositis, et dilectum quasi intus inducere studentibus. Dicit igitur: Quoniam omnem adhibeo curam ut expleam mandata tua et juxta voluntatem tuam dirigar. Hæc autem neque David, neque alium quemdam prophetarum æquum est dicere. Sub legis imperio holocausta et hostiæ Deo offerebantur; propheticus autem sermo talia ejiciens omnia spiritalem ostendit hostiam.

VERS. 10. Magna Ecclesia, quæ magnis et perfectis constat, in qua evangelizatur justitia per fidem Jesu. Novit autem quod cum illa recepit eique adunata est. Quasi perpetuo annuntians dixit, « Labia mea non prohibebo. »

VERS. 11. Per hæc ostendit quæ per misericordiam facta est, remissionem peccatorum; et veritatem nunquam obtegendam umbra. Bona cognoscens Deus dicentis quoque, « Novit justitiam, » eamque sibi acceptam habuit. Concilium multum multis congregatum gentibus dicit, in quo Dei misericordiam et veritatem annuntians ait: Non abscondi eas. Et profecto misericordiam quidem annuntiat, ostendens peccatorum remissionem misericordia factam; veritatem vero umbra non obscuratam.

VERS. 15. Cum ad solam Christi personam psalmus attineat, dicendum est quoque ad illos qui corpus tantum assumpsisse Dominum contendunt,

[46] Hebr. x, 5.

Digitized by Google

his innixi verbis : « Corpus autem aptabo mihi [46], » quod et animam declarat habere, quam quærunt, indelebilis cum sit, ut auferant, hoc falso existimantes : quo fit ut confundantur. Sicut qui ad virtutem festinant, non retro ferri jubentur, hoc enim exitiosum ; ita qui ad mala excitantur, properent converti retrorsum, pristinam exsecrantes vitiosam agendi rationem : tunc enim recte confusionem habebunt.

A « Τὸ σῶμα δὲ κατηρτίσω μοι, » ὅτι καὶ ψυχὴν ὁμολογεῖ ἔχειν ἣν ζητοῦσιν ἀνωλέθριον οὖσαν ἐξᾶραι οἱ τούτῳ (68) ἐσφαλμένως νομίζοντες· οὓς καὶ αἰσχυνθῆναι ἔχεται. Ὥσπερ δὲ οἱ σπεύδοντες ἐπὶ τὴν ἀρετὴν, ἐντολὴν ἔχουσιν μὴ στραφῆναι εἰς τὰ ὀπίσω, ὀλέθριον γὰρ τοῦτο, οὕτως οἱ πρὸς τὰ κακὰ ἐπειγόμενοι, σπευδέτωσαν ἀποστρέφεσθαι εἰς τὰ ὀπίσω, ἀθετοῦντες τὴν φαύλην πρόθεσιν· τότε γὰρ καὶ τὸ ἐξ αἰσθήσεως αἰσχυνθῆναι ἕξουσιν.

PSALMUS XL.

Vers. 2. Dies mala, judicii forsitan, in qua miseratum miserans Deus, omni pœna liberabit. Profecto autem et omnis vita, dies mala est, in qua et ipsam liberat Dominus a necessariis.

Στ. β'. Ἡμέρα πονηρὰ ἡ τῆς κρίσεως δύναται, ἐν ᾗ τὸν ἐλεήσαντα ἐλεῶν ὁ Θεὸς, ῥύεται πάσης κολάσεως. Τάχα δὲ καὶ πᾶς ὁ ἐνεστηκὼς βίος, ἡμέρα ἐστὶν πονηρὰ, ἐν ᾗ καὶ αὐτῇ ῥύεται Κύριος ἀπὸ τῶν περιεστηκότων.

B

Vers. 3. Vivificabit eum vera vita in mansuetorum terra. — Non traditur in animam inimicorum suorum, qui talis esse prohibetur.

Στ. γ'. Ζώσει αὐτὸν τὴν ἀληθινὴν ζωὴν ἐν τῇ γῇ τῶν πραέων. — Οὐ παραδίδοται δὲ εἰς ψυχὰς ἐχθρῶν αὐτοῦ ὁ κωλυόμενος εἶναι τοιοῦτος.

Vers. 4. Ex his discimus morbum vulnusque animæ peccatum.

Στ. δ'. Ἐκ τούτων μανθάνομεν ὅτι νόσος καὶ τρῶσις ψυχῆς ἁμαρτία.

Vers. 5. Quæ sequuntur proprie convenire sermonibus de Salvatoris passione consentiunt omnes. Hoc autem, « peccavi tibi, » quia tuas, Domine, leges violavi : hujus enim generis est omne peccatum nostrum.

Στ. ε'. Τὰ δ' ἑξῆς κυρίως ἁρμόττειν τοῖς περὶ τοῦ πάθους τοῦ Σωτῆρος λόγοις πάντες φασίν. Τὸ δὲ, « ἥμαρτόν σοι, » ὅτι εἰς τοὺς σοὺς, ὦ Δέσποτα, παρῴνηκα νόμους· πᾶσα γὰρ ἡμῶν ἡ ἁμαρτία καταφωρᾶται τοιαύτη.

Vers. 7. Extra Salvatoris et apostolorum societatem jam factus Judas, ex quo constituit magistrum tradere, ingressus de industria quasi adhuc apostolus, « vana loquebatur, » Rabbin et Magistrum vocans Jesum [47], corde ejus iniquitatem congregante. Cum enim injecisset diabolus in cor ejus avaritiam, et Jesum tradere impulit. Iste autem egressus, id est extra Jesu disciplinam factus, « loquebatur in idipsum » ac Pharisæi adversus Salvatorem. Et clam de triginta nummorum pretio colloquentes, adversus eum susurrabant..... susurratio enim vox non libera. Cogitabant autem mala, interficere Dominum meditantes, verbum iniquum constituerunt adversus eum ; nam emere et vendere sanguinem innocentem, iniqui fœderis opus.

Στ. ζ'. Ἔξω τοῦ Σωτῆρος καὶ τῆς τῶν ἀποστόλων καταστάσεως ἤδη γενόμενος ὁ Ἰούδας, ἀφ' οὗ προέθετο προδοῦναι τὸν διδάσκαλον, εἰσιὼν προσποιητῶς ὡς ἂν ἔτι ἀπόστολος, « μάτην ἐλάλει, » Ῥαββὶν καὶ Διδάσκαλον προσαγορεύων τὸν Ἰησοῦν, τῆς καρδίας αὐτοῦ ἀνομίαν συναγούσης. Βαλόντος γὰρ τοῦ διαβόλου εἰς τὴν καρδίαν αὐτοῦ φιλοχρηματίαν, ἐπισυνήγαγε καὶ τὸ προδοῦναι τὸν Ἰησοῦν. Οὗτος δὲ καὶ ἐκπορευόμενος, τουτέστιν ἔξω γενόμενος τῆς Ἰησοῦ μαθητείας, « ἐλάλει ἐπὶ τὸ αὐτὸ » τοῖς Φαρισαίοις κατὰ τοῦ Σωτῆρος. Καὶ ἐπεὶ λάθρα συνετίθεντο τὸ περὶ τῆς δόσεως τῶν τριάκοντα ἀργυρίων, κατ' αὐτὸν ἐψιθύριζον ... τὸ γὰρ ψιθυρίζειν, ἀπαρρησίαστον φθέγμα. Ἐλογίσαντο δὲ κακὰ, περιβαλεῖν τὸν Σωτῆρα θανάτῳ διανοούμενοι, λόγον παράνομον κατέθεντο κατ' αὐτοῦ· τὸ γὰρ ἀγοράζειν καὶ πιπράσκειν αἷμα ἀθῷον, παρανόμου συνθήκης ἔργον.

C

Vers. 10. Nihil mirum, dicet Salvator, si inimici mei talia adversum me constituerunt ; etenim homo pacis pacificans mihi, et pacem pro me elaborans, in quo speraveram et cui confisus eram..... meæ enim mensæ particeps, eodem sale usus, imo panes meos comedens, in me supplantationem hostiliter magnificavit, dolose dicens : « Ave, Rabbi ; » et quæcunque malignus dixerit. Manifeste igitur hic de Juda loquitur, cum jam in superioribus versiculis de eodem occulte tractaverit.

Στ. ι'. Θαυμαστὸν οὐδὲν, ἐρεῖ ὁ Σωτὴρ, εἰ οἱ ἐχθροί μου κατέθεντο κατ' ἐμοῦ τοιαῦτα· καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης ὁ εἰρηνεύων μοι, καὶ τὴν ὑπὲρ ἐμοῦ εἰρήνην σπουδάζων, ἐφ' ᾧ καὶ θαρσῆσαι ἐλπίσαντα ἐπ' αὐτὸν συνέβκινον ... ὁμοδίαιτός μοι γὰρ τυγχάνων, καὶ τῶν αὐτῶν ἁλῶν μεταλαμβάνων, μᾶλλον δὲ τοὺς ἐμοὺς ἄρτους ἐσθίων, ἐπ' ἐμὲ τὴν πτέρναν πολεμίως ἐπῆρεν, φάσκων δολερῶς· « Χαῖρε, Ῥαββί· » καὶ εἴ τι ἄλλο πανουργευόμενος εἶπεν. Σαφῶς τοίνυν ἐνταῦθα περὶ τοῦ Ἰούδα φησὶν ἐν τοῖς πρὸ τούτου ἐπικεκαλυμμένως περὶ αὐτοῦ διηγούμενος.

D

Vers. 13. Propterea quod suffecisti mihi pro repudiato alterum populum, et pro Juda Matthiam. Sed et resuscita me ut retribuam eis retributionem pro meritis.

Στ. ιγ'. Διὰ τοῦ ἀντεισάξαι μοι ἀντὶ τοῦ ἀποβληθέντος ἕτερον λαὸν, καὶ ἀντὶ Ἰούδα Ματθίαν. Ἀλλὰ καὶ ἀνάστησόν με ὅπως ἀνταποδώσω αὐτοῖς τῆς ἀνταποδόσεως πρὸς καλοῦ αὐτοῖς γενησομένης.

[46] Hebr. x, 5. [47] Matth. xxvi, 25, 49.

(68) Lege τοῦτο. Edit.

Digitized by Google

Στ. ιδ'. Εὐλογούμενος μὲν ἔστιν ὅταν ὦσιν οἱ εὐλογοῦντες· εὐλογητὸς δὲ τουτέστιν ἄξιος τοῦ εὐλογεῖσθαι αἰωνίως εὐλογητοῦ τοῦ Θεοῦ Ἰσραὴλ ὄντος ἐπεύχεται τὸ, « Γένοιτο, γένοιτο· » οὐχ ὅτι ἡ εὐχὴ, εὐλογητὸν τὸν Θεὸν ποιεῖ· ὥσπερ οὐδὲ τὸ ὄνομα τοῦ Θεοῦ ἁγιάζει ἡ εὐχὴ τῶν λεγόντων, « Ἁγιασθήτω τὸ ὄνομά σου. » Εἴρηται δὲ περὶ τούτων ἐν ἀνωτέροις. A

Vers. 14. Benedictus quidem est cum sunt qui benedicant : benedictus autem, id est dignus cui benedicatur in sæculum ; benedictus cum sit Deus Israel, precatur : « Fiat, fiat : » non quia preces benedictum Deum faciunt ; sicut neque nomen Dei sanctificat oratio dicentium : « Sanctificetur nomen tuum [48]. » Dictum est autem de his superiore loco.

PSALMUS XLI.

Στ. α'. Τρεῖς δὲ ἦσαν οἱ υἱοὶ Κορὲ τεταγμένοι μετὰ ἄλλων εἰς τὸ ᾄδειν τοὺς θείους ψαλμοὺς, οὓς καὶ ᾠδοὺς ἡ Γραφὴ καλεῖ, ὧν καὶ τὰ ὀνόματα φέρεται ἐν Παραλειπομέναις. Οὗτοι οὖν οἱ τρεῖς τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ κατηρτισμένοι, ἑνωθέντες τῷ περὶ πάντα συμφώνως ἔχειν, ἑνικῶς τὰ ἐν τῷ προκειμένῳ ψαλμῷ προφέρονται πάντα. B

Vers. 1. Tres erant filii Core ordinati cum aliis ad decantandos divinos psalmos, quos et cantica Scriptura vocat, quorum et nomina traduntur in Paralipomenis [49]. Tres igitur isti eadem mente et opinione coaptati, et cum in omnibus maxime consentirent, adunati, uniter omnia quæ in præsente psalmo exponuntur proferunt.

Στ. β'. Θεία πηγὴ ὁ Πατὴρ εἰπών· « Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος· » καὶ ὁ Σωτὴρ περὶ οὗ εἴρηται πρός τινα, « Ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας· » καὶ τὸ ἅγιον Πνεῦμα ὑπὲρ οὗ ἀπήγγελται τὸ, « Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » Τάχα δὲ καὶ πᾶσα θεόπνευστος Γραφὴ, πηγαὶ σωτήριοι τυγχάνουσιν. Ὁμοιοῦται οὖν ἡ πρόθεσις τοῦ σπουδαίου πρὸς τὸν Θεὸν, τῷ πρὸς τὰς πηγὰς τῶν ὑδάτων πόθῳ τῆς ἐλάφου. Καὶ ἐπεὶ οἶδεν ἐν τῷ παρόντι βίῳ δι' ἐσόπτρου προσβάλλοντα αὐτὸν τῷ Θεῷ, τοῦ πρόσωπον πρὸς πρόσωπον ἀποκειμένου εἰς τὰ μετὰ ταῦτα, εὔχεται ἐνστῆναι καιρὸν, καθ' ὃν ἐλθὼν ὀφθείη τῷ προσώπῳ τοῦ Θεοῦ. Καὶ ἔτι ἐπεὶ σκιὰν καθόλου περιέχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν ἐστιν καὶ αἱ ἑορταὶ καθ' ἃς ὠπτάνετο τὰ ἀρσενικὰ τῷ προσώπῳ τοῦ Θεοῦ, σκιὰ καὶ σύμβολά εἰσιν μελλουσῶν ἑορτῶν, εὔχεται ἐλθεῖν εἰς τὰς πνευματικὰς ἑορτὰς, ὅπως τελείως ὀφθῇ τῷ προσώπῳ τοῦ Θεοῦ· οὐχ ἑτέρου τυγχάνοντος τῆς εἰκόνος τοῦ Θεοῦ τοῦ ἀοράτου. — Ἡ ἔλαφος τὸ ζῶον, πολεμίως ἔχουσα πρὸς τοὺς ὄφεις καὶ ἐσθίειν αὐτοὺς (69), εἴ ποτε φαγοῦσα ἀπὸ τοῦ δίψους φλέγοιτο τοῦ ἐγγινομένου ἀπὸ τοῦ ἰοῦ ὧν ἔφαγεν ἑρπετῶν, ζητεῖ διὰ σπουδῆς πηγὰς ὑδάτων, ἐπὶ τὸ ἀκέσασθαι τὸ δίψος. Εἰσὶ δὲ λέγοντες ὅτι καὶ ἐσοπτρίσασθαι θέλουσα ἐν τοῖς ὕδασιν, ἰχνεύει τὰς πηγὰς, ὅπως ἴδῃ τὸν περὶ αὐτὴν γενόμενον μολυσμὸν ἐκ τοῦ αἵματος τῶν ὄφεων, ἵν' ἀπονίψηται αὐτόν· ἐν γὰρ τῷ σπαράττεσθαι τοὺς ὄφεις, ἀποσειόμενοι ῥαντίζουσιν εἰς αὐτὴν τὸ ἴδιον αἷμα. Καὶ ὁ ἅγιος οὖν ἀναιρῶν τοὺς ὄφεις καὶ σκορπίους, καθὼς ἔσχεν ὑπὸ Ἰησοῦ ἐξουσίαν, ἀλλὰ καὶ ἐκδικῶν πᾶσαν παρακοὴν, πνευματικὸς ὢν ἔλαφος, σπεύδει ἀνιχνεύειν θείας πηγὰς ὑδάτων. C

Vers. 2. Divinus fons Pater dicens : « Me dereliquerunt fontem aquæ viventis [50] ; » et Salvator, de quo dictum est ad quemdam : « Dereliquisti fontem sapientiæ [51] ; » et Spiritus sanctus, de quo nuntiatum est illud : « Quicunque biberit ex aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam [52]. » Profecto et omnis divinitus inspirata Scriptura, fontes sunt salutares. Æquiparatur prudentis ad Deum propensio desiderio cervi ad fontes aquarum. Et cum noverit in præsenti vita per speculum seipsum ad Deum tendere, visio nempe facie ad faciem non fiet nisi postea, precatur assignari tempus, quo elapso Dei contuitu fruatur. Atque etiam cum umbram ubique spargens lex futurorum bonorum est (imago), et festa quibus apparebant vivi omnes ante faciem Dei, umbra et symbola sunt futurorum festorum, rogat venire in spiritualia festa, ut perfecte appareat ante faciem Dei : quod nihil aliud ac Dei invisibilis imago. — Cervus animal est hostiliter agens adversus serpentes, eosque devorans ; si forte postquam comederit siti uratur, veneno suscitata quos devoravit serpentium, ardenter quærit fontes aquarum ad restinguendam sitim. Sunt autem qui dicant quod se quasi in speculum inspicere volens in aquas, quærit fontes ut videat sibi impressam serpentium cruore labem : namque in dilacerandis serpentibus, exsilientes isti inspergunt in eum proprium cruorem. Sanctusque igitur, sublatis serpentibus et scorpionibus, juxta potestatem quam a Jesu recepit, sed et condemnans omnem inobedientiam, spiritalis cum sit cervus, festinat divinos reperire fontes aquarum. D

Στ. δ'. Ὁ μὴ μάτην δακρύων, ἀλλ' ἀπὸ διαθέσεως, τῷ ὑπὲρ ἀρετῆς πονεῖν, ἐκεῖνος τὰ δάκρυα αὐτοῦ ἄρτου δίκην τραφήσεται, οὐκ ἐν τοῖς ἀνετικοῖς μόνοις, ἃ ἡμέραν καλεῖ, ἀλλὰ καὶ ἐν τοῖς περιστατικοῖς, ἃ νύκτα ὀνομάζει.—Τελείου δ' ἐστὶν τὸ δύνασθαι τοῦτο λέγειν. Ἐπείπερ ὁ ἀτελὴς, ταραχῆς ἐμπιμ-

Vers. 4. Qui non incassum lacrymatur, sed consulto, pro virtute laborans, hic lacrymis quasi pane vescetur, non in discussoriis, quæ diem vocat, sed et in calamitatibus, quæ nox vocantur. — Perfecti est posse hoc dicere : cum quidem imperfectus, iis qui foris exturbant commotus, foras effundit ani-

[48] Matth. VI, 9. [49] I Paral. VI, 1 sqq. [50] Jerem. II, 13. [51] Baruch III, 12. [52] Joan. IV, 14.

(69) Id est, ὥστε καὶ ἐσθίειν αὐτούς. Edit.

Digitized by Google

mam suam inverecundus et ab omnibus objurgatus, hac voce et verbis quæ profert animam suam detegit. — Qui de omnibus decepti sunt, errant quoque existimantes Deum in loco esse : injuriose igitur dicunt : « Ubi est Deus tuus? »

A πλάμενος ὑπὸ τῶν ἔξωθεν ταραττόντων, ἔξω τὴν ἑαυτοῦ ψυχὴν ἐκχεῖ ἀσχημονῶν καὶ ἐλεγχόμενος παρὰ τοῖς πᾶσιν, διά τε τῆς φωνῆς αὐτῆς, καὶ δι' ὧν προφέρεται λόγων τὴν ἑαυτοῦ ψυχὴν ἀποχυμνῶν.—Οἱ περὶ πάντα ἠπατημένοι σφάλλονται καὶ περὶ τὸ νομίζειν τὸν Θεὸν ἐν τόπῳ εἶναι· ὀνειδίζοντες γοῦν λέγουσιν, « Ποῦ ἐστιν ὁ Θεός σου ; »

Vers. 6. Namque post hoc desiderium extendit mihi desperationem et opprobrium ab illis qui agunt quasi non esset qui auxilietur mihi; ac præterea eorum memoria quæ perfecta sunt in locis istis in honorem tuum. Hoc vero, « hæc recordatus sum et effudi in me animam meam, » pro illo, desperatione solvebar.

Στ. ς'. Μετὰ γὰρ τῆς ἐπιθυμίας ταύτης ἐπέτεινέ μοι τὴν ἀθυμίαν καὶ τὸ ὀνειδίζεσθαι παρὰ τῶν κατεχόντων ὡς οὐκ ὄντος τοῦ βοηθοῦντος· καὶ πρὸς τούτοις ἡ μνήμη τῶν ἐπιτελουμένων ἐν τοῖς τόποις ἐκείνοις εἰς θεραπείαν σήν· τὸ δὲ, « Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, » ἀντὶ τοῦ, ἀπὸ τῆς ἀθυμίας διελυόμην.

Vers. 7. Si essem in terra Jordanis, id est si dignarer sancto baptismate, tunc « memor ero tui. » Interpretantur autem et Hermoniim, *viam lampadis*, quasi eis sanctum baptisma viam illuminationis et claritatis in mente et in corde aperiret.

Στ. ζ'. Εἰ γενοίμην ἐν τῇ γῇ τοῦ Ἰορδάνου, τουτέστιν εἰ ἀξιωθείην τοῦ ἁγίου βαπτίσματος, τὸ τηνικάδε σου μνησθήσομαι. Διερμηνεύουσι δὲ καὶ τὸ Ἑρμωνιείμ, *ὁδὸς λύχνου*, ὡς τοῦ ἁγίου βαπτίσματος ὁδὸν αὐτοῖς ἀνοιγνύντος φωτισμοῦ καὶ αὐγῆς τῆς εἰς νοῦν καὶ καρδίαν.

Vers. 8. Cataractæ Dei sunt de eo profundissima verba, seu divini prophetæ. Igitur Jesu disciplina, quæ abyssus est, invocat abyssum ex vetere Scriptura. Profecto quippe et judicia dicta sunt de judiciis aliis, istaque, cæteraque omnia de Dei Verbo, quod dictum est parvus mons. Mons enim magnus, ait, Deus Verbum; mons autem parvus, propter humiliationem quam pro nobis pertulit. — « Omnia excelsa tua et fluctus tui super me transierunt. » Mare cum sit allegoricum humana vita, non naufragus in ea, sed prospere navigans, non fluctuum pontique sævitiarum imperitus, portum salutis ingressus hæc dicet : non enim, ait, « super me transeunt, » sed « transierunt. »

Στ. η'. Καταῤῥάκται τοῦ Θεοῦ οἱ περὶ αὐτοῦ βαθύτατοι λόγοι, ἢ οἱ θεῖοι προφῆται. Ἡ τοῦ τοίνυν Ἰησοῦ διδασκαλία, ἄβυσσος οὖσα, ἐπικαλεῖται τὴν ἄβυσσον ἐκ τῆς παλαιᾶς Γραφῆς. Τάχα δὲ καὶ ἐπεὶ τὰ κρίματα ἑτέρων εἴρηται κριμάτων, κἀκεῖνα ἄλλων πάντων ἀπὸ τοῦ Λόγου τοῦ Θεοῦ, ὃ εἴρηται μικρὸν [ὄρος]. Ὄρος γὰρ μέγα, φησὶν, ὁ Θεὸς Λόγος· ὄρος δὲ μικρὸν δι' ἣν ὑπέμεινεν ἑθελούσιον κένωσιν δι' ἡμᾶς. — « Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. » Θαλάττης τροπικῶς ὄντος τοῦ ἀνθρωπίνου βίου, ὁ μὴ ναυαγῶν ἐν αὐτῇ, ἀλλὰ κατ' ὀρθὸν πλέων, πεῖραν τρικυμιῶν καὶ τῶν ἀπὸ χειμῶνος τῆς θαλάττης ἔχων, ἐπὶ τὸν λιμένα τῆς σωτηρίας ἐλθὼν ἐρεῖ τὸν στίχον· οὐ γὰρ εἶπεν « ἐπ' ἐμὲ διέρχονται, » ἀλλὰ « διῆλθον. »

Vers. 10. Liberius dicentis vox. Qui enim dicit : « Quare oblitus es mei? » conscius est sibi se nihil fecisse, cur ipsius oblivisceretur Dominus. Et cum, affligente inimico, contristatus incedo, rogo quæ hujus rei causa fuerit. Quod si ex me fuerit, eam pœnitentia sustulerim : omnes enim de Deo manifeste novimus, ut misericors est, etsi non omnes videmus quomodo auxilietur. Plerumque enim quæ per misericordiam ejus fiunt, cum sint molesta, non libenter accipimus, nec misericordiæ esse opera existimamus. Quapropter dicimus : « Quare oblitus es mei? » Qui autem intellexit omnia quæ induxit Deus, utilia esse, non ita loquetur, quin ipsum hujus pœniteat.

Στ. ι'. Παῤῥησιαζομένου ἡ φωνή. Ὁ γὰρ λέγων· « Διὰ τί μου ἐπελάθου, » θαῤῥεῖ μηδὲν πεποιηκὼς, δι' ἃ ἐπιλανθάνεται Θεός. Καὶ ἐπεὶ ἐκθλίβοντος ἐχθροῦ, σκυθρωπάζων πορεύομαι, πυνθάνομαι τί τὸ αἴτιον τούτου. Ἵν' εἰ ἐξ ἐμοῦ εἴη, ἀναιρήσω διὰ μετανοίας αὐτό· πάντες γὰρ διειλήφαμεν περὶ Θεοῦ φανερῶς, ὡς ἐλεήμονος, εἰ καὶ μὴ πάντες ὁρῶμεν πῶς ἐλεεῖ. Πολλάκις γὰρ τὰ κατὰ ἐλεημοσύνην αὐτοῦ γινόμενα τῷ ἐπίπονα εἶναι, οὐχ ἡδέως ἔχοντες, οὐδ' ἔλεον εἶναι νομίζομεν. Καὶ διὰ τοῦτο λέγομεν, « Ἵνα τί μου ἐπελάθου ; » Ὁ δὲ διειληφὼς ὅτι πᾶν ὃ ἐπαγάγῃ ὁ Θεὸς, συμφερόντως ἐπάγει, οὐδὲν ἐρεῖ τοιοῦτον, εἰ μὴ τὴν μετάνοιαν ἑαυτοῦ πραγματευόμενος·

Vers. 11. Ossa animæ, ut superius vidimus, solida ejus dogmata et facultates nominantur. Cum igitur sæpius fit ut sophistarum argumentis confringantur ossa, exprobrant decipientes, dicuntque perpetuo : « Ubi est Deus tuus? » quem prædicas, cujus dicis te disciplina eruditum. Sed etiam de hoc dolore cum anima sua colloquitur dicens : « Quare tristis es? » Sperans enim in Domino, confitebor illi. Magnopere enim splendebit tibi vultus ejus, nempe veritas, ut possidens Dei veritatem, possis

Στ. ια'. Ὀστᾶ δὲ ψυχῆς διὰ τῶν προαγόντων κατὰ εὔτονα αὐτῆς δόγματα καὶ αἱ δυνάμεις εἴρηνται ἐπεὶ οὖν λαμβάνει πολλάκις ὑπὸ δεινῶν σοφιστῶν καταθλᾶσθαι τὰ ὀστᾶ, ὀνειδίζουσιν οἱ ἀπατεῶνες, οὐκ ἄλλα λέγοντες ἢ, « Ποῦ ἐστιν ὁ Θεός σου ; » ἐφ' ᾧ ἠῦχεις λέγων τῇ σοφίᾳ αὐτοῦ πεπαιδεῦσθαι. Ἀλλὰ καὶ περὶ τούτου τοῦ πάθους πρὸς τὴν ἑαυτοῦ ψυχὴν διαλέγεται φάσκων· « Ἵνα τί περίλυπος εἶ; » ἐλπίσας γὰρ ἐπὶ Κύριον ἐξομολόγησαι. Πάντως γὰρ ἐπιλάμψει σοι τὸ πρόσωπον αὐτοῦ, οὐκ ἄλλο ὂν τῆς ἀληθείας,

Digitized by Google

ὡς ἔχοντά σε τὴν ἐκ Θεοῦ ἀλήθειαν λύειν δύνασθαι τὰς ἀπάτας τῶν καταθλασόντων τὰ προκείμενά σου ὀστᾶ.

A dolos solvere confringentium ossa tua, ut diximus.

PSALMUS XLII.

Στ. α'. Τὸ πρόσωπον τοῦ Σωτῆρος παρεισήγαγεν λέγον πρὸς τὸν Πατέρα τὰ ἐν τῷ ψαλμῷ· « καὶ ἔθνος μὲν οὐχ ὅσιον » τοὺς Ἰουδαίους ὀνομάζον, ἄδικον δὲ καὶ δόλιον, τὸν Ἰούδαν. Ἀλλ' οὐκ ἐδυνήθη συναρμόσαι τοῖς ἑξῆς τὰ λεγόμενα. Πῶς γὰρ οἷόν τε ἦν αὐτὸν λέγειν· « Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου, » καὶ τὰ ἑξῆς;

Στ. γ'. Ἐπεὶ φῶς ἀληθινὸν ὁ Σωτὴρ καὶ αὐτὸς ἡ ἀλήθεια εἶναί φησιν, οἱ πρὸ τῆς ἐπιδημίας ἄνθρωποι ἐκ τῶν προφητευομένων μαθόντες ὡς ἐπιλάμψει τὸ φῶς καὶ ἡ ἀλήθεια τοῦ Θεοῦ, παρεκάλουν ἀποσταλῆναι διὰ τῆς ἐνανθρωπήσεως τὸ φῶς καὶ τὴν ἀλήθειαν, ὅπως ὁδηγηθῶσιν ὑπ' αὐτῶν ἐπὶ τὸ ὄρος τὸ ἅγιον, B τὸν περὶ τῆς Τριάδος ὑψηλότερον λόγον, καὶ τὰς αἰωνίους σκηνάς. Οὐκ ἕτερον δὲ τὸ φῶς τῆς ἀληθείας κατ' οὐσίαν. Ἀμφότερα γάρ ἐστιν ὁ τοῦ Θεοῦ Υἱός, ἀλλ' ἐπινοίᾳ μόνῃ· ἡ γὰρ σκιᾶς καὶ ψεύδους ἐλευθεροῖ· ἡ δὲ πλάνης καὶ ἀγνοίας φῶς ἐστιν.

Στ. δ'. Τὸ « εἰσελεύσομαι » οὐ παρέργως εἴρηται· ὁ γὰρ ἀπὸ τοῦ αἰσθητοῦ θυσιαστηρίου φαντασίαν τοῦ νοητοῦ λαβών, εἰσεισιν πρὸς αὐτὸν τὸν Θεὸν ἀοράτως ἐπ' αὐτῷ ἀναφέρων θυσίας.

Vers. 1. Persona Salvatoris inducitur, ad Patrem quæ sunt in psalmo dicens: « et gentem non sanctam » David Judæos vocavit. Vir autem iniquus et dolosus Judas est. Quæ quidem cum sequentibus congruere nequeunt. Quomodo enim posset dicere: « Emitte lucem tuam et veritatem tuam, » et quæ sequuntur?

Vers. 3. Cum lumen verum [88] Salvator ipse et veritatem [84] se esse dicit, qui ante incarnationem didicerant ex prophetiis quod splendesceret lumen et veritas Dei, precabantur sibi per incarnationem mitti lumen et veritatem, ut iis deducerentur in B montem sanctum, verbum de Trinitate excelsius, et æterna tabernacula. Nihil aliud est lumen ac veritas secundum essentiam. Utrumque enim est Dei Filius, sed cogitatione sola: veritas est, nam ab umbra et mendacio liberat; lumen autem, nam erroris et ignorantiæ lumen est.

Vers. 4. Hæc vox « introibo » non inconsulto dicta: namque ex materiali altari intelligibilis imaginem accipiens, introit ad ipsum Deum invisibiliter ei offerens hostias.

PSALMUS XLIII.

Στ. β'. Οἱ δὲ διαβάλλοντες ὡς οὐκ ἀκριβῆ τὴν Γραφὴν φασί· Τίνι γὰρ εἶχον ἀκούειν ἢ τοῖς ὠσίν; ἀγνοοῦντες, ὡς οὐ κοινοῖς ὠσὶν, ἀλλὰ τοῖς ἀνθρώπων φησὶν ὅσοι λογικῶς ἀκροῶνται. Ὡσεὶ καὶ μουσικοὶ ἄνδρες μαθήματα μουσικὰ τοῖς τῶν μουσικῶν ὠσὶν παρεδίδοσαν, ὁποῖόν ἐστιν τό· « Ὁ ἔχων ὦτα ἀκούειν C ἀκουέτω. » Λέγοις δ' ἂν πατέρας καὶ τοὺς κατὰ παίδευσιν.

Vers. 2. Qui rejiciunt quasi non justam Scripturam dicunt: Qui enim potuerunt audire nisi auribus suis? ignorantes quod non propriis, sed hominum auribus loquitur, quotcunque prudenter audiunt. Sicut et musici viri præcepta musica musicorum auribus tradiderunt, quale est illud: « Qui habet aures audiendi audiat [85]. » Patres autem vocantur, qui docent.

Στ. γ'. Κακώσας τοὺς ἐκ περιτομῆς λαοὺς ὁ Θεὸς, ἐξέβαλεν ἐκ τῆς ἱερᾶς τοῦ νόμου παιδεύσεως· οὐ νόμῳ δὲ πολέμου νικήσαντες οἱ ἀπὸ τῶν ἐθνῶν πιστεύσαντες ἐκληρονόμησαν τὴν ἐναγχος εἰρημένην γῆν· οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐτοὺς, τουτέστιν ἡ ἐργασία αὐτῶν. Χάριτι γὰρ τὴν σωτηρίαν ἐσχήκασιν ὑπὸ τῆς σῆς δεξιᾶς καὶ τοῦ βραχίονος, τουτέστι τοῦ μονογενοῦς Υἱοῦ· φωτισμὸς δὲ ὁ φωτίζων πρόσωπόν σου τυγχάνον, « ὅτι ηὐδόκησας ἐν αὐτοῖς » τοῦ σῶσαι αὐτοὺς τῇ χάριτι, οὐκ ἐξ ἔργων αὐτῶν, ἵνα μὴ καυχήσονται.

Vers. 3. Affligens circumcisionis populos Deus, e sancta legis disciplina expulit eos: non autem belli lege qui ex gentibus crediderunt, modo dictam terram obtinuerunt hæreditate; neque brachium eorum salvavit eos, id est eorum opera. Gratia enim salutem obtinuerunt per dextram tuam et brachium, id est per unigenitum Filium: illuminatio autem, quæ faciem tuam illuminat, « quoniam complacuisti in eis, » salvos faciens eos gratia, non ex eorum operibus, ne glorientur.

Στ. ε'. Τὰς τοῦ Ἰακὼβ σωτηρίας τοῦ πτερνίζοντος τὰ φαῦλα καθ' ἃ σώζεται, ἐντέλλεται ὁ Θεὸς τοῖς D ἁγίοις πνεύμασιν, τοῖς εἰς διακονίαν ἀποστελλομένοις διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

Vers. 5. Jacobi salutes supplantantis caduca juxta quæ salvatur, mandat Deus spiritibus sanctis, qui ad ministrandum deputantur hominibus salutem hæreditate accepturis.

Στ. ς'. Κέρατα δὲ τοῖς ἁγίοις καὶ αἱ τοῦ Χριστοῦ δυνάμεις εἰσὶν, καθ' ἃς τοὺς ἐχθροὺς αὐτῶν κερατίζουσιν. Διὸ καὶ πάντα τὰ ζῶα τὰ κέρασι χρώμενα καθαρὰ ὄντα, ἢ ἐπὶ τὸν θεῖον βωμὸν ἀπάγεται, ἢ τροφὴ τῇ μερίδι τοῦ Θεοῦ τυγχάνει.

Vers. 6. Cornua autem sanctis Christi potestates sunt, quibus inimicos suos cornu ventilent. Ideoque omnia animalia, quæ cornua habent, munda, aut ad divinum altare deducuntur aut clero divino alimentum sunt.

Στ. θ'. Ὕλην τὴν ἡμέραν ἐν τῷ Θεῷ εἶπεν ζωὴν, ἥτις συνέστηκεν ἀπὸ ἀπαθείας καὶ γνώσεως Θεοῦ.

Vers. 9. Totam diem in Deo dicit vitam, quæ cum tranquillitate Deique cognitione agitur.

Στ. ι', ια'. Ἀπωθεῖται ὁ Θεὸς ἀφ' ἑαυτοῦ οὐ πάν-

Vers. 10, 11. Repulit autem a se Deus non om-

[88] Joan. VIII, 12. [84] Joan. XIV, 6. [85] Matth. XI, 15.

Digitized by Google

nino propter peccatum, sed et propter alias quas movit ipse causas. Non omnis autem qui convertitur retrorsum vituperabiliter hoc sustinet : nam si quis prava relinquens, procul fugit digressus ab iis, hic retrorsum conversus ad ea quæ dereliquit, in exitium delabitur. Si quis autem Sion, id est virtutem relinquens, in malitiam Babylonem vocatam pergit, retrorsum conversus, beatam recipit rem. Cæterum hæc dicentes, postquam post inimicos suos facti sunt, retrorsum conversi, reprehensione digni delapsi sunt.

A τως δι' ἁμαρτίας, ἀλλὰ καὶ δι' ἄλλας ἃς οἶδεν αὐτὸς αἰτίας. Οὐ πᾶς δὲ ὁ εἰς τὰ ὀπίσω ἀποστρεφόμενος ψεκτῶς τοῦτο ὑφίσταται· εἰ γάρ τις τὰ φαῦλα καταλιπὼν, μακρὰν φύγοι ἀποχωρῶν ἀπ' αὐτῶν, οὗτος εἰς τὰ ὀπίσω στραφεὶς ἐφ' ἃ καταλέλοιπεν, ὀλέθρῳ περιπίπτει. Εἰ δέ τις τὴν Σιὼν, τουτέστι τὴν ἀρετὴν, καταλείψας, ἐπείγοιτο ἐπὶ τὴν κακίαν, Βαβυλῶνα καλουμένην, ἀποστρεφόμενος εἰς τὰ ὀπίσω, μακάριον ἀναδέχεται πρᾶγμα. Πλὴν οἱ τὰ προκείμενα λέγοντες, ἐπεὶ παρὰ τοῖς ἐχθροῖς γεγόνασιν, εἰς τὰ ὀπίσω ἀποστραφέντες ψεκτοὶ περιέπεσον.

Vers. 12. Videntur hæc dicentes, sancti quidam cum sint, fere similes ei qui ut ovis ad occisionem ducitur, quasi oves edendæ ab iis, qui pro utilitate sermones ac vitam impendunt. Sed et in gentibus hi a Deo dispersi sunt, seminis instar, quod projiciunt agricolæ, ut conversas gentes ad suam virtutem adducant. Neque enim attendendum est dicentibus dispersam fuisse in gentibus Dei sacerdotes servitutis modo.

Στ. ιβ'. Ἔοικασιν οἱ ταῦτα λέγοντες ἅγιοί τινες ὄντες, παραπλησίως τῷ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγομένῳ δεδόσθαι, ὡς πρόβατα βρώσεως τροφὴ γινόμενοι τοῖς ἐπ' ὠφελείᾳ τοὺς λόγους καὶ βίον αὐτοῖς προσιεμένοις. Ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν οὗτοι ὑπὸ Θεοῦ διεσπάρησαν, δίκην σπέρματος, γεωργικῶς καταβαλλόμενοι, ἵνα μεταποιήσαντες τὰ ἔθνη εἰς τὴν αὐτὴν αὐτοῖς ποιότητα ἀγάγωσιν. Οὐ γὰρ προσεκτέον τοῖς λέγουσιν διεσπάρθαι ἐν τοῖς ἔθνεσιν τὴν τοῦ Θεοῦ μερίδα αἰχμαλωσίας τρόπῳ.

Vers. 16. Postquam prædictis abominandis succubuimus, per vitam erubescentes tota die, contra nos confusionem nostram habemus, vultusque nostri pudore obtegente nos, ut non jam auderemus revelata animæ nostræ facie Domini gloriam contemplari.

Στ. ις'. Ἐπεὶ τοῖς προειρημένοις ἀπευκτέοις ὑπεπέσαμεν· διὰ βίου ἐντρεπόμενοι ὅλην τὴν ἡμέραν ἐναντίον τὴν ἐντροπὴν ἑαυτῶν ἔχομεν, τῆς αἰσχύνης τοῦ προσώπου ἡμῶν καλυπτούσης ἡμᾶς, ὡς μηκέτι παῤῥησίαν ἔχειν ἀνακεκαλυμμένῳ τῷ προσώπῳ τῆς ψυχῆς κατοπτρίζεσθαι τὴν δόξαν Κυρίου.

Vers. 17. A voce exprobrantis, et jurgium inferentis, et compellantis, tota die verecundiam contra se esse videt; ab ostendente ipsius formidandam faciem, ab inimico persequente, pudor cooperuit faciem eorum.

Στ. ιζ'. Ἐκ τῆς τοῦ ὀνειδίζοντος καὶ δίκην παραπαίοντος καὶ παρακαλοῦντος, ὅλην ἐντροπὴν τὴν ἡμέραν εἶναι κατενώπιον ἑαυτοῦ θεωρεῖ· ἀπὸ δὲ τοῦ ἐπιδεικνύντος ἑαυτοῦ φοβερὸν τὸ πρόσωπον ἐκδιώκοντος ἐχθροῦ ἡ αἰσχύνη ἐκάλυψεν τὸ πρόσωπον αὐτῶν.

Vers. 18. Perfectam virilitatem adeptorum vox; multis enim variisque tribulationibus super eos coortis, atque ad Dei oblivionem excitantibus, Deum tamen ante oculos habuere, ita ut eorum quisque dicere posset, « in tribulatione Domini recordatus sum. »

Στ. ιη'. Τελείαν ἀνδρείαν ἀναλαβόντων ἡ φωνή· πολλῶν γὰρ καὶ διαφόρων θλίψεων ἐπ' αὐτοὺς ἠκουσῶν καὶ ἐκβιαζομένων ἐπιλαθέσθαι τοῦ Θεοῦ, ἐξεναντίας αὐτῶν ἀνεπώλουν Θεὸν, ὡς ἕκαστον εἰπεῖν, « Ἐν θλίψει τοῦ Κυρίου ἐμνήσθην. »

Vers. 19. Declinat semitas alicujus Deus a via sua, cum tradit eum cupiditatibus cordis sui, et adulterinæ menti.

Στ. ιθ'. Ἐκκλίνει τὰς τρίβους τινὸς ὁ Θεὸς ἐκ τῆς ἑαυτοῦ ὁδοῦ, παραδιδοὺς αὐτὸν ταῖς ἐπιθυμίαις τῆς καρδίας ἑαυτοῦ καὶ εἰς ἀδόκιμον νοῦν.

Vers. 20. Locus afflictionis, nempe super terram et sub terra, ubi humiliantur qui corporis mortem pertulerunt. Quæ in corde impressa sunt, subinde explicabuntur.

Στ. κ'. Τόπος κακώσεως ὁ περὶ γῆν καὶ ὁ καταχθόνιος χῶρος, ἔνθα ταπεινοῦνται οἱ πεῖραν ἔχοντες τοῦ σώματος τοῦ θανάτου (70). Τὰς ἐν καρδίᾳ τυπώσεις, ἃς καὶ ἐξῆς προσαγορευτέον.

Vers. 26. Si enim tropice hæc dicantur, hæc significatio est : nobis terram incolentibus, voluptatibus aliisque cupiditatibus refertam, humiliata est ideo in pulvere anima nobis humi prostratis; atque etiam in terra conglutinatus est venter nobis nihil cœleste vescentibus, sed serpentis instar terram comedentibus omnibus diebus vitæ nostræ. Si autem allegorice interpretemur hunc locum, in corpore inhabitans anima dicet : « Humiliata est in pulvere anima nostra. » Hæc de beata quæ in cœlis est vita dejecta, quæ deorsum sunt sapiendo, dicet : « Con-

Στ. κς'. Εἰ μὲν τροπικῶς ταῦτα λέγοιτο, τὸ δηλούμενόν ἐστιν τοιοῦτο· Ἐπεὶ χοῦν περικείμεθα τὸν ἐξ ἡδονῶν καὶ τῶν ἄλλων παθῶν συγκείμενον, διὰ τοῦτο ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν χαμαιριφῶν γενομένων· ἀλλὰ καὶ εἰς γῆν ἐκολλήθη ἡ γαστὴρ ἡμῶν, οὐδὲν οὐράνιον τρεφομένων, ἀλλὰ κατὰ τὸν ὄφιν γῆν ἐσθιόντων πάσας τὰς ἡμέρας τῆς ζωῆς ἑαυτῶν. Εἰ δὲ πρὸς ἀλληγορίαν ἐξηγηθείη τὸ προκείμενον, εἰς τὸ σῶμα ἐμβατεύουσα ἡ ψυχὴ ἐρεῖ, « Ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. » Αὕτη καὶ τῆς μακαρίας ζωῆς τῆς ἐπουρανίου ἐκπεσοῦσα ἐν τῷ τὰ κάτω φρονεῖν,

(70) Animadverte Didymi testimonium de inferorum pœnis.

Digitized by Google

ἐρεῖ τὸ, « Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. » Οὐκ ἄλλα γὰρ τῶν γηΐνων τρέφεται.

Στ. κζ'. Λέγει ἐνταῦθα καὶ πρὸς τὸν Σωτῆρα, ἐν τῇ καρδίᾳ τῆς γῆς διατρίβοντα κατὰ τὸν τοῦ πάθους καιρὸν, ἵνα ἀναστὰς ἀρωγὴν παράσχοι καὶ λύτρα, δοὺς τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

A glutinatus est in terra venter noster. » Non aliis enim ac terrestribus vescitur.

VERS. 27. Dicit hic et ad Salvatorem, in terræ præcordiis passionis tempore jacentem, ut exsurgens auxilium præbeas et redemptionem, dans animam suam redemptionem pro multis [56].

PSALMUS XLIV.

Διδύμου καὶ Εὐσεβίου. Στ. α'.—Τινὲς ᾠήθησαν ἐκ προσώπου τοῦ Πατρὸς λέγεσθαι τὴν ᾠδὴν περὶ τοῦ ἐν ἀρχῇ ὄντος πρὸς αὐτὸν Λόγου, ὃν ἐκ τῆς οἱονεὶ καρδίας ἢ αὐτῶν τῶν σπλάγχνων, φησὶν, προήγαγεν, καὶ ἀπὸ ἀγαθῆς καρδίας ἀγαθὸς Λόγος προῆλθεν. Ἐμοὶ δὲ δοκεῖ ταῦτα ἐπὶ τὸ προφητικὸν ἀναφέρεσθαι πρόσωπον. Τὸ γὰρ ἐφεξῆς τοῦ ῥητοῦ, οὐκέτι ὁμοίως ἐξομαλίζει ἡμῖν τὴν περὶ τοῦ Πατρὸς ἐξήγησιν. Οὔτε γὰρ ἂν περὶ τῆς ἑαυτοῦ γλώσσης ὁ Πατὴρ εἶπεν ὅτι « Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. » —« Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. » Οὐ γὰρ ἐκ τῆς πρὸς τοὺς ἀνθρώπους συγκρίσεως τὴν ὑπεροχὴν τοῦ κάλλους ἔχει. Καὶ προϊὼν δὲ φησὶν, « Διὰ τοῦτο ἔχρισέν σε ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως. » Οὐ γὰρ εἶπεν, Ἔχρισά σε ἐγὼ ὁ Θεὸς, ἀλλ' « ἔχρισέν σε. » Ὥστε ἐκ τούτου παρίστασθαι ἕτερον εἶναι τὸ διαλεγόμενον πρόσωπον. Ποῖον οὖν ἐστι τοῦτο, ἢ ὁ Προφήτης ὁ χωρήσας τὴν τοῦ ἁγίου Πνεύματος εἰς ἑαυτὸν γενομένην ἐνέργειαν; « Ἐξηρεύξατο, » φησὶν, « ἡ καρδία μου λόγον ἀγαθόν. »

Didymi et Eusebii. VERS. 1. — Nonnulli existimaverunt a persona Patris dici canticum de Verbo quod in principio erat apud eum [57], quodque quasi ex corde vel e visceribus, ait, eduxit, atque de bono corde verbum prolatum est bonum. Mihi autem videtur hæc ad propheticam referri personam. Quæ enim proxime sequuntur, non similiter huic de Patre acceptioni consonant. Neque enim de propria B lingua Pater dicere potuisset : « Lingua mea calamus scribæ velociter scribentis ; — Speciosus forma præ filiis hominum. » Non enim pulchritudinis præcellentiam ex comparatione cum hominibus accipit. Et paulo inferius ait : « Ideo unxit te Deus oleo lætitiæ. » Non enim dixit : Unxi te ego Deus, sed, « unxit te. » Exinde nobis demonstratum videtur aliam esse quæ hic loquitur personam. Quænam igitur est illa, nisi Propheta, cum senserit in se delapsam Spiritus sancti virtutem? « Eructavit, » exclamat, « cor meum verbum bonum. »

Στ. β'. Γραφέα μὲν ἐρεῖ τὸν Θεὸν Λόγον, ἐγγράφοντα ταῖς διανοίαις τοὺς θείους αὐτοῦ νόμους· κάλαμον δὲ τοῦ ὀξυγράφου γραφέως ὃν ἀνέλαβεν γράψαντα ἄνθρωπον τὸν λόγον τοῦ Εὐαγγελίου ἐν ἁπάσῃ γῇ, τουτέστιν ψυχῇ ἀνθρώπου.

VERS. 2. Scribam quidem dicet Deum Verbum, divina ejus lege in mentibus inscripta ; calamum autem velociter scribentis scribæ quem recepit C hominem verbum Evangelii scribentem in universa terra, id est in hominis anima.

Στ. γ'. Γραφόντων καὶ αὐτῶν παιδεύσεις τινάς· ὡς γὰρ ὁ λόγος τοῦ Εὐαγγελίου κόκκῳ συνάπεως παραβαλλόμενος, εἰ γεωργίας τύχοι, μείζων γίνεται τῶν ἀνθρωπίνων λόγων, λαχάνων διὰ τὸ πρόσκαιρον ὀνομαζομένων, οὕτως ἃ γράφει ὁ τοῦ Θεοῦ Λόγος καλάμῳ ἰδίῳ καιρίως ἐπιδείκνυται αὐτὰς παρὰ τὰς τῶν ἀνθρώπων συγγραφάς. Ἐπεὶ περὶ τὸν μηρὸν ἐνεργεῖται τὰ γενέσεως πράγματα, φύονται δὲ περὶ ταῦτα ἰσχραὶ ἐπιθυμίαι, χρεία τοῦ τιμητικοῦ λόγου ῥομφαίας ὀνομαζομένου, ἵνα περὶ τὸν μηρὸν ζωσθεὶς ἐκτέμνοι τὰς ἀκολάστους ἡδονάς. Ὁ Σωτὴρ οὖν κατὰ τὸν ἄνθρωπον τύπον ἀρίστης πολιτείας καταβαλλόμενος ὑπὲρ αὐτοτελοῦς ἁγνείας περιζώννυται ῥομφαίαν ἐπὶ τὸν μηρὸν αὐτοῦ, ὡραιότητα ἔχων καὶ κάλλος διὰ τὴν προσοῦσαν ἐν ἀναμαρτησίᾳ ἀρετήν. Ὅτι δὲ σύμβολον ὁ μηρὸς τῶν προειρημένων, ἤδη προείρηται. Δύναται ὁ γενόμενος σὰρξ Λόγος, ἦ μὲν Λόγος, ῥομφαία εἶναι, ἦ δὲ σὰρξ, μηρὸς τῷ ἐκεῖθεν τὴν ἀρχὴν ἔχειν τὴν σάρκα. Οὗτος δὲ, πρὸς ὃν ὁ λόγος, πᾶσαν ἀσθένειαν διαφυγὼν δυνατός ἐστι τὴν φαιδρότητα τῆς θεότητος, κάλλος καὶ ὡραιότητα ἔχειν.

VERS. 3. Scribentibus et ipsis doctrinas quasdam : sicut enim verbum Evangelii grano sinapis æquiparatum, si cultura fovetur, majus fit humanis verbis, oleribus [58] ob brevitatem nominatis, ita quæ scribit Dei Verbum proprio calamo magnopere præstant ipsis hominum scriptis. Quandoquidem per femur generatio fiat, et idcirco turpes exoriuntur cupiditates, censorio verbo opus est, quod gladius vocatur [59], ut super femur accinctum dissolutas præcidat voluptates. Salvator igitur secundum hominem typum optimæ disciplinæ stabiliens propter absolutam puritatem accingitur gladio super femur suum, formam habens D et pulchritudinem propter inhærentem innocentiæ virtutem. Quod autem sit femur symbolus eorum quæ modo dicimus, jam superius dictum est. Potest Verbum caro factum, ut quidem verbum, gladius esse ; ut autem caro, femur, cum exinde sit initium carni. Hic autem, apud quem erat Verbum, omne infirmitate devitata, splendorem divinitatis, speciem et pulchritudinem habere valet.

Στ. ε'. Ἐντείνας δὲ οἷα τοξότης ἄριστος τόξον, κατευοδοῦ τιτρώσκων εἰς ἔρωτα θεῖον τοὺς βαλλομένους. Ἀναγνωστέον δὲ καὶ « κατευόδου· » ἴσον τῷ,

VERS. 5. Extendens autem, quasi sagittarius optimus, arcum, prospere dirige vulnerans in amorem percussos et vulneratos. Atque etiam legendum

[56] Matth. xx, 28. [57] Joan, i, 1. [58] Marc. iv, 31, 32. [59] Hebr. iv, 12.

Digitized by Google

est, « Duc benigne super terram » et similiter « facilem præsta viam : » et præterea, « Regna super desiderio vulneratos. » Causa autem regni tui, perfectio virtutis est, non in actu solum, sed et in scientia. Quod quidem indicat « propter veritatem, et mansuetudinem, et justitiam. » Regna enim, ait, ad cognoscendam veritatem, et ad mansuetudinem justitiamque stabiliendam iis qui tua sub ditione sunt. « Et deducet te mirabiliter dextera tua. » Qui secundum Deum omnia facit, activa bonorum virtute, quæ dextera est, mirabiliter deducitur, hac usus duce in via ad Salvatorem. Ergo et Salvator miras efficiens virtutes, dextera ejus mirabiliter deducitur.

A « Εὐοδίαν πάρεχε· » καὶ πρὸς τούτοις, « Βασίλευε τῶν βεβλημένων πόθῳ. » Ἡ δὲ αἰτία τοῦ βασιλεῦσαί σε τελειότης ἀρετῆς ἐστιν, οὐκ ἐν πράξει μόνῃ, ἀλλὰ καὶ γνώσει. Τὸ γὰρ « ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, » τοῦτο σημαίνει· Βασίλευε γάρ, φησὶν, ἕνεκα τοῦ γνωσθῆναι τὴν ἀλήθειαν, καὶ πραότητα, καὶ δικαιοσύνην κατορθωθῆναι τοῖς ὑπὸ τὴν σὴν ἀρχήν. « Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. » Ὁ κατὰ Θεὸν πάντα πράττων, ὑπὸ τῆς τῶν καλῶν πρακτικῆς δυνάμεως, δεξιᾶς οὔσης, θαυμαστῶς ὁδηγεῖται, ἡγεμονίᾳ αὐτῆς χρώμενος τῆς ἐπὶ τὸν Σωτῆρα ὁδοῦ· καὶ ὁ Σωτὴρ οὖν ἐπιτελῶν δεξιῶς παραδόξους δυνάμεις, ὑπὸ δεξιᾶς αὐτοῦ θαυμαστῶς ὁδηγεῖται.

Vers. 6. Turpis est status in malis sedentium, hisque confossi sagittis, sub eum cadunt, B id est subjiciuntur ei, atque in ejus potestatem veniunt. Inimici regis Christi omnes peccatores. Cum igitur in corda eorum modo dictæ deveniunt sagittæ, ab inimicitiis dejiciuntur, Regis genibus provoluti. Vel stantes in corde inimicorum Regis, in voluntate odii sui confirmati, perfossi sagittis erunt a Christo, corde inimicorum ejus deficientes.

Στ. ς'. Καὶ φαύλην στάσιν ἔχοντα τῷ ἐν κακοῖς ἱδρύσθαι πληγέντα τούτοις τοῖς βέλεσιν, ὑποκάτω αὐτοῦ πεσεῖν, τουτέστιν ὑποταγῆναι αὐτῷ καὶ ὑπ' αὐτὸν γεγονέναι. Οἱ ἐχθροὶ τοῦ βασιλέως Χριστοῦ πάντες οἱ ἁμαρτάνοντες. Ὅταν οὖν ἐν τῇ καρδίᾳ τούτων τὰ προειρημένα βέλη γένηται, πίπτουσιν ἀπὸ τῆς ἔχθρας, τὸν Βασιλέα γονυπετοῦντες. Ἢ τάχα οἱ ἑστηκότες ἐν τῇ καρδίᾳ τῶν ἐχθρῶν τοῦ Βασιλέως κατὰ τὸ βούλημα τῆς ἔχθρας αὐτῶν βεβαιούμενοι, βληθέντες ὑπὸ τῶν βελῶν γενήσονται ὑπὸ Χριστὸν, τῇ καρδίᾳ τῶν ἐχθρῶν αὐτοῦ καταπεσόντες.

Vers. 8. Quæ vero, si ad unigenitum Dei Filium essent, Filius Dei vigentem ante ipsius adventum iniquitatem odio prosecutus, diligens vero post incarnationem suam exortam fide justitiam, tradidit seipsum bona Patris voluntate factum hominem, lætitiæque unctum oleo, id est sancto C Spiritu.

Στ. η'. Εἰ δὲ εἴη πρὸς τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ταῦτα, ὁ Υἱὸς τοῦ Θεοῦ μισήσας τὴν πρὸ τῆς ἐπιδημίας αὐτοῦ πολιτευομένην ἀνομίαν, ἀγαπήσας δὲ τὴν ἐκ τῆς παρουσίας αὐτοῦ φυομένην ἐκ πίστεως δικαιοσύνην, ἐπιδέδωκεν ἑαυτὸν εὐδοκίᾳ πατρικῇ ἄνθρωπος γενέσθαι, καὶ χρισθῆναι ἐλαίῳ ἀγαλλιάσεως, τουτέστιν τῷ ἁγίῳ Πνεύματι.

Vers. 10. Reges hic dicuntur qui cum Christo regnant, quorum ipse Rex regnantium. Horum filiæ per disciplinam factæ sunt, quas docuerunt, animæ; vel potius Ecclesiæ, quæ quidem filiæ cum sint in honore illius qui celebratur, delectaverunt Christum Regem « a domibus eburneis. » Domus autem eburneas vocabis excelsas theologias : ebur enim, prout Deus, verbi symbolum est; vocis enim organa sunt et dentes. Domus eburneæ, magnæ scilicet. Postquam enim verbum suum sic magnificaverunt ut maxima fieret domus speculationum de Deo, multæ regum filiæ ex prædictis eburneis regiis delectaverunt Christum.

Στ. ι'. Βασιλεῖς ἐνταῦθα ῥητέον τοὺς Χριστῷ συμβασιλεύοντας, ὧν αὐτὸς Βασιλεὺς βασιλευόντων. Τούτων θυγατέρες γεγόνασιν κατὰ διδασκαλίαν, ἃς παιδεύουσιν ψυχάς· μᾶλλον δὲ Ἐκκλησίας, αἵπερ θυγατέρες ἐν τιμῇ τοῦ ὑμνουμένου οὖσαι ἠὔφραναν τὸν βασιλέα Χριστὸν « ἀπὸ βαρέων ἐλεφαντίνων. » Βάρεις δὲ ἐλεφαντίνας ἐρεῖς τὰς ὑψηλὰς θεολογίας· τὸ γὰρ ἐλεφάντινον ὀδοὺς τυγχάνων, λόγου σύμβολόν ἐστιν· φωνητικὰ γὰρ ὄργανα καὶ οἱ ὀδόντες· βάρεις εἰσὶν αἱ μεγάλαι οἰκίαι. Ἐπεὶ οὖν τὸν ἑαυτῶν λόγον οὕτως ἐμεγάλυναν ὡς οἶκον μέγιστον θεωριῶν τῶν περὶ Θεοῦ γενέσθαι αἱ πολλαὶ τῶν βασιλέων θυγατέρες, D ἀπὸ τῶν προειρημένων βασιλέων (71) ἐλεφαντίνων ἠὔφραναν Χριστόν.

Vers. 11. Mutatur hic loquentis persona. Deus enim est qui e gentibus Ecclesiam alloquitur, quam et filiam suam vocat. Ait igitur : Meis acceptis verbis, o filia, audi et vide sensum eorum, iisque animum intende. Multo magis adhuc aurem tuam inclinare voles ad ea plenius et efficacius audienda et exoptanda : consequetur tibi concivium oblivio, nec jam iisdem in gentibus patriaque immorari volueris ; oblivisceris etiam domum patris tui, qui te genuit secundum iniquitatem diaboli.

Στ. ια'. Μεταβολὴ προσώπου εὐφραίνεται γενομένη. Θεὸς γάρ ἐστιν ὁ προσφωνῶν τῇ ἀπὸ ἐθνῶν Ἐκκλησίᾳ, ἣν καὶ θυγατέρα αὐτοῦ ὀνομάζει. Φησὶν γοῦν· Δεξαμένη τοὺς ἐμοὺς λόγους, ὦ θύγατερ, ἄκουσον καὶ ἴδε αὐτῶν τὴν διάνοιαν, ἐπιστήσασα αὐτοῖς. Ἔτι γὰρ μᾶλλον πλεῖον θελήσεις τὸ οὖς σου κλῖναι ἐπὶ τὸ πλειόνως αὐτὰ καὶ ἐξεργαστικώτερον ἀκοῦσαι καὶ ποθῆσαι· ἀκολουθήσει δέ σε λήθη τῶν ὁμοφύλων, μηκέτι θελησάσης σου τὰ αὐτὰ ἐκεῖνα περιστέλλειν ἔθη καὶ πάτρια· ἐπιλήσει δὲ καὶ τοῦ οἴκου τοῦ πατρός σου γεννήσαντός σε κατὰ κακίαν τοῦ διαβόλου.

(71) Lege βάρεων. Edit.

Digitized by Google

Στ. ιβ'. Διὰ τοῦτό σε καλῶ, θύγατερ, φησὶ πρὸς αὐτὴν ὁ Θεὸς, ἐπὶ τῷ ποιῆσαι τὰ προστεταγμένα σοι· ἐπείπερ ὁ ἐμὸς Υἱὸς Βασιλεὺς ὢν ἐπεθύμησεν τοῦ ἐνυπάρχοντός σοι κάλλους κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐμὴν γεγενημένης. Αὐτὸς δὲ οὗτος ὁ Βασιλεὺς ἐπιθυμῶν τοῦ κάλλους σου, οὐχ εἷς τῶν ὁμοτίμων σου τυγχάνει· αὐτὸς γάρ ἐστιν ὁ Κύριός σου· οὐ γὰρ ἄγγελος ἢ ἀρχάγγελος ἢ τις ἄλλος γενητὸς ὢν ὑπάρχει. Αὐτῷ γὰρ καὶ προσκυνοῦσι πάντες. Ἐπεὶ οὖν Θεοῦ τὸ προσκυνεῖσθαι, ἴσθι Θεὸν ὄντα τὸν Βασιλέα τὸν ἐπιθυμοῦντα τοῦ κάλλους σου· ὃς καὶ Κύριός σού ἐστιν.

A

Vers. 12. Quamobrem te voco, filia, ait ad eam Deus, ut quæ tibi mandata sunt efficias : quandoquidem Filius meus Rex concupierit inhærentem tibi decorem, quæ ad imaginem similitudinemque meam facta es [60]. Hic autem ipse Rex, decorem tuum concupiscens, non unus est æqualium tuorum. Ipse est enim Dominus tuus : non enim angelus aut archangelus, aut creatorum quivis alius est. Namque eum omnes adorant. Atqui cum proprium Dei sit adorari, scito Deum esse Regem concupiscentem decorem tuum : qui et Dominus tuus est.

Στ. ιγ'. Πρὸς τούτοις ἴσθι ὅτι πολλὴν μεταβολὴν ἔσχες. Θυγάτηρ γὰρ Τύρου οὖσα δι' ἣν εἶχες δεισιδαιμονίαν, ἐμοῦ θυγάτηρ ἐχρημάτισας, ὡς λιτὰς τῷ προσώπῳ σου προσάγειν πάντας τοὺς πλουσίους τοῦ λαοῦ, ὅσοι πλουτοῦσιν κατὰ πίστιν καὶ τὴν τοῦ Εὐαγγελίου ἀλήθειαν, σοὶ προσέρχονται, τὸ πρόσωπόν σου λιτανεύοντες, διὰ τὸ σύζυγον τῷ Βασιλεῖ γεγονέναι. Ὡς γὰρ παλαιοὶ ἀπὸ τῶν ἐθνῶν τῇ κατὰ Θεὸν θεραπείᾳ προσερχόμενοι τῷ Ἰσραὴλ προσηλύτευον, τὸ πρόσωπον αὐτοῦ παρακαλοῦντες, οὕτως νῦν οἱ ἀπὸ τῶν Ἰουδαίων μετανοοῦντες προσφεύγουσιν τῇ τῶν ἐθνῶν Ἐκκλησίᾳ, ἀξιοῦντες ὑποδεχθῆναι παρ' αὐτῆς.

B

Vers. 13. Præterea scito quoniam multum mutata es. Filia enim Tyri cum esses propter illas quibus imbuta fueras superstitiones, filia mea vocata es, ut vultum tuum deprecarentur omnes divites populi ; quicunque fide et Evangelii veritate ditescunt, ad te venient, vultum tuum deprecantes, quoniam conjux facta es Regis. Sicut enim antiqui de gentibus in Deum pietate deducti ad Israel se recipiebant, vultum ejus invocantes, sic nunc qui ex Judæis convertuntur, in gentium Ecclesiam confugiunt, ab ea recipi petentes.

Στ. ιδ'. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς βασιλέων Ἐσεβών (72). Ἐσεβὼν ἑρμηνεύεται *λογισμοί*. Ὁ βασιλεὺς δὲ τῶν λογισμῶν τῶν δικαίων ὄντων, ἔστιν Κύριος· τῆς οὖν ὑμνουμένης θυγατρὸς Τύρου ἡ δόξα οὐκ ἄλλοθέν ἐστιν, ἢ ἀπὸ τοῦ βασιλέως τῶν λογισμῶν. Ἰστέον δὲ ὅτι πολλαχοῦ τῶν Γραφῶν ἀντὶ τῆς νοητῆς οὐσίας λαμβάνεται ὁ χρυσός. Ἐπεὶ οὖν ἐν τοῖς ἐνδύμασιν αὐτῆς τυγχανούσαις ἀρεταῖς συγκατύφανται καὶ ὁ περὶ τῶν νοητῶν λόγος, μάλιστα ὁ περὶ τῆς Τριάδος, κροσσωτὰ χρυσᾶ περιβέβληται, ὄντα πεποικιλμένα διὰ τὸ πολύτροπον καὶ πολυειδὲς τῆς Χριστοῦ διδασκαλίας.

C

Vers. 14. Omnis gloria filiæ regum « ab intus, » quod quidem interpretamur *cogitationes*. Rex enim cogitationum justarum Dominus est : hujus enim quæ filia Tyri vocata est, gloria non externa est, quæ a cogitationum Rege venit. Notandum est quoniam plerumque in Scripturis pro intelligibili existentia sumitur aurum. Cum igitur in vestimentis ejus, scilicet virtutibus, intexatur quoque de spiritualibus, præsertim de Trinitate sermo, fimbriis aureis circumdatur, amictus varietatibus propter varietatem diversitatemque Christi doctrinæ.

Στ. ιε'. Εἰ καὶ πολλαὶ ἀδιάφθοροι εἶεν ψυχαὶ ἃς παρθένους ἔθος καλεῖν, ἀλλ' οὐ πᾶσαι ἤδη ἀποφέρονται τῷ Βασιλεῖ, ἀλλ' αἱ πλησίον καὶ ἐγγὺς γενόμεναι τῇ διαθέσει τῆς τελείας νύμφης, οὗ (73) δὲ καὶ τὸ « ἀπενεχθήσονται. » Αἱ γὰρ πεῖραν μὴ ἔχουσαι τοῦ νυμφίου Λόγου, οὐχ οἷαί τέ εἰσι δι' ἑαυτῶν πρὸς αὐτὸν ἰέναι. Ἄγουσι δ' αὐτὰς πρὸς αὐτὸν οἱ τὰ προπαιδεύματα αὐταῖς παραδιδόντες· εἰσὶν δὲ οὗτοι νόμος καὶ προφῆται. — Τῆς λέξεως ἀσάφειαν ἐχούσης, ἐξ ἄλλης τὴν διάνοιαν αὐτῆς ληψώμεθα. Ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων τὰς διαφορὰς τῶν Χριστῷ προσερχομένων ψυχῶν ἑρμηνεύων ὁ λόγος φησίν· « Εἰσὶν βασίλισσαι, καὶ παλλακαὶ, καὶ νεανίδες ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶν περιστερά μου, τελεία μου. » Ὡς περὶ ταύτης εἰρῆσθαι, Εἶδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτὴν, βασίλισσαι καὶ παλλακαὶ, καὶ αἰνέσουσιν αὐτήν. Ἐξ ὧν δείκνυται ἄλλη

D

Vers. 15. Etsi multæ incorruptæ sint animæ quas virgines vocare consueverunt, sed non omnes jam adducuntur Regi, verum quæ ad perfectam sponsam propius accedunt, eodem sensu et « afferentur. » Quæ enim sponsalis Verbi sunt expertes, non per se valent ire ad eum. Adducunt autem eas ad illum qui primariis instruxerunt doctrinis, lex scilicet et prophetæ. — Hujus loci sensum, cum aliquid habeat obscuritatis, ex alio sumemus. In canticorum Cantico animarum ad Christum adeuntium differentias interpretans Scriptura ait : « Sunt reginæ, et concubinæ, et adolescentulæ, quarum non est numerus; unica est columba mea, perfecta mea [61]. » Quasi de ea diceretur : Viderunt eam filiæ, et beatam dicent eam reginæ et concubinæ, et celebrabunt eam. Quibus ostenditur alias esse præter filias, quæ di-

[60] Gen. I, 26, 27. [61] Cant. VI, 7, 8.

(72) En Didymus Alexandrinus legebat Ἐσεβών, ut est in codice antiquissimo omnium Vaticano Septuaginta Interpretum. Cæterum recte hic interpretatur Didymus; reapse enim חשבן est *cogitatio*.

(73) Οὗ. Lege εὖ, correctione omnium certissima. EDIT.

Digitized by Google

ctæ sunt adolescentulæ, et concubinæ, et reginæ. His igitur patet verbis quoniam inter animas ad Christum accedentes, aliæ quidem nondum ad nuptiarum tempus pervenerunt, hæ sunt adolescentulæ; aliæ autem cum eo conveniéntes, jam conjunctæ sunt; aliæ vero stirpe nobili, quæ intra sex dies creatum antecesserunt mundum, sexaginta sunt reginæ; aliæ, octavo die circumcisione accepta, servitutis spiritum habentes, octoginta concubinæ sunt. Hæc autem omnes supergressa secundum spiritum constituta, adeo ut diceretur columba, perfecta Verbi præclara est Ecclesia, neque maculam, neque rugam, neque quidquam simile habens [62]. Hanc Ecclesiam celebrans Psalmista in superioribus versiculis, nunc quidem simul cum ea dicit afferendas esse sponso ejus Regi quæ olim ad horam connubii non pervenerant, nunc autem propter perfectionem suam in thalamum adductæ, ut cum Rege recubantes dignentur membra fieri unicæ perfectæ sponsæ, ab ea non jam alienati, sicut cum imperfecti erant.

A οὖσα παρὰ τὰς θυγατέρας αἱ εἴρηνται νεανίδες καὶ παλλακαὶ καὶ βασιλίδες. Δηλοῦται δὲ ἐκ τῶν λέξεων τούτων, ὡς ἄρα αἱ Χριστῷ προσερχόμεναι ψυχαί, αἱ μὲν οὔπω καιρὸν ἔχουσαι γάμου, νεανίδες εἰσὶν, αἱ δὲ συνελθοῦσαι αὐτῷ ἤδη ἀναχραθῆναι αὐταῖς· αἱ μὲν εὐγενίδες καὶ ὑπεραναβεβηκυῖαι τὸν ἐν ἓξ ἡμέραις γενόμενον κόσμον, ἑξήκοντά εἰσι βασίλισσαι· αἱ δὲ τὴν ὀκτοήμερον περιτομὴν λαβοῦσαι ἀκμὴν, τὸ τῆς δουλείας ἔχουσαι πνεῦμα, ὀγδοήκοντα παλλακίδες εἰσίν. Ἡ δὲ πάσας ὑπερέχουσα κατὰ τὸ πνεῦμα πεποιωμένη, ὥστ' εἶναι περιστερὰν, τελεία τοῦ Λόγου ἡ ἔνδοξος Ἐκκλησία ἐστὶν, ἡ μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων. Ταύτην τὴν Ἐκκλησίαν ὑμνῶν ὁ Ψαλμῳδὸς ἐν τοῖς πρὸ τούτου στίχοις, τὰ νῦν μετ' ἐκείνην φησὶν ἐνεχθήσεσθαι τῷ νυμφίῳ αὐτῆς Βασιλεῖ, τὰς πάλαι μὲν ὥραν συμβιώσεως οὐκ ἐχούσας, νῦν δὲ διὰ τὸ τετελειῶσθαι, προσαγομένας εἰς τὸν θάλαμον, ὅπως συγκαθευδήσασαι τῷ Βασιλεῖ ἀναληφθῶσιν εἰς τὸ μέλη γενέσθαι τῆς μιᾶς τελείας νύμφης, οὐκέτι ἄλλαι παρὰ ταύτης τυγχάνουσαι, ὡς ὅτε ἀτελεῖς ἦσαν.

B

Vers. 17. Ut fere omnia psalmi ad Christum dicuntur, ita quoque hic versiculus. Pro patribus quos secundum carnem habebas, scilicet circumcisionis, nati sunt tibi ex eodem genere filii, verbum evangelicum complexi: quos autem constituisti principes super omnem terram, dicens eis: « Euntes docete omnes gentes [63]. »

Στ. ιζ'. Ἐπεὶ πρὸς Χριστὸν λέγεται σχεδὸν τὰ πάντα τοῦ ψαλμοῦ, καὶ οὗτος ὁ στίχος λέγοι, Ἀντὶ ὧν εἶχες κατὰ σάρκα πατέρων, τουτέστι τῶν ἐκ περιτομῆς, ἐγενήθησάν σοι ἐκ τοῦ αὐτοῦ γένους υἱοὶ, προσηκάμενοι τὸν εὐαγγελικὸν λόγον· τούτους δὲ καὶ κατέστησας ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, φάσκων αὐτοῖς· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. »

Vers. 18. Propterea populi gratanter confitebuntur, non in unum vel secundum sæculum, sed et in sæculum sæculi: de peccatis enim confessio non in sæculum sæculi fit, non solum in hoc sæculo pœnitendi et confitendi locus. Si autem « memores erunt » habet juxta aliam Scripturam, pro illo, qui a te electi sunt ad imperandum, « memores erunt nominis tui in omni generatione et generatione, » regnum tuum in omnia sæcula extendentes.

C Στ. ιη'. Διὰ τοῦτο λαοὶ εὐχαριστικῶς ἐξομολογήσονται, οὐκ ἐφ' ἕνα ἢ δεύτερον αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὴν γὰρ ἐφ' ἁμαρτίαις ἐξομολόγησιν οὐ τὸν αἰῶνα τοῦ αἰῶνος αὕτη γίνεται (74), μόνον γὰρ ἐν τούτῳ τῷ αἰῶνι μετανοεῖν ἐξομολογεῖσθαι ὀΐόντε. Εἰ δὲ « μνησθήσονται » ἔχει καθ' ἑτέραν Γραφὴν, ἀντὶ τοῦ, Οἱ πρὸς σοῦ ἄρχειν κεχειροτονημένοι, « τοῦ ὀνόματός σου μνησθήσονται ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, » τῷ εἰς πάντας τοὺς αἰῶνας παρατείνειν σου τὴν βασιλείαν.

PSALMUS XLV.

Vers. 1. Solet obscure dicta consulto arcana vocare. Etenim juxta illud Dei sapientia mysterio abdita est: sic et thesauri sapientiæ et scientiæ absconditi dicti sunt [64]. Est igitur et illorum arcanorum finis vel terminus, sive ut celent indignos D divinorum scientiam, sive ut populi divinæ studiosiores scientiæ, laboribus et exercitationibus scipsos observantes propositum consequantur.

Στ. α'. Ἔθος τὰ ἀσαφῶς λεγόμενα δι' οἰκονομίαν τινὰ κρύφια καλεῖν. Κατὰ τοῦτο γὰρ καὶ ἡ τοῦ Θεοῦ σοφία ἐν μυστηρίῳ ἀποκεκρυμμένη ἐστίν· οὕτω καὶ οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι εἴρηνται. Ἔστιν οὖν καὶ τούτων τῶν κρυφίων τέλος οἱονεὶ σκοπὸς, ἤτοι τὸ λαθεῖν τοὺς ἀναξίους τὴν τῶν θείων γνῶσιν, ἢ οἱ λαοὶ (75) πόθον ἔχοντες καταλήψεως τῆς θείας γνώσεως, πόνοις καὶ ἀσκήσεσιν ἐπιδόντες ἑαυτοὺς τύχωσι τοῦ σκοποῦ.

Vers. 2. Non omnium est Deus refugium, solum autem eorum qui humana auxilia repudiaverunt: horum enim securitas et virtus fit participatione illius, juxta Apostolum dicentem: « Omnia possum in eo qui me confortat, Christo [65], » et illud: « Quæ invenerunt nos nimis, » sive ad « auxilia, » sive ad « tribulationes » referri potest.

Στ. β'. Οὐ πάντων ἐστὶν ὁ Θεὸς καταφυγὴ, μόνον δὲ τῶν ἀποταξαμένων ταῖς ἀνθρωπίναις ἐπικουρίαις· τούτων γὰρ ἀσφάλεια γίνεται καὶ δύναμις, τὸ μετέχειν αὐτοῦ κατὰ τὸν Ἀπόστολον εἰρηκότα, « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ· » τὸ δὲ, « ταῖς εὑρούσαις ἡμᾶς σφόδρα, » ἢ πρὸς τὸ « βοηθὸς » ἀποδοτέον, ἢ πρὸς τὸ « θλίψεσιν. »

[62] Ephes. v, 27. [63] Matth. xxviii, 19. [64] Coloss. ii, 3. [65] Philipp. iv, 13.

(74) *Τὴν γὰρ ... αὕτη γίνεται.* Aliqua, ni fallor, desiderantur. Mox lege μετανοεῖν [καὶ] ἐξομολογεῖσθαι. Edit.

(75) Cod. ναοί.

Digitized by Google

Στ. γ'. Ὄρη μετατιθέμενα ἐν καρδίαις θαλασσῶν, οὐ τὰ αἰσθητὰ τυγχάνοντα μέρη γῆς ἡγητέον, ἀλλὰ πονηρὰς δυνάμεις μετατιθεμένας εἰς τὰς τεταραγμένας ὑπὸ τρικυμιῶν παθῶν ψυχὰς, ἔνθα ἅλμυρόν τι καὶ πικρότης ἠθῶν. Ἀμέλει καὶ ὁ Σωτὴρ πρὸς τοὺς μαθητὰς, « Ἐὰν ἔχητε, » ἔφη, « πίστιν ὡσεὶ κόκκον σινάπεως, » οὐ μόνον τὸ τῆς συκῆς ποιήσεται, ἀλλὰ « κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, οὐδὲν ἀδυνατήσει ὑμῖν. » Δεικνύμενον δὲ ὄρος ὑπὸ τοῦ Σωτῆρος, οὐκ ἄλλο τῆς ἀντικειμένης δυνάμεως· καὶ γὰρ περὶ τοῦ κινοῦντος τὸν σεληνιασμὸν (76) δαίμονος πάλιν εἶπεν· « Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μεταβῆναι ἐντεῦθεν ἐκεῖ. » Ἔοικε δὲ τὴν τελειοτάτην πίστιν κόκκῳ σινάπεως παραβάλλειν. Καὶ γὰρ ὁ Ἀπόστολος· « Ἐὰν ἔχω, » φησὶν, « πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν. »

Vers. 3. Montes in corde maris translatos ne putes sensibiles esse terræ partes, sed pravas potestates in animis passionum æstu conturbatis translatas, ubi morum muria est et amaritudo. Similiter et Salvator ad discipulos ait : « Si habueritis fidem sicut granum sinapis, » non solum de ficulnea facietis, « sed et si monti huic dixeritis : Tolle et jacta te in mare, nihil impossibile erit vobis [66]. » Quem hic ostendit Salvator montem, adversa potestas est : etenim de cruciante lunaticum dæmonio rursus dixit : « Si habueritis fidem sicut granum sinapis, dicetis monti huic : Transi hinc illuc [67]. » Videtur autem grano sinapis perfectam æquiparare virtutem. Etenim Apostolus ait : « Etsi habuerim fidem adeo ut transtulerim montes [68]. »

Στ. δ'. Τῇ Χριστοῦ κραταιότητι ἐταράχθη τὰ πονηρὰ πνεύματα ψυχῶν καὶ σωμάτων τῶν προκατεσχημένων ἐλαυνόμενα· μέγα γὰρ ἐφ' ἑαυτοῖς τὰ ὄρη ταῦτα φρονοῦντες, ἐξαπιναίως ἰδόντα τὸν μετ' ἐξουσίας ἐλαύνοντα ἐνέπεσον εἰς ταραχήν.

Vers. 4. Christi fortitudine conturbati sunt perversi spiritus animas et corpora coercentes stimulisque urgentes : magnopere enim secum montes illi meditantes, se videntes subito vi multa abductos, in conturbationem inciderunt.

Στ. ε'. Πόλιν Θεοῦ ἤτοι τὴν Ἐκκλησίαν, ἢ τὴν Ἱερουσαλὴμ τὴν ἐπουράνιον νομιστέον λέγεσθαι. Ταύτην τὴν ἑκατέρως χρηματίζουσαν πόλιν Θεοῦ εὐφραίνουσιν τὰ ὁρμήματα τοῦ ποταμοῦ· ποταμὸς δέ ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, ὁ ἐξ Ἐδὲμ τῆς θείας τρυφῆς ἐκπορευόμενος, καὶ πάντα τὸν πνευματικὸν παράδεισον ἐπαρδόμενος, καὶ πάντας καλῶν πρὸς ἑαυτόν· « Εἴ τις διψᾷ ἐρχέσθω πρὸς μὲ καὶ πινέτω. » Ὁρμήματα δ' αὐτοῦ αἱ κατὰ μέρος διδασκαλίαι, ἢ ἔννοιαι ἃς ὑποβάλλει τῇ ψυχῇ.

Vers. 5. Civitatem Dei sive Ecclesiam, sive Jerusalem cœlestem designari existimandum est. Hanc utramque nominatam civitatem Dei lætificant fluminis impetus : flumen autem Dei Verbum, quod ex Eden, divinis deliciis profluit, omnemque spiritalem irrigat paradisum, omnesque ad se vocat : « Si quis sitit, veniat ad me et bibat [69]. » Impetus autem ejus aliquo modo doctrinæ sunt, sive cogitationes quas animis suggerit.

Διδύμου καὶ Βασιλείου. — Σκήνωμα δὲ τοῦ Ὑψίστου νοήσεις καὶ τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ Θεοῦ. Συνῳδὸν τούτῳ τό· « Γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. » Δίδωσι δὲ τῇ πόλει τὴν βοήθειαν ἐν ταῖς πρώταις ἀνατολαῖς τοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης ἡμέραν ἐμποιοῦντος τῷ δεξαμένῳ, καὶ τῆς νυκτὸς τῆς ἀγνωσίας αὐτὸν ἀπαλλάττοντος. « Ἡ νὺξ γὰρ προέκοψε, φησὶν, ἡ δὲ ἡμέρα ἤγγικεν. » Ἡ τάχα ἐπειδὴ ὄρθρου βαθέος ἡ ἀνάστασις ἦν, αὐτὴν καλεῖ τὴν βοήθειαν. — Ὁ Ὕψιστος κατ' οὐσίαν ἅγιος ὑπάρχων, μεταδοτικὸς ἁγιότητός ἐστιν· ὅθεν ἁγιάζει πάντας τοὺς ἐν οἷς κατασκηνοῖ, σκήνωμα αὐτοῦ καλουμένους. Δύναται δὲ καὶ ὃ ἀνέλαβεν σῶμα ἐκ τῆς Παρθένου, σκήνωμα αὐτοῦ τυγχάνον ἁγιάζειν ἐν αὐτῷ γεγενημένου.

Didymi et Basilii. — Tabernaculum Altissimi reputetis manifestationem Dei per carnem. Cui consonat illud : « Quod nascetur sanctum Filius Dei vocabitur [70]. » Dat autem civitati auxilium in primis ortibus luminis solis justitiæ diem efficientis ei qui acceperit et e nocte ignorantiæ ejicientis eum. « Nox enim præcessit, ait, dies autem appropinquavit [71]. » Cum enim primo diluculo resurrectio facta est, eam auxilium vocat. — Altissimus cum essentia sit sanctus, sanctitatis largitor est : unde sanctificat omnes in quibus commoratur, tabernaculum ipsius vocatos. Potest quoque et quod accepit corpus a Virgine, tabernaculum ejus videri, quod sanctificatur ab intus.

Διδύμου καὶ Κυρίλλου. Στ. ς'. — Ἑτέρα δ' ἐστὶν Γραφὴ ἡ λέγουσα· « Βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ προσώπῳ. » Σώζει γὰρ αὐτῆς τὸ κάλλος ἄτρωτόν τε καὶ ἀπαράφθορον, τὸ νοητὸν δηλονότι ὅτ' ἂν ταραχὴν δέξηται ἀπὸ τῶν ἀντικειμένων. Ἕως μὲν γὰρ ἀδιάβλητον ἔχει τὴν πίστιν ἐν ἑαυτῇ ψυχὴ, καὶ τοὺς ἐξ ἁπάσης ἀρετῆς ὡραϊσμοὺς ἑαυτῇ περιτίθησιν, κάλλος ἔχει τὸ νοητὸν, ᾧ καὶ αὐτὸς ἐπιγάννυται Χριστός. Παρενεχθεῖσά γε μὴν τοῦ εἰδεχθὲς εἰκότος παραχρῆμα καὶ

Didymi et Cyrilli. Vers. 6. — Alia est Scriptura dicens : « Adjuvabit eam Deus vultu. » Servat enim ejus pulchritudinem intactam atque incorruptam, spiritalem scilicet, si quando adversariis commoveatur. Dum enim integram in se anima servaverit fidem, absolutæque virtutis ornamentis circumdederit se, pulchritudinem habuerit spiritalem, qua et ipse ornat eam Christus. Declinans autem a bono, deformis confestim atque invisa fit. Quod vero non

[66] Matth. xxi, 21. [67] Matth. xvii, 19. [68] I Cor. xiii, 2. [69] Joan. vii, 37. [70] Luc. i, 35. [71] Rom. xiii, 12.

(76) Σεληνιακόν? Edit.

Digitized by Google

patietur Ecclesia; servat enim ipsius pulchritudinem. « Deus, in medio ejus, non commovebitur, » propter inhærentem ipsi innocentiam. Commovetur enim a peccatoribus : unde et Adam post peccatum deambulans invenitur [73]; atque ait in Zacharia : « Ibit in tumultu minarum Dominus [74]. »

VERS. 7. Gentes agmina adversus eam pugnantium dæmonum appellat. Cum igitur hæc videbunt incarnatam Salvatoris manifestationem, conturbabuntur adversus ejus Ecclesiam, aut etiam timore implebuntur. Tunc autem fiet ut advocentur scelesta regna quibus regnavit mors et peccatum. Quod si regnum vocaveris eos qui reguntur, vocati sunt et illi ab errore ad veritatis cognitionem, et a malitia ad virtutem regressi; silente enim Deo, firmitatem ac stabilitatem habere videntur terrestria et corporalia : quæ autem commoventur, cum Deus vocem suam dederit. Namque si Deus in mente clamaverit, protinus commovetur quidquid est in ea terrestre. Postquam Deus per Evangelium vocem dedit, « mota est terra, » mutatis in ea consuetudinibus, legibus, supellectilibus patriis, et quidquid impio inficitur errore in gentibus regnisque inclinatis commotæ terræ. Nos autem confidimus, nobiscum habentes potestatum Dominum, sospitatorem nostrum Deum Jacob. Sicut qui facit opera Abraham, ejus est filius [75], sic qui Jacob exercitationem imitatur, filius ejus fit, auxilium habens a Deo Jacob.

VERS. 9. Vocat autem Spiritus sanctus ad eorum contemplationem acute perspicientes his verbis, « venite, » ad accedendum; illis autem, « videte » ad veritatem attente considerandam invitat. — Impleverunt quoque prodigiis universam terram apostoli ultro citroque commeantes, ab eo facta enarrantes, et in nomine ejus mirabilia facientes. Potest quoque Spiritus vocare gentes ut mirabilium quæ in creatione apparent contemplatione, hujus creatorem agnoscant.

VERS. 10. Veniens evertensque diabolum mortis potestatem habentem, cæterasque pravas potestates, « abstulit bella usque ad finem terræ, » id est ad eos qui finem terrestribus desideriis imposuerunt. « Conterens arcum, » ex quo jaculatæ sunt ignitæ maligni sagittæ; sed etiam igni comburet scutum infidelitatis fidei scuto adversatum.

ἀτερπὲς ἔχει. Ἀλλ' οὐ πείσεται τοῦτο, φησίν, ἡ Ἐκκλησία· σώζει γὰρ αὐτῆς τὸ κάλλος. « Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς μὴ σαλευόμενος » διὰ τὴν προσοῦσαν αὐτῇ ἀναμαρτησίαν. Σαλεύεται γὰρ ἀπὸ τῶν ἁμαρτανόντων· ὅθεν καὶ τῷ Ἀδὰμ μετὰ τὸ ἁμαρτεῖν περιπατῶν εὑρίσκεται· καὶ ἐν τῷ Ζαχαρίᾳ φησίν· « Πορεύσεται ἐν σάλῳ ἀπειλῆς ὁ Κύριος. »

Στ. ζ'. Ἔθνη τὰ στίφη τῶν κατ' αὐτῆς στρατευομένων δαιμόνων ὀνομάζει. Ὅτ' ἂν οὖν ταῦτα θεάσωνται τοῦ Σωτῆρος τὴν ἔνσαρκον ἐπιφάνειαν, ταράττονται κατὰ τῆς αὐτοῦ Ἐκκλησίας, ἢ καὶ δέους πληροῦνται. Τηνικαῦτα δὲ ἀκολουθήσει καὶ τὸ κληθῆναι τὰς ψεκτὰς βασιλείας καθ' ἃς ἐβασίλευσεν ὁ θάνατος καὶ ἡ ἁμαρτία. Εἰ δὲ καὶ βασιλείαν λέγοις τοὺς βασιλευομένους, ἐκλήθησαν καὶ οὗτοι ἐκ πλάνης εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἐκ κακίας εἰς ἀρετὴν ῥέψαντες· τοῦ γὰρ Θεοῦ σιωπῶντος, βεβαιότητα καὶ στάσιν ἔχειν δοκεῖ τὰ γήϊνα καὶ ὑλικὰ πράγματα κλονούμενα Θεοῦ φωνὴν δεδωκότος. Ὅτ' ἂν γὰρ ὁ Θεὸς ἐμβοήσῃ τῇ διανοίᾳ, εὐθὺς μετακινεῖται ταύτης πᾶν εἴ τι γεῶδες· Θεοῦ τὴν κατὰ τὸ Εὐαγγέλιον φωνὴν δεδωκότος, « ἡ γῆ σεσάλευται, » μετατιθεμένων ἁπάντων τῶν ἐπ' αὐτῆς ἐθῶν νομίμων, πατρίων χρηστηρίων, καὶ εἴ τι ἕτερον τῆς δυσσεβοῦς ἁπάτης ταραττόμενον τῶν ἐθνῶν καὶ κλινουσῶν τῶν βασιλειῶν τῆς γῆς σαλευομένης. Ἡμεῖς θαῤῥοῦμεν μεθ' ἑαυτῶν ἔχοντες τὸν τῶν δυνάμεων Κύριον ἀντιλαμβανόμενον ἡμῶν τὸν Θεὸν Ἰακώβ. Ὥσπερ δὲ ὁ ποιῶν τὰ ἔργα τοῦ Ἀβραὰμ τέκνον αὐτοῦ ἐστιν, οὕτως ὁ τὴν ἄσκησιν τοῦ Ἰακὼβ μιμούμενος τυγχάνει υἱὸς αὐτοῦ, ἀντίληψιν ἔχων παρὰ τοῦ Θεοῦ Ἰακώβ.

Στ. θ'. Καλεῖ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ τὴν τούτων κατανόησιν τοὺς ὀξὺ καθορῶντας διὰ τοῦ « δεῦτε, » συνεγγίζειν αὐτούς· διὰ δὲ τοῦ « ἴδετε, » ἀτενίζειν τῇ ἀληθείᾳ παρασκευάζων. — Ἐπλήρωσαν δὲ καὶ τεράτων τὴν οἰκουμένην οἱ ἀπόστολοι πανταχῇ διατρέχοντες, τά τε δι' αὐτοῦ γεγονότα διηγούμενοι, καὶ ἐν ὀνόματι αὐτοῦ θαυματουργοῦντες. Δύναται καὶ καλεῖν ὁ λόγος τὰ ἔθνη ἐκ τῶν ὁρωμένων περὶ τὴν κτίσιν θαυμάτων τὸν ταύτης ἐπιγνῶναι δημιουργόν.

Στ. ι'. Ἐλθὼν καὶ καταλύσας διάβολον τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τὰς ἄλλας πονηρὰς δυνάμεις, « ἀντανεῖλεν πολέμους ἕως τῶν περάτων τῆς γῆς, » τουτέστιν τῶν περασάντων ἀπὸ τῶν γηΐνων, « Συντρίβων τὸ τόξον, » ἀφ' οὗ ἠφίετο τὰ πεπυρωμένα τοῦ πονηροῦ βέλη· ἀλλὰ καὶ πυρὶ κατακαύσει τὸν θυρεὸν τῆς ἀπιστίας ἐναντίως ἔχοντα τῷ θυρεῷ τῆς πίστεως.

PSALMUS XLVI.

VERS. 2. Cum quidem manus pro gestis sæpius usurpentur, agerentque gentes diversa juxta patriorum morum diversitatem ante incarnationem, Salvator apud homines commoratus, jubet fieri plausum, id est practicarum virtutum gentium symphoniam, quæ allegorice manus vocantur. — Non sola ad salutem sufficit in agendo concordia, nisi et

Στ. β'. Ἐπεὶ αἱ χεῖρες ἀντὶ τῶν πράξεων πολλάκις εἴρηνται, ἔπραττε δὲ τὰ ἔθνη διάφορα κατὰ τὰ ποικίλα πάτρια πρὸ τῆς ἐπιδημίας, ὁ Σωτὴρ εἰς ἀνθρώπους φοιτήσας προστάττει χρόνον γενέσθαι, τουτέστιν συμφωνίαν τῶν πρακτικῶν δυνάμεων τῶν ἐθνῶν τροπικῶς χειρῶν ὀνομαζομένων. — Οὐ μόνον ἀπαρκεῖ πρὸς σωτηρίαν πράξεως συμφωνία, εἰ μὴ

[73] Gen. III, 8. [74] Zach. XIV, 13. [75] Joan. VIII, 39.

Digitized by Google

καὶ φρόνημα ὀρθὸν σὺν τούτοις εἴη· διὸ καὶ ἀλαλάζειν ἐν φωνῇ ἀγαλλιάσεως μετὰ τοῦ κρότου προστάττει τοῖς ἔθνεσιν. — Οὐκ ἀμφίβολον εἰ τῶν ὑπερκειμένων βασιλεύει. Περὶ τῆς γῆς δὲ ἀμφιβαλλόντων τινῶν, εἰ καὶ αὐτῆς κρατεῖ, λέγεται προκείμενος στίχος, καὶ μάλιστα διὰ τοὺς περιγράφοντας τὴν πρόνοιαν μέχρι τῆς σεληνιακῆς σφαίρας (77), οὐ βουλομένους τὰ ἐπὶ γῆν ὑπὸ πρόνοιαν εἶναι.

Στ. γ'. Ἔστιν δὲ φοβερὸς καὶ τῷ σεβάσμιος εἶναι, ὡς εὐλάβειαν εἰς αὐτοὺς ἔχειν τοὺς ἐννοοῦντας αὐτόν.

Στ. δ'. Νοήσεις δὲ καὶ οὕτως· ὑπέταξεν τοῖς ἁγίοις ἀποστόλοις τοὺς ἐκ περιτομῆς λαούς, καὶ τὰ ἔθνη ὑπὸ τοὺς πόδας αὐτῶν, πάντων ἀνθρώπων ἄρχοντας καὶ διδασκάλους χειροτονήσας αὐτούς.

Στ. ε'. Ἐκλεξάμενος τὴν κληρονομίαν αὐτοῦ, οὐχ ἑτέραν οὖσαν τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰακὼβ τὴν ἐκλογὴν, ἣν αὐτὸς ἐκλεξάμενος ἠγάπησεν. Ἰακὼβ δὲ τὸν πάντα λαὸν τῶν Ἑβραίων φησίν· ἐκ τούτου γνωρίζεται τὸ ἀπροσωπόληπτον τοῦ Θεοῦ, τὴν καλλονὴν οὐκ ἄλλο τι τοῦ Ἰακὼβ ἀγαπήσαντος. Ἐν παντὶ γὰρ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν.

Στ. ς'. Φωνὴ δὲ ἄσημος καταπεσόντων πολεμίων ὁ «ἀλαλαγμὸς,» ἐνῷ ἄνεισιν αὐτός. Ἀναβαίνει δὲ ὑπεράνω τῆς νοήσεως ἡμῶν εὑρισκόμενος. Ἔοικεν τὴν μεγαλοφωνίαν καὶ τὸ διάφορον τῶν δογμάτων φωνὴ σάλπιγγος ὀνομάζεσθαι· ἐπὶ γὰρ τοῦ φανεροῦ καὶ ἐν τῷ Εὐαγγελίῳ σάλπιγξ λαμβάνεται, ὡς ἐν τῷ λέγειν· « Σὺ δὲ ποιῶν ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, » ὅ ἐστιν, μὴ φανερώσῃς.

Στ. ζ'. Τὸν ψάλλοντα δεῖ καὶ νόησιν τῶν προφερομένων ἐν τῇ ᾠδῇ ἔχειν· οὐ γὰρ περὶ τὴν κλάσιν καὶ τὸ μέλος τῆς φωνῆς καταγίνεσθαι προηγουμένως δεῖ, ἀλλὰ συνεῖναι τὰ ψαλλόμενα. Τοὺς γὰρ μὴ οὕτω ψάλλοντας, ἀλλὰ μόνον ἦχον ἀποτελοῦντας παραιτεῖται Θεὸς λέγων· « Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. » Ψάλλει δὲ συνετῶς ὁ πράττων κατὰ τὰ θεῖα παιδεύματα, καὶ νοῶν αὐτά.

Στ. ι'. Οἱ τῶν λαῶν ἄρχοντες, ἢ οἱ ἀπόστολοι, ἢ οἱ ἡγούμενοι τῶν Ἐκκλησιῶν, εἰσὶ συναγόμενοι μετὰ τοῦ Ἀβραὰμ, ἵνα προσάγωσιν τοὺς πρὸς αὐτῶν ὠφελουμένους λαούς· καὶ γὰρ αὐτῶν Θεός ἐστιν τέκνων γενομένων τοῦ Ἀβραάμ. Ἐπίστησον δὲ εἰ ἄρχοντες τῶν λαῶν εἶναι δύνανται ἄγγελοι περὶ ὧν εἴρηται· « Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. » Οἵτινες καὶ συνάγονται μετὰ τοῦ Θεοῦ Ἀβραὰμ, ἐπεὶ διὰ πίστεως υἱοποιήθησαν τῷ Ἀβραὰμ αἱ μερίδες ὧν τυγχάνουσιν ἄρχοντες. «Κραταιοὶ τῆς γῆς,» οἱ ἐξ αὐτῶν ὀρθῶς πολιτευσάμενοι, ἐπαιρόμενοι τῷ ἄνω φρονεῖν, τῷ τὰ ἄνω ζητεῖν. Οὗτοι γὰρ σφόδρα ἐπαρθέντες γνώσει θείᾳ, καὶ ἀρετῇ μετεωριζόμενοι, τοῦ Θεοῦ γεγένηνται· οἱ γὰρ κραταιοὶ τῆς γῆς, τοῦ Θεοῦ κτῆμα γεγενημένοι, ἐπήρθησαν.

cogitatio recta adjiciatur : ideoque jubilare in voce exsultationis cum plausu jubet gentes.—Non dubium est eum super cœlestia regnare. Nonnullis autem dubitantibus num etiam super terram dominetur, præpositus versiculus commendatur, et præsertim propter illos qui usque ad orbem lunæ providentiam circumscribunt, nolentes terrestria sub providentia esse.

Vers. 3. Terribilis est quia venerabilis; quare cautiores sunt in se qui meditantur eum.

Vers. 4. Hæc sic intelliges. Subjecit sanctis apostolis circumcisionis populos, et gentes sub pedibus eorum, cum ordinaverit eos omnium hominum rectores et dominos.

Vers. 5. Eligens hæreditatem suam, quæ non alia est ac Israel et Jacob electio, quam a se electam dilexit. Jacob autem omnem Hebræorum populum dicit : ex quibus videtur Deus neminem eximium habens, qui pulchritudinem non quidvis aliud Jacob dilexit. In omni enim gente qui veretur eum et operatur justitiam, ei acceptus est.

Vers. 6. Confusus clamor concidentium hostium «jubilatio» est, in qua ascendit ipse. Ascendit autem super intellectum nostrum inventus. Videtur magna claraque vox dogmatum, vox tubæ nominari : tuba enim et in Evangelio pro manifestatione usurpatur, sicut in eo : « Cum facis eleemosynam, ne tuba canas ante te [75], » id est, ne manifestes.

Vers. 7. Psallentem necesse est et sensum eorum quæ in hymnis proferuntur, intelligere; non enim curam adhibere eum præcipue vocis modulationibus et harmoniæ oportet, sed iis quæ decantat intelligendis. Qui enim non ita psallunt, sed solummodo edendum curant sonum, hos rejicit Deus dicens : « Remove a me sonum canticorum tuorum et psalmum organorum tuorum non audiam. » Psallit autem intelligenter qui secundum divina præcepta agit, eaque meditatur.

Vers. 10. Populorum principes, vel apostoli, vel duces Ecclesiarum, congregati sunt cum Deo Abraham, ut adducant subjectos sibi populos : etenim eorum Deus est natorum Abrahami. Videamus quoque an populorum principes esse possint angeli de quibus dictum est : « Constituit fines gentium juxta numerum angelorum Dei [76]. » Qui quidem et congregantur cum Deo Abraham, cum fide filii facti sint Abrahami partes quarum erant principes. « Fortes terræ, » qui prospere ipsi res gerentes, elevati sunt, quæ sursum sunt sapientes quærentesque [77]. Qui enim vehementer elevati divina scientia, et virtute sublimes, filii Dei facti sunt : fortes enim terræ, Dei adeptio facti, elevati sunt.

[75] Matth. VI, 2. [76] Deut. XXXII, 8. [77] Coloss. III, 1, 2.

(77) Nempe Aristoteles. Cf. adnot. ad Cyrilli Alex. explan. in psal. XXXV, v. 6.

Digitized by Google

PSALMUS XLVII.

Vers. 2. Magnus esse et laudabilis nimis non ubique ostenditur, verum in Dei civitate, seu Ecclesia sancta, cœlesti Jerusalem. Hæc autem civitas non humilis est, neque in loco demisso et cavo, sed in monte præsertim sancto sita est. Qui vero sanctus mons, seu perfectissima virtus et scientia Dei, Verbum est. Etenim ipse hujus civitatis fundamentum, sicut et architectus.

Στ. β'. Τὸ μέγας εἶναι καὶ αἰνετὸς σφόδρα, οὐ πανταχοῦ ἐπιδείκνυται, ἀλλὰ ἐν τῇ τοῦ Θεοῦ πόλει, ἤτοι τῇ ἁγίᾳ Ἐκκλησίᾳ, τῇ ἐπουρανίῳ Ἱερουσαλήμ. Αὕτη δὲ ἡ πόλις οὐ χαμαίζηλος οὐδὲ ἐν τόπῳ ταπεινῷ καὶ κοίλῳ, ἀλλ' ἐν ὄρει μάλιστα ἁγίῳ ἵδρυται. Τοῦτο δὲ τὸ ἅγιον ὄρος, ἤτοι ἡ τελειοτάτη ἀρετὴ καὶ γνῶσις τοῦ Θεοῦ, Λόγος ἐστίν· καὶ γὰρ αὐτὸς θεμέλιος ταύτης τῆς πόλεως, ὥσπερ καὶ οἰκοδόμος.

Vers. 3. Universæ terræ exsultatio multa habens eximiaque fundamenta, non alia est profecto ac dicentis : « Ego sum vitis vera [78]. » Ipse enim jubilatio est universæ terræ, auctorque et dux omnis jubilationis. — Civitates magni Regis æquum est esse animas gravidas ex eo qui sponsus earum est, quæ et forma induentes suscepta ex eo semina, sunt in parturitionis tempore. Nescio qua mente agitati quidam existimaverint hoc in loco quæ passus sit Salvator indicari : aiunt enim crucifixum fuisse Salvatorem in aquilonis lateribus Sion, cum sit ibi Calvarii locus. Nos vero dicimus juxta multas Scripturas aquilonem eumdem esse ac diabolum, juxta illud : « Exsurge, aquilo, et egredere, note [79]. » Hujus igitur latera improbi sunt homines, sicut et latera principis dicunt satellites ejus. Atqui scelesti homines, diaboli satellites ejusque latera cum olim essent, si hunc projicientes ad virtutem red.... Sion vocari, sed montes ejus ostendi. Paulus igitur cum persecutor esset, latus erat aquilonis; conversus autem mons Ecclesiæ, nempe Sion, vocatus est. Et cum mulier latus dicatur, et latera quæ nubunt cum diabolo latera ejus isto connubio sunt; montes autem Sion conversione fiunt. Unde et civitas ejus magni Regis Christi vocata est.

Στ. γ'. Τὸ πάσης τῆς γῆς ἀγαλλίαμα εὔριζον καὶ ἀγαθὰς ῥίζας ἔχον, ἐστὶν τάχα οὐχ ἕτερον ὂν τοῦ εἰπόντος, « Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή. » Αὐτὸς γάρ ἐστιν τὸ ἀγαλλίαμα πάσης τῆς γῆς, αἴτιος καὶ χορηγὸς τυγχάνων ἀγαλλιάσεως. — Πόλεις τοῦ μεγάλου Βασιλέως εἰκὸς εἶναι ψυχὰς ἐγκύμονας ἀπ' αὐτοῦ, ὄντος καὶ νυμφίου, γεγενημένας, αἳ καὶ μορφώσασαι τὰς παρ' αὐτοῦ καταβεβλημένας γονάς, καιρὸν ἔχουσιν ἀποτέξεως. Οὐκ οἶδ' ὁπόθεν κινηθέντες τινὲς ᾠήθησαν ἔνθα πέπονθεν ὁ Σωτὴρ σημαίνεσθαι ἐκ τῆς προκειμένης λέξεως· φασὶ γὰρ τὸν Σωτῆρα ἐσταυρῶσθαι ἐν τοῖς βορείοις πλευροῖς τῆς Σιών, ἐκεῖσε τυγχάνοντος τοῦ κρανίου τόπου. Ἡμεῖς δὲ φαμὲν ἑπόμενοι πολλαῖς Γραφαῖς, τὸν βορρᾶν οὐκ ἄλλον εἶναι, ἢ τὸν διάβολον, κατὰ τὸ, « Ἐξεγείρου, βορρᾶ, καὶ ἔρχου, νότε. » Τούτου οὖν πλευρὰ οἱ πονηροὶ ἄνθρωποι, ὥσπερ καὶ ἄρχοντος πλευρὰ φασὶν τοὺς δορυφόρους αὐτοῦ. Οἱ πονηροὶ οὖν ἄνθρωποι, οἱ δορυφοροῦντες τὸν διάβολον, πλευρὰ αὐτοῦ πρότερον ὄντες, εἰ τοσοῦτον (78) μεταβάλλοντες κατὰ ἀρετὴν διεπρε.. Σιὼν χρηματίσαι, ἀλλ' ὄρη αὐτῆς ἀποδειχθῆναι. Παῦλος οὖν ὅτε διώκτης ἦν, πλευρὰ τυγχάνων τοῦ βορρᾶ, μεταβαλλόμενος ὄρος τῆς Ἐκκλησίας τυγχανούσης Σιὼν ἐχρημάτισεν. Καὶ ἐπεὶ ἡ γυνὴ πλευρὰ λέγεται, καὶ αἱ γενόμεναι πλευραὶ σύζυγοι τῷ διαβόλῳ πλευραὶ αὐτοῦ τυγχάνουσαι τῇ πρὸς ἐκεῖνον κοινωνίᾳ, ὄρη τῆς Σιὼν διὰ μεταβολῆς γεγένηνται. Ὡς καὶ πόλιν αὐτοῦ τοῦ μεγάλου Βασιλέως Χριστοῦ χρηματίσαι.

Vers. 5. In civitatem reges ingressi, atque in eam « congregati convenerunt in unum, » eadem mente, eadem sententia unanimes. Sunt autem reges illi qui secundum Deum regnaverunt, qualis erat Abraham, ad quem dixerunt nonnulli, etsi non corporaliter regnantem : « Rex a Deo tu es in nobis. » Videntes isti illos, qui quondam latera erant aquilonis in tantam celsitatem provectos, ut montes Sion essent, admirati sunt attoniti adeo magnam spiritalis naturæ conversionem. Cum autem e perversis prudentes sapientesque factos quis viderit, commutationem miratus, commovebitur quoniam rursum cogitaverit illos, qui prudentes facti sunt et sapientes, posse relabi, id est de maxime in virtutem provectis reputans, perturbationem tumultumque in animo ponet, et ex timore tremor apprehendet eos. Cui consonat et illud :

Στ. ε'. Ἐν τῇ πόλει οἱ βασιλεῖς ἐληλυθότες, καὶ εἰς αὐτὴν « συναχθέντες ἐπὶ τὸ αὐτὸ γεγενημένοι, » καταρτισθέντες τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ. Εἰσὶν δὲ οἱ βασιλεῖς οὗτοι οἱ κατὰ Θεὸν βασιλεύσαντες, οἷος ἦν Ἀβραὰμ πρὸς ὃν εἶπόν τινες καίτοι οὐκ αἰσθητῶς βασιλεύοντα, « Βασιλεὺς παρὰ Θεοῦ σὺ εἶ ἐν ἡμῖν. » Οὗτοι ἰδόντες τοὺς πάλαι πλευρὰ ὄντας τοῦ βορρᾶ εἰς τοσοῦτον ὕψος ἀναβάντας, ὡς εἶναι τῆς Σιὼν ὄρη, ἐθαύμασαν ἐκπλαγέντες τὴν περὶ τὴν λογικὴν φύσιν γινομένην τροπήν. Ὅτ' ἂν δὲ καὶ ἐκ φαύλων σπουδαίους καὶ σοφοὺς γινομένους ἴδοι τις, θαυμάσας τὴν μεταβολήν, εἰσκοπήσει ὅτι ἀνάπαλιν ἐνδέχεται γενέσθαι τοὺς σπουδαίους καὶ σοφοὺς μεταπεσεῖν δυναμένους, τουτέστιν νοηθέντες καὶ τοῖς πάνυ προκόψασιν κατ' ἀρετὴν, τάραχον ἐμποιήσει καὶ κλόνον, ὡς τὸν ἐκ δέους τρόμον ἐπιλαβέσθαι αὐτῶν. Τούτῳ συνῳδὸν τὸ, « Ἐν τόποις ἀσεβῶν στέ-

[78] Joan. xv, 1. [79] Cant. iv, 16.

(78) Legendum videtur : εἰς τοσ. μετ. κατ. ἀρ. διέπρε [πον, ὥστε οὐχ ὅτι] Σιὼν χρηματίσαι, etc. Edit.

Digitized by Google

νουσιν δίκαιοι· » ἐκείνων πιπτόντων, κατάφοβοι γίνωνται.

Στ. η'. Πρὸς διάνοιαν, πλοῖα τῶν ψυχῶν τὰ σώματα πολλαχοῦ τῆς Γραφῆς λέγεται, ὥσπερ καὶ « οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις. » Ταῦτα οὖν τὰ σώματα αὐτοῖς συντρίβεται, τουτέστιν διαλύεται, ἵνα κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν ἄφθαρτα, ἰσχυρὰ, ἐπίδοξα, πνευματικὰ ἐκ φθαρτῶν, ἀσθενῶν, καὶ ἀτίμων καὶ ψυχικῶν γένηται. Οὐχ ἁπλῶς δὲ, ἀλλὰ Θαρσεῖς ἐστιν τὰ πλοῖα ταῦτα μεταλαμβανομένης (79) Ἑλλάδι φωνῇ.... «χαρᾶς.» Τότε γὰρ ἐπαινετῶς συντρίβεται τὰ σώματα ὑποπιεζόμενα καὶ νεκρούμενα, ὅταν κατασκοπῶσιν οἱ περικείμενοι αὐτὰ τὴν θείαν χαράν.

Στ. ια'. Ὄνομα τὴν θείαν δόξαν λέγειν ἔθος τῇ θείᾳ Γραφῇ. Ὑμνεῖται δὲ παρὰ τῶν βαώντων ὁ Θεὸς, « Τίς ὁμοιωθήσεταί σοι; » Πέρατα δὲ γῆς οὐ μόνον τὰς ἐσχατιὰς αὐτῆς ἡγητέον εἶναι, ἀλλὰ καὶ τοὺς περάσαντας ἀπὸ τῆς γῆς εἰς οὐρανὸν, ἐφ' οὓς τὸ ὄνομα καὶ ἡ αἴνεσις τοῦ Θεοῦ ἐφθασεν.

Στ. ιγ'. Τῆς ἐκκλησιαστικῆς γνώμης σκοπευτικῆς τῆς ἀληθείας τυγχανούσης, καὶ διὰ τοῦτο Σιὼν καλουμένης, τῇ φρονήσει περιλαβεῖν αὐτὴν προσήκει· ἵνα περινοήσαντες τὰ τῆς ἀληθείας δόγματα, ὡς ἐν κύκλῳ περιγράψωμεν αὐτὰ τῇ ἑαυτῶν νοήσει. Καὶ ἐπεὶ ἡ τοῦ Θεοῦ πόλις πάντοθεν ὠχύρωται διὰ τοὺς ἐπερχομένους πολεμίους καὶ πύργους ἐγκατεσκευασμένους ἔχει, ἀφ' ὧν ἐστιν κατασκοπῆσαι τοὺς ἐπερχομένους ἐχθροὺς, ἀνάγκη τοὺς ἐν τοῖς πύργοις ὄντας αὐτῆς διηγεῖσθαι. Συνᾴδει καὶ τὸ, « Ἐπὶ τῶν τειχέων σου κατέστησαν φύλακας, ἡμέρας καὶ νυκτὸς, οἳ διὰ τέλους οὐ σιωπήσονται, μιμνησκόμενοι Κυρίου. » Ταύτῃ καὶ ἡ σοφία ἐπ' ἄκρων τειχέων κηρύττεται. Θέσθε τοίνυν τὴν καρδίαν ὑμῶν, τουτέστι τὸν νοῦν ἐπιστημονικῶς ἐφιστάνοντες εἰς τὴν δύναμιν τῆς Σιὼν, αὕτη δ' ἐστὶν ἡ ἐκκλησιαστικὴ διδασκαλία, καὶ καταδιέλεσθε διαιρετικῶς ἑκάστοις ἐφιστάνοντες. Ὡς γὰρ ἔστιν λογικῶς διελεῖν τὰ ὄντα εἰς οὐσίαν καὶ συμβεβηκὸς, καὶ τὰ γένη εἰς εἴδη, οὕτω καὶ τὴν δύναμιν τῆς Σιὼν καταδιελεῖν εἰς τὰς βάρεις αὐτῆς δυνατόν. Βάρεις δὲ αὐτῆς αἱ καθ' ἕκαστον θεωρίαι ἐν αἷς οἰκεῖ τὰ τῆς εὐσεβείας δόγματα. Τοῦτο δὲ πράξητε ὅπως « διηγήσεσθε εἰς γενεὰν ἑτέραν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν. » Ἐπεὶ ἡ προτέρα γενεὰ ἡ τὴν πόλιν καὶ τὴν δύναμιν αὐτῆς παραλαβοῦσα, πονηρὰ καὶ μοιχαλὶς καὶ σκολιὰ καὶ διεστραμμένη ἐξ ἰδίας αἱρέσεως ἠλέγχθη. Ἐπιστήσαγτες τῇ δυνάμει τῆς πόλεως καὶ καταδιελόντες τὰς βάρεις αὐτῆς, γνώσεσθε τὰ περὶ τῆς κλήσεως τῶν ἁγίων, ἥτις ἐστὶν ἑτέρα γενεὰ παρὰ τὴν προτέραν· ἥπερ καὶ διηγήσεσθε, ὅτι οὗτος ὁ Θεός ἐστιν, ὁ τὰ προειρημένα παράδοξα ποιήσας, ἀποβαλὼν τὴν προτέραν γενεὰν, καὶ ἄλλην καὶ ἄλλους καλέσας. Οὗτος δὲ ὁ Θεὸς περὶ οὗ ἡ προκειμένη θεολογία, εἰ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχει εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ αὐ-

A « In locis impiorum gemunt justi: » istis enim labentibus, extimescunt.

Vers. 8. Ad sensum, naves animarum corpora plerumque in Scriptura dicuntur, sicut et « qui descendunt in mare in navibus. » Hæc igitur corpora iis conteruntur, id est, dissolvuntur, ut in resurrectionis tempore incorrupta, fortia, præclara, spiritalia ex corruptis, debilibus, humilibus, psychicis fiant. Non quælibet, sed Tharsis sunt hæ naves, scilicet « exsultationis, » si lingua Græca interpretemur.... Tunc enim laudabiliter conteruntur corpora defuncta et mortua, cum illi, a quibus incolebantur, divinam contemplantur lætitiam.

B Vers. 11. Dei nomine divina gloria solito destgnatur in sacra Scriptura. Celebratur autem Deus ab exclamantibus: « Quis similis erit tibi [80]? » Fines autem terræ non modo terminos ejus esse existimandum est, sed qui terra exsoluti in cœlis sunt, apud quos nomen et laus Dei prædicatur.

C Vers. 13. Speculativa Ecclesiæ doctrina cum sit veritas, et idcirco Sion vocetur, meditatione circumdare eam decet, ut complectentes veritatis dogmata, ea quasi in circulo inscribamus in mente nostra. Et cum Dei civitas undique munita sit propter adorientes hostes, paratasque turres habeat, a quibus invadentes inimicos speculandum est, necesse est in turribus incolentes narrare eas. Consonat et illud: « In mœnibus tuis constituerunt custodes die ac nocte, qui propter finem non silebunt, memores Domini. » Eodem sensu sapientia e jugis prædicatur. Ponite igitur cor vestrum, mentem scilicet sapienter constituentes in virtute Sion, quæ ecclesiastica est disciplina, et distribuite discriminatim singulis impertientes. Sicut enim æquum est entia in exsistentia et accidentia, et genera in species distribuere, sic et virtus Sion inter domus ejus dividi potest. Domus autem ejus sunt cujusque contemplationes in quibus pietatis consistunt dogmata. Hoc igitur agatis ut « enarretis in progenie altera, quoniam hic est Deus noster. » Prior cum generatio, civitatem virtutemque ejus accipiens, prava, adultera, dolosa, perversaque proprio motu D deprehensa est. Stantes igitur in virtute civitatis, et distribuentes domos ejus, noveritis de sanctorum vocatione, quænam sit altera generatio post priorem; atque enarrabitis quoniam hic Deus est, qui prædicta miracula operatus, priorem rejecit generationem, aliumque et alios vocavit. Hic autem Deus de quo præsens loquitur Scriptura, secundum eadem, et similiter sese habet in sæculum et in sæculum sæculi. Et ipse regit nos in sæcula, juxta illud quod dictum est: « Stabit, et videbit, et pascet gregem suum in virtute Dominus [81]. »

[80] Psal. LXXXII, 2. [81] Ose. IV, 16

(79) Legendum μεταλαμβανομένης (scilicet Θάρσεῖς), et mox θεωρία χαρᾶς, quæ est interpretatio vocis Hebraicæ Θαρσὶς vel Θαρσεῖς, scil. תַּרְשִׁישׁ. Edit.

Digitized by Google

τὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας, κατὰ τὸ εἰρημένον, « Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ π.ί-μνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος. »

PSALMUS XLVIII.

VERS. 3. Cum in gentibus quæ ad audiendum vocantur, aliæ quidem terrigenæ sint, omnino terrestria et corporalia sapientes; facti autem filii hominum sunt per scientiam et disciplinam, quicunque scientiis accuratisque verbis student. Vocat non modo vulgares brutosque homines, sed et peritos. Dicet : « Audite hæc qui in gentibus terrigenæ et filii hominum : » debitores enim magistri non modo sapientium sed et insipientium sunt.

A Στ. γ'. Ἐπεὶ ἐν τοῖς καλουμένοις ἔθνεσιν εἰς ἀκρόασιν, οἱ μέν εἰσιν γεώδεις ὅλοι τῆς ὕλης καὶ τοῦ γηΐνου φρονήματος, γεγενημένοι δὲ υἱοὶ ἀνθρώπων κατ' ἐπιστήμην καὶ παίδευσιν εἰσὶν ὅσοι μαθήμασιν καὶ λόγοις ἐξητασμένοις ἐπανέχουσιν. Καλεῖ δὲ οὐ μόνον τοὺς ἀγελαίους καὶ βοσκηματώδεις, ἀλλὰ καὶ τοὺς συνετοὺς, ἐρεῖ· « Ἀκούσατε ταῦτα οἱ ἐν τοῖς ἔθνεσιν γηγενεῖς καὶ ἀνθρώπων υἱοί· » ὀφειλεταὶ γὰρ οἱ διδάσκαλοι οὐ μόνον σοφῶν ἀλλὰ καὶ ἀνοήτων εἰσίν.

VERS. 4. Profero ex ore sapientiam, præmeditatus in corde prudentiam. Tunc enim extra culpam poterit quivis sapientem proferre sermonem, quando exercitatissimam intellectu habuerit mentem.

Στ. δ'. Προφέρω ἐκ στόματος τὴν σοφίαν, προμελετήσας ἐν καρδίᾳ σύνεσιν. Τότε γὰρ ἀλήπτως δυνήσεταί τις σοφὸν προσενέγκασθαι λόγον, ὅταν συγγεγυμνασμένην κατὰ σύνεσιν ἔχῃ τὴν διάνοιαν.

VERS. 6. Si igitur circumdabit me calcanei mei B iniquitas, id est a patre tradita, quam serpens infixit Adami calcaneo [83].

Στ. ς'. Εἰ ἄρα κυκλώσει με τῆς πτέρνης μου ἡ ἀνομία, οὐκ ἄλλη οὖσα τῆς πατροπαραδότου, ἧς ὁ ὄφις ἐνῆκεν τῇ πτέρνῃ τοῦ Ἀδάμ.

Didymi, Basilii, Origenis. VERS. 7, 8. — Extenditur ad terrigenas et divites : illos quidem, « in virtute sua; » hos vero, « in multitudine divitiarum suarum gloriantes. » Audite enim, qui propter corporis robur aut divitiarum obscuritatem putatis sufficere vobis. Redemptione nobis opus est ut liberemur a diaboli servitute. Oportet justam esse redemptionem, nec eodem genere quo captivi. Nullus enim homo flectere poterit diabolum, neque quivis pro fratribus exsolvens. Homo igitur neque propriis pro peccatis valet placationem dare Deo. Quid ei tam pretiosum est quod pro animæ suæ pretio dare possit? Ideo et ad imaginem illius qui C creavit eam facta est. Quam autem laborum summam faciet homo futura vita dignam? Quapropter satis hæc Scriptura deprimit hominum opinionem. Dici possunt et altiora de psychicis potestatibus, si quidem robur et divitiæ : nulla enim sibi anima ad salutem sufficit. Namque si quis perfectus sit in filiis hominum, deficiente quæ venit a Deo sapientia, pro nihilo reputabitur. Etsi divitias humanarum habeat scientiarum, discat propriam servitutem captivus peccato ductus : et quoniam nullus pro hominibus datus homo, in redemptionem quam amisit libertatis satis est. « Omnes enim peccaverunt, Deique gloria indigent, gratis justificati ipsius gratia, propter redemptionem ex Christo Jesu Domino nostro [84]. » Ne quæras igitur in redemptionem fratrem, vel simplicem hominem, sed hominem Deum Jesum Christum, qui solus placationem Deo pro nobis dare potest, quoniam eum proposuit Deus propitiatorium per fidem [85]. Cum Moyses eodem sanguine et frater esset Israel, nec eum redimere potuerit, quomodo quilibet homo redimet? Quare vox illa « redimet homo » indignantis inter-

Διδύμου, Βασιλείου, Ὠριγένους. Στ. ζ', η'. — Ἀπευθύνεται πρὸς τοὺς γηγενεῖς καὶ πλουσίους· τῶν μὲν τὸ « ἐπὶ τῇ δυνάμει, » τῶνδὲ τὸ « ἐπὶ τῷ πλούτῳ » φρόνημα καθαίρων. Ἀκούσατε γὰρ, φησὶν, οἱ διὰ σώματος ἰσχὺν ἢ πλούτου ἀδηλότητα νομίζοντες ἀρκεῖν ἑαυτοῖς. Λύτρων ἡμῖν δεῖ πρὸς τὸ ῥυσθῆναι τῆς τοῦ διαβόλου δουλείας. Δεῖ δὲ ἀξιόχρεων εἶναι τὸ λύτρον, καὶ οὐχ ὁμογενὲς τοῖς κατεχομένοις. Οὐδεὶς οὖν ἄνθρωπος πεῖσαι δυνήσεται τὸν διάβολον, οὐδὲ ὑπὲρ ἀδελφῶν τις διδόμενος. Ἄνθρωπος οὖν οὐδὲ ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων οἷόστε ἐστὶν ἐξίλασμα δοῦναι τῷ Θεῷ. Τί δὲ τοιοῦτον αὐτῷ ὡς ἀντιδοθῆναι τῆς τιμίας ψυχῆς; διότι καὶ κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὴν ἐγένετο. Ἢ πόσα κοπιῶν ἄνθρωπος ἄξιόν τι ποιήσει τῆς μελλούσης ζωῆς; διὰ τούτων ἱκανῶς ὁ λόγος καθαίρει τῶν ἀνθρώπων τὴν οἴησιν. Ῥηθείη δ' ἂν ὑψηλότερον περὶ τῶν ψυχικῶν δυνάμεων, εἴ τε ἰσχὺς καὶ ὁ πλοῦτος· οὐδεμία γὰρ ἑαυτῇ ψυχὴ πρὸς σωτηρίαν ἀρκεῖ. Καὶ γὰρ ἐὰν τέλειός τις ᾖ ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ Θεοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται. Κἂν πλοῦτον ἀνθρωπίνων ἔχῃ θεωρημάτων, μανθανέτω τὴν ἰδίαν δουλείαν αἰχμάλωτος ἠγμένος ὑπὸ τῆς ἁμαρτίας· καὶ ὅτι μηδεὶς ὑπὲρ ἀνθρώπων διδόμενος ἄνθρωπος, εἰς ἀνάληψιν ἧς ἀπώλεσεν ἐλευθερίας ἐστὶν ἱκανός. « Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ D Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. » Μὴ ζήτει τοίνυν εἰς ἀπολύτρωσιν ἀδελφὸν ἢ ψιλὸν ἄνθρωπον, ἀλλ' ἄνθρωπον Θεὸν Ἰησοῦν Χριστὸν, μόνον ἐξίλασμα δοῦναι δυνάμενον ὑπὲρ ἡμῶν τῷ Θεῷ, ὅτι αὐτὸν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως. Ὃν τῷ αὐτοῦ αἵματι ἀδελφὸς ἦν (80) τοῦ Ἰσραὴλ ὁ Μωϋσῆς, καὶ οὐκ ἠδυνήθη τοῦτον λυτρώσασθαι, πῶς οὖν ὁ τυχὼν λυτρώσεται ἄνθρωπος; Διὸ τὸ, « λυτρώσεται ἄνθρωπος, »

[83] Gen. III, 15. [84] Rom. III, 23, 24. [85] ibid. 25.

(80) Legendum videtur et distinguendum sic : ...διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι. Ἀδελφὸς ἦν... EDIT.

Digitized by Google

ἐρωτηματικὸν μετὰ βαρύτητος· οὐ γὰρ τῆς ἁμαρτίας ἠλευθέρωσεν ὁ Μωϋσῆς τὸν λαὸν, ἀλλὰ τοῦ Θεοῦ τὴν ἐπὶ τῇ ἁμαρτίᾳ κίνησιν παρῃτήσατο· ἀλλὰ καὶ γενόμενος ἐν παραπτώματι, οὐκ ἠδυνήθη παρασχεῖν ἐξίλασμα ὑπὲρ ἑαυτοῦ τῷ Θεῷ, ὅτε μετὰ τοσαῦτα καὶ τηλικαῦτα σημεῖα διστάζων ἔφη· « Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὕδωρ ὑμῖν; » διὸ φησὶν ὁ Θεός· « Διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς. » Ἐδόθη οὖν εἰς τιμὴν λυτρώσεως τῆς ψυχῆς ἡμῶν τὸ ἅγιον καὶ πολυτίμητον αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διόπερ καὶ τιμῆς ἠγοράσθημεν. Εἰ δὲ ἄνθρωπος οὐ λυτροῦται, ὁ λυτρωσάμενος ἡμᾶς οὐκ ἄνθρωπος μόνος, οὐ χρείαν ἔσχε δοῦναι τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ. Διότι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ὃς ἐλυτρώσατο ἡμᾶς οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων κατὰ τὸν Ἡσαΐαν, ἀλλ' ἐν τῷ ἑαυτοῦ αἵματι, οὐκ ἀδελφοὺς ἀλλ' ἐχθροὺς ἡμᾶς γενομένους τοῖς παραπτώμασιν. Καὶ μετὰ τὴν ἐλευθερίαν, ἣν χαρίζεται ἡμῖν, καὶ ἀδελφοὺς ἡμᾶς ἑαυτοῦ προσαγορεύει. « Ἀπαγγελῶ » γὰρ, φησὶ, « τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, » οὐ κατὰ φύσιν θεότητος ὑφ' ἧς ἐλυτρώθημεν, ἀλλὰ κατὰ συγκατάβασιν χάριτος, οὐ δεόμενος ἐξιλασμοῦ, ὢν αὐτὸς ἱλαστήριον. Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς ὅσιος, ἄκακος, ἀμίαντος, καὶ τὰ ἐπὶ τούτῳ. Ὅστις ὢν ἡ αὐτὴ ζωὴ, ἡ ἀκάματος φύσις, ἐκοπίασεν ἐν τῷ αἰῶνι τούτῳ· ἦν γὰρ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέσθη ἐπὶ τῆς πηγῆς.

Στ. ζ'. Πάντες οἱ γενητοὶ ὁμογενεῖς καὶ ἀδελφοί· οὐδεὶς δὲ τὸν ἑαυτοῦ ἀδελφὸν ἁμαρτάνοντα λυτρώσασθαι δύναται· μόνος γὰρ ὁ ἄνθρωπος ἐκεῖνος λυτρώσεται, περὶ οὗ εἴρηται· « Ἀποστελεῖ αὐτοῖς ἄνθρωπον, ὃς σώσει αὐτούς· » ὃς καὶ περὶ ἑαυτοῦ φησιν· « Νῦν δέ με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα. » Οὗτος δὲ ὁ ἄνθρωπος ἐπεὶ οὐκ ἔγνω ἁμαρτίαν οὐδὲ ἐποίησεν ἁμαρτίαν, οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ τὸ ὑπὲρ τῶν ἁμαρτανόντων διδόμενον· ἀλλ' οὐδὲ τιμὴν ὀρέξει λυτρώσεως αὐτοῦ τῆς ψυχῆς· κοπιάσας δὲ κατ' ἀρετὴν ζήσεται εἰς τέλος, οὐδεπώποτε ἔτι τεθνηξόμενος· δύναται δὲ καὶ περὶ τοῦ λυτρουμένου λέγεσθαι τὸ, « Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ· » οὐ γὰρ ἕκαστος περὶ ἑαυτοῦ οἱόστε ἐστὶν ἐξίλασμα δοῦναι, Χριστοῦ πάντας ἱλασκομένου ἐν τῷ ἰδίῳ αἵματι· ἀλλ' οὐδὲ δοῦναί τις τιμὴν ἱκανὸς τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, δόντος Χριστοῦ ὑπὲρ πάντων λύτρον τὴν ψυχὴν αὐτοῦ· εἰ καὶ οὐ δώσει δὲ ἐξίλασμα οὐδὲ τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, ἀλλά γε μετὰ τὸ ἀπολυτρωθῆναι, ἐντολὰς δέχεται, ἵνα κατ' αὐτὰς κοπιάσας ζῆσαι εἰς τέλος δυνηθῇ ἐσχηκὼς τὴν αἰώνιον ζωήν.

Στ. ι'. Ὁ λυτρωθεὶς ὑπὸ Χριστοῦ, οὕτω βεβαίως ἕξει τὴν σωτηρίαν, ὡς μὴ εὔσειστος καὶ εὐκίνητος εἶναι. Κἂν γοῦν τοὺς οἰομένους . . . σοφοὺς δι' ὧν ἁμαρτάνοντας ἀποθνήσκοντας. Ἐπειδὴ οὐ σκανδ-

rogatio est. Non enim a peccato liberavit Moyses populum, sed Dei de peccato iram deprecatus est: quin etiam in culpam incidens, non potuit pro se ipso piaculum præbere Deo; cum post tanta et tam præclara signa dubitans dixit: « Nonne ex illa petra aquam educemus nobis[85]? » Quare dixit Deus: « Quapropter non introducetis vos hanc congregatam gentem in terram quam dedi eis[86]. » Datus est igitur in pretium redemptionis animæ nostræ sanctus pretiosissimusque sanguis Domini nostri Jesu Christi. Itaque pretio empti sumus. Si autem homo non redimit, non homo est qui redemit nos, non illi opus fuit qui pro se ipso placationem Deo daret. Quare peccatum non fecit, neque inventus est dolus in ore ejus[87]. Qui redemit nos neque pretio, neque donis, juxta Isaiam[88], sed in proprio sanguine, non fratres nos, sed inimicos peccatis ei factos; et post libertatem, quam nobis dare dignatus est, et fratres suos nos ipse vocat. « Annuntiabo » enim, ait, « nomen tuum fratribus meis[89], » non juxta naturam divinitatis qua redempti sumus, sed juxta indulgentiam gratiæ; cui non propitiatione opus erat, cum ipse propitiator esset. Talem nos habere decebat pontificem magnum, sanctum, innocentem, immaculatum, omnibusque perfectionibus præditum[90]. Qui cum ipse esset vita, indefessaque natura, labores in hoc mundo sustinuit. Erat enim fessus itinere, seditque ad fontem[91].

Vers. 7. Omnes mortales eadem sunt natura, fratresque. Nemo enim fratrem suum peccantem redimere potest. Solus enim homo ille redimet, de quo dictum est: « Mittet eis hominem qui salvos faciet eos[92]. » Qui et de se ipso dixit: « Nunc autem me quæritis interficere, hominem qui veritatem vobis locutus sum[93]. » Ille autem homo, cum non cognoverit peccatum neque fecerit iniquitatem, non dabit Deo piaculum suimetipsius, quod pro peccatoribus datur; sed neque pretium porriget redemptionis animæ suæ; et postquam laboraverit per virtutem vivet in æternum, non jam deinceps moriturus. Potest quoque de redempto dici, « non dabit Deo placationem suam. » Nemo enim pro se ipso placationem dare valet, Christo pro omnibus propitiante in proprio sanguine: sed neque dare quisquam potest pretium redemptionis animæ suæ, dante Christo pro omnibus redemptionem animam suam[94]. Etsi non dabit placationem neque pretium redemptionis animæ suæ, sed postquam redemptus est, recipit mandata, ut per ea laborans vivere ad finem possit, æternam vitam consecutus.

Vers. 10. Redemptus a Christo, adeo solidam habebit salutem, ut nihil eum agitare vel exturbare possit. Etsi igitur existiment... Sapientes propter ea quæ inique admiserunt morientes. Cum autem

[85] Num. xx, 10. [86] ibid. 12. [87] I Petr. II, 22. [88] Isa. LII, 3. [89] Psal. XXI, 23; Hebr. II, 12. [90] Hebr. VII, 26. [91] Joan. IV, 6. [92] Isa. XIX, 20. [93] Joan. VIII, 40. [94] I Tim. II, 6.

Digitized by Google

non scandalizatur adeo ut interitum videat: parvum est enim lædi videndo delapsos qui sapientes habebantur.

Vers. 11. Insipiens et stultus seipsos nescientes existimaverunt animam suam, sicut et ratione carentium animalium, non permanere. Dicunt enim: « Comedamus et bibamus, cras enim moriemur [95]. » Isti tumulos in quibus sepeliuntur, domus sibi esse putant in æternum, mortuorum resurrectionem non exspectantes. Sed et tabernacula eorum « in progenie et progenie » credunt esse monumenta, in sola hac vita commiserationem sperantes: quippe qui nihil vitale operantur, sed mortui sunt propter peccata quæ commiserunt. In tumulum demissi, sepulcrum domum sibi existimant æternam. Insipientem non omnino rationis expertem, sed male cogitantem et male sapientem vocat. Qui turpi vultu est, nullo vultu; et male intectum, intectum vocare consuevimus. Sic igitur male cogitans et male sapiens simul exsolvent pœnas. Hic enim eorum interitus, quo divitias suas quas inique thesaurizaverant, relinquent alienis. Nemo enim proprius hæc dicentis hæres divitis insipientis et amentis.

Vers. 19. Dives ille, qui in vita sua non aliam vitam novit, in ista animam suam benedici putat. Et tunc solum confitebitur cum benefeceris ei desideriorum suorum carnalium expletione. Etsi prædicta plerisque hominum eveniant, at meam animam redimet Deus ex inferno jam superante eam et vorare nitente. Et cum in inferno propter iniquitatem suam peccator sit, qui redemptionem vim inferentium sibi peccatorum habet, gratias agit Deo animam suam liberanti de ipsa manu inferi.

Vers. 20. Patres habuit qui operibus iniquis et pejoribus consiliis genuerunt eum. Eadem ipse faciens, genitores suos imitatus est, usque in progenies patrum suorum, similis factus eis, introibit. Hic autem præsentem solam vitam agnoscens, non exoptavit lumen contemplari. Ideoque usque in æternum dictus est ad illud non appropinquare. Namque ad tenebras exteriores damnato non jam æternum lumen cernere licebit.

A δαλίζεται ὥστε διαφθορὰν ἰδεῖν· μικρὸν γὰρ τὸ βλάπτεσθαι ἐπὶ τὸ ὁρᾷν πταίοντας τοὺς νομιζομένους σοφούς.

Στ. ια'. Ὁ ἄφρων καὶ ἄνους ἀγνοήσαντες ἑαυτοὺς τίνες εἰσὶν, ἔδοξαν ὅτι κατὰ τὰ ἄλογα ζῶα οὐκ ἐπιδιαμενούσης αὐτῶν τῆς ψυχῆς εἰσιν· φασὶν γὰρ, « Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. » Οὗτοι τοὺς τάφους ἐν οἷς εἰσιν ἐντετυμβούμενοι οἴονται οἰκίας αὐτῶν εἶναι εἰς τὸν αἰῶνα, ἀνάστασιν νεκρῶν οὐ προσδοκῶντες. Ἀλλὰ καὶ σκηνώματα αὐτῶν « ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ » οἴονται εἶναι τὰ μνήματα, ἐν μόνῃ ταύτῃ τῇ ζωῇ ἐλεεινῶς ἠλπικότες· τάχα δὲ καὶ μηδὲν ζωτικὸν ἐνεργοῦντες, ἀλλὰ νενεκρωμένοι δι' ὧν ἁμαρτάνουσιν. Ἐν τάφῳ καταβαλλόμενοι, οἴονται τὸν τάφον οἰκίαν αἰώνιον. Ἄνουν οὐ B τὸν πάντη ἐκτετμημένον, ἀλλὰ τὸν κακόνουν καὶ κακόφρονά φησιν. Καὶ γὰρ τὸν κακοπρόσωπον, ἀπρόσωπον, καὶ τὸν κακότεχνον, ἄτεχνον λέγειν εἰώθαμεν. Οὕτως οὖν ὁ κακόνους καὶ κακόφρων, ἅμα τιμωρίαν ὑφέξουσιν. Αὕτη γὰρ αὐτῶν ἡ ἀπώλεια, δι' ἣν τὸν πλοῦτον αὐτῶν ὃν κακῶς ἐθησαύρισαν, καταλείψουσιν ἀλλοτρίοις· οὐδεὶς γὰρ ἴδιος τοῦ ταῦτα λέγοντος κληρονόμος πλουσίου ἄφρονος καὶ ἄνου.

Στ. ιθ'. Ὁ προκείμενος πλούσιος οὐκ εἰδὼς ἄλλην ζωὴν ἐν τῇ ζωῇ αὐτοῦ, ταύτῃ εὐλογεῖσθαι τὴν ψυχὴν αὐτοῦ νομίζει. Καὶ τότε μόνον ἐξομολογεῖται ὅταν ἀγαθύνῃς αὐτῷ διὰ δόσεως τῶν ἐπιθυμιῶν τῶν ὑλικῶν. Εἰ καὶ τὰ προειρημένα τοῖς πλείστοις τῶν ἀνθρώπων συμβέβηκεν, ἀλλά γε τὴν ἐμὴν ψυχὴν C λήψεται ὁ Θεὸς ἐκ τοῦ ᾅδου ἤδη κρατοῦντος αὐτὴν καὶ καταπιεῖν θέλοντος· καὶ ἐπεὶ ἐν ᾅδῃ κατὰ τὴν κατάστασιν ὁ ἁμαρτάνων ἐστὶν, ὁ ἄφεσιν τῶν κρατούντων αὐτὸν ἁμαρτημάτων ἔχων, εὐχαριστεῖ τῷ Θεῷ λαβόντι τὴν ψυχὴν αὐτοῦ ἀπ' αὐτῆς τῆς χειρὸς τοῦ ᾅδου.

Στ. κ'. Πατέρας ἔσχεν ἔργοις φαύλοις καὶ χειρίστῳ φρονήματι γεννήσαντας αὐτόν. Ὡσαύτως αὐτοῖς δρῶν ἐμιμήσατο τοὺς γεννήτορας, ἕως τῆς γενεᾶς τῶν πατέρων ἐξομοιούμενος αὐτοῖς εἰσελεύσεται. Οὗτος δὲ τὴν παροῦσαν μόνην ζωὴν ἀποδεξάμενος, οὐκ ἔσπευσεν τὸ φῶς θεωρῆσαι· διὸ καὶ ἕως αἰῶνος εἴρηται μὴ προσπελάζειν αὐτῷ. Τάχα γὰρ ἐν ἐξωτέρῳ σκότῳ καταδικασθεὶς οὐκ ἐπιτραπήσεται τὸ αἰώνιον φῶς ἔτι θεάσασθαι.

PSALMUS XLIX.

Eusebii et Didymi. Vers. 1. Psallentium choro D præerat [Asaph], uti narrat Paralipomenon liber [96]: « Deus deorum Dominus locutus est; et vocavit terram. » Quod tres aliter interpretati sunt: « Fortis Deus locutus est; et vocavit terram. » At Septuaginta deos nominatim appellant, qui imperium sortiti sunt et judicandi ministerio fuerunt instructi, quod proprium est Dei. Docet nos hoc psalmus octogesimus primus, qui et ipse « Asaph » inscribitur. Ait enim: « Deus stetit in synagoga deorum, in medio autem deos dijudicat. » Subjicit: « Usquequo judicatis

Εὐσεβίου καὶ Διδύμου. Στ. α'. Χοροῦ ψαλτῳδῶν χοροδιδάσκαλος οὗτος, ὡς ἡ τῶν Παραλειπομένων ἐδίδαξεν ἱστορία· « Θεὸς θεῶν Κύριος ἐλάλησεν, καὶ ἐκάλεσεν τὴν γῆν· » τοῦτο οἱ τρεῖς ἑτέρως ἡρμήνευσαν, « Ἰσχυρὸς Θεὸς λαλήσας ἐκάλεσεν τὴν γῆν· » οἱ δὲ Ἑβδομήκοντα, θεοὺς ὀνομάζουσιν τοὺς ἄρχειν λαχόντας καὶ κρίνειν πεπιστευμένους, ὅπερ ἴδιον νόμου Θεοῦ· τοῦτο ἡμᾶς ὁ ὀγδοηκοστὸς πρῶτος διδάσκει ψαλμὸς, καὶ αὐτὸς τῷ « Ἀσὰφ » ἐπιγεγραμμένος· εἰρηκὼς γὰρ ὅτι « Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ, » ἐπήγαγεν· « Ἕως πότε κρίνετε

[95] Isa. XXII, 13. [96] I Paral. XVI, 5.

Digitized by Google

ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ· ταπεινὸν καὶ πένητα δικαιώσατε. » Τοῦτο δὲ ἱερέων ἴδιον καὶ τῶν ἄλλων ὅσοι τὸ δικάζειν ἐνεχειρίσθησαν· οὕτω καὶ ὁ νόμος διαγορεύει· « Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. » Εὐλόγως δ' ἂν θεοὶ κληθεῖεν οἱ τὸ κατ' εἰκόνα φυλάξαντες· ὁ τούτων Θεὸς πᾶσαν συνάγει τὴν οἰκουμένην εἰς τὸ κριτήριον.

A iniquitatem et facies peccatorum sumitis? Judicate egeno et pupillo : humilem et pauperem justificate [97]. » Illud autem sacerdotum proprium et cæterorum quicunque judicum munere funguntur. Ita et lex præcipit : « Deos non maledices, et principes populi tui non maledices [98]. » Deorum autem nomine non immerito vocarentur qui imaginem Dei intactam servavere : quorum Deus universam terram ad judicium convocat.

Στ. β'. Καὶ πάλιν, « Τοῖς ἀπὸ ἀνατολῶν ἡλίου, φησὶ, καὶ μέχρι δυσμῶν» ἐπέλαμψεν· ἐκ γὰρ τῆς ἄνω Σιὼν καὶ δευτέραν παρουσίαν ποιήσεται. Καλέσας οὖν τὴν γῆν, τουτέστιν τοὺς ἐπὶ γῆς, ἐπέλαμψεν αὐτοῖς ὡς προσβάλλοντας αὐτῷ γνῶναι, ὅτι « ἐκ τῆς Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ » γεγένηται· ἐδείχθη γὰρ « ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα. » Αὐτὸς ὁ τῶν θεῶν Θεὸς, ὁ πᾶσαν τὴν γῆν ἐπὶ τὸ μετασχεῖν αὐτοῦ καλέσας, οὐ κρύβδην, οὐδὲ λεληθότως, ἀλλ' « ἐμφανῶς » ἥξει κατὰ τὴν δευτέραν ἐν δόξῃ μετ' ἀγγέλων αὐτοῦ παρουσίαν· « οὐ παρασιωπήσεται, » ἑκάστῳ κατὰ τὰ ἔργα καὶ τὴν πρᾶξιν κρίσιν ποιῶν. Καὶ σημειωτέον ὅτι καὶ ἐν τῷ παρόντι ψαλμῷ ἀμφοτέρας τὰς Χριστοῦ παρουσίας δηλοῖ· τὴν μὲν πρώτην, διὰ τοῦ « ἐκ Σιὼν ἡ εὐπρέπεια· » τὴν δὲ δευτέραν, διὰ τοῦ « Ὁ Θεὸς ἐμφανῶς ἥξει. »

Vers. 2. Et omnibus iterum, inquit, « Ab ortu solis usque ad occasum » affulsit : nam ex superna Sion in secundo adventu suo manifestabitur. Convocans igitur terram, hoc est eos qui terram incolunt illis affulsit, ut ad ipsum accedentes agnoscant quod « ex Sion species decoris ejus. » Natus est enim « ex semine David secundum carnem [99]. » Ipse deorum Deus, qui omnem terram ad communicationem sui vocavit, non clam et latenter, sed « manifeste » veniet, cum, videlicet, hora secundi adventus, in gloria, comitantibus angelis, apparebit. « Non silebit, » unumcunque juxta opera et vitam judicans. Non omittendum hoc in psalmo utrumque Christi adventum indicari : unum quidem per illa « ex Sion species ; » alterum vero per hæc « Deus manifeste veniet. »

Στ. δ'. Οὐρανὸν δέ φησιν τὰς θείας δυνάμεις. γῆν δὲ τοὺς ἐνοικοῦντας ἐπ' αὐτῇ, ἐπὶ τὸ διελεγχθῆναι αὐτοὺς ἐπ' αὐτῶν τούτων υἱοποιηθέντας. Ἐπεὶ ἡ δόσις τοῦ νόμου ἐπὶ μάρτυσιν οὐρανῷ καὶ γῇ δέδοται, ὡς ἐν Δευτερονομίῳ γέγραπται, ἀνάγκη τὸν λαὸν διακρινόμενον ἐπὶ μάρτυσιν ἐφ' ὧν τὸν νόμον ἔλαβεν ἐξετασθῆναι, παραβεβηκότα τοὺς θείους νόμους· προσκαλεῖται « οὖν τὸν οὐρανὸν ἄνω, » τουτέστιν τὰς θείας δυνάμεις· « καὶ τὴν γῆν, » λέγω δὲ τοὺς ἐνοικοῦντας ἐπ' αὐτῇ, ἐπὶ τὸ διελεγχθῆναι τοὺς ἑαυτῶν (81) υἱοποιηθέντας. « Ἄκουε » γὰρ, « οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, » ἐκκηρυττομένων τῶν τέκνων τοῦ Θεοῦ· ἐφ' ὑμῖν γὰρ τὸν νόμον λαβόντες, οὐκ ἐφύλαξαν· δηλοῖ δὲ διὰ τούτων τοὺς ἐν οὐρανῷ τε καὶ ἐπὶ γῆς.

Vers. 4. Cœlum autem vocat divinas potestates, terram vero eos qui illam incolunt, [quos convocat] ut illi (Judæi) [coram illis] redarguantur, coram quibus olim filiorum adoptione donati sunt. Cum legem ferens testes invocavit cœlum et terram, uti in Deuteronomio scriptum est [1], necesse est ut populus divinarum legum violator iisdem testibus examinetur et judicetur. Advocat igitur « cœlum de sursum, » hoc est divinas potestates « et terram, » hoc est eos qui terram incolunt, ut eorum judicio intersint quorum adoptionis testes fuere. « Audi » enim, inquit, « cœlum, et auribus percipe, terra [2], » filiorum Dei condemnationem : illi siquidem quas, testibus vobis, acceperant, leges non servaverunt. Per hæc autem (cœlum et terra) eos designat qui in cœlo sunt et super terram.

Στ. ε'. Ἀγγέλοις τάχα προστάττει ἢ ἀνδράσιν ἱερεῦσι, ὅπως τοὺς ὁσίους αὐτοῦ συναγαγὼν (82) ἐπὶ τὸ διαθέσθαι καὶ συνθέσθαι τὴν διαθήκην αὐτοῦ τοῦ Θεοῦ ἐπὶ θυσίαις πνευματικαῖς· θυσίας δὲ πνευματικὰς τὴν τῆς αἰνέσεως καὶ εἴ τις ἄλλη παραπλησία· τὰς οὖν θυσίας ἐφ' ἃς ἡ πνευματικὴ διαθήκη ἀποδεχόμενος, συναχθῆναι αὐτῷ τοὺς ὁσίους αὐτοῦ προστάττει, ἵνα τὰ προειρημένα ἐπιτελέσωσιν.

Vers. 5. Angelis sane aut sacerdotibus præcipit ut sanctos suos congregent, ad instituendum ordinandumque ipsius Dei nempe testamentum super sacrificia spiritualia. Spiritualia autem sacrificia vocat sacrificium laudis et alia hujusce generis. Sacrificia igitur accipiens super quæ ordinatur testamentum; congregari jubet sanctos suos, ut prædicta perficiant.

Στ. ς'. « Δικαιοσύνην» προσονομαζόμενοι « ἀναγγελοῦσιν » οἱ οὐρανοὶ, ἄνδρες ὄντες ἱεροὶ φοροῦντες τὴν εἰκόνα τοῦ ἐπουρανίου.

Vers. 6. « Justitiam annuntiabunt » viri sancti, qui *cæli* cognominantur, imaginem numinis cœlestis ferentes.

Στ. η'. Ἀλλ' οὐδ' ἐπὶ τῇ διαθέσει καθ' ἣν προσφέρεις ταύτας, ὡς καὶ τὸν Κάϊν ἐπὶ τῷ μὴ ὀρθῶς διῃρηκέναι διήλεγξα. Ἐλέγχει Θεὸς οὐκ ἐπ' αὐτὰ (83) τοῖς

Vers. 8. Non mentem arguo qua sacrificia offers, sicut Cainum reprehendi quod oblationes suas non recte eligebat. Arguit Deus non eos qui offerunt,

[97] Psal. LXXXI, 1-3. [98] Exod. XXII, 28. [99] Rom. I, 3. [1] Deut. IV, 26. [2] Isa. I, 2.

(81) Vix dubito quin legendum sit ἐπ' αὐτῶν. Edit.

(82) Lege συναγάγωσι. Id.

(83) Num αὐτοῖς? Id.

Digitized by Google

sed ipsam rationem qua hæc offeruntur : Cainum quoque ideo reprehendit quod non bene agnoverit, quæ offerenda erant. Etiamsi spirituale sacrificium quis proferat, in holocaustum offerens corpus suum per conjugii perfectam abstinentiam, illud recta mente faciat. Non enim de operibus quæ laudanda sunt, sed de prava mente qua illa perficiuntur, corripietur.

προσαγομένοις, ἀλλ' ἐπὶ τῇ διαθέσει καθ' ἣν προσάγεται ταῦτα· καὶ τὸν Κάϊν γοῦν ἐπὶ τὸ μὴ ὀρθῶς διῃρηκέναι ἃ ἔδει προσάγειν, ἤλεγξεν. Κἂν πνευματικὴν οὖν θυσίαν προσφέρῃ τις εἰς ὁλοκαυτώματα, διὰ παντελῶς ἁγαμίας, τὸ σῶμα ἑαυτοῦ, ὀρθῇ γνώμῃ τοῦτο ποείτω (84)· οὐ γὰρ ἐπὶ τοῖς πραττομένοις ἐπαινετοῖς οὖσιν, ἀλλ' ἐπὶ τῇ γνώμῃ οὐκ ὀρθῶς ἐπιτελοῦσιν (85) ἐλέγχεταί τις.

Vers. 9. Cum in domo tua qui per figuram vituli appellantur, Salvatori visi sunt infensi, uti dicit : « Circumdederunt me vituli multi, tauri pingues obsederunt me [a]. » Hae de causa non accipiam eos nec qui simul electi fuerint hædos ; nam hi qui semetipsos pro peccatis offerunt non minus peccant. Non te fugiat silvarum feras indicare quod homines qui de gentibus agrestibus orti divina doctrina mansuefacti sunt steriles prius fuerunt. Sterilitatem enim figurat silva. Sunt etiam possessio mea jumenta, « oves » scilicet Christi, et « boves, » qui de domo tua egressi, hoc est de umbra legis, in Evangelii doctrina vitam agunt, quæ propter sublimitatem suam « montes » dicitur. Paulus igitur unus ex illis qui in montibus erant bobus, legem explicans quæ ad bovem pertinet, de nobis asserit fuisse dictum illud : « Nunquid de bobus cura est Deo [b] ? » At volucres factæ animæ, virtutibus et disciplinis rectis quasi alis instructæ, « cœli volatilia » vocantur : « Quæ cognovi, » nam eos cognosco, qui ad me pertinent.

Στ. θ'. Ἐπεὶ οἱ ἐν τῷ οἴκῳ σου τροπικῶς λεγόμενοι μόσχοι πολέμιοι τῷ Σωτῆρι ὤφθησαν, λέγοντι, « Ἐκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· » τούτου χάριν οὐ δέξομαι αὐτούς, οὐδὲ τοὺς συγκαταλεγομένους αὐτοῖς χιμάρους· καὶ οὗτοι γὰρ ὑπὲρ ἁμαρτίας προσάγοντες ἑαυτούς, οὐδὲν ἧττον ἁμαρτάνουσιν. Γίνωσκε γὰρ ὅτι οἱ ποτὲ θῆρες τοῦ δρυμοῦ, οἱ ἀπὸ τῶν ἐθνῶν ἐξηγριωμένοι ἄνθρωποι, τῇ θείᾳ διδασκαλίᾳ τιθασσευόμενοι ἡμοὶ γεγένηνται, τὸ πρότερον ἀκαρπίᾳ συνόντες· ταύτης γὰρ σύμβολον ὁ δρυμός· ἀλλὰ καὶ τὰ κτήνη οἱονεὶ « πρόβατα » Χριστοῦ, καὶ « οἱ βόες » οἱ ὑπεραναβάντες σου τὸν οἶκον, τουτέστι τὴν τοῦ νόμου σκιάν, ἐν τοῖς δόγμασιν τοῦ Εὐαγγελίου, διὰ τὸ ὕψος « ὄρεσιν » οὖσιν, διατρίβοντες, κτῆμα ἡμέτερόν εἰσιν. Παῦλος οὖν βοῦς ὢν τῶν ἐπὶ τὰ ὄρη, τὸν περὶ βοὸς ἐκθέμενος νόμον, ἐπήγαγεν τό· « Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ ; » Ἢ πάντως περὶ ἡμῶν λέγει. Ἀλλὰ καὶ ὑψιπετεῖς γενόμεναι ψυχαὶ ἐπτερωμέναι νοήσεσιν καὶ ἐνεργείαις ὀρθαῖς, « πετεινὰ οὐρανοῦ » χρηματίζουσιν, « ἃ ἔγνωκα· » ἐγὼ γινώσκων γάρ εἰμι τοὺς ὄντας ἐμοί.

Vers. 11. Ager bonus, cor scilicet rectum quod semen a Christo seminatum suscipit, et fructus fert centum, sexaginta, aut triginta [c], maturos plenosque fructus, pulchritudo agri est, quæ non procul a seminante. Ait enim ipse : « Pulchritudo agri mecum est. »

Στ. ια'. Ἡ δεξαμένη ἀγαθὴ γῆ, τουτέστιν καρδία ὀρθή, τὸν ὑπὸ Ἰησοῦ βαλλόμενον σπόρον, καὶ καρποφορήσασα ἑκατόν, ἑξήκοντα, τριάκοντα, τὸν πλήρη καὶ ὥριμον καρπὸν ἔχουσα, ὡραιότης ἐστὶν ἀγροῦ, οὐ μακρὰν οὖσα τοῦ σπορέως. Αὐτὸς γάρ φησιν, « Ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. »

Vers. 12, 14. Esurit Salvator quorumdam salutem, uti sane de salute Samaritanæ mulieris ad discipulos dicit : « Ego cibum habeo manducare, quem vos nescitis [d]. » Et : « Meus cibus est, ut faciam voluntatem ejus qui misit me [e]. » Quando igitur Judæi tenebris circumfusi, quasi esurienti corporeas victimas offerunt, ait : « Si esuriero, non dicam tibi : Meus est enim orbis terræ, » ab illustri mea Ecclesia occupatus, « et plenitudo ejus. » Plenitudo autem ejus Evangelium, quod jam non figura, nec umbra. Cum ergo plenitudo gentium cibus meus sit, non cibum tuum desiderabo, qui nil præter figuram. Quod si autem me volueris Deum tuum verum condigno cultu venerari, « immola mihi sacrificium laudis, » per preces orationesque tuas : tales enim oblationes recipio. « Nam misericordiam volo, et non sacrificium ; et scientiam Dei plus quam holocausta [f]. » At « Altissimo » etiam Patri « redde, » per me ea quibus mens illustratur. Nam scientia Dei vera fit et perfectissima per fidem in Christum.

Στ. ιβ', ιδ'. Πεινᾷ ὁ Σωτὴρ τὴν τινῶν σωτηρίαν, ὥσπερ ἀμέλει περὶ τῆς σωτηρίας τῆς Σαμαρίτιδος πρὸς τοὺς μαθητάς φησιν· « Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε· » καί, « Ἐμόν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με. » Ἐπεὶ οὖν οἱ ἐκ περιτομῆς ἐχόμενοι τῆς σκιᾶς, ὡς πεινῶντι αὐτῷ προσάγουσιν τὰς αἰσθητὰς λατρείας, φησίν· « Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἔχω γὰρ κτῆμά μου » γεγενημένην τὴν ἐνδοξον Ἐκκλησίαν « οἰκουμένην » χρηματίζουσαν, « καὶ τὸ πλήρωμα αὐτῆς· » πλήρωμα δ' αὐτῆς τὸ Εὐαγγέλιον, μὴ ὁ τύπος ἢ σκιά. Τρεφόμενος οὖν τὸ πλήρωμα τῶν ἐθνῶν, οὐκ ἀπαιτήσω σε κατὰ σκιὰν τροφήν· εἰ δὲ θέλῃς με τῷ ὄντι θεραπεύειν Θεόν σου τυγχάνοντα, « θῦσόν μοι θυσίαν αἰνέσεως, » αἰτῶν καὶ θεολογῶν· ταύτας γὰρ δέχομαι τὰς προσφοράς· « Ἔλεον » γὰρ « θέλω, ἢ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα. » Ἀλλὰ καὶ « τῷ Ὑψίστῳ » τῷ Πατρὶ « ἀπόδος » δι' ἐμοῦ ἃ νοητῶς ηὔξω· ἐπίγνωσις γὰρ Θεοῦ εἴη ἀληθὴς καὶ ἀκραιφνεστάτη διὰ τῆς εἰς Χριστὸν πίστεως.

[a] Psal. xxi, 13. [b] I Cor. ix, 9. [c] Matth. xiii, 8 ; Marc. iv, 8. [d] Joan. iv, 32. [e] Ibid. 34. [f] Ose. vi, 6.

(84) Forma Alexandrina pro ποιείτω. Edit.

(85) Sic. Num ἐπιτελούσῃ ? Id.

Digitized by Google

Στ. ις'. Ἐπεὶ οὐχ ὡραῖος (ἔπαινος) ἐν στόματι ἁμαρτωλοῦ, τῷ ἁμαρτάνοντι ἐπιπλήττει ὁ Θεὸς φάσκων· « Ἵνα τί διηγῇ τὰ δικαιώματά μου, » ἃ ἐπιτελεῖν οὐ θέλεις; Ἀλλὰ καὶ ἵνα τί « ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματος; » Ἔδει γὰρ ἐν καρδίᾳ σε αὐτὴν δεξάμενον, καὶ τυπώσαντά σου κατ' αὐτὴν τὰς νοήσεις, οὕτω προφέρειν τοὺς λόγους τῆς διαθήκης μου. Τούτῳ συνᾴδει « ὁ κηρύττων· Μὴ κλέπτων, κλέψεις, » καὶ τὰ ἑξῆς.

Στ. ιη'. Πρὸς δὲ διάνοιαν νοήσεις καὶ οὕτως· Εἴ ποτε ἐθεώρεις ἑτεροδόξῳ γνώμῃ κλέπτοντα τὸ βούλημα τῆς ἀληθείας, συναινῶν « συνέτρεχες αὐτῷ. » Ἀλλὰ καὶ τοὺς μοιχεύειν πειρωμένους τὴν Χριστοῦ νύμφην τῷ περισπᾶν εἰς αὐτοὺς τὰς ἐκκλησιαστικὰς ψυχάς, ὁμογνωμονῶν αὐτοῖς, ἢ μὴ ἐκτρεπόμενος αὐτούς, « μετὰ » τῶν « μοιχῶν » ὄντων « τὴν μερίδα σου ἐτίθεις. » Ἁρμόζειν ἐρεῖς τὴν λέξιν ταύτην τοῖς ἐπαγγελλομένοις μὲν ἐκκλησιαστικοῖς εἶναι, εἰς κοινωνίαν δὲ ἐρχομένοις μὴ ἐκκλησιαστικοῖς ἀνδράσιν.

Στ. ιθ'. Ὁ ἀγνοῶν τὸ ἀγαθὸν, πράττων δὲ τὸ κακὸν, ἧττον ἁμαρτάνει· ὁ (86) δὲ μετὰ τὸ ἐπίστασθαι τὸ ἀγαθὸν ἁμαρτάνει, ἐπιτεινομένην ἔχει κακίαν· διὸ καὶ « ὁ ἐγνωκὼς τὸ θέλημα τοῦ κυρίου δοῦλος, δαρήσεται πολλὰ, μὴ ποιῶν αὐτό. » Δύναται δὲ καὶ οὕτως· Ἐπεὶ διὰ στόματος ἀναλαβὼν τὴν Θεοῦ διαθήκην, τὴν καρδίαν πλήρη εἶχεν ἁμαρτίας, πρὸς ὃν ὁ λόγος (ἁμαρτωλὸς γάρ ἐστιν « ἐκ τοῦ περισσεύματος τῆς καρδίας φαύλου »), ὄντως ἐν τῷ στόματι πλεοναζομένην εἶχεν κακίαν, ὡς « τὴν γλῶσσαν » αὐτοῦ δι' ὧν σοφίζεται « περιπλέκειν δολιότητας· » περιπλέκει γὰρ καὶ συντίθει τοὺς αἱρετικοὺς λόγους, ὄντας σοφίσματα.

Στ. κα'. Σιγὴ Θεοῦ λέγεται ἡ πρὸς τοὺς ἁμαρτωλοὺς μακροθυμία. Ὅταν γὰρ παρ' αὐτὰ τιμωρεῖται, οὐ σιωπᾷ ἀποφαινόμενος κατ' αὐτῶν ἃ δεῖ αὐτοὺς παθεῖν. Τοῦτον τὸν νοῦν ἔχει καὶ τὸ, « Ἐσιώπησα ἀπ' αἰῶνος, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; » Λέγει Κύριος πρὸς τὸ ἐλεγχόμενον οὖν· Ταῦτα ἐποίησας ἃ προλέλεκται ἁμαρτήματα, καὶ ἐσίγησα, διὰ μακροθυμίαν τόπον διδοὺς μετανοίας· σὺ δὲ (87) ὠφελήθῃναι ἐκ τῆς τοιαύτης σιωπῆς ἐκ τοῦ ἐναντίου ὑπέλαβες πρὸς οἷς εἶχες κακοῖς ἀνομίαν, καθ' ἣν « νομίζεις με ὅμοιόν σοι τυγχάνειν· » ἔδοξάς με γὰρ, χαίροντα οἷς πράττεις, μὴ ἐπεξέρχεσθαι κατὰ σοῦ.

Στ. κγ'. Οὐκ ἐνταῦθα ἐν τῇ αἰσθητῇ λατρείᾳ, ἀλλ' ἐκεῖ τῇ θείᾳ « τυγχανούσῃ αἰνέσεως, » ἡ ὁδός ἐστιν ἣν δείκνυσι φωτίζων ὁ Θεὸς τὸ σωτήριον ἑαυτοῦ τὸν μονογενῆ Υἱὸν, Σωτῆρα ὄντα· ἢ αὐτὴν τὴν σωτηρίαν, ὅτε δὲ τὸν Σωτῆρα Χριστὸν σημαίνει.

A Vers. 16. Cum non deceat os peccatoris (laus Dei), peccatorem increpat Deus hisce verbis : « Quare tu enarras justitias meas, » quas perficere recusas? Quare « assumis testamentum meum per os tuum? » Quod enim prius in cor tuum recipias, mentemque tuam ad illius normam instituas, et tunc testamenti mei sermones proferre poteris. Consentit his illud : « Qui prædicas non furandum, furaris[6], » et cætera.

Vers. 18. Quæ et ita interpretanda : Si forte hominem videbas hæretica mente veritatis doctrinam tollentem, rem comprobans « currebas cum eo. » Et si adulteri exstiterunt, qui virginem Christi violare tentarent, fideles animas in partes suas detrahendo, istis consentiens, aut eos expugnare B negligens : « Cum adulteris portionem tuam ponebas. » Referri possunt hæc verba ad illos homines, qui publicæ utilitati unice consulere dicuntur, de ea autem re ipsa minime curant.

Vers. 19. Qui boni nescius malum facit, minus peccat : qui autem boni conscius peccat, abundantem habet malitiam. Quapropter « gravius cædetur servus, qui voluntatem domini, licet cognoverit, eam non facit[9]. » Poteris ista et hocce modo interpretari : Per os suum assumit testamentum Dei homo de quo nunc agitur; cor autem habet peccatis plenum (peccator igitur est « ex abundantia cordis pravi »), et vere « abundat os ejus malitia; » ita ut « lingua » captiosis falsisque ratiocinationibus « dolos concinnet. » Nam hæreticos sermones concinnat et componit, qui nihil aliud sunt nisi C captiosæ falsæque ratiocinationes.

Vers. 21. Silentium Dei vocatur patientia quæ peccatores sustinet. Quando enim pœnas ab eis repetit, non tacet, supplicia vero ipsis imminentia revelat. Idem significat illud : « Tacui : num semper tacebo et abstinebo[10]? » Dicit ergo Dominus ad peccatorem quem increpat : Tu prædicta omnia peccata admisisti, et ego tacui, per patientiam locum dans pœnitentiæ. Tu autem ex hoc meo silentio utilitatem nullam percepisti; quin imo ea de causa, « existimasti inique quod ego tui similis sum : » putabas scilicet me operibus tuis consentire, nec unquam in te invasurum.

D Vers. 23. Non hic per sacrificia corporearum victimarum, sed illic per divinum « laudis sacrificium, » patet iter quod Deus indicat, salutare suum cum ostendit, Filium unigenitum Salvatorem nostrum, hoc est salutem ipsam, quæ Salvatorem Christum designat.

PSALMUS L.

Στ. α'. Ἀλλὰ μηδεὶς ἐπεμβαινέτω τῷ μεγάλῳ Δαβίδ· δικαιώσαντος γὰρ τοῦ Θεοῦ, οὐδεὶς ἔσται ὁ κατακρίνων· ἀλλὰ καὶ τοσοῦτον χρόνον ἐν βασιλείᾳ γεγονότος, τοῦτο μόνον αὐτοῦ φέρεται ἁμάρτημα, καὶ τὸ μεμετρηκέναι τὸν λαὸν παρὰ τὸ βούλημα τοῦ Θεοῦ. Ἀλλ'

Vers. 1. Noli incusare magnum David; nam, justificante Deo, nemo erit qui eum condemnet[11]. Qui cum per tot annos summo imperio potiretur, hoc unum tamen peccatum admisisse narratur, et illud quod contra Dei voluntatem populum numerari jus-

[9] Rom. II, 21. [9] Luc. XII, 47. [10] Isa. XLII, 14. [11] Rom. VIII, 33.

(86) Aut hic legendum ὃς, aut mox ἁμαρτάνων.] DIT.

(87) Forte leg. : σὺ, δέον. IDEM.

Digitized by Google

serit [12]. Ac ne in hoc quidem peccato diu permansit; sed magnus ille rex, licet fuerit a privato homine reprehensus, rem haud indigne ferens, statim se ita humiliavit, ut ipse propheta diceret : « Dominus quoque transtulit peccatum tuum [13]. » Voce hac, « Dominus quoque » innuit peccatum ab ipso Davide jam fuisse per pœnitentiam translatum; cæteri quidem homines peccatis franguntur, sancti vero qui salutis curriculum decurrunt, etiamsi quid fuerint per negligentiam passi, non tamen medio in spatio deficiunt, sed mox inceptum iter peragunt. Referuntur sanctorum delicta, ne nos illorum vestigiis insistere dubitemus, quasi fuissent illi divinam sortem et nullo modo peccatis obnoxiam adepti. Permittit igitur divina Providentia ut ipsi quoque interdum labantur, atque ita nobis uti virtutum, sic et pœnitentiæ sanctæ documenta præbeant. Poterat etiam fieri quod, nisi aliquando peccaverint, virtutes suas propriis viribus perfici, non autem divina cooperatione putent. Hac autem ratione occurrit divina gratia nimis elatæ mentis periculo, omnesque docet, quam infirma sit nobis natura, et quam necessaria in divinum auxilium fiducia.

A οὐδὲ τὴν ἁμαρτίαν ἐπίμονον ἔσχεν· βασιλεὺς δὲ τοσοῦτος ὑπ' ἰδιώτου διελεγχθείς, μηδὲν ἀγαναχτήσας ἐκάκισεν ἑαυτὸν, ὡς τὸν προφήτην εἰπεῖν· « Καὶ Κύριος παρῆγαγεν τὴν ἁμαρτίαν σου· » τῷ γὰρ εἰπεῖν, « Καὶ Κύριος, » καὶ τὸν Δαυὶδ ἔδειξεν αὐτὴν διὰ μετανοίας παρενεγκόντα σφόδρα· οἱ μὲν γὰρ ἄλλοι ἄνθρωποι καταπίπτουσιν ἐν ταῖς ἁμαρτίαις, οἱ δὲ ἅγιοι τρέχοντες τῆς σωτηρίας τὸν δρόμον, εἴ τι καὶ πάθοιεν ἀπροσεκτοῦντες, οὐ καταπίπτουσιν ἀδιαστάτῳ δρόμῳ, μηδὲ προσκεκοφέναι δοκοῦντες. Ἀναγράφη δὲ τῶν ἁγίων τὰ πλημμελήματα πρὸς τὸ μὴ ὀκνεῖν ἡμᾶς πρὸς ζῆλον τούτων ἐλθεῖν, προφασίζεσθαι τὸ θεῖαν εἶναι μοῖραν καὶ ἀνεπίδεκτον ἁμαρτίας τοὺς ἁγίους· ὅθεν δέδωκεν ἡ πρόνοια πρόφασιν ἁμαρτίας γενέσθαι περὶ αὐτούς· ἵν' ὥσπερ ἀρετῆς οὕτω καὶ μετανοίας ὦσι διδάσκαλοι. Τάχα δὲ καὶ μὴ πλημμελοῦντες ἐπέγραφον ἂν ἰδίᾳ δυνάμει τὴν ἀρετὴν, ἀλλ' οὐ Θεοῦ συνεργείᾳ· παρορῶσα τοίνυν ἡ θεία χάρις τὸ μέγα τῆς οἰήσεως ἀποκωλύει τούτοις ἁμάρτημα πρὸς ἐπίγνωσιν τῆς φυσικῆς ἀσθενείας καὶ τῆς ἐπὶ Θεὸν προσφυγῆς.

Hic psalmus numeratur quinquagesimus, quia circa remissionem versatur : non enim posuisset eum Spiritus sanctus ante quinquagesimum primum, et quinquagesimum tertium, et alios qui inferius occurrunt, nisi alia præter temporum ordinem ratio habeatur; nam quinquagesimus primus de Doeg Syro agit, et de illius cum Saule congressu; quæ antequam David rex esset, evenerunt. Similiter alludit quinquagesimus tertius ad colloquia Ziphæorum cum Saule. Cum igitur numerus quinquaginta cum misericordia comparationem quamdam habeat, profert Salvator, suam de remissione doctrinam explicans, duos debitores quorum unus debebat denarios quingentos et alius quinquaginta [14]; et utrique remissio facta est, quod quinquaginta et affini numero quingentos denarios sibi creditos haberent. Haud immerito per quinquaginta dies festa agimus, quod per mortem et resurrectionem suam Agnus Dei nobis peccatorum remissionem fecerit; et die quinquagesimo digni habiti sumus qui per effusionem sancti Spiritus mundaremur. Apud Judæos quoque condonabatur debitori credita pecunia anno Jubilæo seu quinquagesimo, tunc redibat quisque ad libertatem, et ad possessiones suas, ita ut annus festivus haberetur [15]. Recte igitur inscribitur quinquagesimus qui de misericordia agit psalmus. Componitur numerus quinquaginta ex septem hebdomadis et unitate, ita ut hebdomadam hebdomadarum constituat, quo venturus dicitur, qui onus et opus peccati auferat.

Πεντηκοστὸς δὲ ψαλμὸς ἀναγέγραπται, ἐπείπερ ἁρμονίαν ὁ ψαλμὸς ἔχει πρὸς ἄφεσιν· ἄλλως γὰρ οὐκ ἂν τὸ συγγραφικὸν Πνεῦμα προὔταξεν αὐτὸν τοῦ να', καὶ νγ', καὶ τῶν ἑφεξῆς, εἰ καθ' ἱστορίαν ὑπῆρξεν ἡ τάξις· ὁ γὰρ να' περὶ τῆς Δωὴκ τοῦ Σύρου καὶ τῆς πρὸς τὸν Σαοὺλ αὐτοῦ διαβολῆς ἐπιγέγραπται· τὸ δὲ πρὸ τῆς βασιλείας ἦν τοῦ Δαυὶδ· καὶ ὁ νγ' περὶ τῆς πρὸς τὸν Σαοὺλ τῶν Ξιφάκων (88) διαβολῆς· ὅτι δὲ ἀναλογίαν ὁ ἀριθμὸς ἔχει πρὸς ἔλεον, ὁ Σωτὴρ περὶ ἀφέσεως διδάσκων, χρεώστας παρέλαβεν ὑπευθύνους ν' καὶ φ' δηναρίοις, ἀφέσεως ἑκατέροις γεγενημένης, διὰ τὸν ν' καὶ τὸν συγγενῆ χρεωστεῖν ἀριθμόν· ἀμέλει τοῦ σφαγέντος Ἀμνοῦ τοῦ Θεοῦ καὶ ἀναστάντος καὶ πεποιηκότος ἡμῖν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ἐπὶ ν' ἡμέρας διάγομεν εὐφραινόμενοι, τῇ πεντηκοστῇ ἡμέρᾳ τῆς ἐκχύσεως τοῦ Πνεύματος ἀξιούμενοι· καὶ ὁ Ἰωβηλαῖος δὲ διὰ τῶν ν' παρ' Ἑβραίοις ἄφεσιν ὡς χρεῶν ἀποκοπτομένων· ἐν ᾧ καὶ τῶν Ἑβραίων ἐλευθερία, καὶ κτήσεων ἀποκαταστάσεις, ὡς εἶναι τὸν ἐνιαυτὸν ἑορτήν· εἰκότως οὖν πεντηκοστὸς ὁ τῆς μετανοίας ψαλμός· ἔστι δὲ καὶ ἐξ ἑβδομάδων ζ' καὶ μονάδος, ὡς εἶναι ἑβδομάδα ἑβδομάδων ἀριθμὸν, ἐν ᾧ δεῖ (89) γενέσθαι τὸν ἀποδάλλοντα τὸ ἄχθος καὶ τὸ ἔργον τῆς ἁμαρτίας.

Vers. 3. Vehementi dolore motus, et pœnitentiæ dignos fructus exhibens, petit a Deo ut magnam misericordiam impetret; nam non sufficit pœnitentia, nisi Deus misereatur; nec sufficit miseratio Dei, nisi et nos quantum in nobis est per pœnitentiam ad salutem convertamur.

Στ. γ'. Ὁ σφοδρῶς μετανοῶν καὶ τοὺς προσήκοντας τῇ μετανοίᾳ καρποὺς ἀγαπῶν, αἰτεῖ καὶ τὸν παρὰ Θεοῦ μέγαν ἔλεον εἰς αὐτὸν γενέσθαι, οὐκ ἐπαρκούσης τῆς μετανοίας, ἄνευ ἐλέου Θεοῦ· οὐδὲ τοῦ ἐλέου Θεοῦ, ἄνευ τῆς ἐκ τοῦ ἐφ' ἡμῖν μεταγνώσεως πρὸς σωτηρίαν.

[12] II Reg. xxiv, 2; I Par. xxi, 1 sqq. [13] II Reg. xii, 13. [14] Luc. vii, 41. [15] Levit. xxv, 10, 41.

(88) Ita cod. (89) Ἔδει ?

Digitized by Google

Στ. δ'. Ὥσπερ αἱ δυσέκπλυτοι βαφαὶ οὐ μιᾷ πλύσει ἀλλὰ πολλαῖς ἐξίτηλοι γίνονται, οὕτω καὶ τὰ μεγάλα τῶν ἀνομημάτων πολλοῖς οἰκτιρμοῖς Θεοῦ ἀπαλείφεται. —Τὴν θνητὴν ἐνέργειαν ἀνομίαν καὶ ἁμαρτίαν καλεῖ, τῷ κατὰ τὴν ἐπίνοιαν διαφέρειν, τῷ ἄνευ μὲν νόμου συνίστασθαι ἀνομίαν, τῷ δὲ κατὰ παράβασιν νόμου συνίστασθαι ἁμαρτίαν. Πλὴν ἑκατέρως αὐτὴν ἐκπλυθῆναι καὶ καθαρισθῆναι ἀξιοῖ Θεὸν, τὸν ἐκπλῦναι αὐτὴν καὶ καθαρίσαι δυνάμενον ἀπὸ τῆς προειρημένης ἕξεως.

Στ. ε'. Ὁ δὲ τὴν ἅπαξ πραχθεῖσαν ἁμαρτίαν ἐνώπιον αὐτοῦ ἔχων, οὐκ ἀνάσχοιτο ἑτέραν ποιῆσαι· τῶν γὰρ προτέρων ἐπιλανθανόμενοι, ἑτέρας ἐνεργοῦμεν ἡμεῖς.

Στ. ς'. Ὅσον ἐπὶ τῷ εἶναι βασιλεὺς οὐχ ὑπέκειτο ἀνθρωπίνῳ νόμῳ· ὅθεν οὐδέ τινι τῶν νομοθετῶν ἥμαρτεν, οὐδ' ἐνώπιόν τινος αὐτῶν τὸ πονηρὸν ἐποίησεν. Ἐπειδὴ δὲ πρὸς τὸ βασιλεὺς, καὶ θεοσεβὴς εἶναι βούλεται, ὑπέκειτο τῷ τοῦ Θεοῦ νόμῳ· διὸ καὶ ἥμαρτεν μόνῳ Θεῷ, καὶ τὸ πονηρὸν ἐνώπιον αὐτοῦ ἐποίησεν. Καὶ πάλιν· Ἐπεὶ Θεὸς εἶπεν ἐπιῤῥεπεστέραν εἶναι τὴν διάνοιαν τῶν ἀνθρώπων ἐπὶ τὰ πονηρά· καὶ τὸ, « Οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, » ἁμαρτανόντων καὶ αὐτῶν τῶν τελείων, δικαιοῦται ὁ Θεὸς ἐν τοῖς λόγοις ἑαυτοῦ, ἐν οἷς εἶπεν πάντας ἐκκεκλικότας, ἅμα ἠχρειῶσθαι. Ταύτῃ δὲ καὶ νικᾷ κρινόμενος πρὸς τοὺς ἀνθρώπους, ἀποδεικνὺς αὐτοὺς ἁμαρτωλούς. Συνῳδὸν τούτοις τὸ, « Ἐὰν εἴπωμεν, Οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτόν· » ὁ γὰρ ἀναμαρτησίαν αὐχῶν, ὅσον εἰς αὐτὸν, ψεύστην ἀποφαίνει τὸν Θεόν.

Στ. η'. Ὁ τῇ σοφιστικῇ ἕξει ἐγγεγυμνασμένος ἐπὶ θήρᾳ τῆς ἀληθείας, τὸ μέγεθος αὐτῆς γνοὺς, ἀγάπην πρὸς αὐτὴν ἔσχεν τελείαν· οἱ γὰρ τοῖς ψεύδεσιν ἐγγυμνασάμενοι διορατικώτεροι γεγενημένοι, καθορῶσι τῆς ἀληθείας τὸ ἀξιάγαστον κάλλος· οἷός ἐστιν Μωϋσῆς καὶ Δανιήλ· μετὰ γὰρ τὸ πειραθῆναι σοφιστικῶν λόγων, ἐπ' αὐτὴν τὴν ἀληθῆ σοφίαν ἀναβάντες, ὑπὸ τοῦ Θεοῦ μαρτυρίαν ἔσχον, ὡς ὄντες τέλειοι, σαφῶς δηλώσαντος αὐτοῖς τοῦ Θεοῦ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ, ὡς μηδὲν αὐτοῖς ἔτι ἀσαφῆ (90) ἐπεσκιασμένον εἶναι. Ταύτης τῆς ἕξεως καὶ ὁ Δαυὶδ τυγχάνων, ἀνεφθέγξατο τὸν προκείμενον στίχον.

Στ. ι'. Πολλάκις ἤδη δόγματα, καὶ ψυχῆς δυνάμεις εἶναι εἴρηται· τὰ ὀστᾶ ταπεινοῦται ταῦτα ὑπὸ ἁμαρτίας καὶ σοφιστικῆς γοητείας· Θεοῦ ἀκουτίσαντος, ἀγαλλίασιν καὶ εὐφροσύνην « ἀγαλλιᾶται τὰ τεταπεινωμένα ὀστᾶ. »

Στ. ια'. Ἐξαλείφονται ἁμαρτίαι ἀπὸ τῆς μετουσίας τῶν ἀρετῶν· ὡς γὰρ ἡ ἐπιστήμη εἰς ψυχὴν ἐλθοῦσα ἀφανίζει καὶ ἐξαλείφει τὴν ἄγνοιαν, οὕτω παρουσίᾳ ἀρετῆς τελείας ἐξαλείφεται ἁμαρτία πᾶσα.

Στ. ιγ'. Τῶν σπουδαίων ἀδιαστάτως τῷ τοῦ Θεοῦ προσώπῳ παρισταμένων, ὁ ἁμαρτάνων ἀπορρίπτεται. Μὴ πάθοιμι δὲ τοῦτο, φησὶ, περιεχόμενος τῆς θείας κατανοήσεως· « μηδὲ » τοῦ δοθέντος μοι « θείου Πνεύματος γυμνωθείην. »

[16] Eccle. VII, 21. [17] Psal. XIII, 3. [18] I Joan. I, 10.

(90) Lege ἀσαφές. EDIT.

A VERS. 4. Uti fœdissimæ sordes non evanescunt, nisi pluries laventur; ita graviora peccata majori Dei miseratione tollantur oportet. — Hominum opera iniquitatem et peccatum vocat; at suus voci cuique sensus : iniquitas dicitur, quod præter legem fit; peccatum vero quod contra legem. Deum precatur, ut mentem ab utraque labe mundet et liberet, qui solus eam a pristinis moribus revocare et mundare valet.

VERS. 5. Si admissum semel peccatum semper coram te haberes, jam non aliud posses admittere; nam non nisi præcedentium delictorum immemores, rursus delinquimus.

B VERS. 6. In quantum rex erat, humanis legibus non subjiciebatur : unde legumlatori nulli peccavit, nec coram ullo eorum malum fecit. At præterquam rex quod sit, vult et pius esse in Deum. Dei igitur legibus subjiciebatur. Quapropter Deo soli peccavit, et malum coram illo fecit. Et rursus : Cum Deus dicat promptiorem esse hominum mentem ad prava, et illud : « Non est homo qui non peccet [16], » peccantibus vel sanctis justificatur Deus in sermonibus suis, quibus contendit omnes declinavisse et inutiles esse factos [17]. Sic vincit quando homines judicat, et probat omnes esse peccatores. Quibus consentit illud : « Si dicimus quoniam non peccavimus, mendacem facimus eum [18]; » nam qui de innocentia sua gloriatur, quantum in eo est, Deum mendacem facit.

C

VERS. 8. Sapientium artibus in exquirenda veritate exercitatus, ubi sublimitatem ejus agnoverit, perfecto eam amore diligit; nam in disserendis mendaciis exacuta mentis acies, melius perspicit quam digna sit veritas studiis nostris. Tales fuerunt Moyses et Daniel. Quippe qui sapientium disciplinis primum eruditi, veram doctrinam postea consecuti sunt, et ab ipso Deo perfecti fuerunt vocati; ipse enim eis incerta et occulta sapientiæ suæ manifestavit : ita ut nihil eos his in disciplinis fugeret. Talem et David adeptus est scientiam, uti hoc versu profitetur.

VERS. 10. Sæpius jam dictum est opiniones esse, et virtutes animi. Ossa humiliantur per peccata
D scilicet, et per sapientium præstigias : exaudiente autem Deo, gaudio et lætitia « exsultabunt ossa humiliata. »

VERS. 11. Virtutis studio delentur peccata; ut enim mentem illustrans scientia ignorantiam tollit et delet, ita deletur omne peccatum ubi animum perfecta virtus occupaverit.

VERS. 13. Justi omnes semper coram Deo astant, peccator vero procul ab eo projicitur. Ne illud patiar, inquit, ne me deserat mens tua : « Spiritum sanctum tuum » quem accepi, « ne auferas a me. »

Digitized by Google

Vers. 14. Salvatoris nostri adventum in terram exspectans, quo perfectam lætitiam fieri contingit, Patrem hisce verbis invocat : « Redde mihi lætitiam salutaris tui ; et spiritu principali et perfecto confirma me. » Hic utrumque spiritum dominantem dicit et principalem, Spiritum quidem sanctum, aut spiritum hominis, qui in ipso alienus est ab anima.

A Στ. ιδ'. Προσδοκῶν τὴν δεῦρο κάθοδον τοῦ Σωτῆρος, ἐφ' ᾗ ἀγαλλίασιν τελείαν ἔχειν συμβαίνει, παρακαλεῖ τὸν Πατέρα φάσκων· « Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, ὅπως καὶ πνεύματι ἡγεμονικῷ καὶ τελείῳ στηρίσῃς με. » Ἑκατέρως δὲ καὶ ἐν τούτοις πνεῦμα λέγει ἤτοι τὸ ἅγιον ἄρχον καὶ ἡγεμονικόν, ἢ τὸ τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ ἕτερον ὂν τῆς τοῦ ἀνθρώπου ψυχῆς.

Vers. 15. In præfatione psalmi jam docuimus, Deo permittente, interdum et sanctos peccare, ut pœnitentiam sinceram agentes cæteris pœnitentiæ exempla præbeant. En idem confirmat hic versus ; nam pollicetur se, peccata sua Deo confitendo, vias ipsius Dei iniquis indicaturum, ut eas ingressi, si quid unquam per negligentiam deliquerint, ad eum convertantur.

Στ. ιε'. Καὶ ἐν τῇ προγραφῇ τοῦ ψαλμοῦ ἐφάσκομεν παροράν ποτε τὸν Θεὸν τοὺς σπουδαίους ὥστε ἁμαρτίαν ποιεῖν, ἵνα μετανοοῦντες ἔργῳ καὶ τὴν περὶ μετανοίας διδασκαλίαν ἐπιδείξωνται. Ἰδοὺ γοῦν καὶ ἐνταῦθα βεβαιοῖ τῷ Θεῷ ῥῆμα· διὰ γὰρ τῆς ἐξομολογήσεως τῆς πρὸς Θεὸν, διδάσκειν ὑπισχνεῖται ἀνόμους αὐτοῦ τοῦ Θεοῦ τὰς ὁδοὺς, ἵνα τούτων ἐπιβάντες, εἰ καὶ B ποτε ἠσέβησαν ἐξ ὀλιγωρίας, ἐπιστρέψωσιν πρὸς αὐτόν.

Vers. 16. Cum per peccata, quibus me usque ad mortem tradidi, sanguinibus plenus sim, de istis libera me, Deus, Deus meus. — « Lingua mea, » hoc est sermo meus, in celebranda tua justitia semper occupata, « exsultabit justitiam tuam. »

Στ. ις'. Ἐπεὶ δι' ὧν ἐποίησα πρὸς θάνατον ἁμαρτιῶν πλήρης εἰμὶ αἱμάτων, ἐκ τούτων ῥῦσαί με ὁ καθάπαξ Θεὸς ὢν καὶ ἡμέτερος.— Ὁ λόγος ὁ ἡμέτερος « γλῶσσά μου » καλούμενος, ἐν τῷ ἀεὶ περὶ δικαιοσύνης σου φθέγγεσθαι, « ἀγαλλιάσεται τὴν δικαιοσύνην σου. »

Vers. 17. Illius labia aperit Deus qui ad laudandum eum verba facit. Quapropter os ejus annuntiabit laudem Dei, laudans eum et celebrans eum semper.

Στ. ιζ'. Ἐκείνου ἀνεῖλου τὰ χείλη, ὁ Θεὸς, τοῦ λαβόντος λόγον ἐν ἀνοίξει τοῦ στόματος. Διὸ καὶ τὸ στόμα αὐτοῦ ἐξαγγέλλει τὴν αἴνεσιν τοῦ Θεοῦ, ἀεὶ αἰνοῦν καὶ εὐχαριστοῦν αὐτῷ.

Vers. 20. Qui de peccatis suis dolet, quid sibi vult de Sion et Jerusalem dicere ? Respondebimus eum, licet de recta via deflexerit, non omnibus ideo fuisse donis nudatum. Propheticam igitur C gratiam retinens, et pristinam cum Spiritu sancto communionem, vota prophetiasque profert. Sionque celebrat benigne a Filio tuo acceptam, et a Spiritu adjutam. Illud, « ædificabuntur muri Jerusalem, » angelorum de hominibus curam innuit, aut inconcussam evangelicarum doctrinarum constitutionem.

Στ. κ'. Ὁ περὶ ἁμαρτίας ἰδίας ἐξομολογούμενος, τί βούλεται περὶ τῆς Σιὼν καὶ Ἱερουσαλὴμ διαλέγεσθαι ; Ἀλλ' ἐπεὶ εἴπομεν μὴ πάντως αὐτὸν βεβλάφθαι ἐκ τοῦ ἐπταικέναι ἐν τῷ συντόνῳ δρόμῳ, τούτου χάριν προφητικὴν ἔτι ἕξιν ἔχων, καὶ τὴν τοῦ ἁγίου Πνεύματος κοινωνίαν, εὔχεται καὶ προφητεύει, « Ἀγάθυνον, » λέγων, « τὴν Σιὼν ἐν τῇ εὐδοκίᾳ » τῷ Υἱῷ « σου » γεγενημένην, καὶ τῷ Πνεύματι συνεγγίζουσαν· ἀλλὰ καὶ « οἰκοδομεῖται τὰ τείχη τῆς Ἱερουσαλήμ· » ἀγγέλων δὲ φρουραὶ ταῦτα, ἢ δογμάτων ἀκαταλύτων ἵδρυσις.

Vers. 21. Justitiam hic illam indicat quæ per fidem in Jesum Christum omnibus fidelibus convenit. Ipsa autem justitia oblatio spiritualis et sacrificium spirituale : eodem sensu est illud, « Sacrificate sacrificium justitiæ [19], » tunc quoque « imponent super altare » spirituale « vitulos, » non terram exercentes et aratra trahentes, sed animas quæ non aliæ sunt ab animis martyrum, super cœleste altare conspectis, et ibi vitulorum more oblatis ; nam in Apocalypsi Joannis [20] conspiciuntur subtus altare cœleste animæ interfectorum propter nomen Jesu et propter testimonium ejus.

Στ.κα'. Δικαιοσύνην φησὶ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας συνισταμένην· αὕτη δὲ ἡ δικαιοσύνη ἀναφορὰ καὶ ὁλοκαυτώματα πνευματικὰ τυγχάνει, καὶ τὸ, « Θύσατε θυσίαν δικαιοσύνης· » ἀλλὰ καὶ « ἐπὶ τὸ » πνευματικὸν « θυσιαστήριον ἀνοίσουσι μόσχους, » γεωπόνους ἕλκοντας ἄροτρα ψυχάς, οὐκ D ἄλλας τυγχανούσας τῶν ψυχῶν τῶν μαρτύρων, ὀφθείσας παρὰ τὸ ἐπουράνιον θυσιαστήριον, ἀναφερομένας ἐπ' αὐτῷ μόσχων δίκην· ἐν γὰρ τῇ Ἀποκαλύψει Ἰωάννου αἱ τῶν πεπελεκισμένων ψυχαὶ διὰ τὸ ὄνομα Ἰησοῦ καὶ τὴν μαρτυρίαν αὐτοῦ, ὑπὸ τὸ θυσιαστήριον τὸ ἐπουράνιον τεθεώρηνται (91).

PSALMUS LI.

Vers. 1. Vere ea est sermonum prolatorum mens, quæ nonnisi illustrante Deo intelligatur. Qua autem de causa tanto furore debaccharetur,

Στ. α'. Ὄντως γὰρ συνέσεως δεῖται τῆς ἐκ Θεοῦ ἡ τῶν ἐμφερομένων λόγων διάνοια. Τίνα δὲ δεῖ τὴν εἰς τοσαύτης τραγῳδίας πρόφασιν παρασχεῖν ἢ τὸν νομέα

[19] Psal. IV, 6. [20] Apoc. VI, 9.

(91) Hactenus ex codice Vat. 1789 (A). At vero ex cod. Vat. 1682 (B) ab initio et hactenus, et deinceps usque ad paginam suo loco indicandam. Exin usque ad finem Psalterii ex cod. Vat. reg. 40 (C), et ex Vat. 754 (D), et ex Vat. 1685 (E).

Digitized by Google

τῶν ἀλόγων ζώων; Ἀγελάρχης γὰρ ἦν (Δωὴκ) ἡμιόνων. Ὁ γοῦν Δαβὶδ συνιεὶς τὴν πολλὴν αὐτοῦ κακίαν ἢ τὸν κινήσαντα ἐν αὐτῷ τὸν φθόνον διάβολον, ὡς πρὸς παρόντα τὰς λέξεις ἐφθέγξατο τοῦ ψαλμοῦ. A

Στ. δ'. Τὸ « ἡμέρα » ἐνταῦθα φανέρωσιν δηλοῖ, ἢ ὅλον τὸν χρόνον καθ' ὃν ἀνομεῖ.

Διδύμου καὶ Εὐσεβίου. Στ. η'. Οἱ πάνυ εὐλαβεῖς ὅταν καταπίπτοντας ἐξ ἀρετῆς [εἰς] τὴν κακίαν ἴδωσί τινας, φόβον λαμβάνουσι μὴ τὰ αὐτὰ πάθοιεν· οὗτοι δὲ καὶ ἐπικερτομεῖς εἶεν κατὰ τοῦ λαλοῦντος, ὡς « ἐπ' αὐτῷ γελᾶν, ἐροῦντες· Ἰδοὺ ἄνθρωπος, » καὶ τὰ ἑξῆς.

Στ. θ'. Τάχα πᾶς πλουτῶν ἐν κακίᾳ ψευδωνύμῳ γνώσει ἐν τῷ μεγαλοφρονεῖν ἐπὶ τούτοις, ἐπελπίζει ἐπὶ τῷ B πλήθει τοῦ τυφλοῦ πλούτου, ἀλλὰ καὶ ἐνδυναμοῦσθαι νομίζει, ἀρχων ἀνομίας, καὶ στείρωσιν πρὸς πᾶν ἀγαθὸν ἔχων ἔργον.

Στ. ι'. « Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ » διὰ πίστεως φυτευθεὶς ἀρετὴν φέρει ἀλέξουσαν τὰς ἐκ παθῶν καὶ ἁμαρτημάτων νόσους, καὶ τρέφουσαν τὸ φῶς τῆς γνώσεως. Ὁ τοιοῦτος ἐλεήμονας καρποφορήσας ἐλπίζει « ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, » εἰδὼς ὅτι Οἱ ἐλεήμονες ἐλεηθήσονται· ἔχει δὲ τὴν ἐλπίδα οὐκ ἐφ' ἕνα αἰῶνα, ἀλλ' « εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

Vers. 4. Vocabulo « die » innuitur quam manifesta sit Doeg malitia, aut per quantum temporis spatium duraverit.

Didymi et Eusebii. Vers. 8. Viri justi, quando alios vident a virtute ad malum deflectentes, timent ne eadem patiantur. Quin imo iidem mordacia verba proferunt, uti dicitur: « Super eum ridebant, et dicent: Ecce homo, » etc.

Vers. 9. Sane malus quicunque dives falsa opinione deceptus, multitudine divitiarum suarum, superbit, et in eis sperat, atque ita se prævalere putat: qua ratione et iniquitati se tradit, et a bono quoque recedit.

Vers. 10. « In domo Dei » per fidem plantatus virtutis fructus profundit, quibus cupiditates et peccata arcentur, lumen vero scientiæ alitur. Qui tam misericordes fructus profert « in misericordia Dei » sperat; non ignorat enim quod misericordes misericordiam consequentur [21]; nec sperat in unum sæculum modo, sed « in sæculum sæculi. »

PSALMUS LII.

Στ. β'. Ἄφρονα ἡγητέον λέγεσθαι τὸν φρονήσεως θείας στερούμενον. Φαίνεται γὰρ αὐτὸς περὶ οὗ ὁ λόγος, μὴ σώζων κοινὴν φρένα· εἰδὼς γὰρ πάσῃ ψυχῇ ἔννοιαν C Θεοῦ καταβεβλημένην, ἀθεότητα ἀσπαζόμενος, οὐδενὶ ἄλλῳ εἰ μὴ « τῇ ἑαυτοῦ καρδίᾳ [εἶπεν] μὴ εἶναι Θεόν. »

Διδύμου καὶ Εὐσεβίου. Στ. γ'. Ὁ παρὼν στίχος προνοητὴν εἰσάγει τὸν Θεόν, οὐ τῶν κατ' οὐρανὸν μόνον, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς. « Ἐξ οὐρανοῦ » γὰρ ἐφορᾷν προνοητικῶς « τοὺς υἱοὺς τῶν ἀνθρώπων » εἴρηται· οὐκ ἔξωθεν κατὰ τὸ σῶμα μόνον ἐπιβλέπων αὐτούς, ἀλλὰ καὶ κατὰ τὸ κρυπτὸν τῆς καρδίας· « ἐπιβλέπει γοῦν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὅπως ἴδῃ εἰ ἔστιν ὁ διὰ τοῦτο καλὸν ποιεῖν συνιών, » καὶ διὰ τοῦ ἐξετάζειν τὴν ἀλήθειαν « ἐκζητῶν τὸν Θεόν. » Ἀνθρωπίνως δὲ καὶ ἀφ' ὧν ἴσμεν εἴρηται τὸ « διακύπτειν ἐξ οὐρανοῦ » καὶ τοῦ ἰδεῖν εἰ ἔστιν συνιών· μεγάλῃ γὰρ, ἵν' D οὕτως εἴπω, προσβολῇ βλέψεως, τοῦ πάντως κρυπτοῦ γνῶσιν ἔχει.

Στ. δ'. Ἐκ δὲ προκειμένης λέξεως μανθάνομεν κατὰ παράβασιν νόμου τὴν ἁμαρτίαν συνίστασθαι. Ὃ ἀκολουθεῖ, μὴ εἶναί τινα φύσει πονηρόν· « πάντες γὰρ ἐξέκλιναν. » Ἡ δὲ ἔκκλισις ἁμαρτία ἐστὶν, ἀποτυχία οὖσα τῆς εὐθείας ὁδοῦ· « ἅμα » δὲ καὶ, « ἠχρειώθησαν » οἱ ἐκκλίνοντες, ἀχρεῖον λέγων ἢ κατὰ τὴν ἐπικράτησιν τῶν παθῶν, ἢ τὴν ἄνοιαν τοῦ μὴ νοοῦντος, συγχεομένου τῷ μετιέναι ἐξ ἑτέρων εἰς ἕτερα πράγματα.

Διδύμου καὶ Εὐσεβίου. Στ. δ'. Τὰ αὐτὰ καὶ ἐν τῷ ιγ' ἐδηλοῦτο, εἰ καὶ τὰ μάλιστα τῆς παρ' ἡμῖν ἑρμηνείας

Vers. 2. Insipiens dicitur hic homo divina doctrina destitutus. Videtur enim ille de quo agitur sensu communi carere: nam cum sciat cujusque menti insitam esse Dei cognitionem, impietatem tamen profitetur, non coram alio quidem, sed « in corde suo » dicens: « Non est Deus. »

Didymi et Eusebii. Vers. 3. Præsens hic versus declarat providere Deum non cœlestia tantum, sed ea quoque quæ super terram fiunt. Nam « de cœlo super filios hominum » providenter prospicere dicitur. Nec ea tantum quæ foris sunt, nempe corpus considerat, sed et intimos animi sensus; nam « prospicit super filios hominum ut videat si est intelligens, » bonum scilicet qui faciat, « aut requirens Deum » veritatem examinando. Humana loquendi ratione et menti nostræ accommodata dicitur Deus « de cœlo prospicere » et videre si est intelligens; nam magno, ut ita dicam, oculorum conjectu, vel abditissima perspicit.

Vers. 4. His verbis discimus peccatum per legis violationem fieri: unde consequitur neminem esse natura malum, « omnes enim declinaverunt. » Peccant autem qui declinant, quia a recta via deflectunt. « Simul et inutiles facti sunt » qui declinaverant; inutiles vocantur, vel quod cupiditatibus inserviant, vel quod rerum sibi continuo succedentium turba impediti, ratione uti jam nequeant.

Didymi et Eusebii. Vers. 4. Eadem in psalmo XIII occurrunt. Quapropter præsertim in interpretandis

[21] Matth. v, 7.

Digitized by Google

quibusdam vocibus morabimur, quæ immutatæ sunt. Illic enim legitur : « Corrupti sunt et abominabiles facti sunt in studiis suis ; » hic autem : « Corrupti sunt et abominabiles facti sunt in iniquitatibus : » quam mutationem interpretatores omittunt. Indicat autem is sermo, quantum a communi sensu deflexerint pravæ illæ impiæque opiniones, quibus ante Salvatoris adventum omnes homines inserviebant ; et quo pacto sanam illam de Deo doctrinam respuerint omnium mentibus insitam ; ac ipsos abominando idolorum cultui tradiderint, impietatem professi, seu nullum Deum, seu plures deos recolendo vitamque consequenter instituendo, et pravis impiisque studiis arserint.

Nam qui prave de Deo sentit, in cætera quoque peccata labitur. Pietatem ubi ex anima tua respueris, respuisti simul omnes virtutes, quæ pietatem tanquam reginam comitantur. Per insipientiam igitur Deum non esse dicentes, corruperunt mentem suam in iniquitatibus suis, ideoque abominabiles facti sunt. Omnes peccant, aut dum bonum facere videntur, illud non vere et reipsa faciunt.

Vers. 5. Cum sapientia ab animo abhorreat prava machinante, « non scient » quæ juxta divinam doctrinam cognoscenda sunt. Non per interrogationem, sed per negationem proferenda ista.

Vers. 6. « Trepidàverunt » pro « trepidabunt » scriptum est. Voces igitur « illic trepidabunt ubi non erat timor » ad futurum sæculum referri possunt : trepidabunt scilicet, perspectis suppliciis quibus puniendi sunt ; quæ tamen firmo animo adeunda essent. Ideo trepidabunt, quod Deus eos hic mendaces fuisse, et « hominibus placendi » studio unice intentos demonstrabit, « ossa eorum dissipans, » opiniones scilicet et vana animi consilia.

λέξεις τινὰς ἐνηλλαγμένας περιέχειν δοκεῖ. Ἐκεῖ γὰρ « διεφθάρησαν καὶ ἐδελύχθησαν ἐν ἐπιτηδεύμασιν » ἔχει, ἐνταῦθα δὲ « διεφθάρησαν καὶ ἐδελύχθησαν ἐν ἀνομίαις· » παρὰ δὲ τοὺς ἑρμηνεύσαντας ἡ ἐναλλαγὴ φέρεται. Σημαίνει δὲ διὰ τούτων ὁ λόγος τὴν ἔκπτωσιν τῶν κοινῶν περιεννοιῶν (92) τὸν δυσσεβῆ καὶ ἄθεον λογισμὸν τῆς ἀνθρωπότητος ἁπάσης πρὸ τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἐπικρατήσαντα· καὶ ὡς διέφθειραν τὰ σπαρέντα ἐν αὐτοῖς ὑγιῆ περὶ Θεοῦ σπέρματα, καὶ τῇ τῶν βδελυρῶν εἰδώλων λατρείᾳ ἑαυτοὺς παραδέδωκαν, τὴν ἀσέβειαν διελόμενοι, εἴτε παντελῶς ἀθεΐαν καὶ πολυθεΐαν, καὶ τὰ ἀκόλουθα δρῶντες, καὶ τοῖς ἀθέοις καὶ ἐνδιαστρόφοις αὐτῶν ἐπιτηδεύμασιν.

Ὁ γὰρ κακῶς περὶ Θεοῦ φρονήσας, καὶ εἰς τὴν ἄλλην ἔρχεται κακίαν. Τὴν γὰρ εὐσέβειαν τῆς ἑαυτοῦ ψυχῆς ἐκβάλλων, συνεκβέβληκεν αὐτῇ πᾶσαν ἀρετὴν ἀκολουθοῦσαν ὡς βασιλίδι τῇ εὐσεβείᾳ. Οἱ γοῦν δι' ἀφροσύνην λέγοντες μὴ εἶναι Θεὸν, διέφθειραν τὴν ἑαυτῶν γνώμην ἐν ἀνομίαις αἷς ἔπραξαν· ἐξ ὧν ἐδελύχθησαν, τουτέστι βδελυκτοὶ ἐγένοντο. Ἢ πάντων ἁμαρτανόντων, ἢ καὶ αὐτῶν τῶν δοκούντων ἀγαθῶς ποιεῖν, οὐ κυρίως καὶ ἀληθῶς ποιούντων.

Στ. ε'. Ἐπεὶ εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, « οὐ γνώσονται » ἃ δεῖ εἰδέναι κατὰ θείαν γνῶσιν. Οὐ κατὰ πεῦσιν δὲ, ἀλλὰ κατ' ἀπόφασιν ἀναγνωστέον (93).

Στ. ς'. Τὸ « ἐφοβήθησαν » ἀντὶ τοῦ « φοβηθήσονται, » εἴρηται. Τὸ οὖν ἐκεῖ « Φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος, » δύναται ἀναφέρεσθαι εἰς τὸν μέλλοντα αἰῶνα· φοβηθήσονται γὰρ οἱ ἐπιφερόμενοι τὰ ἐφ' οἷς κολασθήσονται· ἐν ᾧ ἔδει θάρσος ἔχειν. Διὰ τοῦτο δὲ φοβηθήσονται, ὅτι τοὺς ὑποκριτὰς γενομένους ἐνταῦθα καὶ σκοπὸν ἔχοντας « ἀνθρώποις ἀρέσαι, » ἐφανέρωσεν ἐκεῖ ὁ Θεὸς « σκορπίσας αὐτῶν τὰ ὀστᾶ, » δόγματα καὶ τῆς ψυχῆς ἐνθυμήσεις ὄντα.

PSALMUS LIII.

Vers. 3. Virtus Patris Christus, qui judicat occulta hominum. Orat ut non aliis judicibus, sed virtuti Dei boni examinandus tradatur ; sciebat enim se ita negligentiarum suarum veniam consecuturum ; eos vero esse damnandos qui eum immerito diripiebant.

Vers. 5. Alienos vocat, qui vitam agunt a justorum moribus alienam ; fortes vero, malos dæmones. Ait igitur : Cum « non proposuerunt Deum ante conspectum suum, » fugientes eum discedentesque ab eo, « insurrexerunt adversus justum et quæsierunt animam ejus. »

Vers. 6, 7. Adjutorem profitetur se habere Deum : Patrem fortasse et Dominum susceptorem animæ suæ. At Filium innuit, qui « avertet mala inimicis meis. » Quippe qui ipsi eadem mala patientur, quibus opprimendum me decreverant, ita judicante Domino. Quibus congruit illud : « Et facietis ei quemadmodum malignatus est facere contra fratrem suum [22]. »

[22] Deut. XIX, 19.

Στ. γ'. Δύναμις τοῦ Πατρὸς ὁ Χριστός. Οὗτος δὲ κρινεῖ τὰ κρυπτὰ τῶν ἀνθρώπων· παρακαλεῖ δὲ μὴ ἄλλοις κριταῖς, ἀλλὰ τῇ δυνάμει τοῦ ἀγαθοῦ Θεοῦ εἰς ἐξέτασιν παραδοθῆναι· οἶδε γὰρ συγγνώμης τευξόμενος ἐφ' οἷς παρεῖδεν· ἐκδικίαν δὲ γενησομένην κατὰ τῶν αὐτῶν πορθούντων ματαίως.

Στ. ε'. Ἀλλοτρίους φησὶν τοὺς ἐναντίαν προαίρεσιν τοῖς σπουδαίοις ἔχοντας· κραταιοὺς δὲ, τοὺς πονηροὺς δαίμονας. Καί φησιν· Ἐπεὶ « οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν » ἀποστραφέντες αὐτὸν, καὶ νῶτα δεδωκότες « ἐπανέστησαν τῷ δικαίῳ, καὶ ἐζήτησαν τὴν ψυχὴν αὐτοῦ. »

Στ. ζ', ζ'. Θεὸν βοηθὸν ἔχειν ὁμολογεῖ· τάχα τὸν Πατέρα καὶ Κύριον ἀντιλαμβανόμενον τῆς ψυχῆς αὐτοῦ· ἵνα εἴπῃ τὸν Υἱὸν, ὃς « ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· » ἃ γὰρ ἐπαγαγεῖν μοι βεβούληνται κακόν τι, κατ' αὐτὰ πρὸς αὐτοὺς ἀναστρέψει, τοῦτο τοῦ Κυρίου κρίναντος οὕτω. Συνᾴδει τούτῳ τὸ, « Ποιήσατε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ πλησίῳ. »

(92) Legendum procul dubio περὶ Θεοῦ ἐννοιῶν. Edit.

(93) Juxta Didymum igitur dicendum esset *non*, pro *nonne*, in hoc versiculo.

Digitized by Google

Διδύμου καὶ Θεοδωρήτου. Στ. η'. Τούτων συμβεβηκότων, φησὶν, αὐθαιρέτῳ γνώμῃ ἐπ' εὐχαριστίαν ἐρχόμενος « ἑκουσίως θύσω σοι, » οὐκ ἀνάγκης ἢ βίας εἰς τοῦτο καλούσης, ἀλλ' αὐτοκελεύστου προθυμίας εἰς τοῦτο καλούσης.

A *Didymi et Theodoreti.* VERS. 8. Quibus peractis, inquit, libenti animo gratias acturus « voluntarie sacrificabo tibi, » non vi aut necessitate compulsus, sed libero mentis studio motus.

PSALMUS LIV.

Στ. β'. Προσευχὴν ἀναφέρων Θεῷ, παρακαλεῖ αὐτὸν ἐγγίσαι αὐτῷ, ὅπως εἰς τὰ ἴδια ὦτα δέξηται ἣν προσήγαγεν προσευχήν· ἐνωτίζεται γὰρ ὁ ἐγγὺς ὢν τοῦ λέγοντος, εἰς τὰ ὦτα δεχόμενος τὸν λόγον. Καὶ ἐπεὶ, φησὶν, δεόμενος, Οὐκ ἄλλοθεν θαῤῥῶ τὰ λείποντά μοι ἀναπληρωθῆναι, ἢ ἐξ οὗ μὴ ὑπερίδῃς τὴν ὑπὲρ ὃ δέομαι παράκλησιν, « πρόσχες δέ μοι » ἐπαίροντι ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ, κοσμικῶς (94) καὶ ἱεροπρεπῶς παρισταμένῳ σοι, καὶ εἰσάκουσον τῶν λόγων ὧν ἐκ καθαρᾶς συνειδήσεως ἀναπέμπω.

VERS. 2. Deum invocans, orat eum ut accedat, et propriis auribus deprecantis orationem suscipiat: exaudit enim qui prope loquentem astat, loquentisque verba auribus percipit. Adjicit dein orans: Non alia de causa sperabo me ea consecuturum quibus indigeo, nisi quod deprecationem meam non despicies; « intende mihi » animo placido simplicique sanctas manus ad te attollenti, decenter et composite te invocanti, et « exaudi » orationes B quas ad te pura mente fundo.

Στ. δ'. Δύναται ὁ ἐχθρὸς ὁ αὐτὸς εἶναι τῷ ἁμαρτωλῷ, σχέσει μόνῃ τῆς διαφορᾶς οὔσης. Θλίβοντος οὖν τοῦ ἁμαρτωλοῦ δι' ὧν πράττει κακῶς, καὶ ἄθεα φθεγγομένου τοῦ ἐχθροῦ τῆς ἀληθείας, « ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου. » Ἐκτέτακα ἕως νῦν· περὶ γὰρ τῆς προσευχῆς αὐτῆς τοῦτο λέγει. Ὁ ἅγιος οὖν φησι· Τὸν ἐχθρὸν ὑπερήφανα φθεγγόμενον καὶ θλίβοντα τὸν ἁμαρτωλὸν ὁρῶν, πρὸς τὸν Θεὸν δι' εὐχῆς· Ἀδολεσχῶν ἐλυπήθην, τοὺς ὁμοουσίους καὶ ὁμοεθνεῖς μοι ὁρῶν εἰς βάθος κακίας πεσόντας, ὡς καὶ ταραχθῆναι ἐπὶ τῷ τρεπτῷ τῆς φύσεως, μή πη ἄρα κἀγὼ ταύτην ὑποστῶ τὴν τροπήν. Τάχα δὲ καὶ κηδεμονικώτατα λυπεῖται καὶ ταράττεται, ὁρῶν τοὺς φαύλους παραπαίοντας, ὡς εἴ τις πατὴρ λυπεῖ τῷ ἐπιμανέντι υἱῷ. Καὶ γὰρ τὸν ψαλμὸν τοῦτον ἐκ προσώπου τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπινον ἐπαγγέλλουσίν τινες, ᾧ καὶ ἁρμόζει περὶ τῶν βλαπτομένων λυπεῖσθαι.

VERS. 4. Non alius est fortasse inimicus ac peccator, nam affectibus tantum differunt. Tribulante igitur me peccatore per prava opera, et veritatis inimico impia proferente, « contristatus sum in exercitatione mea, » conturbatus sum usque adeo. Ad ipsam orationem ista sunt referenda. Ait igitur sanctus: Inimicum videns insolenter furentem, et peccatorem tribulantem, ad Deum sine ulla intermissione per preces contristatus sum; cives et contribules meos videns in malitiæ abyssum delapsos conturbatus sum de depravata natura; ne forte et ipse eosdem mores admitterem. Poterat etiam sollicitudine contristari, propter malorum insaniam; ita pater ingemiscit, cum insanos videt C in filium furentes. Nam existimant quidam hunc psalmum esse interpretandum, quasi persona Christi proferretur. Cui convenit de hominibus læsis condolere.

Στ. ε'. Ἐπίσταται πᾶς σπουδαῖος ἕτερον εἶναι τὸ ἐν λογισμοῖς ἁμαρτάνειν, ὃ καὶ ἀνεκτόν ἐστιν· καὶ ἕτερον ἐν πράξει καὶ λόγοις, ὃ καὶ ἐπικίνδυνον καὶ βαρύ. Διὸ καὶ εἴ ποτε ἐν λογισμοῖς συμβαίνει κλόνον καὶ βλάβην γενέσθαι, ἐν ἑαυτῷ φυλάττων αὐτὰ, οὐδὲ προφέρει λόγον κατὰ τὸ ἐν κρυπτῷ ἁμάρτημα, οὐδὲ πράττει ἀποτελεσματικῶς, εἰδὼς ἰάσιμον εἶναι τὸ ἐνθύμημα, τὸ δ' ἐν πράξει καὶ λόγοις δυσίατον, ἔστω τε (95) ἢ καὶ ἀνίατον· διό φησιν, « Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί· » οὐ γὰρ ἡρμήνευσα τὴν ταραχὴν, ἢ ἔπραξά τι κατ' αὐτὴν, ἀλλὰ καὶ « δειλίας ἐπιπεσούσης θανάτου » τοῦ ἀκολουθοῦντος τῇ ἁμαρτίᾳ, « ἐν D ἐμαυτῷ αὐτὴν κατέσχον· » συμβαίνει γὰρ ἐκ τοῦ ἔξω τὴν δειλίαν φανῆναι, καὶ ἑτέρων πρόσκομμα γενέσθαι τὸν δηλωθέντα.

VERS. 5. Non ignorat justus aliud esse cogitatione peccare, licet et hoc malum sit, et aliud operibus et sermonibus peccare, quod gravius et periculi plenum. Quapropter si cogitatione forte quid peccaverit aut deliquerit, illud reticet, nec occultum peccatum verbis prodit, nec opem perficit, potest enim mens corrigi. Quod autem opere et verbis peccaveris, nec sanari nec corrigi potest. Ait igitur, « Cor meum conturbatum est in me; » non enim mentis perturbationem aut sermone explicavi, aut opere perfeci, sed « formido mortis » peccatori imminentis « cecidit super me; » nam extranea et externa formido, et aliis fit offendiculum qui revelatus est.

Στ. ιζ'. Τῶν κατὰ τοῦ Σωτῆρος τολμηθησομένων τοιούτων ὄντων, « ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, » καὶ ἔσχον εἰσακουομένην ὑπὸ Κυρίου τὴν φωνήν μου· μόνος γὰρ εἰσακούεται ὑπὸ Κυρίου ὁ πρὸς τὸν Θεὸν κεκραγώς· οὐ γὰρ πᾶς κράζων, πρὸς Θεὸν βοᾷ· περὶ Σοδομιτῶν γέγραπται· « Φωνὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται, » οὐ πρὸς Θεὸν κεκραγότων.

VERS. 17. Tales cum sint qui Salvatorem tanto impetu impugnant, « ego ad Deum clamavi, » et vox mea a Domino exaudita est. Non enim exauditur alius a Domino, nisi qui ad Deum clamat: non autem clamant ad Deum ii omnes qui clamant; scriptum est enim de Sodomitis: « Clamor Sodomorum et Gomorrhæ impletus est erga me [23], » sane non ad Deum clamantium.

[23] Gen. XVIII, 20.

(94) Vel legendum κοσμίως, vel certe notandum adverbium κοσμικῶς, hoc sensu acceptum. EDIT.

(95) Legendum omnino ἔσθ' ὅτε. Ib.

Digitized by Google

Vers. 18. Quando, os justi sapientiam semper meditatur, Psalmista utpote pius, et semper in sapientiam intentus ait : « Vespere, » cum occidit malitia, et lux exstincta impiorum ; « et mane, » cum oritur sol justitiæ ; « et meridie, » cum hic Altissimus ardet, « narrabo » quæ vespertino tempori, et matutino, et meridiano conveniunt ; et annuntiantis ista « exaudiet Deus vocem, » accipiens eam, eaque, ut ita dicam, delectatus.

Vers. 20. « Qui est ante sæcula » dicit de Deo, et non « qui erat. » Quod si enim « qui erat » dixisset, eum innuisset certo quodam tempore ante sæcula ortum. Qua de causa dicit « qui est, » æternum eum statuens et omni principio carentem. Per illud autem, « ante sæcula, » sæcula declarat principium habuisse. Nec te fugiat hic per sæcula omnes creaturas esse intellectas. Salvator pariter æternus, et ex æterno est ante sæcula, cum per eum ipsa facta sint sæcula. Hinc Paulus : « Et ipse est, » inquit [24], « ante omnes, » idem sonat ac « qui est » effatum illud : « et ipse est ante omnes ; » non enim legimus : « Et ipse erat ante omnes. »

« Non enim est illis commutatio » peccatorum. Alia quidem peccata difficillime aut etiam nullo pacto sanantur, alia vero possunt sanari. De his profecto commutationem invenies, si sacrificia pro delictis offers, præsertim vero eleemosynam et orationem cum jejunio ; nam ista liberant a morte [25]. Illis autem qui insanabilia peccata admiserint non est commutatio, redemptionis pretium statui nequit : « Nam si deliquerit homo in hominem, et oraverint alii pro eo, » fit talis injuriæ commutatio. « Quod si autem Deum pro eo rogaverint, » non fiet commutatio ; nam de talibus peccatis non est.

Vers 21. « Extendit manum suam, » dum cuique pro meritis retribuerit. Cum enim Christum prodiderint et immolaverint, gravissima iniquitate inquinati, digni visi sunt, qui pœnas darent ; nam « contaminaverunt testamentum Dei, » prophetam non agnoscentes, imo necantes quem illud denuntiaverat. Dici quoque potest quod, cum ad tempus definitum modo servandum esset illud testamentum sensu carnali, elapsis temporibus quibus illud a sensu carnali ad spiritualem erat transferendum, qui figurationem cultum retinuerunt, « contaminaverunt testamentum Dei. » Quamobrem extendens manum suam ultricem, tradidit eos, ut eos tollat ira ejus, qua jam divisi fuerant, inter omnes gentes dispersi.

Vers. 22. « Appropinquavit Deus, » inquit, cum hominibus congressus, sermones ejus ut oleum salutares et laborantium ægritudinem lenientes. At

[24] Colos. I, 17. [25] Tob. XII, 9.

Στ. ιη'. Ἐπεὶ διήγησις εὐσεβοῦς διαπαντὸς σοφία, εὐσεβὴς ὢν καὶ διαπαντὸς διηγούμενος σοφίαν ὁ ψάλλων φησίν· « Ἑσπέρας, » ὅταν δύνῃ μοι τὰ τῆς κακίας, καὶ τὸ σβεννύμενον φῶς τῶν ἀσεβῶν, ἀνατέλῃ δέ μοι ὁ τῆς δικαιοσύνης ἥλιος ὡς « ἐν πρωΐᾳ » με ποιῆσαι· οὗ ἀκμάσαντος, « ἐν τῷ μεσημβρινῷ » γενόμενος, « διηγήσομαι » τὰ τῆς προειρημένης ἑσπέρας καὶ τοῦ προαπηγγελμένου πρωΐ καὶ τῆς προειρημένης μεσημβρίας· ἀπαγγέλλοντος δέ μου ταῦτα « εἰσακούσεται ὁ Θεὸς τῆς φωνῆς » μου, ἀποδεχόμενος καί, ἵν' οὕτως εἴπω, τερπόμενος ἐπὶ τῇ φωνῇ μου τῇ πάντα διηγησαμένῃ.

Στ. κ'. « Ὑπάρχοντα πρὸ τῶν αἰώνων » φησὶν τὸν Θεὸν, οὐχ « ὑπάρξαντα· » εἰ γὰρ εἴρηκεν « ὑπάρξαντα, » καὶ αὐτὸς ἀρχὴν ἔχων μεμετρημένῳ τινὶ διαστήματι πρὸ αἰώνων ὑπῆρχεν. Διὰ τοῦτό οὖν εἶπεν, « ὁ ὑπάρχων, » ἄναρχον καὶ ἀΐδιον αὐτοῦ ὕπαρξιν τιθέμενος. Διὰ δὲ τοῦ « πρὸ αἰώνων, » ἀρχὴν ὑπάρξεως τῶν αἰώνων καταλαμβανόμενος. Δεῖ δὲ τῶν αἰώνων ἀκούειν, ὡς παρεκτάσεων οὐσῶν τῶν κτισμάτων. Καὶ ὁ Σωτὴρ δὲ ἀΐδιος ἐξ ἀϊδίου τυγχάνων πρὸ τῶν αἰώνων ἐστὶν, τῷ καὶ αὐτοὺς τοὺς αἰῶνας δι' αὐτοῦ γεγονέναι· καὶ Παῦλος δὲ, « Καὶ αὐτός ἐστιν, » φησὶν, « πρὸ πάντων· » ἴσον δὲ τὸ « ὑπάρχων » τῷ, « αὐτός ἐστιν πρὸ πάντων· » οὐ γὰρ εἶπεν, « Καὶ αὐτὸς γέγονε πρὸ πάντων. »

« Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα. » Τῶν ἁμαρτημάτων τὰ μὲν θυσίατα ἢ καὶ ἀνίατα, τὰ δὲ ἰάσιμα· καὶ περὶ μὲν τῶν ἰασίμων ἔστιν ἀντάλλαγμα εὑρεῖν τὴν ὑπὲρ ἁμαρτιῶν προσαγομένην θυσίαν, ἀλλὰ καὶ ἐλεημοσύνην καὶ νηστείαν μετὰ προσευχῆς· ταῦτα γὰρ ῥύεται ἐκ θανάτου· τῶν δὲ ἀνίατα ἡμαρτηκότων οὐκ ἔστιν ἀντάλλαγμα· λύτρον καὶ... καταθέσθαι. « Ἐὰν γὰρ ἁμαρτὼν ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ, » ἔστι τούτων ἀντάλλαγμα. « Ἐὰν πρὸς Κύριον τὸν Θεὸν προσεύξηται περὶ αὐτοῦ (96), » οὐκ ἔστιν γὰρ τῶν τοιούτων ἀντάλλαγμα.

Στ. κα'. « Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ » ἐν τῷ ἀποδιδόναι τὰ ἀντάξια ὧν εἰργάσαντο· ἐπεὶ γὰρ προδόται καὶ φονεῖ, Χριστοῦ γεγένηνται,... λλακτα (97) ἡνομηκότες, ἄξιοι ὑποπεσεῖν τιμωρίᾳ ὤφθησαν· « ἐβεβήλωσαν γὰρ τὴν διαθήκην τοῦ Θεοῦ, » οὐ προσηκάμενοι, ἀλλὰ καὶ ἀναιρήσαντες τὸν ὑπ' αὐτῆς προφητευόμενον. Τάχα δὲ καὶ ἐπεὶ μέχρι καιροῦ ὥριστο τηρεῖσθαι κατὰ τὸ αἰσθητὸν ἡ διαθήκη, πληρωθέντος τοῦ χρόνου καθ' ὃν ἔδει ἐκ τοῦ κατὰ σάρκα ἐπὶ τὸ κατὰ πνεῦμα αὐτὴν μεταβαλεῖν, ἐμμείναντες τῇ τυπικῇ λατρείᾳ, « ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ· » διὸ καὶ ἐκτείνας τὴν χεῖρα τὴν κολαστικὴν, ἀπέδωκεν αὐτοὺς (98), ὡς φθάσαι τὴν ὀργὴν αὐτοῦ εἰς τέλος· ὑφ' ἧς καὶ διεμερίσθησαν ἐν παντὶ ἔθνει διεσκορπισμένοι.

Στ. κβ'. « Ἤγγισεν ὁ Θεὸς » τοῖς ἀνθρώποις, φησὶν, συγκαταβαίνων, λόγους δὲ προφέρων ἐλαίου δίκην ἰωμένους καὶ λύοντας τὰς ἀλγηδόνας τῶν καμνόντων. Οὗτος (99)

(96) Legendum cum LXX, τίς προσεύξεται περὶ αὐτοῦ ; Edit.

(97) Non male sarcietur lacuna, ut mihi videtur, si legeris ἀκατάλλακτα. Id.

(98) Num αὐτοῖς, *retribuit illis?* Id.

(99) Lego οὗτοι, sensu et grammatica postulantibus. Id.

Digitized by Google

δὲ οἱ ὑπὲρ ἔλαιον ἁπαλοὶ λόγοι τοῖς καταφρονοῦσιν εὑρίσκονται βολίδες κολάζοντες τοὺς καταφρονοῦντας· πολλαχοῦ δὲ ἐπὶ τῶν κολάσεων κεῖται ἡ βέλους προσηγορία· βέλος δὲ καὶ βολὶς ταυτὸν ὑποκείμενον. Εἰ καὶ ἁπαλοὶ εἶναι καὶ λεῖοι νομιζόμενοι Ἰουδαῖοι, διὰ τὸ μεθ' ὑποκρίσεως αὐτοὺς προσφέρεσθαι, βολίδες ἦσαν ἀναιρετικαὶ καὶ ἰοῦ πλήρεις.

A sermones isti super oleum molliti, « jaculo erunt » ultricia hominibus, qui eos fastidiunt. Sæpissime de inferendis pœnis sagittas memorat. Sonat vero idem sagitta ac jaculum. Licet molliti haberentur Judæi et comes, cum se non nisi ficte et simulate gererent, jacula erant mortifera et veneno infecta.

Στ. κδ'. Οὓς εὔχεται ταπεινωθῆναι ὑπὸ τοῦ Θεοῦ τοῦ « ὑπάρχοντος πρὸ τῶν αἰώνων, » οὐ φοβηθέντας Θεὸν, ἀλλὰ καὶ βεβηλώσαντας « τὴν διαθήκην » αὐτοῦ· « ἄνδρας αἱμάτων » λέγει εἰπόντας· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, » ὄντας καὶ ἐνόχους παντὸς αἵματος ἐκκεχυμένου τῶν δικαίων. Οἱ δ' αὐτοὶ καὶ δολιότητός εἰσιν ἄνδρες, δολερῶς ἀεὶ τῷ Σωτῆρι καὶ τοῖς ἁγίοις προσερχόμενοι. Τούτους οὖν εὔχεται μηδ' ἐπὶ τὸ ἥμισυ τῶν ἡμερῶν αὐτῶν φθάσαι· ἐπεὶ γὰρ B ἀποστραφέντες τὴν ἡμέραν τὴν ἐκ τῆς λάμψεως τοῦ ἀληθινοῦ φωτὸς συνισταμένην, ἑαυτοὺς ἡμέραν ὅθεν φωτισμοῦ διὰ μυθικῶν παραδόσεων ἐπενόησαν, πονηρὸν δὲ τὸ ἐν τούτοις ἀναπληρωθῆναι αὐτῶν τὰς ἡμέρας, παρακαλεῖ μή ποτε ἐπὶ τὸ ἥμισυ αὐτῶν τῶν ἡμερῶν φθάσασιν, ἀνατεῖλαι αὐτοῖς τὸν ἥλιον τῆς δικαιοσύνης, ἵνα ἐν ἡμέρᾳ Κυρίου γένωνται. Καὶ πρὸς τὸ ῥητὸν δὲ βιάσοιτό τις τοιαῦτα· Ἐπεὶ ἐν τῷ βίῳ διαμένοντες ἀμετανοήτῳ προαιρέσει κακὰ δρῶσιν, φειδόμενος αὐτῶν, ἀξιοῖ ὅπως μεσούσης τῆς ἀνθρωπίνης ζωῆς ἁρπαγῶσιν τοῦ βίου, ἵνα ὑπὲρ ὀλίγων ἁμαρτημάτων καὶ μὴ πολλῶν τιμωρηθῶσιν. Τούτων, φησὶν, οὕτω διακειμένων, ἐγὼ τὴν προσδοκίαν καὶ ἐλπίδα ἐπὶ σὲ ἔχω, Κύριε.

Vers. 24. Optat ut a Deo « qui est ante sæcula » humilientur homines, qui eum non reverentur, et il præsertim qui « testamentum Dei » contaminant. « Viros sanguinum » illos vocat qui dixerunt : « Sanguis ejus super nos et super filios nostros [26], » et super quos « Veniet omnis sanguis justus qui effusus est super terram [27]. » Vocantur etiam viri « dolosi, » qui dolis suis Salvatorem et justos semper sunt insecuti. De istis igitur optat ne dimidient dies suos. Nam cum, rejecto illo die qui erat per ortum veri luminis instituendus, ipsi sibi alium diem illuminationis per falsas doctrinas excogitaverant, non decebat eos in istis dies suos peragere. Orat ergo ne dimidium dierum suorum perficiant, ut illucente sole justitiæ, ad diem Domini perveniant. Dices etiam, at verba Scripturæ torquendo : Cum illi ad peccandum obstinati homines, si vitam retinerent, ad nova mala delaberentur parcens eis, orat ut medio in vitæ curriculo decidant, atque ita de paucis non de multis peccatis puniantur. Quæ cum ita se habeant, inquit, ego in te spero et confido, Domine.

PSALMUS LV.

Στ. β'. Τὸ καταπατεῖσθαι ἐπὶ καταφρονήσεως τάττει ἡ Γραφὴ, ὥσπερ ἐπὶ τοῦ μεμωραμμένου ἁλὸς λέγεται, « Ἔξω βάλλουσιν αὐτὸ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων· » καὶ ὁ Ἀπόστολος· « Πόσον δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας; » Καὶ ὁ ἅγιος οὖν ἐξευτελιζόμενος ὑπὸ τοῦ διὰ φαυλότητα ἀνθρώπου ὄντος, κατὰ τὸ, « Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, » οὐχὶ ἄνθρωποί ἐστε ἐλεηθῆναι ὑπὸ Θεοῦ ἄξιοι. Οὗτος δὲ ἀδιάστατος πολέμιος καὶ φονικὸς ὢν, « ὅλην » τὴν τοῦ βίου « ἡμέραν » ἐκβλίβει πολεμῶν τὸν δίκαιον, οὐδὲ κἂν ποσῶς εἰρηνικὸς εἶναι βουλόμενος. Ἐπειδὴ δὲ καὶ ἐν τῇ παραβολῇ τῶν ζιζανίων ὁ τούτων σπορεὺς « πονηρὸς ἄνθρωπος » ὁ διάβολος ἑρμηνεύεται, ἐπίστησον εἰ καὶ περὶ αὐτοῦ ῥηθεῖη τὰ προκείμενα.

C Vers. 2. Scriptura vocem conculcari de rebus quæ pro vilibus habentur, usurpat. Ita de infatuato sale dicitur : « Mittitur foras ut conculcetur ab hominibus [28]. » Ita Apostolus [29] : « Quanto magis putatis deteriora mereri supplicia, qui Filium Dei conculcaverit? » Sanctus igitur ab illo conculcatur qui propter pravitatem homo est, juxta illud : « Cum enim zelus et contentio [30], » nonne vos, ait, homines estis miseratione Dei egentes? Qui autem « tota » vitæ « die » justum « impugnans » tribulat, inimicus est ille æternus et infensissimus, qui ne aliquantulum quidem paci consentiet. Cum in parabola zizaniorum, « Inimicus homo » qui eo seminavit diabolus dicitur [31], scito hic quoque de eodem agi.

Στ. γ'. Ἀρξάμενοι ἀπὸ πολλοῦ τοῦτο ποιεῖν, φησὶν, ἢ τάχα « ἀπὸ ὑψηλοτέρας ἡμέρας » καὶ ζωῆς καταπεσόντες ἐπὶ τὸ « ἐχθροί μου εἶναι ἐληλύθασιν. »

D Vers. 3. Jam a longo temporis intervallo, ait ab eis invadi. Aut forsan, « ab altitudine diei, » et vitæ dejecti, « inimici mei facti sunt. »

Στ. ε'. Σάρκα δὲ ἢ τὸν ἄνθρωπον λέγει, ἢ ἐκείνην ἧς τὸ φρόνημα ἔχθρα εἰς Θεὸν, τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτασσομένην· ὁ γὰρ ἐν αὐτῇ τῇ σαρκὶ γινόμενος, Θεῷ ἀρέσαι οὐ δύναται. Οὐ φοβεῖτο οὖν « μή τι ποιήσει αὐτῷ σὰρξ, » ὁ ἐν πνεύματι γινόμενος, ὡς ἂν τὰ ἔργα τῆς σαρκὸς νεκρώσας· οὕτω γὰρ ἀληθῶς ἐπὶ Θεὸν ἤλπισεν.

Vers. 5. Carnem vocat hominem, aut mentem illam quæ Deo infensa divinis legibus repugnat. Nam qui in carne est, Deo placere nequit. Non timeas « quid faciat tibi caro, » qui carnis operibus mortificatis [32], in spiritu es; ita enim vere in Deo sperabis.

[26] Matth. xxvii, 25. [27] Matth. xxiii, 35. [28] Matth. v, 13. [29] Hebr. x, 29. [30] Jac. iii, 16. [31] Matth. xiii, 39. [32] Rom. viii, 13.

Digitized by Google

Vers. 9. Promisisti, Domine, te oppressorum gemitus exauditurum : Nam, « ingemiscit ad me, et persolvi promissa ; » et adhuc loquente me dixisti : « Ecce adsum, » juxta firmam promissionem tuam.

Στ. θ'. Σὺ ὑπέσχου νομοθετῶν, τῶν ἀδικουμένων ὑπακούειν στενόντων· « Στενάζει » γὰρ « πρὸς μὲ, καὶ πεπλήρωκα τὴν ὑπόσχεσιν· » καὶ ἔτι λαλοῦντός μου ἔφης, « Ἰδοὺ πάρειμι, » κατὰ τὰς ἀναψευδεῖς σου ἐπαγγελίας.

Vers. 11. Verbum in Deo et per Deum prolatum, laudibus dignum : itidem et sermo. Sane eodem sensu usurpantur hic voces verbum et sermo, ad eadem repetenda adhibitæ. At alias diverso quoque sensu occurrunt. Nam cum verbum sit pars sermonis, virum in pietate adhuc tironem plenissimo sermone non alloquitur Deus, quem ille capere non posset, sed verbo primum, parte scilicet sermonis. Profecto ad Jeremiam factum est primum verbum Domini, et postea sermo Domini [33]. Ita apud Isaiam [34] : « Audite verbum Domini, qui tremitis sermonem ejus. » Audite verbum Domini viro quem in suos nuper admisit. Quod si objicies verbum dari evangelizantibus virtute multa [35], responderi poterit verbum ad futurarum rerum scientiam disciplinamque referri, quas nunc ex parte tantum cognoscimus et prophetamus [36]. Initio igitur et summam sermonis scientiam simul adeptus, in Deo laudat verbo et sermone.

Στ. ια'. Τὸ ἐπὶ τῷ Θεῷ καὶ διὰ τὸν Θεὸν προφερόμενον ῥῆμα, αἰνετόν ἐστιν· ὡσαύτως καὶ ὁ λόγος. Ἤτοι δὲ ἐκ παραλλήλου κατὰ τοῦ αὐτοῦ τὸ ῥῆμα καὶ τὸν λόγον κατηγορεῖ· καὶ ἐπ' ἄλλου καὶ ἄλλου τίθεται τὰς τοιαύτας προσηγορίας· ἐπεὶ γὰρ τὸ ῥῆμα μέρος ἐστὶ λόγου, ὁ εἰς τὴν θεοσέβειαν εἰσαγόμενος πληρεστάτῳ λόγῳ μήπω δυνάμενος κοινωνεῖν, ἀπὸ ῥήματος ἄρχεται, τουτέστιν μερικοῦ λόγου. Ἀμέλει πρότερον τὸ ῥῆμα Κυρίου γίνεται ἐπὶ Ἱερεμίαν, καὶ τότε λόγος Κυρίου· καὶ ἐν Ἡσαΐᾳ, « Ἀκούσατε ῥῆμα Κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ· » ἀκούετε δὲ ῥῆμα Κυρίου τῷ ἐν εἰσαγωγῇ γινομένῳ δι' αὐτοῦ. Εἰ δέ τις ἐνστήσεται ῥῆμα λέγων δίδοσθαι τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, εἰς τὸ πρὸς τὴν μέλλουσαν γνῶσιν καὶ διδασκαλίαν ῥῆμα λαμβάνειν, νῦν ἐκ μέρους γινώσκοντας καὶ προφητεύοντας· ἀποδεχόμενος οὖν καὶ τὴν εἰσαγωγὴν καὶ τὴν πληρεστάτην τοῦ λόγου ἐπιφοίτησιν, ἐπὶ τῷ Θεῷ αἰνεῖ ῥήματι καὶ λόγῳ.

Vers. 12. Qui vota facit, quando convenienter se habet, per votum precatur. In ipso sunt vota laudationis, quæ reddet Deo ; vota autem laudationis ipsæ laudationes. Nam quemadmodum Deo hoc vel illud facturum aut daturum te polliceris, ita et Deum laudaturum se pollicetur.

Στ. ιβ'. Ὁ εὐχόμενος ὅτε καταλλήλως διάκειται εἰς (1) ἐπαγγέλλεται διὰ τῆς εὐχῆς, ἐν ἑαυτῷ ἔχει τὰς εὐχὰς τῆς αἰνέσεως ἃς ἀποδώσει τῷ Θεῷ. Εὐχαὶ δὲ αἰνέσεως αἱ περὶ αἰνέσεως· ὡς γὰρ εὔχεταί τις ποιῆσαι ἢ ἀποδοῦναι τῷ Θεῷ τόδε τι, οὕτως εὔχεταί τις αἰνέσαι τὸν Θεόν.

Vers. 13. Mortuos solent lacrymis et gemitibus prosequi; animæ autem tuæ mortem nemo præter te dolebit. Merito igitur anima de morte erepta temperabis a lacrymis. Eripuit etiam « pedes de lapsu, » ligato scilicet sub pedibus calceamento, quo e terra ad sublimia tollamur. Ubi enim ad sublimia te sustuleris, « de lapsu pedes » eripiantur oportet. De prædictis autem malis eriperis, ut Deo placeas vivens et illuminatus. Nam qui placet Deo « in lumine viventium, » illud facit. Vivit vero et illuminatur qui Dei particeps est. Ipse enim vita, et lumen est hominum. Inimici quidem pro viribus suis me sunt aggressi, et morte afficere conati. Nam expellentes me de patria et ad alienigenas externasque gentes confugere cogentes, quantum in eis erat animam meam necaverunt, alienigenarum idolis se tradere coactam. At gratia et misericordia tua non permisisti, Deus, ut talia fierent, sed vel apud alienigenas me protexisti, ne quid mali ex eorum societate paterer. Quapropter gratias tibi ago, quod « pedes meos de lapsu » animæ « eripuisti. »

Στ. ιγ'. Ἐπείπερ ἀκολουθεῖ τῷ θανατουμένῳ τὸ θρηνεῖσθαι καὶ δάκρυα ἐπ' αὐτῷ γενέσθαι, οὐκ ἄλλος δὲ θρηνεῖ τὸν κατὰ ψυχὴν τεθνηκότα ἢ αὐτὸς ἑαυτὸν, εἰκότως μετὰ τὸ ῥερῦσθαι τὴν ψυχὴν ἐκ θανάτου, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ δακρύων ἠλευθέρωνται· ἐῤῥύσατο δὲ « ἀπὸ ὀλισθήματος τοὺς πόδας, » ὑποδήσας αὐτοὺς ὑπόδημα μετεωρίζον καὶ ἄνω τῆς γῆς ποιοῦν. Μετεωριζομένου οὖν τοῦ ὑποδεδεμένου, ἀκολουθεῖ τὸ ῥερῦσθαι « ἀπὸ ὀλισθήματος τοὺς πόδας » αὐτοῦ· ῥύεται δέ τις ἀπὸ τῶν προειρημένων ἐπιβλαβῶν ἐπὶ τῷ εὐαρεστῆσαι τῷ Θεῷ ζῶντα καὶ πεφωτισμένον· ὁ γὰρ εὐαρεστῶν τῷ Θεῷ, « ἐν φωτὶ ζώντων » τοῦτο ποιεῖ. Ζῇ δὲ καὶ πεφώτισται πᾶς μετέχων Θεοῦ· αὐτὸς γὰρ ζωὴ ὤν, φῶς ἐστιν τῶν ἀνθρώπων· οἱ μὲν γὰρ ἐχθροὶ, τὸ ὅσον ἐπ' αὐτοῖς ἦλαυνον, καὶ ἐξεβιάζοντο εἰς θάνατον ἐκπεσεῖν· ἐλαύνοντες γάρ με, καὶ μέσον ἀλλοφύλων καὶ ἀλλογενῶν ἐθνῶν οἰκεῖν καταναγκάζοντες, τὴν ψυχήν μου, τὸ ἐπ' αὐτοῖς, ἐθανάτουν, ἀναγκάζοντες συνάπτειν τῇ τῶν ἀλλοφύλων εἰδωλολατρείᾳ· ἀλλ' ἡ σὴ χάρις καὶ τὸ ἔλεος οὐ συνεχώρησεν τοῦτο γενέσθαι, ἀλλὰ καὶ παρὰ τοῖς ἀλλοφύλοις με ὄντα περιέφραττες, ὡς μηδὲν καταβλάπτεσθαι ἐκ τῆς τούτων συνουσίας· διὸ εὐχαριστῶ ὅτι « ἐῤῥύσω τοὺς πόδας μου » τῆς ψυχῆς « ἀπὸ ὀλισθήματος. »

PSALMUS LVI.

Vers. 1. Contendunt quidam psalmum hunc a David tunc fuisse scriptum, cum a facie Saul in speluncam

Στ. α'. Ἱστέον ὡς τινες τοῦτον αὐτῷ εἰρῆσθαί φασι τὸν ψαλμὸν ἡνίκα τὸν Σαοὺλ ἀπεκρύβη ἐν τῷ σπηλαίῳ

[33] Jerem. I, 2, 3 ; XIII, 3. [34] Isa. LXVI, 5. [35] Psal. LXVII, 12. [36] I Cor. XIII, 9.

(1) Scribendum procul dubio οἷς ad quod referatur adverbium καταλλήλως. Edit.

Digitized by Google

Ἠγγαδδὶ, καὶ εἰσελθόντα αὐτὸν ἀποσκευάσασθαι, δυνηθεὶς ἀνελεῖν, οὐκ ἀνεῖλε.

Engadi fugeret, et Saulem, ut fessum corpus recrearet eamdem ingressum, necandi occasione data, non necaret.

Στ. β'. Ὁ ἐπιδιπλασιασμὸς δηλοῖ, ὅτι καὶ ἐν τῷ βίῳ τούτῳ καὶ ἐν τῷ μέλλοντι ἐλέους Θεοῦ χρῄζομεν. Σκιὰν δὲ πτερύγων τὴν θείαν κηδεμονίαν καλεῖ. Εἰ δὲ προδιαστέλλοιτο « ἡ σκιὰ » τῇ ἀληθείᾳ, ὃ βούλεται τοιοῦτόν ἐστιν· Ἐν τῷ βίῳ τούτῳ τυγχάνων, ἐν τῇ σκιᾷ τῶν πτερύγων εἰμὶ, ἐλπίζων καὶ ἐπ' αὐτὰς τὰς πτέρυγας ἐλθεῖν ἐπτερωμένος ἀρετῇ καὶ νοήσει πνευματικῇ. Πτέρυγες δὲ Θεοῦ αἱ σκεπαστικαὶ αὐτοῦ δυνάμεις, ἢ αἱ ὑψιπετεῖς περὶ αὐτοῦ νοήσεις. Τὸ « παρέρχεσθαι τὴν ἀνομίαν, » δηλοῖ πρόσκαιρον αὐτὴν εἶναι. Ὥσπερ οὖν παρερχομένη, οὕτως καὶ ἀπό τινος χρόνου ἀρξαμένη ἐστὶν ἡ ἀνομία. Περὶ γάρ τινος εἴδους αὐτῆς εἴρηται· « Οὔτε ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται. »

Vers. 2. Indicat vocis « miserere » iteratio nos et in præsenti hac vita, et in futura Dei miseratione indigere. Umbram alarum vocat providentiam divinam. Quod si autem ad veritatem referenda est « umbra, » hic erit loci sensus: Donec hanc vitam ago, in umbra alarum sum; ipsas vero alas spero me consecuturum, virtute et spirituali mente quasi alatus. Alæ igitur Dei, aut divina potestas qua tegimur, aut sublimes de ipso doctrinæ. Ex eo quod « transeat iniquitas » apparet eam, non nisi ad tempus durare. Nec transit tantum, sed et certo quodam tempore exorta est. Dictum est enim de quodam iniquitatis genere: « Neque erat ab initio, neque erit in perpetuum [37]. »

Στ. γ'. Ἐπεὶ γὰρ ἡ ἀνομία ἑρπιστικὴ καὶ χαμαιπετής ἐστιν, ὁ ταύτης ἀπαλλακτικῶν, πρὸς « τὸν Ὕψιστον » βοᾷ, ἵν' εἰς ὕψος αἰρόμενος τῇ βοῇ, μακρὰν ἀπὸ τοῦ βλαβεροῦ θηρὸς γένηται. Διὰ τοῦτό φησι, « τὸν Θεὸν Ὕψιστον. »

Vers. 3. Quando per humum repat et serpat iniquitas, qui eam respuere conatur, ad « Altissimum » clamat, ut in altum clamore elatus, longius ab infensissima bestia abeat; hac de causa dicit, « altissimum Deum. »

Στ. δ'. Ὁ ἀποσταλεὶς ἐξ οὐρανοῦ ἐπὶ τὸ σῶσαι, ὁ Κύριός ἐστιν φάσκων, « Καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ. » Τοῦτον γὰρ ὄντα Λόγον αὐτοῦ ἐξαπέστειλεν ὁ Θεὸς, καὶ ἰάσατο τοὺς τετρυμμένους ἐκ τῶν διαφθορῶν αὐτῶν. Ζητήσει δ' ἄν τις τὸ ἐξ οὐρανοῦ ἀπεστάλθαι, εἰ τοπικὴν ἐκ τοῦ σωματικοῦ οὐρανοῦ ἐκπομπὴν δηλοῖ. Δόξει γὰρ ἄλογον εἶναι τοπικὴν κατάβασιν τῷ Θεῷ προσάπτειν. Μή ποτ' οὖν σημαίνει ἡ « οὐρανὸς » φωνὴ τὴν ἀσώματον καὶ νοητὴν οὐσίαν, κατὰ τό· « Θησαυρίζετε ἐν οὐρανῷ » ἄνω; « Ὁ ἐν μορφῇ τοίνυν Θεοῦ » καὶ ἴσα Θεῷ ὑπάρχων, « μορφὴν δούλου λαβὼν » εἰς ἀνθρώπους ἦκεν. Καὶ τοῦτό ἐστι τὸ ἐξ οὐρανοῦ ἀποστεῖλαι, ἵνα ὁ Θεὸς Λόγος σὰρξ γένηται, καὶ ἐπὶ γῆς ὀφθεὶς, ἀνθρώποις συναναστραφῇ. Τὰ αὐτὰ καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος μυσταγωγῶν ὁ Πέτρος γράφει· « Ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς, Πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ. » Ἀποσταλὲν γὰρ ἐκ τοῦ νοητὴν οὐσίαν τυγχάνειν τὸ Πνεῦμα ἀνθρώποις ἐνῳκίσθη τοῖς εὐαγγελισαμένοις ὑμᾶς.

Vers. 4. Qui missus est de cœlo ad salutem dandam, non alius est ac Dominus qui dixit: « Descendi de cœlo [38]. » Quem enim misit Deus, utpote Verbum suum, ut liberaret afflictos de tribulationibus eorum. At roget fortasse quis: De cœlo missus, num de cœlo corporeo quasi e loco egreditur? Absurdum enim de Deo putares, eum de loco ad locum transire. Aut voce « cœlum » innuetur forte aliquid incorporeum et spirituale, juxta illud: « Thesaurizate vobis in cœlo [39] » sursum? « Qui cum in forma Dei esset, » et Deo æqualis, « formam servi accipiens [40] » venit ad homines. De cœlo mittitur, quando caro fit Deus Verbum, et inter homines apparens, cum illis conversatur. Eadem docuit Petrus de Spiritu sancto scribens: « Quæ nunc nuntiata sunt vobis, per eos qui evangelizaverunt vobis, Spiritu sancto misso de cœlo [41]. » Nam missus est Spiritus sanctus, cum corpore prius carens, nunc in evangelizantibus vos inhabitat.

Στ. ε'. Ἐν τῷ προάγοντι στίχῳ εἰπὼν, « Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, » οὐκ εἰρηκὼς τί τὸ ἀποσταλὲν, νῦν ἑρμηνεύει ὅτι τὸ ἔλεος καὶ ἡ ἀλήθεια. Ἅπερ οὐχ ἕτερα κατ' οὐσίαν, ἀλλ' αὐτὸς ὁ Σωτὴρ ἀμφότερα ῥυόμενος τὴν ψυχὴν αὐτοῦ γενομένην μεταξὺ ἐχθρῶν τῶν καταπατησάντων· οἳ διὰ τὸ ἄγριον καὶ ὠμόθυμον εἰσὶ « σκύμνοι. »

Vers. 5. Superiori versu dixerat a Deo aliquem esse mittendum, non vero quis hic foret; hic autem « misericordiam misit suam, » ait, « et veritatem suam. » Quæ quidem natura unum sunt, nec aliud præter Salvatorem, qui animam eripiet inter conculcantes inimicos delapsam: « catuli leonum » vocantur isti propter ferum crudelemque animum.

Ἡ κοίμησις τὴν ἀνάπαυλαν δηλοῖ πολλάκις· ὡς ἐν τῷ, « Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. » Ὃ οὖν βούλεται λέγειν, τοῦτό ἐστιν· Εἰ καὶ ἐταράχθην καταπατούμενος ὑπὸ ἐχθρῶν, καὶ θαμβούμενος τῶν σκύμνων τῶν μέσον με λαβόντων, ἀλλ' οὐ παρέμεινεν ἡ ταραχή· « ἐκοιμήθην » γὰρ « τεταραγμένος, » οὐχὶ τεταραγμένος γρηγορῶν ἔμεινα, ἀλλ' ἐκοιμήθην ἀποβαλὼν τὴν ψυχήν μου. Τούτου σύμβολον

Somnium quietem plerumque indicat, ut in illo: « In pace in idipsum dormiam et requiescam [42]. » At hic res ita interpretanda: Licet me turbarent conculcantes inimici, et circumagitantes terrerent catuli leonum, non vicit tamen perturbatio. Nam « dormivi conturbatus, » conturbatus non insomnes noctes meas duxi, sed dormivi dejecto animo. Cujus imaginem refert illa mulier,

[37] Sap. XIV, 13. [38] Joan. VI, 41. [39] Matth. VI, 20. [40] Philipp. II, 6, 7. [41] I Petr. I, 12. [42] Psal. IV, 9.

Digitized by Google

quæ « spiritum infirmitatis habebat, quæ incurvata erat, nec omnino poterat sursum respicere, » quam solvit Jesus a vinculis diaboli, filiam Abrahæ [45]. Quicunque humiliter sentit, profecto animam habet incurvatam, et ideo sublimia suspicere non volentem.

A ἦν, ἡ « συνεχομένη πνεύματι ἀσθενείας » γυνὴ, « συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελὲς, » ἣν ἔλυσεν Ἰησοῦς ἀπὸ τῶν βρόχων τῶν σατανικῶν, θυγατέρα οὖσαν Ἀβραάμ. Τάχα δὲ καὶ πᾶς ὁ κάτω φρονῶν κατακεκαμμένην ἔχει τὴν ψυχὴν, οὐ δυναμένην τὰ ἄνω σκοπεῖν ὅσον ἐστὶ τοιαύτη.

Vers. 10. Populos quidem vocat, qui ex circumcisione; gentes vero, qui de idolorum cultu convertentur, ut una fiat Ecclesia.

Στ. ι'. Λαοὺς δὲ νοήσεις καὶ τοὺς ἐκ περιτομῆς· ἔθνη δὲ τοὺς ἀπὸ τῶν εἰδώλων μετανοήσαντας, ὡς μία γενέσθαι Ἐκκλησία.

PSALMUS LVII.

Vers. 2. Idem de justitia asseritur et in Proverbiis [46]: « Ad intelligendam justitiam veram, et judicium dirigendum. » Concinnat vero injustitiam, qui peccato inservit, quod sine ulla intermissione malum operatur. Cui consentit illud: « Funibus B peccatorum suorum unusquisque constringitur [47]. » Nec immerito malum fieri dicitur « in terra: » nam etiam si in corde iniquitatem feceris, « in terra, » hoc est circa materiam versando, operaris eam.

Στ. β'. Οὗτος γὰρ καρπὸς δικαιοσύνης καὶ ἐν Παροιμίαις· « Νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν. » Συμπλέκει δὲ ἀδικίαν, ἁμαρτίας συνάπτων, ἐν τῷ ἀδιαστάτως ἐνεργεῖν τὸ κακόν. Τούτῳ ἰσοδυναμεῖ τό, « Σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. » Οὐ μάτην πρόσκειται τῷ « ἀνομίας ἐργάζεσθαι, » τὸ « ἐν τῇ γῇ· » κἂν γὰρ ἐν καρδίᾳ τις ἀνομίαν ποιήσῃ, « ἐν τῇ γῇ, » τουτέστι περὶ τὰ ὑλικὰ, ἐνεργεῖ αὐτήν.

Vers. 4. Magnum judicem, ait, latet nihil vel eorum quæ cogitatione tantum quis conceperit. Etiam si hominum oculos effugere putaveris, Deum fallere tibi non licebit; nam antequam in lucem prodeant innotescunt Deo, qui res omnes priusquam fiant perspicit. Nondum nati eramus, et jam nos Deus tanquam vita donatos, quales nunc sumus, pernoscebat. Ab æterno jam respuendi erant coram ipso. « Alienati sunt ergo peccatores a vulva. » Et licet plerumque hodie justitiam prædicare videantur, factis contraria probantes, Deum ipsum latere ne- C queunt; nam antequam ex utero exirent, imo antequam utero conciperentur, jam inter errantes annumerabantur ab eo, et quales nunc sunt apparebant.

Στ. δ'. Τὸν μέγαν κριτὴν, φησὶν, οὐδὲν λανθάνει τῶν κατὰ διάνοιαν ἑκάστῳ λογιζομένων. Κἂν γὰρ δοκῇ τις ἀνθρώπων ὀφθαλμοὺς κρύπτειν, ἀλλ' οὐκ ἂν λάθοι Θεὸν, ὁπότε καὶ πρὶν εἰς φῶς προελθεῖν, πάντα εἰδότι πρὸ γενέσεως ἐγνωρίζοντο. Διὸ πρὶν γεννηθῆναι αὐτοὺς, ὡς ἤδη ὑφεστῶτας καὶ τοιούτους ὄντας οἷοι νῦν εἰσι προεώρα. Ἤδη τε ἐξ ἐκείνου ἀπόβλητοι ἦσαν παρ' αὐτῷ. « Ἀπηλλοτριώθησαν γοῦν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. » Καὶ εἰ καὶ τὰ μάλιστα σήμερον δικαιοσύνην λαλεῖν προσποιοῦνται, τοῖς ἔργοις τὰ ἐναντία μετερχόμενοι· ἀλλ' οὐχὶ καὶ παρὰ Θεῷ συνεφάνησαν τοιοῦτοι, ἀλλὰ πρὶν ἀπὸ γαστρὸς προελθεῖν αὐτοὺς, μᾶλλον δὲ καὶ πρὸ τοῦ συλληφθῆναι, ἐν πεπλανημένοις ἐλογίσθησαν παρ' αὐτῷ, καὶ μέλλοντες ἔσεσθαι τοιοῦτοι οὐκ ἠγνοοῦντο (2).

Vers. 5. Qui Scripturas redarguere non dubitant, hunc quoque versum impugnant, dicentes: Absurdum est hominem ab utero errare et falsa loqui; non enim peccat, nisi qui rationis compos fuerit. At dicemus nos infantem recens natum virtute boni et mali esse capacem, actu autem tunc tantum bonum fore aut malum, cum bonum malumque discernere poterit. Licet non antequam rationis homo compos sit, vitam ad virtutem instituere cœpit, nihilominus ab utero matris bonum fecisse dicitur. D Ita legimus apud Job [48]: « Quod si buccellam meam comedi solus, et pupillo non communicavi, ... quoniam de ventre matris meæ dux eis fui, et enutriebam ut pater. » Similiter et hi, de quibus nunc agitur, quando rationis participes facti sunt, actu cœperunt errare. Illud innuunt et ipsa psallentis verba, cum dicitur eos « falsa loqui. » Non inepte hæc etiam de pravarum disciplinarum fautoribus interpretaberis, quippe qui ex ipso parentis disciplinæ scilicet ventre et « errare et falsa loqui » solent.

Στ. ε'. Οἱ διαβάλλειν δὲ τὰς Γραφὰς ἀποτολμῶντες, καὶ ταύτην τὴν λέξιν διέσυραν λέγοντες, μὴ εἶναι οἷόν τε ἀπὸ γαστρὸς πλανηθῆναι καὶ ψεῦδος λαλῆσαι· συμπεπληρωκότων γὰρ τὸν λόγον, φασὶ, τὸ ἁμαρτάνειν. Ἀλλά φαμεν τὸ ἀρτίτοκον βρέφος δεκτικὸν ἀρετῆς καὶ κακίας ἐστὶν δυνάμει, τότε δεχόμενον κατ' ἐνέργειαν ὁποτέραν τούτων τῶν ἕξεων, ὅταν γνῶσιν ἀγαθοῦ καὶ κακοῦ σχῇ· τότε γὰρ καὶ συμπληροῦται ὁ λόγος· ὅταν κατ' ἀρετὴν ἄρξηται ἐνεργεῖν, ἐκ κοιλίας μητρὸς λέγεται καὶ ἀγαθὸν πεποιηκέναι. Τοιοῦτον καὶ τὸ παρ' Ἰώβ· « Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ ὀρφανῷ οὐ μετέδωκα· ἐκ κοιλίας γὰρ μητρὸς ὡδήγουν αὐτοὺς καὶ ἐξέτρεφον ὡς πατήρ. » Καὶ οὗτοι οὖν ὁμοίως, περὶ ὧν ὁ λόγος, φθάσαντες ἐπὶ συμπλήρωσιν τοῦ λόγου ἀπὸ πλάνης ἤρξαντο ἐνεργεῖν. Καὶ σημαίνει τὸ κατ' αὐτὴν τὴν λέξιν φθέγγεσθαι τὸ « λελαληκέναι ψευδῆ. » Τάχα δὲ καὶ οἱ τεχθέντες ἀπὸ φαύλης διδασκαλίας, ἀπ' αὐτῆς τῆς γαστρὸς τῆς αὐτοὺς τεκούσης εἶχον καὶ τὸ « πεπλανῆσθαι καὶ ψευδῆ λελαληκέναι. »

Vers. 8. Jam prius notavimus sagittas de immit-

Στ. η'. Καὶ πρότερον εἴπομεν τὰ βέλη σημαίνειν

[45] Luc. XIII, 11 sqq. [46] Prov. I, 3. [47] Prov. V, 22. [48] Job XXXI, 17, 18.

(2) Vides quæ sit divina prædestinatio apud Didymum. Reliqua item doctrina præclara.

Digitized by Google

ποτὲ τὰς κολάσεις. « Τόξον » δ' ἐστὶν, ἀφ' οὗ ἀφίεται τὰ βέλη ταῦτα, ἡ κριτικὴ τοῦ Θεοῦ δύναμις. Τοῦτο οὖν « τὸ τόξον ἐντείνει οὐχ ἂν εἰς αὐτὸ ἕως οὗ ἀσθενήσωσιν » οἱ βαλλόμενοι, πρὸς ἀγαθὸν δὲ αὐτοῖς τὸ ἀσθενῆσαι, καθαιρουμένης ἧς εἶχον ἰσχύος περὶ τὴν κακίαν. « Ὥσπερ δὲ ὁ τηκόμενος κηρὸς ἀναιρεῖται, » καθ' ὃ τηκτὸς καὶ παχύτητα ἔχων (3), τοῦ πρώτου ὑποκειμένου εἰς πῦρ μεταβαλόντος· οὕτως καὶ οἱ φαῦλοι κολάσεως πεπειραμένοι, τὴν ἐκ μοχθηρᾶς ἕξεως παχύτητα ἀποβάλλουσι. Πρὸ κολάσεως δέ ἐστι τὸ φῶς τὸ ἀληθινὸν τυγχάνων δικαιοσύνης ἥλιος. Οὐχ οἷόν τε προσβάλλειν τῇ λαμπηδόνι τοῦ νοητοῦ ἡλίου. Ὅθεν ἐνταῦθα εἴρηται, ὡς ἄρα « ἐπιπεσόντος τοῦ κολαστικοῦ φωτὸς, οὐκ εἶδον τὸν ἥλιον » οἱ τῇ κολάσει περιπεσόντες. Οἱ δὲ συνέντες τὰ ἴδια πάθη ἀλληγορικώτερον ἀκάνθας ὀνομαζόμενα, οὐ πειρασθήσονται κολαζούσης ὀργῆς· « πρὸ τοῦ δὲ συνιέναι » τὰς πνευματικῶς λεγομένας ἀκάνθας καὶ ῥάμνον, « ὡσεὶ ζῶντες » ὑπὸ ὀργῆς καταποθήσονται. Οὐ γὰρ ζῶντες, ἀλλὰ ζῶσιν ὅμοιοι τυγχάνοντες ὑπὸ ὀργῆς συλληφθήσονται. Τὸ γὰρ « καταπιεῖν » κατὰ τὴν Γραφὴν τὸ κρατῆσαι καὶ νικῆσαι σημαίνει, τοῦ καταποθέντος ἤδη κεκρατημένου καὶ νενικημένου. Καταπίνεται γοῦν τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, κρατούσης καὶ νικώσης τῆς ζωῆς τὸν θάνατον.

tendis pœnis usurpari. « Arcus » autem, quo istæ sagittæ emittuntur, ipsam judicandi potestatem significat. Hunc igitur « arcum intendit donec infirmentur » quos lacessit; infirmantur autem ad bonum, quando infranguntur vires, quibus ad malum ferebantur. « Sicut cera, quæ fluit, dilabitur; » quippe quæ nunc liquefacta nunc condensata, admoto igne, pristinam formam mutat. Ita et peccatores, experimento pœnarum facto, pristinæ malitiæ crassitiem respuunt. Castigat autem eos lumen verum quod est sol justitiæ; cum spiritualis solis splendorem ferre nequeant. Quapropter dicitur hic, « Supercecidit ignis » ultionis, « non viderunt solem » pœnis afflicti. Qui passiones suas intelligunt, quæ per allegoriam spinæ dicuntur, non amplius experientur ultricem Dei iram; at « priusquam intelligant, » quæ per metaphoram spinæ et rhamnus vocantur, « sicut viventes » ira absorbebuntur. Non enim viventes sed « sicut viventes » ira corripientur. Vocem « absorbere » adhibet Scriptura pro vincere et superare; qui autem absorbetur, et vincitur, et superatur. Absorbetur igitur a vita quod morti obnoxium fuerat, mortem vincente et superante vita [47-51].

PSALMUS LVIII.

Στ. ε'. Εὖ δὲ καὶ τὸ « ἔδραμον· » τελέσαντος γὰρ τὸν δρόμον ἡ φωνή. Εἰ δέ τις ἀντερεῖ πρὸς τὴν τοῦ Οὐρίου ἁμαρτίαν ὕστερον γενομένην, μὴ ἀληθεύειν νυνὶ ὡς ἤδη τελέσαντος τὸν δρόμον αὐτοῦ, φαμὲν ὅτι τὴν πρὸς τὸν Σαοὺλ ὑπηρεσίαν « ἄνευ ἀνομίας » κατευθυνθηκέναι φησὶ, καὶ μάτην ἐκεῖνον ἐπιβουλεύειν. Ἢ καὶ ὅτι τότε δραμὼν « ἄνευ ἀνομίας » καὶ κατευθύνας ἦν πάντα τὰ διανυθέντα αὐτῷ. Ἀλλ' ἐπεὶ τρεπτὸς καθόλου πᾶς ἄνθρωπος, μετὰ ταῦτα πταίσας, ὡς μὴ ἔχων συνήθειαν πρὸς τὸ ἁμαρτάνειν, ῥᾷστα μετενόησεν.

Vers. 5. Recte dicit « cucurri; » vox est enim curriculum conficientis. Quod si quis objiciet propter peccatum in Uriæ uxorem postea admissum, inepte Davidem loqui, quasi jam optatam metam contigisset, dicemus eum hoc unum contendere quod se « sine iniquitate » in Saulem gesserit, ideoque eum immerito incusari. Hic erit etiam forte verborum prolatorum sensus: Hactenus « sine iniquitate » cucurri, et perfectum iter optime direxi. At cum mutationi sit hominum natura obnoxia, deinceps lapsus est; peccatis autem cum non esset assuetus, quam celerrime pœnitentiam egit.

Στ. ιβ'. Ὡς πρὸς ἱστορίαν, τοὺς ἐπικειμένους ἐχθροὺς ἐπιτιμηθῆναι πρὸς Θεοῦ, ἀλλ' οὐχ ἀποθανεῖν ἀξιοῖ. Οἶδεν γὰρ ὅτι εἰ μένοντες φαῦλοι ἀποθάνοιεν, λήθην ἕξουσι τοῦ θεϊκοῦ νόμου· διασκορπισθέντες δὲ τῇ τοῦ Θεοῦ δυνάμει εἰς αἰχμαλωσίαν παραδοθέντες στενάξουσι πρὸς Θεὸν πεῖραν κακώσεως ἐσχηκότες. Βούλεται αὐτοὺς καὶ καταχθῆναι ἀπὸ ὕψους ἧς ἔχουσιν ὑπερηφανίας, ποιοῦντος αὐτὸ τοῦ ὑπερασπίζοντος Κυρίου τοῦ τὴν δέησιν ἀναφέροντος. Ἡ γὰρ παντελὴς τιμωρία εἰς ἀπόγνωσιν παρασκευάζει καὶ προτρέπεται. Ὅτι δὲ φειδόμενος αὐτῶν τοῦτο ὁ Δαυῒδ ἐπρεσβεύετο, ἵνα τῇ μετριωτέρᾳ τιμωρίᾳ σωφρονισθέντες νήψωσιν, ἐπάγει τὰ ἑξῆς· ἐὰν γὰρ διασκορπισθῶσιν, ὁμοῦ καὶ τιμωροῦνται, καὶ συναχθῆναι πάλιν δυνήσονται μετανοήσαντες. Ὁμοίως δὲ καὶ καταχθῆναι, τουτέστιν ταπεινωθῆναι, βούλεται « ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν, » συμφέρον αὐτοῖς τε τοῖς ταπεινου-

Vers. 12. Narrando refert inimicos suos a Deo puniri, ne autem occidantur orat. Sciebat enim eos, si nondum emendati perirent, divinam legem oblituros; dispersos autem divina virtute, et in captivitatem traditos, pœnarum experimento facto, ad Deum cum gemitibus clamaturos fore. Optat etiam ut ab altissima superbia deponantur quæ efferuntur, illudque tu facias, ait, qui me protegis, Domine: omni enim pœna ad conversionem paramur et incitamur. Quod autem eis parcens David hoc prædicet, ut ad saniora revocati levioribus pœnis corrigantur, declarant quæ infra ponuntur; nam si dispergantur simul et castigentur, pœnitentia facta, rursus in unum congregari poterunt. Eadem de causa ut deponantur exoptat, hoc est, humilientur « delictum oris eorum, et sermo labiorum ipsorum; » nam hoc et iis qui humiliandi sunt, et plerisque perutile est, ne eos imitentur qui in superbia

[47-51] I Cor. xv, 54.

(3) Sensus postulat, ni fallor, ut legatur μηκέτι ἔχων. Edit.

Digitized by Google

loquuntur et injusta proferunt. Ast ubi ii qui in superbia loquuntur et injusta mentiuntur, calamitatibus in superbia sermonum suorum comprehensi fuerint, cuique apparebit eos propter iniquitatem fuisse deprehensos.

A μένοις καὶ τοῖς πλείοσιν, ὥστε μὴ παροξυνθῆναι πρὸς ζῆλον τῶν ἐν ὑπερηφανίᾳ λαλούντων καὶ φθεγγομένων ἄδικα. Οἱ γὰρ μεθ' ὑπερηφανίας λελαληκότες, οἱ κατὰ τοῦ δικαίου ψευσάμενοι, ὅταν ἐναντίαν τοῖς ἔργοις τὴν ἔκβασιν ἐν τῇ ὑπερηφανίᾳ τῶν οἰκείων λόγων συλλαμβάνονται, ὡς παράνομοι καταληφθέντες ἐξελέγχονται.

PSALMUS LIX.

Vers. 6. Quodnam est signum a Deo, aut quod lumen quo spiritus discernere liceat, bonum a malo? Nam hac discretione facta, fugeremus procul a malis, a pravis operibus et spiritu nequam. Datur autem signum hoc non obvio cuique, sed « metuentibus » Deum.

Στ. ς'. Τίς ἡ σημείωσις ἣν δίδωσιν ὁ Θεὸς, ἢ ὁ φωτισμὸς καθ' ὃν δυνατὸν διάκρισιν ἔχειν πνευμάτων ἀγαθοῦ καὶ κακοῦ; Ταύτης γὰρ τῆς γνώσεως ὑπαρξάσης, φεύγομεν ἀπὸ τῶν χειρόνων μακρὰν, κακοῦ ἔργου καὶ πνεύματος πονηροῦ γινόμενοι. Δίδοται δὲ οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς κατὰ Θεὸν « εὐσεβέσιν » αὕτη B ἡ σημείωσις.

Vers. 8. Deus loquitur « in sancto » viro quoque. Loquebatur igitur et in Paulo, utpote sancto, et in propheta quoque. Quod si autem ad Patrem referretur illa vox, « sanctus » in quo loquitur, non alius esset ac Salvator, juxta illud : « Pater in me manens, ipse facit opera [52] ; » et, « Ipse mihi mandatum dedit quid dicam et quid loquar [53]. » Conveniunt hæc optime redemptioni.

Στ. η'. Θεὸς λαλεῖ ἐν παντὶ μετέχοντι ἁγιότητος. Οὕτω γοῦν καὶ ἐν Παύλῳ ἁγίῳ ὄντι ἐλάλει Θεὸς καὶ ἐν παντὶ προφήτῃ. Εἰ δὲ περὶ τοῦ Πατρὸς ἐκλαμβάνεται ἡ φωνὴ, ἅγιος, ἐν ᾧ λαλεῖ, ὁ Σωτὴρ ἂν εἴη, συμφώνως τῷ, « Ὁ Πατὴρ ὁ μένων ἐν ἐμοὶ ποιεῖ τὰ ἔργα· » καὶ, « Ἐντολὴν δέδωκέν μοι ὁ Πατὴρ, τί εἴπω καὶ τί λαλήσω. » Καὶ ἁρμόζει ταῦτα μάλιστα τῇ οἰκονομίᾳ.

PSALMUS LX.

Vers. 3. Qui hic preces fundit, cum sciret procul se abesse ab illo ad quem vota mittit, « a finibus terræ » dicit se esse, et clamare ad Deum, dum « anxiatur. » Eumdem sensum refert illud Ecclesiastis [54] : « Deus in cœlo desuper, et tu super terram. » Quibus verbis distinctio innuitur non locorum, sed naturarum, increati et creati. Deus quidem, cum natura præstet, in cœlo sursum dicitur ; homo vero deorsum super terram est, quia prius cum non esset, postea factus est. Ita etiam Baptista Salvatorem dicit [55] de cœlo esse desursum, hominem vero de terra et esse et loqui. Profert enim quæ creaturæ conveniunt.

Στ. γ'. Ὁ ἐνταῦθα εὐχόμενος, πόρρω τυγχάνων ἑαυτὸν εἰδὼς τοῦ ᾧ τὴν εὐχὴν ἀναπέμπει, « ἐκ τῶν περάτων » εἶναι « τῆς γῆς (4), » καὶ κεκραγέναι πρὸς Θεὸν τότε, ὅτε « ἀκηδιᾷ. » Καθὰ γάρ φησιν ἐν τῷ Ἐκκλησιαστῇ, « Ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐν τῇ γῇ κάτω. » Σημαίνεται δὲ διὰ τῆς λέξεως C οὐ διάστασις τοπικὴ ἀλλ' οὐσίας, ἀκτίστου καὶ κτισμάτων διαφορᾶς (5)· τῆς τοῦ Θεοῦ ὑπάρξεως, δι' ὑπεροχὴν τιμῆς, ἄνω ἐν οὐρανῷ λεγομένης, τῆς τοῦ ἀνθρώπου κάτω εἰς γῆν τυγχανούσης, τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐληλυθέναι, εἰς ταύτην τὴν διαφοράν. Καὶ ὁ Βαπτιστὴς σκοπήσας τὸν Σωτῆρα, ἄνωθεν ἐξ οὐρανοῦ εἶναι λέγει· τὸν δὲ ἄνθρωπον ἐκ τῆς γῆς τυγχάνειν καὶ λαλεῖν· προφέρει γὰρ ἃ κτίσματι δυνατὸν εἰπεῖν.

Christum « petra » significari videbimus de qua spiritalis potus [56] manat. Qui in hac petra exaltatur, ejus particeps factus, cum illa sit sapientia, et justitia et sanctificatio [57.37], circa sublimia versatur, a Deo mente sublatus. Ipse Salvatorem sequitur, voce allectus dicentis : « Venite post me [58]; » duce eo utitur, nec alium exspectat, qui viam ad summum rerum omnium auctorem ostendat. Quo igitur dono donatus David, Deum hisce vocibus celebrat : « Deduxisti me, quia factus es spes mea ; » non solum autem dux meus fuisti, sed et « turris a facie inimici ; » nam te fortitudinem habens, et « turrim fortitudinis, » illæsus remansi, licet inimici in me insurgerent et in impugnando peterent.

Πέτραν σημαίνεσθαι ἐκδεξόμεθα ῥέουσαν πνευματικὸν πόμα τὸν Χριστόν. Ὁ ἐν ταύτῃ τῇ πέτρᾳ γινόμενος, τῷ μετέχειν αὐτῆς (ὑπάρχει γὰρ σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς) μετεωρίζεται κατὰ τὸν νοῦν ὑψούμενος ἀπὸ Θεοῦ. Καὶ οἱ ἕπεσθαι δὲ τῷ D Σωτῆρι προθέμενοι κατὰ τὰς αὐτοῦ προτροπὰς λέγοντος, « Δεῦτε ὀπίσω μου, » ὁδηγῷ αὐτῷ χρώμενοι, οὐκ ἄλλον ἐλπίσαντες ἡγεμόνα εὑρήσειν τῆς ἀγούσης πρὸς τῶν πάντων αἴτιον ὁδοῦ. Ταύτης τῆς δωρεᾶς τυχὼν καὶ Δαυὶδ, μεθ' ὕμνου λέγει τῷ Κυρίῳ· « Ὡδήγησάς με ὅτι ἐγενήθης ἐλπίς μου· » οὐ μόνον δὲ ὁδηγὸς, ἀλλὰ καὶ « πύργος » γέγονάς μοι « ἀπὸ προσώπου ἐχθροῦ· » σὲ γὰρ ἰσχὺν ἔχων καὶ « ἰσχύος πύργον, » ἀβλαβὴς διέμεινα, καίτοι τοῦ ἐχθροῦ τυγ-

[52] Joan. xiv, 10. [53] Joan. xii, 49. [54] Eccle. v, 1. [55] Joan. iii, 31. [56] I Cor. x, 4. [57.37] I Cor. ii, 30. [58] Marc. i, 17.

(4) Verbum aliquod deesse videtur, v. g. λέγει. Edit.

(5) Forte sic legendum et distinguendum : ... οὐ διάστασις τοπικὴ, ἀλλ' οὐσίας ἀκτίστου καὶ κτισμάτων διαφορά. Edit.

Digitized by Google

χάνοντος ἀντιπροσώπου, καὶ πολεμεῖν με θέλοντος. Δύναται ἀναφορὰν ἔχειν εἰς τὸ « ἀπὸ προσώπου ἐχθροῦ, » καὶ τὸ, « Ὡδήγησάς με, » εἰρμῷ τοιούτῳ· « Ὡδήγησάς με ἀπὸ προσώπου ἐχθροῦ, » ἐλπίς μου γεγενημένος. Ἀλλὰ καὶ πύργος ἰσχύος, πρὸς τῷ ὡδηγηκέναι με ἀπὸ προσώπου ἐχθροῦ, γέγονάς μοι ἐλπὶς τῶν ἁγίων ἀληθινὴ καὶ ἀδιάπτωτος ὁ Σωτήρ· ᾗ φησιν Παῦλος· « Καὶ Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν. » Καὶ ἡ προφητεία, « Ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. » Αὐτὸς γὰρ ὁ προαναφωνηθεὶς ἔσεσθαι ἐθνῶν προσδοκία. « Παροικεῖ » δέ τις τελειωθεὶς ἐν ἁγιότητι εἰς τοὺς αἰῶνας ἐν ἐκείνῳ τῷ σκηνώματι· « ὅ δηλοῖ τὸ, » « Τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; » αἰώνιον γὰρ τοῦτο, ταυτὸν ὂν τῇ σκηνῇ ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Πλὴν εἰ καὶ οὕτω τελειότητος ἔχει ἡ τοιαύτη σκηνὴ, ὡς καὶ Ἅγια ἁγίων εἶναι, ἀλλ' οὖν ἔστιν μετ' αὐτὴν κατάστασις ὑπερέχουσα τῶν λογικῶν, καθ' ἣν ἔσονται ἐν Πατρὶ καὶ Υἱῷ, μᾶλλον δὲ τῇ Τριάδι. Διὸ « παροικεῖν εἰς τοὺς αἰῶνας, » ἀλλ' οὐ κατοικεῖν ἐν τῷ σκηνώματι εἴρηται. Ὁ ἐν τούτῳ τῷ οἴκῳ γεγονὼς, « σκεπασθήσεται ἐν τῇ τῶν πτερύγων τοῦ Θεοῦ σκέπῃ. »

Στ. ς'. Πλούσιος γὰρ ὤν, φησὶ, καὶ μεγάλας δωρεὰς παρέχεις, μᾶλλον δὲ χαριζόμενος τοῖς τελείοις ἀνθρώποις τὸ γενέσθαι σου υἱοὺς, « κληρονομίαν αὐτοῖς δέδωκας. » Εἰ γὰρ καὶ προσδοκᾶται δοθησομένη μετὰ τὴν ἀνάστασιν ἐν τῷ μέλλοντι αἰῶνι ἀλλά γε τῷ ἤδη εὐτρεπεῖσθαι δέδοται τοῖς εἰς αὐτὴν κατὰ καιρὸν τὸν δέοντα ἀχθησομένοις· τὸ ὄνομα αὐτῶν πιστευόντων αὐτῷ καὶ τῷ ὀνόματι αὐτοῦ. Ἐπεὶ πολλάκις εἴρηται, ὑποδεεστέρους εἶναι τοὺς οἰκειωθέντας τῇ τοῦ Θεοῦ προσηγορίᾳ τῶν ἐνωθέντων αὐτῷ τῷ Θεῷ. Ὅρα ὡς καὶ τοῖς φοβουμένοις τὸν Θεὸν δέδοται ἡ κληρονομία. Εἰ γὰρ τοῖς ὑποδεεστέροις ὑπῆρκται ἡ χάρις αὕτη, πολλῷ πλέον τοῖς ὑπεραναβεβηκόσιν.

Στ. ζ'. Ὁ τυχὼν τῶν ἑρμηνευομένων δωρεῶν βασιλεύς τίς ἐστι, καθ' ὃ σημαινόμενον εἴρηται περὶ τῶν θεοσεβῶν ὡς εἶησαν βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. Τούτῳ τῷ σημαινομένῳ βασιλεῦσαι καὶ οἱ ἀπόστολοι προσδοκῶντες, λέγουσι Κορινθίοις· « Χωρὶς ἡμῶν ἐβασιλεύσατε,... ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. » Τῷ οὕτω γενομένῳ βασιλεῖ ἔτη ὑπὸ τοῦ Κυρίου προστίθεται, ἡμέρας ἐφ' ἡμέρας ἀγομένης. Δεῖ γὰρ ἐκ προλαβούσης φωτεινῆς καταστάσεως εἰς ἑτέραν ὡσαύτως ἔχουσαν μετάβασιν γίνεσθαι, ὡς ἐκ τοῦ τῶν ἡμερῶν ὀνομαζομένων συμπληροῦσθαι τὰ ἔτη τὰ αἰώνια, περὶ ὧν εἴρηται, « καὶ ἔτη αἰώνια ἐμνήσθην. » Παρατείνει δὲ ἡ ζωὴ τῶν ἡμέραν ἐφ' ἡμέρᾳ προσλαμβανόντων ἕως ἡμέρας γενεᾶς γενεῶν ἐνώπιον τοῦ Θεοῦ.

Στ. η'. « Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει; » Πολλαχοῦ τῶν θείων παιδευμάτων, ἅμα τῇ ἀληθείᾳ τοῦ Θεοῦ τὸ ἔλεος αὐτοῦ συνέζευκται. Μήποτ' οὖν ἐπὶ τὸ γνῶναι ἀκραιφνῶς τὴν ἀλήθειαν τοῦ Θεοῦ, οὐχ οἷόν τε περικείμενον τὴν ἀνθρωπίνην ἀσθένειαν· τούτου ἕνεκα ἐλέου Θεοῦ χρεία πρὸς τὸ συνιέναι τὴν ἀλήθειαν. Συντείνῃ πρὸς τὸ προκείμενον, τὸ θέλειν

A Posses etiam verba « deduxisti me » cum illis, « a facie inimici, » conjungere, hoc quidem modo: « Deduxisti me a facie inimici, » spes mea factus, imo et turris fortitudinis, ut a facie inimici removerer: factus es mihi spes sanctorum vera et firma, Salvator, uti a Paulo dictum est [39]: « Christi Jesu spei nostræ. » Et prophetia, « In ipso gentes sperabunt; » nam de ipso prædictum fuerat: « Et erit exspectatio gentium [40]. » Perfectus in sanctitate « inhabitabit in sæcula in illo tabernaculo, » juxta illud [41]: « Quis requiescet in monte sancto tuo? » nam æternus hic mons, non alienus ab illo tabernaculo, non manu hominum sed Dei facto [42]. Licet tamen tam perfectum sit istud tabernaculum, ut et Sanctum sanctorum vocetur, præstantior erit B postea constitutio iis qui ratione præditi sunt, qua in Patre erunt, et in Filio, imo in Trinitate. Quamobrem « inhabitare in sæcula » dictum est, non autem habitare in tabernaculo. Qui in ista domo est « protegetur in velamento alarum Dei. »

Vers. 6. Dives cum sis, inquit, et magna dona præbeas, imo et perfectis hominibus ut filii tui fiant concedis, « hæreditatem eis dedisti. » Nam licet post resurrectionem in futuro sæculo danda exspectetur, nihilominus jam his in terris viris datur qui ad eam tempore opportuno accedunt: nomen suum credentibus ipsi et nomini ejus. Jam sæpius dictum est minus valere qui invocant nomen Domini, quam qui cum ipso Deo conjunguntur. En hic vel metuentibus C Deum datur hæreditas; quod si minoribus tribuitur hæc gratia, quanto magis illis qui meritis præstant.

Vers. 7. Rex vocatur ille vir qui tanta sortitus est, juxta illud quod de piis hominibus dictum est, eos esse regale sacerdotium, gentem sanctam [43]. Qua de causa et ipsi apostoli regnum exspectant, cum Corinthiis dicunt [44]: « Sine nobis regnatis.... ut et nos vobiscum regnemus. » Huic regi anni a Domino adjiciuntur, die ad diem addito. Nam ex alio lucido statu nobis ad alium similem transeundum erit, ut per istos dies perficiantur anni æterni, de quibus scriptum est, « Annos æternos in mente D habeo [45]. » Protenditur vita hominum istorum, die ita super diem adjecto, usque in diem generationis generationum in conspectu Dei.

Vers. 8. « Misericordiam et veritatem ejus quis requiret? » Sæpissime conjungitur in divinis paginis misericordia Dei cum veritate ejus. Tanta est enim hominum infirmitas, ut propriis viribus veritatem nunquam consequi possent: Dei igitur misericordia indigemus ad complectendam veritatem. Istis consentit illud effatum [46]: Volo « omnes homines sal-

[39] I Tim. I, 1. [40] Gen. XLIX, 10. [41] Psal. XIV, 1. [42] Hebr. IX, 11. [43] I Petr. II, 9. [44] I Cor. IV, 8. [45] Psal. LXXVI, 6. [46] I Tim. II, 4.

Digitized by Google

vos fieri, et ad agnitionem veritatis venire. » Primum salventur Dei misericordia oportet, et tunc veritatis agnitionem assequentur; nam salus hominum miserantis Dei opus : « Misit Deus misericordiam suam et veritatem suam [47], » etc.

A « πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Πρῶτον μὲν γὰρ σωθῆναι ἐλέῳ Θεοῦ, δι' ἣν ἑπομένοις ἡ ἐπίγνωσις τῆς ἀληθείας ὑπάρχῃ· ἔργον γὰρ τῆς τοῦ Θεοῦ ἐλεημοσύνης ἡ ἀνθρώπων σωτηρία· « Ἐξαπέστειλεν γὰρ ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, » καὶ τὰ ἑξῆς.

Vers. 9. Votorum meorum compos factus, gratias tibi referens, « psallam nomini tuo; » celebrabo operibus, cogitationibus, et sermonibus bonis nomen tuum super me invocatum. Præterea de die in diem « vota mea reddam, » uti Jacob : « Si dederis mihi panem » ad comedendum . . . , ait [48], « quæcunque mihi dederis decimam decimabo ea tibi. » Nam scriptum est prius : « Et vovit Jacob votum, dicens : Si fuerit Dominus Deus mecum, » usque ad illa, « decimam decimabo ea tibi. » Non inepte dicit, se de die in diem vota reddere, et in sæculum sæculi Dei nomini psallere : nam psallere Dei nomini convenit etiam futurum sæculum ingressis. Vota autem reddendi facultas iisdem finibus ac dies nostri, vita scilicet nobis concessa, terminatur. Quandiu igitur vivimus, vota reddamus Deo, ut in sæculum sæculi nomini ejus psallere possimus.

Στ. θ'. Ἐπεὶ ὧν ἠξίωσα, παρὰ σοῦ τέτευχα, εὐχάριστος οὕτω γεγονὼς, « ψαλῶ τῷ ὀνόματί σου, » ὑμνῶν δι' ἔργων, νοημάτων καὶ λόγων ἀγαθῶν τὴν ἐπ' ἐμοὶ κληθεῖσαν προσηγορίαν σου. Καὶ πρὸς τούτῳ ἡμέραν ἐξ ἡμέρας ἃ ηὐξάμην ἀποδώσω, ὥσπερ ὁ Ἰακώβ φησιν· « Ἐὰν δῷ μοι ὁ Θεὸς ἄρτον φαγεῖν, » καὶ τὰ ἑξῆς· « πάντα μοι ὅσα ἐὰν δῷς, δεκάτην ἀποδεκατώσω σοι αὐτά. » Πρὸ γὰρ τούτων τῶν λόγων φέρεται τὸ, « Ηὔξατο ὁ Ἰακὼβ λέγων » τὸ, « Ἐὰν ᾖ ὁ Κύριος μετ' ἐμοῦ, » ἕως τοῦ, « δεκάτην ἀποδεκατώσω αὐτά. » Εὖ δὲ καὶ τὸ εἰπεῖν ἡμέραν ἐξ ἡμέρας τὰς εὐχὰς ἀποδοῦναι, ψάλλειν τε τῷ ὀνόματι τοῦ Θεοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τῷ τὸ μὲν ψάλλειν τῷ ὀνόματι τοῦ ὑμνουμένου, παρεκτείνειν ἕως τοῦ μέλλοντος αἰῶνος. Τῷ δὲ τὰς εὐχὰς ἀποδοῦναι, πληροῦσθαι ἕως ἔτι ὁ ἐξ ἡμῶν συμπληρούμενος χρόνος ἐστίν. Οὗτος δέ ἐστιν ὁ παραμετρούμενος τῇ ἑκάστου ζωῇ· ἕως οὖν ἐν βίῳ ἐσμὲν τὰς εὐχὰς ἀποδώσωμεν, ἵνα καὶ ψάλαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τῷ ὀνόματι τοῦ Θεοῦ δυνηθῶμεν.

PSALMUS LXI.

Vers. 3. Movemur, quotiescunque de virtute ad C malitiam deflectimus, et motu quidem multiplici. Primum enim turbatur mens cupiditatibus; deinde, si perturbantium cupiditatum consilia perficit, labatur et cadit. Quando igitur mala libido, aut alius quilibet pravus affectus mentem nostram invaserit, ad Deum pie nobis statim confugiendum, ne opere etiam malum perficiamus, et ita majus adhuc committamus peccatum. Quod nos Salvator apertissime per Evangelium docet, principia tollens peccatorum, ne, istis permanentibus, magis etiam per opera prava moveamur.

Στ. γ'. Σαλεύεται πᾶς ὁ ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτων. Ἀλλ' οὐκ ἀθρόως συμβαίνει τοῦτο, προτέρας γινομένης ταραχῆς ἐν λογισμοῖς διὰ παθῶν· μεθ' ἣν, εἰ προσληφθείη κατάλληλος πρᾶξις τοῖς τεταραγμένοις λογισμοῖς, κλόνος καὶ πτῶμα γίνεται· ἀρχομένης τοιγαροῦν αἰσχρᾶς ἐπιθυμίας, ἢ ἑτέρου τινὸς ἀλόγου κινήματος, ἐπισχεῖν δεῖ τῷ εὐσεβεῖ λογισμῷ, συλλαμβανομένου Θεοῦ τὴν ἐπὶ τὴν πρᾶξιν ὁρμὴν, ἵνα μὴ ἐπὶ πλεῖον κλόνος γένηται (6-7). Ταῦτα ὁ Σωτὴρ σαφῶς ἐν τῷ Εὐαγγελίῳ διδάσκει, τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἀναιρῶν, ἵνα μὴ μενόντων αὐτῶν, τὸ ἐπὶ πλεῖον σαλευθῆναι πρακτικῶς γένηται.

Vers. 4. Vir charitate quasi fundamento et radicibus innixus, murus est inconcussus et sepem habet validissimam, ne vindemient eum qui prætergrediuntur viam [49], scelesti homines et malæ potestates. Firmissimam hanc sepem circumsepsit ipse Deus, uti dixit : « Et sepem circumsepsi et vallavi [50]. » Munitur enim iste murus et angelis custodientibus eum, et doctrina veritatis et operibus ad virtutem institutis. Quo perstante, poterit nemo divinos fructus spiritualis plantæ furari. Quod si autem forte tam accurate custodita vinea pro uvis spinas dederit, tunc derelinquet eam Deus dicens [51] : « Auferam sepem ejus, et erit in direptionem; diruam murum ejus, et erit in conculcationem. » Quando autem hoc fuerit propter pec-

Στ. δ'. Ὁ ἐν ἀγάπῃ τεθεμελιωμένος καὶ ἐρριζωμένος, ἄσειστός ἐστι τοῖχος, καὶ φραγμὸν ἔχει ἠσφαλισμένον, ὅπως μὴ τρυγῶσιν αὐτὸν οἱ παραπαρευόμενοι τὴν ὁδὸν φαῦλοι ἄνθρωποι καὶ πονηραὶ δυνάμεις. Τὸν οὕτως ἀσφαλῶς ἔχοντα φραγμὸν ὁ Θεὸς περιβάλλει φάσκων, « Καὶ ἐχαράκωσα καὶ φραγμὸν περιέθηκα. » Σύγκειται γὰρ οὗτος ὁ φραγμὸς ἐξ ἀγγέλων φρουρούντων, καὶ δογμάτων ἀληθείας καὶ πράξεων κατ' ἀρετὴν ἐλπιζομένων. Τούτου μένοντος, οὐδεὶς βλάψαι τοὺς θείους καρποὺς τοῦ πνευματικοῦ φυτοῦ δυνήσεται. Εἰ δὲ συμβαίη ποτὲ ἀντὶ σταφυλῶν ἀκάνθας ἐξενεγκεῖν τὸν φρουρούμενον ἀμπελῶνα, ἐγκαταλιπὼν αὐτὸν ὁ Θεὸς λέγει· « Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. » Εἰ δὲ τοῦτο

[47] Psal. LVI, 5. [48] Gen. XXVIII, 20, 21. [49] Psal. LXXIX, 13. [50] Isa. V, 2. [51] ibid. 5.

(6-7) Videmus egregiam et apprime Christianam Didymi doctrinam de vitando interiore peccato.

Digitized by Google

συμβαίνει διὰ τὸ φαῦλον καρπὸν γενέσθαι ἐξ ἡμῶν, « κεκλιμένος ὁ τοῖχος » καὶ « ὡσμένος » γίνεται « ὁ φραγμός. »

Στ. ε'. Ἀρετὴ καὶ εὐσέβεια τιμὴ τοῦ σοφοῦ, κατὰ τό, « Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν. » Ἀτιμία τοίνυν ἐστὶν ἡ κακία, εἰς ἣν οἱ ἐκπεσόντες, ὃ πεπόνθασιν, αἰσθανόμενοι λέγουσιν· « Ἐπεκάλυψεν ἡμᾶς ἡ ἀτιμία ἡμῶν » εἰς θλῖψιν. Καὶ τὸ, « Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν. » Οὐκ ἔφη δὲ, Ἀπώσαντο τὴν τιμήν μου, ἀλλ' « Ἐβουλεύσαντο, » βίαν γὰρ οὐκ ἐπάγουσιν, ἀλλ' ἀπάτην οἱ δαίμονες. Ὧν συγγενεῖς οἱ περὶ ὧν ἔγραψε Παῦλος· « Διʼ εὐλογίας καὶ χρηστολογίας ἐξαπατῶντες τὰς τῶν ἀκάκων καρδίας. » Τοιοῦτον καὶ τὸ, « Ἐὰν δέηταί σου ὁ ἐχθρός σου μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ ἐγγινόμεναι, » τάχα ἀπὸ τῶν ζ' πνευμάτων, ὧν παραλαμβάνει τὸ ἀκάθαρτον πνεῦμα πονηροτέρων αὐτοῦ ὑπαρχόντων· μὴ πεισθῇς οὖν αὐτῷ κολακεύοντι.

Στ. ζ'. Λέγοι δ' ἂν καὶ ὅτι ἀντιλαμβανομένου Θεοῦ, μετανάστης οὐ γέγονα. « Αὐτὸς οὖν μοι Σωτὴρ, » ἀλλ' οὐκ Ἐγὼ, φησὶν, ἐμαυτῷ. Αὐτὸς γὰρ καὶ δόξαν δίδωσι τοῖς ἐκζητοῦσιν αὐτὸν, καὶ σωτηρίαν οὐ σαρκῶν, ἀλλὰ ψυχῆς λογικῆς, ἣν ἔχει τις εἰς τὴν πατρίδα πιστεύσας κατὰ τὸ, « Κομιζόμενοι τὸ τέλος τῆς πίστεως σωτηρίαν ψυχῶν. » Διὸ κἂν τι πάλιν εἰς σάλον με βιάζηται, ἐπ' αὐτῷ τὴν ἐλπίδα ποιοῦμαι πολλάκις με σώσαντι.

Στ. θ'. Πᾶσαι αἱ τῶν λαῶν τῶν πιστευσάντων ἀπὸ ἐθνῶν συναγωγαὶ, ὅπως μηκέτι ἄθεοι καὶ ἐλπίδα μὴ ἔχοντες· ἢ καὶ « ἐλπίσατε ἐπ' αὐτὸν » ἄνευ πάσης πανουργίας, ἐνώπιον αὐτοῦ φανερώσαντες τὰς καρδίας ὑμῶν. Γενήσεται γὰρ ὑμῖν ὁ Θεὸς βοηθός. Ταυτὸν τὸ, « ἐκχεῖν ἐνώπιον [αὐτοῦ] τὴν καρδίαν, » τῷ « Ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς ἀγαπᾷν αὐτόν. » Ὅμοιον ὡσεὶ λέγοι, Μὴ προσέλθετε αὐτῷ ἐν καρδίᾳ δισσῇ· ἀλλ' ὡς γέγραπται, « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς διανοίας σου. » Ἢ καὶ τοὺς ἐξ ἐθνῶν προτρέπεται, ὡς ἂν μηκέτι ὦσιν ἄθεοι καὶ ἐλπίδα μὴ ἔχοντες, χωρὶς πανουργίας φανεροῦντες τῷ Θεῷ τὰς καρδίας, καὶ ἐξ ὅλης ψυχῆς ἀγαπῶντες αὐτόν· ἐπιδαψιλείας γὰρ πολλάκις ἡ ἔκχυσις· ὡς ἐν τῷ, « Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ὑμῶν διὰ Πνεύματος ἁγίου. »

Στ. ι'. Πρὸς τοὺς τοιούτους ἐῤῥέθη· « Ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; » Καίτοι παραγγέλλονται, μὴ στάθμιον ἔχειν μικρὸν καὶ μέγα, ἀλλὰ ζυγὸν ἀληθινὸν, ἐπείπερ βδέλυγμα Κυρίῳ ἐστὶ δισσὸν στάθμιον. Μετανοοῦνται δὲ καὶ οἱ περὶ ματαίαν συμφωνίαν σπουδάζοντες. « Υἱοὺς δὲ ἀνθρώπων » ἢ περιφραστικῶς τοὺς ἀνθρώπους φησὶν, ἢ τοὺς ὡς ἀνθρώπους ἀποθνήσκοντας, τῷ μηκέτι θεοὺς ἢ υἱοὺς Ὑψίστου τυγχάνειν· « Ὅπου γὰρ ἔρις καὶ ζῆλος, » φησὶν, « ἐν ὑμῖν, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; »

A cata nostra factum, tunc dicetur « paries inclinatus, » et « maceria depulsa. »

Vers. 5. Virtus et pietas decus sapientis est, juxta illud [53], « Gloria et honor et pax omni operanti bonum. » Ignominia autem peccatum, quo commisso, dicent peccatores, quid passi sint experti : « Cooperuit nos ignominia nostra [53] » in tribulationem. Et illud : « Homo cum in honore esset, non intellexit [53a]. » Non autem dicit : Repulerunt pretium meum, sed, « Pretium meum cogitaverunt repellere ; » nam dæmones nos non vi, sed dolis aggrediuntur. Haud dissimiles ab illis sunt homines de quibus Paulus scripsit [54] : « Per dulces sermones et benedictiones seducunt corda innocentium. » Non discrepat ab his illud [55] : B « Si te rogaverit inimicus magna voce, ne credideris : septem enim sunt nequitiæ in anima ejus : » septem fortasse illi spiritus, quos nequiores se spiritus immundus secum assumpsit [56]. Ne credideris istius blanditiis.

Vers. 7. Indicat forsan se, quod a Deo fuerit protectus, non emigravisse. « Ipse igitur Salvator meus, » ait, non autem : Ego salvator meus. Nam ipse dat gloriam quærentibus eum, et salutem non carnis sed animi ratione præditi, quam consequeris in patriam confidendo, juxta illud : « Reportantes finem fidei vestræ, salutem animarum [57]. » Quamobrem, si quid rursus me agitaverit, spes mea in Deo qui sæpius jam me salvum fecit.

Vers. 9. Omnes de gentibus credentium populorum congregationes, jam non sitis omni spe et pietate destitutæ. « Sperate » in eum, deposita iniquitate, et coram ipso revelate corda vestra : nam erit Deus adjutor vobis. Hæc verba, « effundere cor coram Deo, » idem sonant ac illa : « Ex toto corde et ex tota anima diligere eum. » Existimes igitur istud Psalmistam intendere : Ne accesseris ad eum duplici corde [58] ; sed uti scriptum est : « Diliges Dominum Deum tuum ex toto corde tuo et ex tota mente tua [59]. » Contendi etiam potest hic Psalmistam populos monere de gentibus conversos ut, pietatem ac spem professi, absque fraude Deo corda sua revelent, eumque tota anima diligant : nam liberaliter dantis sæpe effusio, ut in illo : « Charitas Dei diffusa est in cordibus vestris per Spiritum sanctum [60]. »

D Vers. 10. Ad istos dictum est : « Utquid diligitis vanitatem et quæritis mendacium [61] ? » Iisdem vetitum est, ne pondus haberent leve et grave stateramve dolosam, cum stateræ dolosæ abominatio coram Deo sit [62]. Resipiscunt etiam qui de vano concentu student. « Filii hominum » dicuntur per circumlocutionem, vel ipsi homines, vel qui tanquam homines moriuntur, ac non amplius dii aut filii Altissimi sunt. « Cum enim sit inter vos zelus et contentio, ait, nonne carnales estis et secundum hominem ambulatis [63] ? »

[53] Rom. II, 10. [53] Jer. III, 25. [53a] Psal. XLVIII, 13. [54] Rom. XVI, 18. [55] Prov. XXVI, 25. [56] Matth. XII, 45. [57] I Petr. I, 9. [58] Eccli. I, 36. [59] Marc. XII, 30. [60] Rom. V, 5. [61] Psal. IV, 3. [62] Prov. XI, 1. [63] I Cor. III, 3.

Digitized by Google

Verbs. 11. « Non potestis Deo servire et mammonæ [65], » in iniquitate sperare et in Deo. Labi et imminui videntur inique agentis divitiæ. « Nolite » ergo « cor apponere » divitiis mox imminuendis. Nunc iniquitate in alios peccamus. Ita sonat illud : Vos autem iniquitatem fecistis et diripuistis, vel fratres, præsertim vero rapinas fallacesque divitias congerendo. Nunc etiam iniquitate designantur mala opera, dicente Scriptura : « Iniquitatem odio habui et abominatus sum [66] ; » et alias : « Qui gaudet iniquitate [66] : » nam rapina profecto species malitiæ.

Verbs. 12. Ingenitus cum sit Deus et spiritualem habeat naturam, semel una simplicique voce loquitur. Propheta vero, utpote genitus, « duo hæc » significata « audit ; » nam vox « hæc » demonstrativa. Pura igitur mente et simplici voce dicta sunt. Non enim mihi cogitatione consequi fas est quod a quibusdam dictum arcanum vocatur, et nunquam « arcana verba, » uti Paulus ea vocat [67]. Non enim per syllabas prolata sunt, ac ideo sunt *arcana* (*indicta*) ; verba autem sunt quod, veri quid significent. Ubi enim verum, ibi et propositio verbis exprimenda ; fit etiam ut quæ Deus proprie de sacrificiis præceperit, nos eadem spirituali simul et proprio sensu accipiamus : idem valet de circumcisione. Voce « Deo » innuitur forte Pater ; et voce « Domino » Filius, vel idem utraque voce. At quo pacto reddet Deus « unicuique juxta opera sua ? » Si non sunt condignæ passiones hujus temporis ad obtinendam futuram gloriam [68], nec punientur pro meritis peccatores : nam « si iniquitates observaveris, Domine, Domine, quis sustinebit [69] ? » Retributio fiet igitur non pro quantitate, sed pro qualitate. Quod si tamen hæc de quantitate intellexeris, major erit bonorum merces, minor vero malorum pœna : æqua erit Dei justitia non in puniendis malis, sed in discernendo justos ab injustis.

A Στ. ια'. « Οὐ γὰρ δυνατὸν Θεῷ δουλεύειν καὶ μαμωνᾷ, » οὐδὲ μὴν ἐπ' ἀδικίαν ἐλπίσαι καὶ τὸν Θεόν. Καὶ γὰρ δοκεῖ ῥέειν καὶ μειοῦσθαι τοῦ μὴ ἀδικοῦντος ὁ πλοῦτος. Οὐ δεῖ « προστίθεσθαι καρδίαν τῇ μειώσει » λειπούμενον (8). Ἀδικίαν δὲ ἢ τὴν περὶ κοινωνίαν ἀνισότητα λέγει. Καὶ τὸ, Ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφοὺς καὶ μάλιστα διὰ τὸ συνεζεῦχθαι ἁρπάγματα καὶ πλοῦτον ῥέοντα. Ἢ τὴν πρακτικὴν κακίαν καθ' ὃ λέγεται· « Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· » καὶ τὸ, « Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν· » καθόλου γὰρ οὔσης κακίας εἶδος ἡ ἁρπαγή.

Στ. ιϐ'. Ἀγέννητος ὢν ὁ Θεὸς καὶ νοητὴν ἔχων οὐσίαν, μονοειδῶς καὶ ἀσυνθέτως λαλεῖ. Ὁ δὲ προφήτης ὡς γενητὸς, « δύο » κατὰ τὴν δεῖξιν « ἤκουσε B ταῦτα· » τὸ γὰρ *ταῦτα* φωνὴ δεικτική· καθαρᾷ τοίνυν νοήσει καὶ ἀσυνθέτῳ φωνῇ λέγοντος αὐτό. Οὐ γὰρ ἐπέστη μου τῇ φαντασίᾳ τὸ παρά τισι λεγόμενον λεκτὸν ἄῤῥητον ὑπάρχον, καὶ μήποτε « ἄῤῥητα ῥήματα » καὶ ὁ Παῦλος ταῦτά φησιν. Οὐ γὰρ διὰ συλλαβῶν ἐξεφωνήθη, διὸ ἄῤῥητα· ῥήματα δὲ διὰ τὸ ἔχειν νόησιν ἀληθῆ. Ἔνθα γὰρ τὸ ἀληθὲς, ἐκεῖ πρότασις ἥτις ἐκ ῥήματός ἐστι ῥητή. Ἀλλὰ καὶ Θεοῦ τυχὸν αἰσθητῶς ἐντελλομένου περὶ θυσίας ἡμεῖς αἰσθητῶς ἀκούομεν καὶ πνευματικῶς· οὕτω καὶ τὴν περιτομήν. Λέγοις δ' ἂν *Θεὸν* μὲν εἶναι τὸν Πατέρα, *Κύριον* δὲ τὸν Υἱὸν, ἢ καὶ τὸν αὐτὸν ἀμφότερα. Ἀλλὰ πῶς « ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ; » Εἰ μήτε ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόC ξαν ἀποκαλύπτεσθαι, μήτε πρὸς ἀξίαν τιμωρεῖται τοὺς ἁμαρτάνοντας· « Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται ; » μήποτε τοίνυν οὐ κατὰ τὴν ποσότητα, ἀλλὰ κατὰ τὴν ποιότητα γίνεται. Κἂν δηλοῦται δὲ ποσότης, ἐκ τῆς λέξεως, ἐπὶ μὲν τῶν ἀγαθῶν μείζων ἡ δόσις, ἐπὶ δὲ τῶν κακῶν ἐλάττων ἡ τιμωρία· οὐ γὰρ κατὰ τὴν ἐπανορθωτικὴν δικαιοσύνην ἡ ἰσότης, ἀλλὰ κατὰ τὴν διανεμητικὴν τὸ ἴσον καὶ ἄνισον.

PSALMUS LXII.

Verbs. 2. Hominis est malitiæ ignorantiæque servitute liberati, dicere [70] : « Nox præcessit, dies autem appropinquavit. » Idem sonat illud : « De luce vigilat spiritus meus ad te, Deus. » Non lucet lux peccatori opera noctis et tenebrarum operanti. Vocabula « ad te » non de loco accipienda : non enim D circumscribitur Deus loco quopiam ; sed affectus exprimunt sensusque hominis mundana respuentis, et ad Deum accedentis. Ait etiam, « Deus, Deus meus ; » nam Deus est sanctorum inservientium ipsi, non autem profecto Deus eorum omnium qui sunt, cum quidam rejiciantur. Ad te sitivi unice, qui mihi fontem aquæ salientis in vitam æternam [71] largiris ; illuminetur « anima mea, » imo et « caro mea : » ad te pro viribus tendit ; ipsa « sitivit in te. » Quod si ad Patrem verba facit Propheta, « virtus et gloria ejus » Unigenitus ; « Christus enim

Στ. β'. Ταῦτα λέγοι τις ἂν ἀγνοίας καὶ κακίας ἀπηλλαγμένος, ὡς φάναι δύνασθαι· « Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. » Συνῳδὸν δὲ τούτῳ τὸ, « Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ Θεός. » Τῷ δὲ πράττοντι τὰ τῆς νυκτὸς καὶ τοῦ σκότους, οὐκ ἐπέλαμψεν ὄρθρος. Τὸ δὲ « πρὸς σὲ, » οὐ τοπικὸν, οὐ γὰρ ἐν τόπῳ Θεὸς, ἀλλ' ἐν διαθέσει καὶ σχέσει πρὸς Θεὸν γινομένου τοῦ τὰ αἰσθητὰ ὑπερπτήσαντος. Ἔφη δὲ, « ὁ Θεὸς, ὁ Θεός μου· » ὁ γὰρ τῶν ἁγίων Θεὸς λατρευόντων αὐτῷ, καὶ καθάπαξ Θεός ἐστιν, οὐ πάντων τῶν ἐχόντων τὸ εἶναι, τινῶν καὶ ἀπολελυμένως ὄντων. Πρὸς σὲ δέ μου τὸν πόθον ἀπὸ πάντων μετέστησα, ὀρέξοντά μοι πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Καὶ ἐπὶ τῆς ψυχῆς φωτιζομένης, καὶ ἡ σὰρξ ὡς οἷόν τε μεταλαμβάνει· καὶ αὕτη διψᾷ πρὸς Θεόν. Καὶ εἰ μὲν ὁ Λόγος πρὸς τὸν Πατέρα, « δύναμις καὶ δόξα αὐτοῦ » ὁ Μονογενής· « Χριστὸς

[65] Matth. vi, 24. [66] Psal. cxviii, 163. [67] Eccli. xix, 5. [67] II Cor. xii, 4. [68] Rom. viii, 18. [69] Psal. cxxix, 3. [70] Rom. xiii, 12. [71] Joan. iv, 14.

(8) Lego λυπούμενον. Edit.

Digitized by Google

γὰρ Θεοῦ δύναμις, » καὶ, « Ὀφθήσεται ἡ δόξα Κυρίου. » Εἰ δὲ πρὸς τὸν Υἱὸν, ἡ περὶ αὐτοῦ θεολογία, δύναμις αὐτοῦ καὶ δόξα καὶ ἡ ἐπιτελεστικὴ τεράτων ἐνέργεια. Κατὰ τὸ ἐν τῷ Εὐαγγελίῳ· « Δύναμις ἐξ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας· » καὶ πάλιν· « Δύναμις ἦν Θεοῦ εἰς τὸ ἰᾶσθαι αὐτούς· » περὶ δὲ τῆς δόξης· « Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς· » καὶ πάλιν· « Δόξασόν με, Πάτερ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι. » Ἀκολούθως ἑκατέρᾳ νοήσεις ἐκλήψει καὶ τὸ, « Ἐν τῷ ἁγίῳ ὤφθην σοι. » Ὅρα δὲ μὴ διὰ τῆς ἐρήμου καὶ ἀβάτου καὶ ἀνύδρου, ὁ περὶ γῆν τόπος δηλονότι, ἔρημος ὢν τελειότητος, καὶ ἄνυδρος, τῷ μὴ ἔχειν δαψιλῶς τὰ χαρίσματα τοῦ Πνεύματος· ποταμοὶ γὰρ ὕδατος ζῶντος εἴρηται· διὸ καὶ ἄβατός ἐστιν, οὐδενὸς ἐπ' αὐτοῦ διατρίβοντος τῶν πάντη κατὰ τὸ δυνατὸν ὁμοιωμένων Θεῷ, καὶ εἰκότως ἔρημος. Ἐκ μέρους γὰρ ἡ γνῶσις ἐν αὐτῷ, καὶ ἀρραβὼν μόνον τοῦ Πνεύματος. Τὸ σπάνιον γὰρ, ἀλλ' οὐ παντελῆ στέρησιν αἱ λέξεις δηλοῦσιν.

virtus Domini : » et, « Apparebit gloria Domini [72]. » Quod si autem ad Filium, reperies hic quæ de ipso narrentur, virtutem ejus, et gloriam, et perfectissimam miracula operandi facultatem. Nam scriptum est in Evangelio [73] : « Virtus de illo exibat et sanabat omnes; » et alias [74] : « Et virtus Domini erat ad sanandum eos; » et de gloria [75] : « Vidimus gloriam ejus, gloriam quasi Unigeniti; » et rursus [76] : « Nunc clarifica me, Pater, claritate quam habui priusquam mundus esset. » Utrique interpretationi congruit illud : « In sancto apparui tibi. » Terram designat profecto ille locus desertus et invius et inaquosus : quippe deserta, quia perfectionis vacua; et inaquosa, cum Spiritus sancti gratiis prope destituatur; quæ dicuntur flumina aquæ vivæ [77], ideoque et invia, cum non in ea moreantur, qui pro viribus Deo similes fieri conantur. Nec immerito vocatur deserta; nam hic « ex parte tantum cognoscimus [78], » et « pignus modo Spiritus [79] » nobis concessum est. Cæterum nos istis bonis egere dicit Propheta non vero iis omnino privari.

Στ. ε'. Γέγραφεν ὁ Ἀπόστολος, ὡς πρὸς πάντα ὠφέλιμος οὖσα ἡ εὐσέβεια, ἐπαγγελίαν ζωῆς ἔχει τῆς τε νῦν καὶ τῆς μελλούσης· « Τῆς » δὲ « νῦν » εἰπὼν, οὐ τῆς κοινῆς λέγει τῶν ζώων, ἀλλὰ τῆς ἐν βίῳ δυνατῆς ὑπαρχθῆναι, περὶ ἧς φησιν ὁ Σωτήρ· « Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον· » καὶ, « Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσίν σε τὸν μόνον καὶ ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. » Ταύτης τῆς νῦν ζωῆς καὶ τῆς μελλούσης, ἧτις κατὰ τὴν τελειότητα γίνεται τοῖς προσβαλοῦσι τῇ ἀληθείᾳ πρόσωπον πρὸς πρόσωπον. « Κρεῖσσόν ἐστι τὸ ἔλεος τοῦ Θεοῦ » τῷ δι' αὐτὸ καὶ καθ' αὐτὸ γενέσθαι ἐν ταῖς ζωαῖς τὸν εἰς αὐτὰς ἀναγόμενον· οὐ γὰρ κατ' ἀξίαν πράξεως καὶ θεωρίας, ἀλλ' ἀγαθότητι καὶ ἐλέῳ Θεοῦ ἐρχεταί τις ἐπὶ τὸ ζῆν κατ' ἀμφοτέρας τὰς ζωάς. Κρεῖσσον οὖν ὡς αἴτιον αἰτιατοῦ, ὅπερ τὸν Θεὸν Λόγον δηλοῖ, περὶ οὗ φησιν· « Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ. »

Vers. 5. Scribit Apostolus, pietatem ad omnia esse utilem, cum promissionem habeat vitæ, quæ nunc est, et futuræ [80]. Per vocabula « quæ nunc est, » non vitam eam indicat, qua omnia animantia vivunt, sed illam quæ vere vita vocanda; de qua Salvator : « Qui credit in me, habet vitam æternam [81]; » et : « Hæc est vita æterna, ut cognoscant te solum Deum verum, et quem misisti Jesum Christum [82]. » Hujus igitur vitæ promissionem habet pietas, et futuræ, quam adepti veritatem facie ad faciem videbimus [83]. « Melior est misericordia Dei super vitas » per illam et illius gratia nobis concessas : non enim operum et scientiæ nostræ meritis, sed bonitate et misericordia Dei utramque vitam consequimur. Misericordia igitur melior, ut causa melior causato; eaque Deum Verbum designat, de quo dictum est : « Misit Deus misericordiam suam et veritatem suam [84]. »

Στ. ς'. Ὅρα εἰ στέαρ ἐστὶ πληροῦν τὴν ψυχὴν ἃ ἔσφαξε θύματα ἡ Σοφία, καὶ ἡ ἀληθινὴ βρῶσις σὰρξ τοῦ Λόγου, καὶ πιότης εὐφραίνουσα τὸν ἔσω ἄνθρωπον ὁ τρυγώμενος οἶνος ἐκ τῆς ἀμπέλου τῆς ἀληθινῆς. Καὶ ἀληθινὴ πόσις τῆς Σοφίας τὸ αἷμα. Κληθεὶς γὰρ ὁ ταῦτα λέγων εἰς τὸ μετασχεῖν τῆς ἑτοιμασθείσης τραπέζης ὑπὸ τῆς Σοφίας σφαξάσης τὰ ἑαυτῆς θύματα, καὶ τὸν ἑαυτῆς κερασάσης οἶνον, ἐμφορηθεὶς ἤδη τῆς θείας ἑστιάσεως καὶ προσδοκῶν, οὕτως εἶπεν, « Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. » Καὶ ἐπεὶ ὁ ταύτης τῆς εὐωχείας μεταλαμβάνων πίναι διὰ τὸ τῆς ὀρέξεως τοῦ νοῦ ἀκόρεστον, « Ἐμπλησθείη, » φησὶν, καὶ οὐκ « ἐνεπλήσθη, ἡ ψυχή μου, » καίπερ ἤδη δαψιλῶς μετειληφὼς τῆς

Vers. 6. Adeps quo anima replenda, non alius ac hostiæ a Sapientia mactatæ [85], verus cibus caro Verbi [86], et potus lætificans cor hominis [87], vinum in vinea veritatis vindemiatum. Est etiam verus Sapientiæ [88] potus Christi sanguis. Psalmista igitur ad illam mensam vocatus, quam, hostiis mactatis et misto vino, ipsa Sapientia paravit [89], ac divino ita cibo repletus, hæc habet : « Sicut adipe et pinguedine repleta est anima mea. » Inepte sperant quidam, cibos potusque sensiles hominibus post resurrectionem esse largiendos, quod hic ad istud convivium admissus, licet copiose et cibis et potibus fuerit usus, animam tamen propter insatiabilem mentis appetitum haud satiatam esse dicat. Non

[72] Isa. XL, 5. [73] Luc. VI, 19. [74] Luc. V, 17. [75] Joan. I, 14. [76] Joan. XVII, 5. [77] Joan. IV, 10. [78] I Cor. XIII, 9. [79] II Cor. V, 5. [80] I Tim. IV, 8. [81] Joan. VI, 47. [82] Joan. XVII, 3. [83] I Cor. XIII, 12. [84] Psal. LVI, 5. [85] Prov. IX, 2. [86] Joan. VI, 55. [87] Psal. CIII, 15. [88] Joan. VI, 56. [89] Prov. IX, 2.

Digitized by Google

enim corpus, sed animam dicit adipe et pinguedine fuisse repletam; non corporis, sed animæ desiderium replet Deus in bonis, ut refertur in alio psalmo [90]. Lætitia autem plenus, lætificanti seipsum Deo gratias agit, dicens : « Et labia exsultationis laudabunt nomen tuum. » De quibus dixerat : « Labia mea laudabunt te. » Voces « labia exsultationis » adhibere licebat, cum virtus exsultatio appelletur ; ita de imprudentia, imprudentiæ pedes perdunt eos qui utuntur ea.

A τροφῆς καὶ τοῦ πόματος, μάτην ἄρα τινὲς ἐλπίζουσιν μετὰ τὴν ἀνάστασιν βρώματά τε καὶ πόματα αἰσθητά. Οὐ σῶμα γὰρ, ἀλλὰ ψυχὴν εἶπεν ἐμπλησθήσεσθαι στέατος καὶ πιότητος, πληροῦντος τοῦ Θεοῦ ἐν ἀγαθοῖς τὴν ψυχῆς ἐπιθυμίαν, ὡς εἶπεν ἐν ἑτέρῳ ψαλμῷ. Πληρωθεὶς δὲ τῆς εὐφροσύνης, χάριν ὁμολογεῖ τῷ ταύτην ὀρέξαντι λέγων· « Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ ὄνομά σου. » Περὶ ὧν ἔλεγε· « Τὰ χείλη μου ἐπαινέσουσίν σε. » Δυνατὸν δὲ « ἀγαλλιάσεως χείλη » λέγειν ὡς ἀγαλλιάσεως ὠνομασμένης τῆς

ἀρετῆς· ὡς λέγεται ἀφροσύνης, μελέτης γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ.

Vers. 9. Quæ illi dicenda sunt, qui sibi temperat ab iniquitate, ut de rebus divinis unice sollicitus Deo ipsi placeat ; ei etiam usurpanda, qui impollutum habet lectum et caste sanctorum ad exemplar cum uxore conjungitur. Quemadmodum curriculum virtutis et pietatis perficienti metas constituere licet, ut dictum est : « Cursum consummavi [91] ; » et alias : « Sine iniquitate cucurri et direxi [92] ; » nam metam contingentis est vox « cucurri : » ita qui Deum sequitur juxta Jeremiam [93] : « Ego autem non laboravi sequens post te ; » et juxta Oseam [94] : « Post Dominum ambulabo ; » et uti loquitur Moyses [95] : « Post Dominum Deum vestrum ambulabitis ; » post Dominum ambulabit donec felicitatis finem assequatur, cum Deum audierit dicentem : « Tu autem stes mecum [96] : » nam non ambulabit tunc cum Deo unitus qui ipsi adhæret. Uniuntur autem cum Deo « odientes malum, adhærentes bono [97], » juxta illud : « Qui adhæret Domino unus spiritus est [98] : » quod perfectius est quam post illum adhærere. Licet enim finem deambulationis consequatur, qui sese applicat ad Dominum, præstantiora tamen sortitur qui adhæret Domino et ita unus cum eo fit spiritus. Cæterum fatetur animam suam post Dominum adhærere « suscipiente eam dextera Dei, » Unigenito scilicet, virtute Dei. Qua propugnante, inanes impetus facient inimici visibiles invisibilesque, nec eum poterunt offendere quem defendet potens Dei manus.

Στ. θ'. Δύναται δὲ ταῦτα λέγειν ὁ ἀνομίᾳ σχολάζων, ἵνα μεριμνῶν τὰ τοῦ Κυρίου ἀρέσῃ αὐτῷ· καὶ ὁ κοίτην ἀμίαντον ἔχων, τῷ κατὰ τοὺς ἁγίους ἄνδρας τιμίως συνεῖναι τῇ γαμετῇ. Ὥσπερ δέ ἐστιν τὸν B τρέχοντα ἐπὶ τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν τέλος ἐπιθεῖναι κατὰ τὸ λεχθέν· « Τὸν δρόμον τετέλεκα. » Καὶ τό· « Ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα. » Τελέσαντος γάρ ἐστι τὸ « ἔδραμον· » οὕτως ὁ ἐπόμενος Θεῷ κατὰ τὸν Ἱερεμίαν· « Ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου. » Καὶ κατὰ τὸν Ὡσηέ· « Ὀπίσω Κυρίου πορεύσομαι· » καὶ καθά φησιν Μωϋσῆς· « Ὀπίσω Κυρίου τοῦ Θεοῦ σου πορεύσῃ. » Τελέσοι ἂν ποτε τὴν ὀπίσω τοῦ Θεοῦ πορείαν ἐπ' αὐτὸ φθάσας τὸ τῆς μακαριότητος τέλος, ὅτε ἀκούσεται πρὸς Θεοῦ, « Σὺ δὲ στῆθι μετ' ἐμοῦ. » Καὶ ὁ κολληθεὶς τοίνυν ἡνωμένος οὐκέτι πορεύεται, ὥσπερ οὖν ἥνωνται καὶ « οἱ ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ· » ὁποῖον καὶ τὸ, « Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν· » ὅπερ τελειότερον C τοῦ κολληθῆναι ὀπίσω αὐτοῦ. Εἰ γὰρ καὶ τέλος πορείας τὸ κολληθῆναι ὀπίσω αὐτοῦ, ἀλλὰ κρεῖττον τὸ κολληθῆναι πρὸς τὸν Κύριον, ἐπὶ τὸ ἓν πνεῦμα πρὸς αὐτὸν γενέσθαι. Πλὴν ὡς ἂν ἔχῃ ὁμολογεῖ καὶ κολλᾶσθαι ὀπίσω τοῦ Θεοῦ τὴν ψυχὴν αὐτοῦ, « ἀντιλαμβανομένης τῆς Θεοῦ δεξιᾶς, » ἥτις ἐστὶν ὁ Μονογενὴς, Θεοῦ δύναμις. Ἧς κρατούσης, οἱ ἐχθροὶ μεματαίωνται ὁρατοὶ καὶ ἀόρατοι, μὴ ἔχοντες ἁρπάσαι τὸν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ φρουρούμενον.

Vers. 11. Hoc est, malarum potestatum ; nam natura vulpes callida et maligna. Cui versui consentit ille : « Convertantur peccatores in infernum [99]. » Pœnas enim designat hic gladius ; manus autem gladii aut pœnarum labores indicant, aut pœnarum ministros, qui et alias « vasa iræ [1] » vocantur. Propter malitiam suam vulpibus assimilantur malæ potestates.

Στ. ια'. Τουτέστι πονηρῶν δυνάμεων, διὰ τὸ πανοῦργον καὶ κακόηθες ἀλώπεκες. Ὅμοιον δὲ τῷ προκειμένῳ καὶ τὸ, « Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. » Τὴν ἐκεῖ δὲ τιμωρίαν ἡ ῥομφαία δηλοῖ· ταύτης δὲ χεῖρας ἢ τοὺς ὑπ' αὐτῆς πόνους, ἢ τοὺς ὑπηρετοῦντας αὐτῇ, « σκεύη » λεγομένους « ὀργῆς. » Διὰ δὲ τὴν πανουργίαν αἱ πονηραὶ δυνάμεις, ἀλώπεκες λέγονται.

Vers. 12. Deinceps celebrabunt eum omnes ore sincero, regem vocantes eum, et in salute ejus jurantes, deposita omni calumniatorum formidine, quorum os morte obstructum est : quod quidem ipsi, tot sacerdotibus propter David interfectis, vivo Saulo præstare verebantur.

Στ. ιβ'. Μετὰ παῤῥησίας λοιπὸν ἅπαντες καὶ ὀνομάσουσι βασιλέα, καὶ κατὰ τῆς τούτου σωτηρίας ὀμοῦνται, οὐκέτι δεδειότες (9) τοὺς συκοφάντας, ὧν ἐνεφράγη τῷ θανάτῳ τὰ στόματα· ὃ δὴ ποιῆσαι ζῶντος ἐφοβοῦντο Σαοὺλ, τοσούτων ἀποσφαγέντων διὰ τὸν Δαυὶδ ἱερέων.

[90] Psal. CII, 5. [91] II Tim. IV, 7. [92] Psal. LXVIII, 5. [93] Jer. XVII, 16. [94] Ose. XI, 10. [95] Deut. XIII, 3. [96] Deut. V, 31. [97] Rom. XII, 9. [98] I Cor. VI, 17. [99] Psal. IX, 18. [1] Rom. IX, 22.

(9) Forma Alexandrina pro δεδιότες. Edit.

Digitized by Google

PSALMUS LXIII.

Στ. γ'. Συστροφὴν τὴν ὁμόνοιαν καλεῖ, καὶ τὴν ἐπὶ κακῷ συμφωνίαν, ἧς ἀντιβολὴ κρείττων ἀποφανθῆναι, οἷον τινὶ τοιχείῳ τῇ θείᾳ κηδεμονίᾳ περιφραττόμενος· συκοφαντίας γὰρ κατ' ἐμοῦ ῥάπτουσι, τὸν κατ' ἐμοῦ πυρσεύοντες πόλεμον. A

Στ. ε'. Ἐξ ἐνέδρας ἐπίασι, τὸν ἐφορῶντα μὴ σκοποῦντες Θεόν. Καὶ οἱ ἑτερόδοξοί φασι μηδένα εἶναι τὸν καταλαβεῖν δυνάμενον τὴν κεκομψευμένην αὐτῶν καὶ σεσοφισμένην διδασκαλίαν.

Στ. ζ'. « Ἐκλειπόντων ἐρευνᾷν ἐξερευνήσεις, » διὰ τὸ σφόδρα ἐξερευνηκέναι τὴν ἀνομίαν, ὡς καὶ λόγον ἑαυτοῖς κραταιῶσαι πονηρὸν, καὶ παγίδας κρύψαι ἐν τοῖς διηγήμασιν ἑαυτῶν, τῷ δοκεῖν μηδένα φωράσαντα λῦσαι. « Προσελεύσεται ἄνθρωπος » ἀληθινὸς, τὸ κατ' εἰκόνα διασώζων καὶ διαρθρώσας τὸ λόγιος εἶναι καὶ νόησιν ἔχων βαθεῖαν εἰς ἔλεγχον· ὡς ὑψωθῆναι τὸν Θεὸν δρασσόμενον τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν. Οὕτως ἐφανέρωσε Ἔλυμα τοῦ μάγου τὸν δόλον· ὑψοῦται γὰρ Θεὸς δι' ἀνδρῶν ἁγίων τῆς ἀπάτης ἐλεγχομένης, ὡς ἤλεγξε Μωϋσῆς τοῦ Φαραὼ τοὺς ἐπαοιδοὺς καὶ φαρμακούς. Καὶ πάντες τὸν Θεὸν, τῆς « βαθείας » διδομένης « καρδίας » παρὰ τοῦ πάντα ἐρευνῶντος Πνεύματος. B

Στ. η'. Οἱ θεασάμενοι αὐτοὺς τῶν ἐγχειρημάτων διαμαρτόντας, θορύβου καὶ δέους ἐπλήσθησαν, καὶ τὴν θείαν ἐθαύμασαν πρόνοιαν· τοῦτο γὰρ τὰ μετὰ ταῦτα δηλοῖ. Ὡς ἀβλαβῆ τῶν νηπίων τὰ βέλη, οὕτω καὶ τῶν σοφιστῶν ἀδεῆ καὶ πρᾶγμα πικρὸν, ὡς ἀσθενῆσαι τοὺς λόγους αὐτῶν παρὰ τοῖς ἀναλαμβάνουσι τὸν τῆς πίστεως θυρεόν. Διόπερ ἐφοβήθησαν οἱ πάλαι τούτους θαυμάζοντες, τῆς ἀπάτης παυσάμενοι, καθ' ἣν ἐπείσθησαν μήτε πρόνοιαν εἶναι, καὶ C τὰ ὄντα ὑπάρχειν αὐτόματα, καὶ ἀνθρώπους εἶναι φύσει ἀγαθοὺς καὶ κακοὺς καὶ ὑφ' εἱμαρμένην τελεῖν. Ὧν δὲ κλονηθέντων, ἐδόξασαν τἀναντία ἐκ τοῦ μεγέθους καὶ κάλλους τῶν κτισμάτων τὸν Δημιουργὸν θεωρήσαντες.

VERS. 3. Conventum vocat malorum consensum et fœdera, quorum impetus, divina providentia velut munimento circumseptus, feliciter propulit; nam calumnias in me sunt machinati, bellum in me concitaverunt.

VERS. 5. Insidias in me moliti sunt, nec putabant se a Deo perspici. Dicunt etiam heterodoxi neminem esse qui argutas subtilesque ipsorum doctrinas refellere possit.

VERS. 7. « Defecerunt scrutantes scrutinio, » iniquitatem scilicet potissimum scrutati, ita ut sermonem malignum sibi firmarent, et laqueos in narrationibus absconderent; nam putabant neminem fore, qui ea solvat. « Accedet homo » verus, ad Dei similitudinem sapientem altumque animum retinens ac servans, ut cæteros reprehendat: ideoque « exaltabitur Deus, » illusa doctorum malitia. Qua quidem ratione revelavit Elymæ magi dolos [1]: nam Deus exaltatur, confutato errore per sanctos viros, uti Moyses Pharaonis magos et incantatores confutavit. Celebrabunt omnes Deum; ubi « cor altum » dederit qui cuncta perscrutatur Spiritus.

VERS. 8. Qui cum se omni spe dejectos senserint, pudore et terrore afficientur, et divinam mirabuntur providentiam; hoc enim indicant quæ infra habentur. Ut infantium sagittæ inanes factæ sunt, ita frangetur et sophistarum impietas et res amara, refellenturque sermones eorum ab hominibus fidei scuto armatis. Quapropter timuerunt qui prius istos mirabantur, depulso errore, quo putabatur providentiam esse nullam, et sui juris esse quisque, et homines natura bonos malosve esse, et fato destinari cuique suum finem: quibus autem lapsis, res aliter se haberi intellexerunt, per creaturarum pulchritudinem et majestatem perspecto Creatore.

PSALMUS LXIV.

Στ. α'. Εἴρηται δὲ πρότερον, ὡς πρᾶξιν μὲν ὁ ψαλμὸς, θεωρίαν δὲ ἡ ᾠδὴ δηλοῖ (10)· ὁ θεωρητικὸς γὰρ ἅμα τῷ πρακτικῷ θεωρούμενος βίῳ, ἄνδρα τέλειον ἀποδείκνυσιν.

Στ. ε'. Ὁ ἐκλεγεὶς δι' ἁγιότητα, ἐὰν ἐπιμείνῃ τῇ ἐκλογῇ, προσλαμβάνεται ὑπὸ τοῦ Θεοῦ, ὡς μετοικισθέντα τοῦ περὶ γῆν τόπου, κατασκηνῶσαι ἐν ταῖς αὐλαῖς τοῦ ἐκλεξαμένου, περὶ ὧν εἴρηται· « Εἰσέλθατε εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. » Ὧν ἀπ' ἐντεῦθεν πόθον τις ἔχων εἶπεν· « Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. » Καὶ ἐπεὶ οὐκ ἐν ταῖς αὐλαῖς τὸ τῆς μακαριότητος τέλος, κατασκηνοῖ ἐν αὐταῖς ὁ ἐκεῖ παραληφθεὶς, ἵνα προκόψας ἐπ' αὐτὸν τὸν οἶκον κατοικεῖ (11) μακαριζόμενος· « Μακάριοι γὰρ οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσίν σε. » Ὅτι τελειό- D

VERS. 1. Jam supra notavimus psalmos ad informandos mores referri, carmina autem ad illustrandam mentem; nam perfectum probat virum, qui mente simul et moribus præstat.

VERS. 5. Qui propter sanctitatem electus fuerit, si acceptam gratiam retinuerit, assumetur a Deo, ut terrestria deserens, cœlestibus in eligentis « atriis inhabitet; » de quibus dictum est [2]: « Introite atria ejus in hymnis; » quorum cupidine Psalmista affectus, « Concupiscit, » ait, « et deficit anima mea in atria ejus [3]. » Et cum istis in atriis non reperiatur felicitatis finis, inhabitat in eis hic assumptus, ut magis ac magis proficiens postea in beatitudinis domum admittatur; nam « Beati qui habitant in domo tua; in sæcula sæculorum laudabunt te [4]. » Quod autem minus sit eligi quam ab eligente assumi, manifestius

[1] Act. XIII, 8 et seq. [2] Psal. XCIX, 4. [3] Psal. LXXXIII, 3. [4] ibid., 5.

(10) In titulo psalmi quarti.

(11) Lege κατοικῇ. EDIT.

Digitized by Google

apparet ex illo : « In consilio tuo deduxisti me et cum gloria assumpsisti me [6]. » Cum enim, qui electus est, vitam suam juxta Dei consilia informat, tunc cum gloria ad promissam beatitudinem assumetur. Usurpant hæc verba qui vita defunctos laudibus celebrant.

τερον τοῦ ἐκλεγῆναι τὸ προσληφθῆναι ἐκ τοῦ ἐκλεξαμένου. δῆλον ἐκ τοῦ· « Ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. » Ὅταν γὰρ ὁ ἐκλεγεὶς πάντα κατὰ βούλησιν Θεοῦ πράττῃ, τότε μετὰ δόξης εἰς τὰς ἐπαγγελίας προσλαμβάνεται. Τὰς δὲ λέξεις ταύτας προφέρουσιν οἱ τοὺς ἀπαλλαγέντας τοῦ βίου δοξολογοῦντες.

Vers. 8. Quomodo non timerent ac perturbarentur omnes, dum oracula confunduntur, dæmones magiam veneficiaque commendantes, et ipse Satanas, cui competit imperium mortis ? Non fugiebat sane per signa de ipsius divinitate edoctos, eum omnia de cœlis providere, legibusque suis astrorum ortus dirigere et occasus; nam « exitus matutini » siderum ortus, « et vesperæ » eorumdem occasus. Quibus si fidem adhibueris, « delectaberis » recta agendo, agnoscens eum qui homo factus est, et nos ab erroris servitio liberavit.

Στ. η'. Πῶς δὲ οὐκ ἐφοβοῦντο πάντες καὶ ἐταράσσοντο χρηστηρίων καταλυθέντων, καὶ τῶν ἰατρείαν καταγγελλομένων δαιμόνων μαγείας τε καὶ φαρμακείας καὶ αὐτοῦ τοῦ Σατανᾶ, τοῦ τὸ κράτος ἔχοντος τοῦ θανάτου; Ἀμέλει διὰ τῶν σημείων γνόντες αὐτοῦ τὴν θεότητα λοιπὸν ἔγνωσαν, ὡς καὶ τῶν κατ' οὐρανῶν αὐτὸς προνοεῖ· νόμοις αὐτοῦ ἀνατέλλει τὰ ἄστρα καὶ δύεται, « ἔξοδοι γὰρ πρωΐας » μὲν αἱ ἀνατολαί· « ἑσπέρας δὲ » αἱ δύσεις, ἐφ' αἷς οἱ πιστεύοντες τέρπονται ταῦτα ποιεῖν, ἐγνωκότες τὸν γενόμενον ἄνθρωπον καὶ τῆς ἀπάτης ἐλευθερώσαντα.

Vers. 10. Pluviam dedit Deus spiritualem, matutinam quidem per Vetus, et vespertinam per Novum Testamentum ; inebriataque est per ipsam quæ hic per allegoriam terra vocatur : ditata est scilicet hominis anima, Deo ipso replente eam in « omni verbo, et in omni scientia [7], » et in bonis operibus. Dei flumen et fons vitæ Verbum ejus. Apud Deum esse Verbum fontem declarat illud [8] : « Quoniam apud te est fons vitæ » flumen repertum, quo mentem animosque irrigas. Non enim lætificant civitatem Dei, nempe Ecclesiam, impetus et doctrinæ partito traditæ ; et cum « in ipso inhabitet plenitudo divinitatis, aquis repletus est, uti de eo dictum est.[9] : « Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis. » His aquis, quibus repletum est flumen, potat omnis creatura mente prædita. Quinimo « cibum » habet divinitus præparatum, semen centuplum fructum afferens [10]. Quo flumine « inebriantur rivi terræ, » spirituali aratro effossæ, bibentes in lætitia, ita ut crescant et multiplicentur genimina justitiæ, de quibus scriptum est [11] : « Seminate vobis in justitia, vindemiate in fructum vitæ ; »et rursus : « Quærite Dominum donec veniant in vos genimina justitiæ. » Imo cum non flumine tantum « inebrientur terræ rivi, » sed et spirituali pluvia quam pluunt nubes, juxta illud, « Et nubes pluant justitiam [12], » lætatur germinans terra in stillicidiis, in verbis scilicet et sententiis divinarum Scripturarum quibus illuminatur.

Στ. ι'. Ὑετὸν πνευματικὸν διδοὺς, πρώϊμον μὲν διὰ τῆς Παλαιᾶς, ὄψιμον δὲ διὰ τῆς Καινῆς Διαθήκης· δι' ὃν μεθυσθεῖσα ἡ ἀλληγορουμένη γῆ. Ψυχὴ δὲ ἀνθρώπου αὕτη ἐπλουτίσθη, « παντὶ λόγῳ καὶ πάσῃ γνώσει » καὶ ἔργοις ἀγαθοῖς πληθύνοντος αὐτοῦ τοῦ Θεοῦ. Θεοῦ ποταμὸς καὶ ζωῆς πηγὴ ὁ Λόγος αὐτοῦ. Καὶ ὅτι τάχα πρὸς Θεὸν ὁ Λόγος πηγή· ὅτι « παρὰ σοὶ πηγὴ ζωῆς » ποταμὸς εὑρισκόμενος, ὅτε τὴν κτίσιν ποτίζει τὴν λογικήν. Οὗ δὴ τὰ ὁρμήματα, καὶ αἱ κατὰ μέρος διδασκαλίαι εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ τὴν Ἐκκλησίαν· καὶ ἐπεὶ « τὸ πλήρωμα τῆς θεότητος ἐν αὐτῷ κατοικεῖ, » πεπληρωμένος ὑδάτων ἐστὶν, καθ' ὃ λέγεται περὶ αὐτοῦ· « Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Ἐκ τούτων τῶν ὑδάτων, ὧν πλήρης ὁ ποταμός ἐστιν, ποτίζεται πᾶσα ἡ λογικὴ κτίσις. Ἀλλὰ καὶ τροφὴν ἔχει θεόθεν ἑτοιμαζομένην, σπείροντος σίτου σποράν ἑκατονταπλασίονα καρποφοροῦσαν. Ἐκ τούτου τοῦ ποταμοῦ οἱ αὔλακες τῆς γῆς, ἐφ' ἣν βέβληται τὸ πνευματικὸν ἄροτρον, μεθύσκονται πίνοντες ἐπ' εὐφροσύνῃ, ὡς καὶ τὰ γεννήματα τῆς δικαιοσύνης αὐξανόμενα ἐν αὐτῇ πληθύνεσθαι, περὶ ὧν εἴρηται· « Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς· » καὶ ἔτι· « Ἐκζητήσατε τὸν Κύριον ἕως ἔλθῃ ὑμῖν γεννήματα δικαιοσύνης. » Καὶ ἐπεὶ μὴ ἐκ τοῦ ποταμοῦ μόνον μεθύουσιν οἱ τῆς γῆς αὔλακες, ἀλλὰ καὶ ἐκ τοῦ πνευματικοῦ ὑετοῦ ὃν ῥαίνουσιν αἱ νεφέλαι, κατὰ τὸ, « Καὶ αἱ νεφέλαι ῥαινέτωσαν δικαιοσύνην, » εὐφραίνεται ἀνατέλλουσα ἡ γῆ ἐν ταῖς σταχόσιν ταῖς ἐπ' αὐτὴν ἐρχομέναις, ταῖς τῶν θεοπνεύστων Γραφῶν λέξεσιν καὶ νοήμασιν.

Vers. 14. Quidam existimant per valles animas designari ad terram depressas, quod nulla sublimitate emineant ; istæ frumento abundant de quo fingendus panis. Ita : « Aperi oculos tuos, et implere panibus [13]. » Animæ enim oculi ubi aperti

Στ. ιδ'. Τινὲς δὲ κοιλάδας τὰς τεταπεινωμένας εἶπον ψυχὰς, τῷ μηδὲν ἔχειν ἔπαρμα, αἵτινες σῖτον ἐπλήθυναν ὃν ἀρτοποιῆσαί τις δύναται. Καὶ τό· « Διάνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἐμπλήσθητι ἄρτων. » Ψυχῆς γὰρ ἀνοιχθέντες ὀφθαλμοὶ φωτὸς

[6] Psal. LXXII, 24. [7] I Cor. I, 5. [8] Psal XXXV, 10. [9] Joan. I, 14. [10] Luc. VIII, 8. [11] Ose. X, 12. [12] Isa. XLV, 8. [13] Prov. XX, 13.

Digitized by Google

μεταλαμβάνουσι γνώσεως· οὗ δὴ γεγονότος οἱ ἄρτοι πληθύνονται, αἱ πρακτικαὶ ἀρεταὶ, τρέφοντες τὸν ἔσω ἄνθρωπον. — Ὁ νυμφίος ἐν τῷ Ἄσματι τῶν ἀσμάτων φησὶν, ὃς ἐστιν ὁ Σωτήρ· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. » Πεδίον τῶν περὶ γῆν τόπων εἰπὼν, οὗ γέγονεν ἄνθος, ὡς ἂν ἀρχὴν καρποφορίας οἱ ἄνθρωποι λάβωσιν. Κοιλάδας δὲ τὰς ἐν ᾅδου ψυχὰς, αἷς γέγονε κρίνον νέκρωσιν ἀναλαβών. Καὶ κόκκος δὲ γέγονεν σίτου, ὡς αὐτὸς εἶπεν· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ πεσὼν ἀποθάνῃ, πλείονα καρπὸν φέρει. » Διὰ τοῦ θανάτου τοίνυν πλείονα ποιήσας καρπὸν, καὶ ἐν ᾅδου γέγονεν αἴτιος ταῖς κοιλάσι πληθῦναι σῖτον.

Ἰστέον δὲ ὡς τινες τῶν συγγραφέων μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον εὐετηρίαν ἔφασαν γεγονέναι, καὶ πλῆθος ὄμβρων καὶ πολὺν ῥεῦσαι τὸν Ἰορδάνην, ὃν ἔφασαν εἰρῆσθαι τοῦ Θεοῦ ποταμόν. Καίτοι γεγονότες ἐν πλείστῃ πενίᾳ, καθάπερ Ἔσδρας ἐδίδαξεν, καὶ τῆς τῶν ἐθνῶν κλήσεως ἀπαιτούσης ἀκόλουθα τὰ λοιπὰ τοῦ ψαλμοῦ. Οἱ δὲ μυθικῶς φασιν ἔσεσθαι ταῦτα μετὰ τὴν Ἰουδαίων ἐν ἐσχάτοις ἀνάκλησιν οἰκοδομηθησομένοις τὴν Ἱερουσαλήμ.

sunt, luce scientiæ illustrantur : quo autem facto multiplicantur panes, virtutes scilicet, quibus homo intus alitur. — In Cantico canticorum [14] dicit sponsus, qui non alius ac Salvator : « Ego flos campi, lilium convallium. » Campum vocat terram, ubi flos germinat, ut homines et ipsi fructus ferre incipiant. Valles autem indicant hic animas in infernis degentes, quarum lilium factus est, induta morte. Factus est etiam granum, uti ipse docet [15] : « Amen, amen dico vobis, nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet ; si autem mortuum fuerit, multum fructum affert : » per mortem igitur fructus plures fecit, et in infernis causa fuit cur valles frumento abundarent.

Memoratu dignum nonnullos fuisse scriptores qui assererent Judæis de Babylone reducibus annum extitisse frugibus abundantem, et imbribus celebrem, et Jordanem tunc crevisse, quem contendunt flumen Dei vocari. At contra, summa afficiebantur penuria Judæi, teste Esdra, et ad gentium vocationem referendæ sunt cæteræ psalmi partes. Alii falso hæc perficienda dicunt, cum in ultimis temporibus Judæi rursus ad incolendam Jerusalem convocabuntur.

PSALMUS LXV.

Στ. α'. Ἀλαλάζουσι δὲ κατὰ τῶν ἐαλωκότων οἱ νενικηκότες ἀσήμῳ καὶ μεγίστῃ φωνῇ. Ἐπεὶ τοίνυν χάριτι Θεοῦ τοῦ Σωτῆρος ὑπὲρ παντὸς γευσαμένου θανάτου οἱ νεκροὶ ἐγείρονται, καταλυθέντος τοῦ διαβόλου τοῦτο κράτος ἔχοντος τοῦ θανάτου, προστάττει (12) ἀλαλάξαι τῷ Θεῷ πᾶσα ἡ γῆ, πάντων ἐγειρομένων δικαίων τε καὶ ἀδίκων. Ἀλλὰ καὶ τῆς κατὰ μετάνοιαν ἀναστάσεως πᾶσι προκειμένης πάντες ἀλαλαζέτωσαν. Πρὸς ἕκαστον γὰρ λέγεται· « Μή τι ὁ πεσὼν οὐκ ἀνίσταται ; » καὶ πρὸς ἅπασαν τὴν ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίαν ὁ Κύριος λέγει· « Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου. » Ὁ γὰρ ἀναστὰς διὰ τῆς μετανοίας, οὐκέτι πόρρω Χριστοῦ. Γενομένης δὲ τῆς ἐν ἀλαλαγμῷ κατὰ τῶν ἡττημένων φωνῆς, οἱ ἐλευθερωθέντες προστάττονται τῷ τῆς νίκης αἰτίῳ ψάλαι Θεῷ. Δόξαν δὲ δίδωσιν αἰνέσει αὐτοῦ. Ὁ ἔχων τῇ αἰνέσει πρᾶξιν κατάλληλον. Τοῖς γὰρ εὐθέσι πρέπει αἴνεσις. Διὸ κωλύεται ὁ φαῦλος τοῦτο ποιεῖν, οὐκ ὄντος ὡραίου αἴνου ἐν στόματι ἁμαρτωλοῦ.

Στ. ς'. Διελέγχει δὲ ταῦτα τοὺς ἄλλον μὲν λέγοντας εἶναι τὸν ἐκεῖνα ποιήσαντα, ἄλλον δὲ τὸν ἐν Εὐαγγελίοις θαυματουργήσαντα. Ἰησοῦς γὰρ ἐν Αἰγύπτῳ τὸν λαὸν ἔσωσεν, ὡς ἐν Ἐπιστολῇ φησιν ἀποστολικῇ. Πῶς δὲ οὐ θείας ὄντως βουλῆς, ἀγνείαν καὶ ἀκτημοσύνην καθὸ δὴ κατορθοῦσθαι τρόπον; Κυματούμενα γὰρ τὰ πάθη μετέβαλεν βαλὼν πῦρ ἐπὶ γῆς Λόγον ξηραίνοντα πᾶσαν ὑγρότητα, ὡς βαδίζειν εὐχερῶς τὴν ὁδὸν, οὕτω συμβολικῶς ὁ Πέτρος ἐπὶ θαλάσσης ἐβάδισεν, τῷ Σωτῆρι πιστεύσας· ὁ δὲ ποταμὸς, Λόγος ἐστὶν ὠχυρωμένος Ἑλληνικῇ σοφίᾳ καὶ τέχνῃ, κωλύων τὴν ὁδὸν τὴν ἐπὶ τὴν ἁγίαν ἀπ-

Vers. 1. Jubilant adversus captivos victores festiva et summa voce. Cum igitur gratia Dei Salvatoris pro omnibus mortem gustantis mortui resurgunt, victo diabolo cui imperium mortis competit, jubet Psalmista omnem terram Deo jubilare ; omnes enim resurgunt justi simul et injusti. Jubilent præsertim omnes, cum omnibus illa resurrectio contingat quæ per pœnitentiam fit. Ad omnes enim homines dictum est [16] : « Nunquid qui cadit non resurgit? » Ad omnem Ecclesiam de gentibus conversam ait Dominus [17] : « Surge, veni, proxima mea. » Non enim abest longe a Christo, qui per pœnitentiam resurrexit. Resonantibus igitur adversus victos in jubilatione cantibus Deo victoriæ auctori jubentur psallere qui liberati fuerunt. Dat gloriam laudi ejus, qui operibus Deum laudat. Nam sanctos decet laudatio. Ideo prohibetur malus ne illud præstet, cum intempestivæ sint laudes in ore peccatoris.

Vers. 6. Confutat his verbis illos qui contendunt ab alio ista miracula facta esse, et ab alio illa quæ in Evangeliis narrantur. Nam Jesus populum de terra Ægypti salvavit, uti in Apostolica Epistola legitur [18]. Quare autem dedecerent divinum consilium quæ circa dirigendos castos pauperesque versantur ? Nam undabundas cupiditates arefecit, ignem mittens in terram, Verbum siccans omnem humiditatem, ita ut facilis cuique pateat transitus. Eadem ratione ambulavit Petrus super aquas ad majora innuenda, Christo confidens : flumen autem nihil aliud est præter Verbum Græca sapientia et arte

[14] Cant. II, 1. [15] Joan. XII, 24. [16] Jer. VIII, 4. [17] Cant. II, 10. [18] Jud. 5.
(12) An προστάττεται ? Edit.

Digitized by Google

innixum, et viam occupans quæ ad sanctitatem ducit. Quod flumen in primis convertit, sapientes in malitia eorum confundens ; et ita aridum effecit illud, ut sanctitatem inquirentibus facile transitu fuerit.

VERS. 7. Exasperat omnis virtus adversa ; nam gentes legibus meis direxi, terrens eas quæ mihi adversantur, confirmans autem deficientes ad me. « Oculi ejus, » inquit, « super gentes respiciunt, » providentiam Dei innuens.

VERS. 9. Non dantur in commotionem pedes hominis sancti, quando firmatur super infractum et firmissimum Dei verbum : ita ut gratias agendo dicat: « Statuisti super petram pedes meos [19]. » — Ponitur ad vitam anima ejus qui finem contingit, fidei salutem ; et confidenti voce poterit hic contendere [20] : « Et anima mea ipsi vivit. » Vivit autem anima virtutibus et sapientia ornata ; nam peccando moritur anima. Qua de causa Deo dicit : « In justitia tua vivifica me [21]. » Non commoventur igitur pedes hominis firmissimo Dei verbo innixi.

VERS. 11. Nam nisi per tribulationes multas in cœlorum regnum non intrabimus [22]. At licet « homines super capita nostra » imposueris, persuasum tamen habemus nos illa, dejectis inimicis, per patientiam in sublime erecturos.

VERS. 17. Nulla voce prolata tacite mente exaltavi illum. — Nam ubi me talibus rationibus purgatum perspexit Deus, liberaliter donavit me donis suis. — Hæc verba, « iniquitatem non aspexi in corde meo, » consentiunt cum illo magni Pauli effato : « Nihil mihi conscius sum, sed non in hoc justificatus sum [23]. » Nam multa perspicit Deus quæ nos fugiunt : haud aliter sonat illud : « Delicta quis intelliget ? ab occultis meis munda me [24]. »

Ἀγούσαν γῆν. Ἀλλὰ καὶ τοῦτον μετέστρεψεν δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, καὶ βάσιμον ἀπειργάσατο τοῖς πορευομένοις εἰς ἁγιότητα.

Στ. ζ'. Καὶ ἡ δύναμις δὲ πᾶσα ἡ ἐναντία παραπικραίνει· τοῖς γὰρ ἔθνεσι τοῖς ἐξ αὐτῶν ἀφισταμένοις ἠπείλουν, ἃς δὲ φοβῶν, παραθαῤῥύνων δὲ τοὺς ἀφισταμένους αὐτῶν. « Οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τὰ ἔθνη, » φησὶν, « ἐπιβλέπουσιν, » τὴν ἐκ Θεοῦ σημαίνων φρουράν.

Στ. θ'. Οὐ δίδονται εἰς σάλον οἱ πόδες τοῦ ἔσω ἀνθρώπου, ὅταν τις ἱδρυνθῇ ἐπὶ τὸν ἀῤῥαγῆ καὶ ἰσχυρώτατον τοῦ Θεοῦ λόγον· ὡς χαριστηρίως εἰπεῖν· « Ἔστησας ἐπὶ πέτραν τοὺς πόδας μου. » — Τίθεται δὲ εἰς ζωὴν ἡ ψυχὴ τοῦ τέλος κομιζομένου τῆς πίστεως σωτηρίαν· ὡς εἰπεῖν πιστῇ προθέσει· « Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ. » Ζῇ δὲ ψυχὴ ἀρετὴν ἔχουσα καὶ σοφίαν· ὡς, ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται. Ὡς εἰπεῖν τῷ Θεῷ· « Ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. » Οὐ σαλεύεται δὲ τοὺς πόδας ὁ τῷ ὀχυρωτάτῳ τοῦ Θεοῦ λόγῳ ἐνιδρυθείς.

Στ. ια'. Διὰ γὰρ πολλῶν θλίψεων εἰσελθεῖν δεῖ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλ' εἰ καὶ « ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, » ἀλλ' οὖν θαῤῥοῦμεν διὰ ὑπομονῆς μετεωρίσαι αὐτὰς, κατασπωμένων ἀπ' αὐτῶν τῶν ἐπικειμένων πολεμίων ἀνθρώπων.

Στ. ιζ'. Ἄνευ προφορᾶς ἐν διανοίᾳ κατὰ τὸ σιωπώμενον ὕψωσα. Καθαρεύοντα γάρ με τοιούτων λογισμῶν θεασάμενος, φιλοτίμως τῶν οἰκείων ἠξίωσε δωρεῶν. Καὶ τὸ « μὴ θεωρεῖν δὲ ἀδικίαν ἐν τῇ καρδίᾳ, » σύμφωνον τῷ· « Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι, » καθὰ Παῦλος ὁ μέγας φησὶ, τῷ δύνασθαι τὸν Θεὸν ὁρᾷν, ἅπερ ἡμεῖς οὐχ ὁρῶμεν· ὅμοιον καὶ τὸ, « Παραπτώματα τίς συνήσει ; ἀπὸ τῶν κρυφίων μου καθάρισόν με. »

PSALMUS LXVI.

VERS. 2. Illuminat vultum super nos rerum omnium Creator, quando nos benedictione et miserationibus repleverit, quando apparebit nobis character hypostaseos ejus, et apparuerit eis qui tanto munere digni sunt, uti dicit ipse de hominibus mandata ejus servantibus. Cum enim sit imago Dei invisibilis Christus, qui ei mente pura adhæret, videt Patrem : nam, « Qui videt me, » inquit, « videt et Patrem [25]. » Tunc bene agentium miserebitur, et benedicet eos « in omni benedictione spirituali in cœlestibus in Christo [26]. »

VERS. 3. Cognita in terra via Domini, et perspecto in omnibus gentibus salutari ejus, liberatæ ab omni malitia et ab idolorum cultu, moresque ad virtutem informantes gentes lætantur, et exsultant accepta Dei veri notitia. — Eosdem designant hic voces « populi » et « gentes ; » nam populi vocantur ii qui de circumcisione, et gentes qui de gentibus, veram fidem professi sunt. Lætentur isti

Στ. β'. Ἐπιφαίνεται δὲ τὸ πρόσωπον τοῦ πάντων Δημιουργοῦ τῷ πληροῦν ἡμᾶς εὐλογίας καὶ οἰκτιρμῶν, ἐπιφανέντος ἡμῖν τοῦ χαρακτῆρος τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐμφανίσαντος τοῖς ἀξίοις, ἧ φησιν αὐτὸς περὶ τοῦ τηροῦντος τὰς ἐντολὰς αὐτοῦ. Ἐπεὶ γὰρ εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου, ὁ νῷ καθαρῷ προσβάλλων αὐτῷ, ὁρᾷ τὸν Πατέρα· « Ὁ ἐμὲ » γὰρ, φησὶν, « ἑωρακὼς, ἑώρακε τὸν Πατέρα. » Τότε τοὺς εὐεργετουμένους οἰκτείρει καὶ εὐλογεῖ « πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. »

Στ. γ'. Γνωσθείσης δὲ τῆς ὁδοῦ ἐν τῇ γῇ, καὶ τοῦ σωτηρίου τοῦ Θεοῦ ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐλευθερωθέντα πάσης κακίας καὶ πολυθέου ἀπάτης, τὰ ἔθνη εὐφραίνεται κατορθοῦντα ἠθικὴν ἀρετὴν, καὶ ἀγαλλιᾶται λαβόντα Θεοῦ γνῶσιν. — « Λαοὶ » δὲ καὶ « ἔθνη » ἐκ παραλλήλου οἱ αὐτοί. Οἱ λαοὶ μὲν, οἱ ἐκ περιτομῆς· ἔθνη δὲ, οἱ ἀπὸ ἐθνῶν· τοὺς αὐτοὺς λέγει. Δίκαιον αὐτοὺς, φησὶν, εὐφραίνεσθαι, ἐπείπερ

[19] Psal. XXXIX, 3. [20] Psal. XXI, 31. [21] Psal. CXVIII, 40. [22] Act. XIV, 21. [23] I Cor. IV, 4. [24] Psal. XVIII, 13. [25] Joan. XIV, 9. [26] Ephes. I, 3.

Digitized by Google

μετὰ πάσης ὀρθότητος δικάσαι, αὐτοῖς ἀδικουμένοις, ἐπανάγεις τε αὐτοὺς καὶ ἄγεις εἰς τὴν οἰκείαν γῆν ὥσπερ ὁδηγὸς αὐτοῖς γιγνόμενος, διὰ τὸ ἐπανάγειν τῇ οἰκείᾳ δυνάμει.

Στ. ς'. Πῶς γὰρ οὐκ ἤμελλε πᾶσα ἡ γῆ, τουτέστιν οἱ ἐπ' αὐτῆς ἄνθρωποι, αἰνέσεως πληροῦσθαι, καὶ καρπὸν εὐσεβείας φέρειν, ἐν παντὶ τόπῳ προσαγομένου θυμιάματος καὶ θυσίας καθαρᾶς ἐν τοῖς ἔθνεσιν;

A oportet, inquit, cum Deus peccata eorum cum omni æquitate judicaverit, eosque ad patriam perduxerit, velut dux eorum ideo factus, quod eos virtute sua dirigeret.

VERS. 6. Quo enim pacto non benedixisset ei, dedissetque fructum omnis terra, hoc est, omnes qui incolunt illam, quando in omni loco incensum offertur nomini Dei, et sacrificium mundum in gentibus [27]?

PSALMUS LXVII.

Στ. β'. Ἥδε προσευχὴ ῥήμασι προστακτικοῖς ἀναπέμπεται. Σύνηθες τοῦτο καὶ τῇ Γραφῇ. Λέγοις δ' ἂν ἐχθροὺς Θεοῦ σκορπιουμένους τοὺς περὶ τὴν γνῶσιν ἀσεβοῦντας τῆς ἀληθείας· μισοῦντας δὲ φυγάδας ἐσομένους τοὺς περὶ πρακτικὰ ἁμαρτάνοντας. Οἱ γὰρ ἀγαπῶντες τὸν Θεὸν, τηροῦσι τὰς ἐντολὰς αὐτοῦ. B Εὔχοιτο δ' ἂν καὶ ἀναστῆναι τὸν κατελθόντα σκυλεῦσαι τὸν ᾅδην ἐπὶ τῷ σκορπίσαι τοὺς μετὰ δαιμόνων Ἰουδαίους συνεστηκότας· ἀναστάντι γὰρ ἀντιβλέπειν οὐκ ἔχοντες φεύξονται. Μισοῦντας δὲ Θεὸν φεύγοντας « ἀπὸ προσώπου αὐτοῦ » τοὺς περὶ πρακτικὴν κακίαν ἔχοντας· εἰ γὰρ ὁ ἀγαπῶν αὐτὸν τηρεῖ τὰς ἐντολὰς αὐτοῦ, ὁ μὴ τηρῶν αὐτὰς οὐκ ἀγαπᾷ τὸν Θεόν. — Ἐχρησμῳδοῦντο κατὰ πάντα τόπον μαντείας καὶ θεραπείας ἐπαγγελλόμενοι, ὡς τοὺς δεισιδαίμονας θύειν αὐτοῖς δι' ὑπερβολὴν μανίας καὶ τὰ αὐτῶν φίλτατα. Νῦν δὲ ἐκείνων πάντων ἀφανισμὸς καὶ ἐρημία ἀπωλείας γέγονεν, ὡς μηδὲ μνήμην αὐτῶν ἐπιλείπεσθαι.

VERS. 2. Hortando precatur hic Psalmista, quod sæpius in Scripturis occurrit. Per dissipandos illos inimicos innuuntur, ni fallor, qui circa veritatis doctrinam errant. Nec alieni sunt qui oderunt et fugient ab hominibus vita moribusque peccantibus; nam qui diligunt Deum, servant mandata ejus. Optat fortasse ut exsurgat qui ad inferos spoliandos descenderat, et Judæos dissipet dæmonum partes professos; nam exsurgentem cum sustinere non poterunt, fugient. Odisse Deum et « a facie ejus » fugere ait eos qui moribus peccant; nam si mandata ejus servat, qui diligit eum, illa negligat oportet, qui eum non diligit. — Omnibus in locis, quibus prophetizabant et colebantur, dictitabant usque dæmones eo dementiæ delapsos esse asseclas suos, ut vel charissima ipsis offerrent. Nunc autem evanuerunt illi omnes, et ita perierunt, ut nec memoria eorum maneat.

Στ. δ'. Ὁποῖον δέ ἐστιν τὸ μὴ ἁπλῶς εὐφραίνεσθαι καὶ ἀγαλλιᾶν, ἀλλ' « ἐνώπιον τοῦ Θεοῦ, » καὶ παρὰ τῷ Θεῷ τούτων ἀπολαβεῖν, ἡδονῇ τε θείᾳ καὶ ἐντρυφᾷν, οὐκ ἔστιν ἐπαξίως λόγῳ διηγήσασθαι. — Ἡ δικαιοσύνη γὰρ οὐκ ἀπόλλυται, καθάπερ οὖν ἡ κακία. Γέγραπται γάρ, « Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. » Συνῳδὸν δὲ τούτοις καὶ τό· « Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸν, καὶ καπνὸς ὄμμασιν, οὕτω παρανομία τοῖς χρωμένοις αὐτῇ. » Τροπικῶς γὰρ ὀδόντες ψυχῆς, αἱ δυνάμεις αἷς τέμνει καὶ λεαίνει τὰς τροφὰς τὰς πνευματικὰς, καὶ ὄμματα αἱ νοήσεις· ἀμφοτέραις ἡ κακία λυμαίνεται, τῆς οὐσίας τῆς ψυχικῆς ἀδιαφθόρου μενούσης. Οὐδὲ γὰρ ὁ τηκόμενος κηρὸς, εἰς τὸ μὴ ὂν καταστρέφει, εἰς δὲ τὴν τοῦ πυρὸς ἀναδίδοται οὐσίαν, ἀπολλυμένης αὐτοῦ τῆς ποιότητος, ὥσπερ τῆς καθ' ἣν τίς ἐστιν ἁμαρ- D τωλός. Οὐ γὰρ ἁπλῶς εἶπεν ἀπόλλυσθαι τοὺς ἁμαρτωλοὺς, ἀλλὰ πρὸ προσώπου τοῦ Θεοῦ. Ἀγαλλίασις, χαρά τις οὖσα, « καρπός ἐστι τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. » Εὐφροσύνη δὲ ἡ διαχέουσα τῆς ψυχῆς τὸ φρονοῦν εὐπάθεια.

VERS. 4. Nemo est qui digno sermone exprimere C valeat, quid sit jam non lætari et exsultare modo, sed « in conspectu Dei » exsultare, Deo lætificante, et divina lætitia inebriari. — Non perit enim justitia, uti malitia. Nam scriptum est [28]: « Justitia ejus manet in sæculum sæculi. » Cui loco consentit et ille: « Sicut uva acerba dentibus noxia, et fumus oculis, sic iniquitas eis qui utuntur ea [29]. » Nam per figuram vocantur dentes animæ, facultates, quibus spiritualem cibum dividit et terit, et oculi dicuntur cogitationes ejus: quæ quidem malitia corrumpuntur, ipsa autem animæ substantia incorrupta manet. Nam nec liquefacta cera omnino tollitur, sed in ignis substantiam mutatur, pereunte qualitate; ita perit qualitas illa juxta quam peccator quis est. Non dixit enim simpliciter peccatores perire, sed eos a facie Dei perire. Exsultatio, cum gaudium quoddam sit, fructus est spiritus; nam « fructus spiritus est charitas, gaudium, pax [30]. » Lætitia autem, perfundens animæ sensus dicitur voluptas.

Στ. ε'. Οὐκ ἂν δέ τις πράξει τὸ ἀγαθὸν, μὴ ἀποστὰς τοῦ κακοῦ· ἀσυνύπαρκτα γάρ· οὐδ' ἂν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης φωτίζοιτο, μετέχων ἔτι « τοῦ μετασχηματιζομένου εἰς ἄγγελον φωτὸς » καὶ τὸν ἥλιον ὑποκρινομένου τῆς δικαιοσύνης, καλουμένου δὲ φωτὸς ἀσεβείας. « Φῶς γὰρ ἀσεβῶν σβεσθήσεται. » Τούτου γὰρ καταδυομένου, ἐκεῖνος ἐν ταῖς ἡμῶν ἀνίσχει

VERS. 5. Non facies bonum, nisi prius a malo recesseris: nam una in mente hæc simul subsistere nequeunt; nec justitiæ sole illustraberis, donec ei adhæseris, qui se « in angelum lucis transfigurat [31], » et solem justitiæ simulat, ipse autem lux impietatis vocatur. « Nam lux impiorum exstinguetur [32]. » Qua occidente, oritur ille sol in cordibus nostris,

[27] Mal. I, 11. [28] Psal. CX, 3. [29] Prov. X, 26. [30] Gal. V, 22. [31] II Cor. XI, 14. [32] Prov. XIII, 9.

Digitized by Google

« ascendens super occasum » prioris ; nam iter præparat ei malo diei occasus. Quapropter ejectus est Adam e paradiso, ad orientem condito, ut rursus ad orientem adducatur : quod etiam Christus fecit, pœnitentiam agenti cum dicit latroni : « Hodie mecum eris in paradiso [33]. »

A καρδίαις, « ἐπιβαίνων ταῖς ἐκείνου δυσμαῖς · » ὁδὸς γὰρ εὐτρεπὴς αὐτῷ τῆς φαύλης ἡμέρας ἡ δύσις. Ἔνθα ἐκβέβληται τοῦ κατὰ ἀνατολὰς πεφυτευμένου παραδείσου Ἀδάμ, ἐπὶ τῷ πάλιν εἰς ἀνατολὰς αὐτὸν εἰσαχθῆναι. Ὅπερ καὶ πεποίηκεν ὁ Χριστὸς τῷ μετανοοῦντι φήσας λῃστῇ · « Σήμερον ἔσῃ μετ' ἐμοῦ ἐν τῷ παραδείσῳ. »

VERS. 6. Lætificat ita homines Satanæ imperio oppressos, dum salvatorem eis denuntiat. Quam citissime igitur priorem patrem derelinquamus, qui nos secundum malitiam peperit, et hominem inique nobiscum conversantem, ut Patrem habeamus Deum divinis nos donis ditantem. — « Locum Dei sanctum » constituit Ecclesia a Christo sanctificata, imo fidelis quilibet, aut sanctum ejus corpus anima et ratione præditum.

Στ. ς'. Εὐφραίνει γὰρ τοὺς κατακυριευομένους ὑπὸ τοῦ Σατανᾶ, δεικνὺς αὐτοῖς τὸ ἐπίκουρον. Σπουδαστέον τοίνυν καταλιπεῖν τὸν πρότερον πατέρα γεννήσαντα κατὰ κακίαν, καὶ τὸν ἀνόμως ἄνδρα συνῳκηκότα, ὅπως ἔξομεν Πατέρα τε Θεὸν καὶ τὰς θείας ἡμῖν ἐνιέντα γονάς. — « Τόπος δὲ ἅγιος αὐτοῦ » ἡ ὑπὸ Χριστοῦ Ἐκκλησία ἡγιασμένη, τῶν πεπιστευκότων ἕκαστος · ἢ καὶ τὸ ἅγιον αὐτοῦ σῶμα ἔμψυχόν τε καὶ λογικόν.

VERS. 7. Maxime vero educit mortuos de sepulcris, juxta illud [34] : « Resurgent mortui, et expergiscentur qui in monumentis ; ros enim qui a te, sanatio eis est. » Ita et in Evangelio [35] : « Venit hora in qua omnes, qui in monumentis sunt, audient vocem Filii Dei, et procedent qui bona fecerunt in resurrectionem vitæ ; qui vero mala egerunt, in resurrectionem judicii. »

B Στ. ζ'. Ἀλλὰ καὶ ἐκ τάφων ἐξάγει τοὺς νεκροὺς, κατὰ τό · « Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις · ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστιν. » Ὁποῖον καὶ τὸ ἐν Εὐαγγελίῳ, « Ἐλεύσεται ὥρα ὅτε πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, » δηλονότι τοῦ Υἱοῦ, « καὶ ἐκπορεύονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς · οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. »

VERS. 8. Sane cum secederet Deus e conspectu populi sui, aut de medio ejus quando dicit [36] : « Ecce relinquetur vobis domus vestra ; » et apud Jeremiam [37] : « Reliqui domum meam, dimisi hæreditatem meam : » cum pertransiret desertum, hoc est Ecclesiam quæ de gentibus est, « tunc mota est C terra, » nempe littera et umbra legis, « cœlis » divinam mentem « distillantibus, » juxta vivificantem spiritum divinarum Scripturarum. Cœli autem dicuntur profecto et Moyses et prophetæ et quæ mysticæ vocibus eorum latent ; tales enim stillas distillant illæ nubes de quibus dictum est [38] : « Nubes spargant justitiam. » Prophetiis igitur celebratum distillant nubes et cœli. Mota est autem in primis terra, cum de idolorum cultu ad veram doctrinam conversæ sunt gentes, victoriam referente evangelica fide, apostolis et evangelistis et cæteris doctoribus spiritualem rorem distillantibus.

Στ. η'. Ἤγουν ἐν τῷ ἐκπορεύεσθαι τὸν Θεὸν ἐνώπιον τοῦ λαοῦ αὐτοῦ ἢ ἐκ μέσου αὐτοῦ ὅτε εἶπεν · « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν, » κατὰ τὸ παρ' Ἱερεμίᾳ, « Ἐγκατέλειπον τὸν οἶκόν μου · ἀφῆκα τὴν κληρονομίαν μου · » ἐν τῷ διαβαίνειν αὐτὸν ἐν τῇ ἐρήμῳ τῇ ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίᾳ, « τότε γῆ μὲν ἐσείσθη, ᾗ τὸ γράμμα καὶ ἡ τοῦ νόμου σκιά, « τῶν οὐρανῶν σταξάντων » τὸν θεῖον νοῦν, κατὰ τὸ ζωοποιὸν πνεῦμα τῶν θείων Γραφῶν. Οὐρανοὶ δὲ νῦν ἤτοι Μωϋσῆς καὶ οἱ προφῆται καὶ τὰ μυστικὰ θεωρήματα ἐγκεκρυμμένα ταῖς λέξεσιν αὐτῶν · τοιαύτας γὰρ στάζουσι σταγόνας νεφέλαι ῥηθέντες, ἐν τῷ, « Νεφέλαι ῥανάτωσαν δικαιοσύνην. » Ἐφ' ὧν ἐνυποκείμενον νεφέλαι καὶ οὐρανός. Ἀλλὰ καὶ τῶν τῆς εἰδωλολατρείας μετατεθέντων ἐθνῶν ἐσείσθη ἡ γῆ, κρατούσης τῆς εὐαγγελικῆς διατάξεως, ἀποστόλων καὶ εὐαγγελιστῶν καὶ τῶν λοιπῶν διδασκάλων τὰς πνευματικὰς σταζόντων γονάς.

VERS. 14. Dicit alius his verbis cleros et aquæductus designari ; nam dictum est in Genesi [39] de Issachar eum inter medios cleros requievisse cum vir D agricola factus est. Hæc autem nunc de Vetere et de Novo Testamento intelligenda ; illa enim spirituali flumine animas rigant, ut fructus spirituales proferant. Hæc inter media testamenta dormit, qui putat utrumque unius esse Dei, ideoque spiritum a littera discernit. Ita etiam velut pennis munitur juxta Spiritum sanctum sentiens. Istæ autem pennæ, sententiæ scilicet quæ pennatam mentem erigunt, divinis eloquiis comprobentur oportet, quæ argentum (potius aurum [40]) ignitum vocantur ; quamobrem deargentatæ sunt. « Aurum » multis in Scripturæ locis purissimam mentem indicat ;

Στ. ιδ'. Ἕτερος σημαίνειν ἔφη τοὺς κλήρους καὶ τοὺς τῶν ὑδάτων ἀγωγούς · εἴρηται γὰρ ἐν Γενέσει περὶ τοῦ Ἰσσάχαρ, ὡς κληθεὶς ἀνὴρ γεωργὸς ἀνὰ μέσον τῶν κλήρων ἀνεπαύετο. Ὃ δὴ τρεπτέον νῦν εἰς τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην. Αὗται γὰρ ἄγουσι τὸν νοητὸν ταῖς ψυχαῖς ποταμὸν ἐπὶ καρποφορίᾳ πνευματικῇ. Ὧν ἐν μέσῳ τις καθεύδει, δοκῶν ἀμφοτέρας ἑνὸς εἶναι Θεοῦ, ὡς διαστέλλειν τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος. Οὕτω γὰρ καὶ πτεροῦται κατὰ τὸ ἅγιον Πνεῦμα νοῶν. Δεῖ δὲ τὰς πτέρυγας ταύτας οὔσας νοήσεις ἐπαιρούσας τὴν πτερωμένην ψυχὴν, καὶ ἐκ τῶν θείων μαρτυρεῖσθαι λογίων, ἃ εἴρηται ἀργύριον πεπυρωμένον · διὸ περιηργυρωμέναι τυγχάνουσιν. Τὸ δὲ « χρυσίον » πολλαχοῦ τῆς Γραφῆς ἐπὶ ἀκραιφνέστατον λαμβάνεται νοῦν · ὅπερ ὡς ἔχον

[33] Luc. XXIII, 43. [34] Isa. LXVI, 19. [35] Joan. V, 28,29. [36] Luc. XIII, 35. [37] Jer. XII, 7. [38] Isa. XLV, 8. [39] Gen. XLIX, 14,15. [40] Apoc. III, 18.

Digitized by Google

ζωὴν τὴν τῶν ζώντων φυτῶν ἔχει « χλωρότητα. » Λέγοις δ' ἂν εἰς τὸ « ἀναμέσον τῶν κλήρων. » Καὶ οὕτως ἐν τῷ Λευϊτικῷ, τῇ τοῦ ἱλασμοῦ ἡμέρᾳ, δύο προσηγάγοντο τράγω εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· εἶτα κλήρου βληθέντος, ὁ εἷς ἐπὶ τὸ θυσιαστήριον ἤγετο τυθησόμενος τῷ Κυρίῳ, τοῦ ἑτέρου τῷ ἀποπομπαίῳ (12') εἰς τὴν ἔρημον ἐκπεμπομένου. Σύμβολα δὲ ταῦτα ἀγαθοῦ καὶ κακοῦ. Ὧν ἐν μέσῳ γενόμενον χρὴ διακρίναντα, τὸ μὲν ἀγαθὸν ἱερουργεῖν τῷ Κυρίῳ, τὸ δὲ κακὸν ἐκπέμπειν τῷ ἀρεσκομένῳ, ἐπεὶ καὶ ἀπ' αὐτοῦ τὴν ἀρχὴν ἔλαβεν. Οὕτω γάρ τις σχήσει τὰς περιηργυρωμένας πτέρυγας καὶ τὴν χλωρότητα τοῦ χρυσίου ἐν τοῖς μεταφρένοις.

Στ. ιε'. Διασταλεῖσι τοῖς βασιλεῦσιν ἀκολουθήσει « χιονωθήσονται ἐν Σελμὼν, » τουτέστι πληρωθήσονται χιόνων· Αὗται δέ εἰσιν αἱ ἀρεταὶ, ποτίζουσαι νᾶμα τὸν νοῦν καὶ καταψύχουσαι τῶν παθῶν τὸν φλογμόν· οὐδὲ γὰρ ἐν τῷ, « Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι, » περὶ αἰσθητῆς χιόνος ὁ λόγος, ἀσύμβατος γὰρ αὕτη πρὸς λαμπρότητα κεκαθαρμένης ψυχῆς. Τοιοῦτον καὶ τὸ, « Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ· » καὶ τὸ, « Ἐκαθαριώθησαν οἱ Ναζωραῖοι αὐτῆς ὑπὲρ χιόνα. » Σαλμὼν δὲ « σκιὰ μερίδος » ἑρμηνεύεται. Μήποτε τοίνυν ἐπεὶ οἱ βασιλεῖς οὗτοι ἀπόστολοι Ἰουδάϊσάν ποτε τηροῦντες τὸν κατὰ σκιὰν νόμον, μερίδος εἰσὶν σκιᾶς, ἔχοντες μὲν πνευματικὴν μερίδα, πεπειραμένοι δὲ καὶ τῆς σκιᾶς· ὁποῖος ὁ λέγων, « Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος. » Ἡ ἐπειδὴ ἡ μερὶς μὲν ἦν τῶν Χριστοῦ μαθητῶν ἐν τοῖς οὐρανοῖς, κατὰ τὸ, « Ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τῶν ἁγίων ἐν φωτί. » Οὔπω δὲ ἔφθασαν ἐπ' αὐτὴν, κἂν ἐν οὐρανοῖς ἔχωσι τὸ πολίτευμα, ἐπὶ γῆς ἔτι περιπατοῦντες, ἐκ μέρους γινώσκοντες, καὶ ἐκ μέρους προφητεύοντες, καὶ ἀρραβῶνα τοῦ Πνεύματος ἔχοντες, ἐν σκιᾷ τῆς ἑαυτῶν μερίδος εἰσίν. Διὸ καὶ μέγα τυγχάνει τὸ ἐν ταύτῃ τυγχάνοντα χιονωθῆναι, βίον ἀκηλίδωτον ἔχοντα.

quod « viriditatem » habet haud secus ac si plantarum vita viveret. Poteris etiam aliter « medios cleros » interpretari. Juxta Leviticum [41] die propitiationis duo hirci adducebantur ad tabernaculum testamenti, deinde sortitione facta, alter quidem ad altare ducebatur Deo immolandus, alter vero, super quem venerat sors emissarii, in desertum dimittebatur. Qui figuræ erant boni et mali. Inter hæc cuique dijudicandum est; bonum, ut Deo offeratur; malum, ut ad illum (diabolum) dimittatur qui malo gaudet, a quo etiam malum initium sumpsit. Ita enim pennas habebis deargentatas et viriditatem auri in lumbis tuis.

Vers. 15. Discretione facta reges nive « dealbentur » necesse est « in Selmon, » hoc est, nivibus sternantur. Nivibus autem designantur virtutes, quæ fluento suo mentem irrigant, cupiditatumque ardores restinguunt. Nam nec in illo [42], « Lavabis me et super nivem dealbabor, » usurpatur vox illa proprio sensu, cum ad exprimendum purificatæ mentis candorem non sufficiat. Eadem valent et in isto loco [43]: « Et si fuerint peccata vestra ut coccinum, sicut nivem dealbabo; » et in illo [44]: « Mundati sunt Nazaræi super nivem. » Selmon interpretantur « umbram partis. » Reges igitur isti, apostoli, licet prius Judaizaverint, legem quæ nil præter umbram servantes, non ideo ad umbram partis pertinent; nam partem spiritualem habebant, e facto umbræ experimento, Pauli ad exemplar dicentis [45]: « Hebræus ex Hebræis, secundum legem Pharisæus. » Nec inepte diceres, Christi discipulos cum pars eis esset in cœlis, juxta illud: « Qui dignos fecit nos in partem sortis sanctorum in lumine [46]; » hanc partem nondum fuisse consecutos; quamvis enim in cœlis conversationem haberent [47], super terram adhuc ambulabant, ex parte cognoscentes, et ex parte prophetantes [48], et pignus Spiritus habentes [49], in umbra erant partis suæ. Qua de causa magna assequitur qui hac in umbra nive dealbatur, vitam immaculatam sortitus.

Στ. ιθ'. Ταῦτα τῶν ἁγίων φησὶν ὁ χορὸς τῷ εἰς ὕψος ἀναβάντι τοῦ σταυροῦ, κἀκεῖθεν αἰχμαλωτίσαντι τοὺς ὑπὸ τῆς τυραννίδος τοῦ Σατανᾶ, λύτρον δεδωκότι τὴν ψυχὴν αὐτοῦ ἀντὶ πολλῶν. Οὕτω γὰρ κηρύξας αἰχμαλώτοις ἄφεσιν, ἐλυτρώσατο πάντας ἐκ τῆς ματαίας αὐτῶν ἀναστροφῆς· ἕλκει δὲ καὶ τοὺς ἀπειθοῦντας ἔσθ' ὅτε διὰ νόσου καὶ περιστάσεων· πολλοὶ δὲ καὶ δι' ὁραμάτων ἦλθον εἰς τὸ « κατασκηνῶσαι παρὰ τῷ Ἰησοῦ. »

Vers. 19. His vocibus celebrat sanctorum chorus Dominum in altum crucis ascendentem, indeque captivantem homines tyrannide Satanæ oppressos, animamque suam dantem redemptionis pretium pro multis [50]. Ita enim denuntians captivis remissionem, redemit omnes a vana eorum conversatione; trahit etiam ad se vel non credentes per morbos aliasque rationes: multi etiam per miracula eo deducti sunt ut cum Jesu « inhabitarent. »

Στ. κα'. « Ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ σώζειν » ἐστὶν, σωτηρίαν διδοὺς αἰώνιον. Λέγει γοῦν, « Σώζων οὐκ ἔστιν πάρεξ ἐμοῦ. » Διὸ παρέχει διεξόδους δι' ὧν τις ἐξέρχεται διὰ μετανοίας, τοῦ τῇ ἁμαρτίᾳ παρεπομένου θανάτου. Καὶ ὁ διάβολος γὰρ οὕτως ὠνόμασται ἐν τῷ, « Κατέπιεν ὁ θάνατος ἰσχύσας· » παρέχει δὲ « τὰς διεξόδους τοῦ θανάτου » τῷ ὑψωθέντι ἐκ τῶν πυλῶν τοῦ θανάτου· « κεφαλαὶ δὲ ἐχθρῶν, » ἢ οἱ ἄρχοντες,

Vers. 21. « Deus noster, Deus salvos faciendi, » salutem dat æternam. Dicit igitur [51]: « Salvator non est præter me. » Exitus idcirco præbet, quibus per pœnitentiam mortem effugias quam peccato meritus es. Nam mors vocatur diabolus in illo: « Deglutivit mors confortata. » « Exitus mortis » præbet iis qui de portis mortis assurgunt. « Capita inimicorum » aut principes indicant, aut principatum: priori

[41] Levit. xvi, 7. [42] Psal. l, 9. [43] Isa. i, 18. [44] Thren. iv, 7. [45] Philip. iii, 5. [46] Col. i, 12. [47] Philipp. iii, 20. [48] I Cor. xiii, 9. [49] II Cor. i, 22. [50] Matth. xx, 28. [51] Isa. xlv, 21.

(12') Forte legendum τοῦ ἀποπομπαίου. Edit.

Digitized by Google

enim sensu usurpatur vere caput in hoc: « A capite principum gentium; » et posteriori in illo [52]: « Vias tuas in caput tuum dedi; » et rursus: « Manus tuæ super caput tuum; » utrumque forte innuit illud: « Immisisti in capita iniquorum mortem. » Beneficiis suis hortabatur eos Deus ut vitam peccatis misere deditam immutarent; inimici autem cum essent illi propter delicta, « perambulabant in delictis suis. »

A ἢ τὰ ἡγεμονικά· ὡς ἐν τῷ, « Ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν· » τὸ δὲ ἡγεμονικὸν, ἐν τῷ, « Τὰς ὁδούς αὐτῶν ἔδωκα εἰς κεφαλὰς αὐτῶν· » καὶ τῷ, « Αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου· » ἀμφότερα δὲ ἴσως δηλοῖ τὸ, « Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον. » Εὐεργετοῦντος Θεοῦ ὅπως μείζοσιν ἔτι πονηρῶς περιγραφείσης τῆς καθ' ἁμαρτίαν ζωῆς. Ἐχθροὶ δὲ οὗτοι ὄντες ἐκ τοῦ πλημμελεῖν « διαπορεύονται ἐν πλημμελείαις αὐτῶν. »

Στ. κε'. Ἕτερος ἔφη· Θεωρίας τὰς νοήσεις ἐκάλεσεν· Θεοῦ γὰρ πορεῖαι δι' ὄψεως οὐ καταλαμβάνονται.

Vers. 25. Hæc habet alius: « Videri » dicit Psalmista quæ non nisi cogitatione complectimur: non enim perspicies oculorum acie « ingressus Dei. »

Vers. 26. Psallentes eos vocat, qui se ad vitam agendam recte informant. Juvenculas autem tympanistrias animas quæ his in terris membra sua mortificant, et « mortificationem Jesu in corpore suo semper circumferunt [53]. » Psallentes istos prævenerunt qui juxta doctrinam « principes » dicuntur, quia vitam recte constituendo principatum tenuerunt. « In medio juvencularum » præ primis sunt apostoli; quæ ideo juvenculæ dicuntur quod eis tympanizandi ministerium, hoc est, membra in terris mortificandi, demandatum est.

Στ. κς'. Ψάλλοντας, τοὺς τὸν πρακτικὸν κατορθοῦντας βίον λεκτέον. Νεανίδας δὲ τυμπανιστρίας, τὰς B νεκρωσάσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, « καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι αὐτῶν περιφερούσας ψυχάς. » Τούτους τοὺς ψάλλοντας προέφθασαν οἱ κατὰ διδασκαλίαν « ἄρχοντες, » τῷ καὶ αὐτοὺς ἀπὸ πρακτικῆς ἀρετῆς ἦρχθαι. Ἀλλὰ καὶ « ἐν μέσῳ νεανίδων » εἰσὶν οἱ ἀπόστολοι τῶν διὰ τὸ ἀρχὴν ἔχειν τοῦ τυμπανίζειν, τουτέστι νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νεανίδων εἰρημένων.

Vers. 29. « Manda virtuti tuæ, » ut ad nos accedens hominum infirmitatem solvat, « et a templo tuo » appareat illa qua confirmatur propter nos natum esse Emmanuel. Hac enim virtute [54], quæ non alia ac Verbum Dei, ait Deus omnia esse facta, et mandavit, ut eadem diversa crearentur. Sublata infirmitate « offerent reges munera » in spiritualem Jerusalem, nempe in Ecclesiam. Reges aut illi sunt quos « discrevit cœlestis » in hæreditate sua, qui suos ad veritatem adducent, uti Petrus fratrem suum Andream, et Philippus Nathanael, et apostolus quisque discipulos suos; aut fideles omnes indicant, juxta illud [55]: « Et utinam regnetis, ut et nos vobiscum regnemus, » quorum dona et animi affectus, et sermones, et opera ad laudandum Deum apta.

Στ. κθ'. « Ἐντείλαι τῇ δυνάμει σου, » ὡς ἂν ἐπιδημήσασα λύσῃ τὴν τῶν ἀνθρώπων ἀσθένειαν « ἀπὸ τοῦ ναοῦ σου » παραγενομένη, δι' ἧς ἐνδυναμοῦται τὸ ἡμῶν ἕνεκα τεχθῆναι τὸν Ἐμμανουήλ. Ταύτῃ γὰρ καὶ εἶπεν ὁ Θεὸς, οὔσῃ Λόγῳ Θεοῦ, γεννηθῆναι τὰ πάντα, καὶ ἐνετείλατο, ἵνα κτισθῶσι διάφορα. C Λυθείσης δὲ τῆς ἀσθενείας « οἱ βασιλεῖς οἴσουσι δῶρα » ἐπὶ τὴν πνευματικὴν Ἱερουσαλὴμ, ἤτοι τὴν Ἐκκλησίαν. Καὶ βασιλεῖς, ἃ οὓς « διέστειλεν ὁ ἐπουράνιος » ἐν τῇ κληρονομίᾳ αὐτοῦ, οἳ τοὺς ἐξ αὐτῶν προσάγουσιν ὠφεληθέντας, ὡς ὁ Πέτρος τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀνδρέαν, καὶ Φίλιππος τὸν Ναθαναὴλ, καὶ πάντες τοὺς ἑαυτῶν μαθητάς· ἤγουν οἱ πιστοὶ, κατὰ τό· « Καὶ ὄφελόν γε καὶ ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν· » ὧν τὰ δῶρα, νοήματα, καὶ λόγοι, καὶ ἔργα ἐπαινετά.

Vers. 30. Symmachus dicit: « Propter templum tuum quod super Jerusalem, » ita ut jam non cum his verbis cohæreat illud: « Offerent tibi munera. » « Propter templum, » ait, assumptus es a nobis, et super omnem principatum, et potestatem, et virtutem sedes: nam Jerusalem vocat urbem quæ sursum est, quæ et libera a Paulo appellatur [56]. Rogant igitur per affinitatem qua cum templo conjungitur, ut concessa gratia confirmetur, et per primitias jam acceptorum munerum ut massam farinæ consequantur.

Στ. λ'. Ὁ δὲ Σύμμαχος ἔφη· « Διὰ τὸν ναόν σου τὸν ἐπάνω τῆς Ἱερουσαλὴμ, » ὡς ἄλλην ὑπάρχειν ἀρχὴν, τὸ, « Σοὶ οἴσουσι δῶρα. » « Διὰ τὸν ναὸν » δέ φησιν, ἐξ ἡμῶν ἀνείληφας, καὶ ἐκάθισας ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως. Ἱερουσαλὴμ γὰρ τὴν ἄνω πόλιν καλεῖ, ἥτις κατὰ Παῦλον D ἐλευθέρα ἐστίν. Αἰτοῦσιν οὖν διὰ τὴν συγγένειαν τὴν πρὸς τὸν ναὸν, τὴν δεδομένην βεβαιωθῆναι χάριν, καὶ διὰ τὴν ἀπαρχὴν τῆς δοθείσης δωρεᾶς ἀπολαῦσαι τὸ φύραμα.

Vers. 31. Feræ calami dicuntur qui falsam doctrinam profitentur; ad quos pertinet illa prophetia: « Væ scribentibus malitiam. »

Στ. λα'. Νοήσεις καὶ θηρία καλάμου τοὺς τὴν ψευδώνυμον πρεσβεύοντας γνῶσιν· περὶ ὧν λέγοις ἂν τὴν προφητείαν τὴν, « Οὐαὶ τοῖς γράφουσι πονηρίαν. »

Vers. 32. Indicatur per Ægyptum omnis terra quæ Pharaoni illi sagaci inserviebat, et per Æthio-

Στ. λβ'. Δηλωθείη δ' ἂν διὰ μὲν τῆς Αἰγύπτου, ἡ πᾶσα γῆ ἧς ἐξῆρχεν ὁ νοητὸς Φαραὼ, διὰ δὲ τῆς

[52] Ezech. xvi, 43. [53] II Cor. iv, 10. [54] I Cor. i, 18. [55] I Cor. iv, 8. [56] Gal. iv, 26.

Digitized by Google

Αἰθιοπίας, τὸ σκοτεινὸν τῶν ἐν ἁμαρτίαις ψυχῶν. Καὶ ἑτέρωθι γάρ φησι· « Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ, » δῆλον ὡς ἐν τῇ πνευματικῇ Σιών. Καὶ Σοφονίας δὲ λέγει· « Τότε μετατρέψω ἐπὶ λαοὺς γλῶσσαν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι. » Ὅτι γε μὴν Αἰθιοπία πάντα τὰ ἔθνη δηλοῖ, παρίστησιν ἡ διὰ μετανοίας λέγουσα νύμφη· « Μέλαινά εἰμι καὶ καλή· » μέλαινα μὲν καὶ δυσειδὴς διὰ τὴν εἰδωλολατρείαν καὶ τὴν κακίαν τὴν πρακτικήν· καλὴ δὲ διὰ τὴν ἐξ αὐτῶν ἀναχώρησιν. Ὑπῆρξε δὲ αὐτῇ φωτεινῇ γενέσθαι προφθασάσῃ χεῖρα Θεῷ· ὡς τοὺς ὁρῶντας αὐτὴν, σὺν τῷ εὐεργετήσαντι λέγειν· « Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη; »

Στ. λς'. Εὐχαρίστους γινομένους ἔργῳ καὶ λόγῳ, δοξάζειν δεῖ τὸν Θεὸν ὕμνοις καὶ θεολογίαις, ἵνα τὴν « μεγαλοπρέπειαν αὐτοῦ » δυνηθῆτε χωρῆσαι ὁρῶντες Θεὸν, τῷ καρδίαν ἔχειν καθαράν. Τοῦτο γὰρ Ἰσραήλ. Ἡ γὰρ ὑπερφυὴς Θεοῦ γνῶσις ἐν μεγάλοις τὸ πρέπον ἔχουσα σύνεστι μόνῳ τῷ ἁγιασμὸν ἔχοντι καὶ εἰρήνην.

piam animæ peccatis obscuratæ. Nam et alias dictum est [57]: « Ecce alienigenæ et Tyrus et populus Æthiopum, hi fuerunt illic, » nempe in Sion spirituali. Sophonias quoque dicit [58]: « Tunc convertam super populos linguam, ut invocent omnes nomen Domini, et serviant ei sub jugo uno. De finibus fluminum Æthiopiæ afferent victimas mihi. » Quod autem Æthiopiæ gentes omnes designet, probat sponsa per pœnitentiam dicens [59]: « Nigra sum et formosa: » nigra quidem et deformis, utpote idolorum cultu et pravis moribus deturpata; pulchra vero, quod saniora jam esset amplexa. Porrigens autem manum Deo, adeo illuminata est, ut, qui videbant eam cum sponso, dicerent [60]: « Quæ est ista quæ ascendit dealbata? »

Vers. 36. Gratos igitur vos et operibus et sermone exhibentes, extollatis oportet Deum hymnis et benedictionibus, ut « magnificentiam ejus » celebrare possitis videntes Deum, quod mundo corde estis: nam hoc Israel. Mirabilis enim Dei scientia in magnis decorem retinens, non nisi qui sanctitatem habent et pacem non adest.

PSALMUS LXVIII.

Στ. α'. Ὡς ἐξ ἑνὸς δὲ προσώπου λεγομένων μέχρι τέλους εἰρμῷ χρὴ λαβεῖν τὴν διάνοιαν τοῦ ἐξ ἁμαρτωλῶν καὶ ἀπίστων ἡμᾶς ἀλλοιώσαντος. Ἀλλὰ καὶ οἱ πιστεύσαντες ἐκ περιτομῆς, ἠλλοιώθησαν κατὰ τὸ πνεῦμα ζῶντες τοῦ νόμου. Ἠλλοίωνται δὲ καὶ ὅσοι πρὸς τὸ χεῖρον ἐτράπησαν· ἀλλὰ καὶ διὰ τὴν ἐκ νεκρῶν ἀλλοίωσιν, κατὰ τὸ, « Καὶ ἡμεῖς ἀλλαγησόμεθα, » δηλουμένου τούτου διὰ τοῦ πάθους οὗ μέμνηται· ᾧ τοῦ θανάτου ἀκολουθήσαντος ἐπηκολούθησε καὶ τὸ πάντας ἐγείρεσθαι.

Vers. 1. In omnibus illis, quæ hic unius persona proferuntur, mentem agnosce Dei nos a peccatorum infideliumque erroribus avocantis. Commutantur etiam qui ex circumcisione credunt, juxta legis spiritum viventes. Commutati sunt quoque qui ad malum defecerunt: imo commutatio quædam mortuis exsistit, juxta illud [61]: « Et nos immutabimur: » quod propter passionem Christus perficiet, quam eodem in loco Apostolus memorat; nam cui mors inservit, competit et potestas mortuos omnes suscitandi.

Στ. β'. Ὡς ἐξ ἡμῶν δὲ τὰ πλεῖστα τοῦ ψαλμοῦ φησιν ὁ Σωτὴρ, φέρων ἡμῶν τὰς ἀσθενείας, καὶ ὑπὲρ ἡμῶν ὀδυνώμενος. Οὐδὲ γὰρ ἁμαρτίας ἐποίησεν ὑπὲρ ὧν ἐξομολογεῖται, ὥσπερ οἱ βασιλέως ὑπὲρ ἡμαρτηκότων δεόμενοι· συνηγοροῦντες γὰρ ἐκείνοις, εἰς ἑαυτοὺς ἀναλαμβάνουσι τὰ λεγόμενα. Καὶ οἱ ἅγιοι δὲ περὶ ἑτέρων λέγοντες, φασίν· « Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν. » Πόθῳ (13) μᾶλλον ὁ Σωτὴρ ὑπερβαλλούσῃ κηδεμονίᾳ πρὸς τὸν παράκλητον ὑπὲρ ὅλου γέγονε τοῦ κόσμου τῶν αἰτουμένων ὡς Θεὸς χορηγὸς ὑπάρχων. Αἴρει γοῦν τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ ἄφεσιν ἁμαρτιῶν ὀρέγει τοῖς προσερχομένοις. Ἐπεὶ οὖν οὐ δι' ἑαυτὸν ἀλλ' ὑπὲρ ἡμῶν ἦλθεν εἰς θάνατον, « Καταιγίς με, φησὶν, εἰς τὰ βάθη τῆς θαλάσσης κατεπόντισεν, » τὸν πειρασμὸν καταιγίδα καλῶν, ὡς ἐν τῷ· « Καταιγὶς δι' ἐρήμου διέλθοι· » καὶ τὸ, « Προσεδεχόμην τὸν σώζοντα ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος. » Πῶς οὖν ὡς αὐθαιρέτως ἀναδεξάμενος τὸν θάνατον εἶπεν, « Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ; » Ἐπειδὴ μὴ νόσῳ μηδέ τινι τοιούτῳ, σταυρῷ δὲ τὸν

Vers. 2. Ut ex persona nostra profert Salvator pleraque hujus psalmi effata, infirmitates nostras portans, et pro nobis doloribus objectus. Non enim peccata fecit quæ confiteretur, sicut Regis amici qui pro peccatoribus deprecantur. Nam hi peccatorum causam commendantes cuncta de semetipsis confiteri videntur. Ita scilicet pro aliis deprecantes dicunt viri sancti: « Peccavimus, iniqua egimus, deliquimus. » Amore, imo supereminenti sollicitudine in patronum factus est Salvator pro universo mundo, omnia largiens Deus quæcunque rogantur. Tollit igitur peccata mundi, et remissionem peccatorum concedit accedentibus ad se. Cum idcirco non propter semetipsum, sed pro nobis mortem adierit, « Tempestas, » ait, « demersit me in altitudinem maris, » tempestatis nomine tentationem appellans, uti in illo: « Tempestas per desertum transiit; » nec aliter sonat illud [62]: « Exspectabam eum qui me salvum faceret a pusillanimitate et tempestate. » Qua igitur ratione dicit, haud secus ac si libenti animo mortem adiret: « Nemo tollit

[57] Psal. LXXXVI, 4. [58] Soph. III, 9. [59] Cant. I, 4. [60] Cant. III, 6. [61] I Cor. XV, 52. [62] Psal. LIV, 9.

(13) Legendum, ut mihi videtur, πόσῳ; nec sic tamen sententiæ satis accedet luminis. EDIT.

Digitized by Google

animam meam a me, sed ego pono eam a meipso[64]. » Quod non morbo, aut hujuscemodi quopiam casu, sed crucis supplicio interiit ; illud autem libenti animo pertulit, ac tempestatem nomine vocat.

VERS. 4. Quam surdos se præbuerint Judæi exprimit hoc. « laboravi clamans. » Monet etiam ne die ac nocte orantes defatigemur. Consentit cum illo : « Cum clamore valido[65]. » Adjicit etiam spe in Deum unice intentus : « Defecerunt oculi mei, » oculi scilicet cordis. Gratis autem oderunt et persecuti sunt virum tanta præstantem, quanta Salvator omne genus infirmitatis inter Judæos sanans, et mortuos suscitans, propter quæ omnibus admirationi erat eorum civitas. Solet Scriptura hyperbolis uti, et per exaggerationem dicit, « super capillos capitis mei. » Si quæ non rapuerat exsolvit, nos utique redemit, nomina expediendo quæ nobis ipsis dissolvenda erant.

VERS. 6. Ita Paulus etiam haud immerito passionem Christi insipientiam vocat, et crucem ejus infirmitatem[66] : « quia quod infirmum est Dei, fortius est hominibus, et quod stultum est Dei, sapientius est hominibus. » Novit Deus qui ipsius sunt[66], quandoquidem quosdam elegit quos Dei notitia dignos judicavit : insipientia illa digna quæ a Deo cognosceretur, magnum quid et altissimum indicat. Non fugiebat sane Deum insipientia illa qua « semetipsum exinanivit, formam servi accipiens, et usque ad mortem se humilians[67], » nam ipsius judicio facta est. « Verbum enim crucis, » ait Apostolus[68], « pereuntibus quidem stultitia, iis autem qui salvi fiunt, id est nobis, Dei virtus est : nam placuit Deo per stultitiam prædicationis salvos facere eos qui credunt ; » licet enim Græcis stultitia essent hæc, alto de consilio perfecta sunt. Symmachus scribit : « Tu scis imperitiam meam ; » nam humanæ malitiæ cum imperitus adhuc esset, pulchram hanc imperitiam a Patre sciri dicit. Si fuissent mihi delicta propter quæ crucifigerer, non fefellissent te. At non fuerunt : gratis odio me habentes persecuti sunt me, et falsis testibus in me constitutis, exegerunt a me quæ non rapueram. Hæc præsertim dicit Patris de sententia peccata nostra assumens, juxta illud[69] : « Ipse pertulit peccata nostra et pro nobis passus est, » etc. Scriptum est etiam de eo : « Factus est pro nobis maledictum[70]. »

Non est peccator cujus insipientia et delicta a Deo sciantur, cum ipse coram Deo maneat, non permanentibus una iniquitatibus ante oculos ejus. Haud multum differt insipientia ab ignorantia, qua ad plures dicit : « Nunquam novi vos[71], » et qua se

A θάνατον ὑπέμεινεν, καὶ τοῦτον ἑκουσίως ὑπέστη, καὶ καταιγίδα τοῦτον ἐκάλεσεν.

Στ. δ'. Παραστατικὸν δὲ τῆς τῶν Ἰουδαίων κωφώσεως, τὸ ἐν κραυγῇ κοπιᾷν αὐτόν. Ἐμφαίνοι δ' ἂν καὶ τὸ μὴ δεῖν ἀπαγορεύειν νυκτὸς καὶ ἡμέρας εὐχόμενον. Συμφώνως τῷ, « Μετὰ κραυγῆς ἰσχυρᾶς. » Καὶ ὁ πᾶσαν δὲ τὴν προσδοκίαν τείνας εἰς Θεὸν εἶποι ἂν τὸ, « Ἐξέλιπον οἱ ὀφθαλμοί μου, » δῆλον ὡς οἱ τῆς καρδίας. Μάτην δὲ διώκεται καὶ μισεῖται ὁ τῶν ταῦτα ποιούντων συνεργητικός· ὡς ὁ Σωτὴρ πᾶν εἶδος ἀσθενείας ἐν Ἰουδαίοις ἰώμενος, καὶ νεκροὺς ἐγείρων, δι' ἃ περίβλεπτος ἡ τούτων ἐγίνετο πόλις. Τῷ γε μὴν ὑπερβολικῷ τρόπῳ χρῆται B συνήθως καὶ ἡ Γραφὴ ὡς νῦν, « ὑπὲρ τὰς τρίχας » εἰποῦσα « τῆς κεφαλῆς μου· » εἰ δὲ καὶ ἀπέδωκεν ἃ μὴ ἥρπασεν, ἀλλ' οὖν ἡμᾶς ἐλυτρώσατο, ἐξαλείφων τὸ καθ' ἡμῶν χειρόγραφον, ὅπερ ἀποτιννύειν ἠναγκαζόμεθα.

Στ. ϛ'. Οὕτως καὶ ὁ Παῦλος ἀνεγκλήτως τοῦ Χριστοῦ τὸ πάθος, καὶ ἀσθένειαν τὸν σταυρόν· « ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶν· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων. » Εἰ δὲ καὶ ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, ἐπείπερ ἐξαίρετοί τινές εἰσιν οἱ τῆς Θεοῦ γνώσεως ἠξιωμένοι· καὶ ἡ ἀφροσύνη αὐτοῦ λεγομένη, ἀξία τῆς γνώσεως τυγχάνουσα τοῦ Θεοῦ, μέγαν τινὰ καὶ βαθὺν εἶχε λόγον. Τὴν δοκοῦσαν γὰρ ἀφροσύνην, καθ' ἣν « ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβών, καὶ C μέχρι θανάτου παρελθών, » οὐκ ἠγνόησεν ὁ Θεός· αὐτοῦ γὰρ κρίσει γεγένηται. « Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, » κατὰ τὸν Ἀπόστολον, « τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν· εὐδόκησε » γὰρ « ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας· » εἰ γὰρ καὶ Ἕλλησιν ἐδόκει μωρία, κατὰ λόγους γοῦν ἐτελεῖτο βαθεῖς. Ὁ δὲ Σύμμαχος, « τὴν ἀπειρίαν μου, » ἐξέδωκεν· τῆς γὰρ ἐν ἀνθρώποις κακίας ἄπειρος ὢν, τὴν καλὴν ταύτην ἀπειρίαν ἀνατίθησι τῇ γνώσει τῇ τοῦ Πατρός. Εἰ δὲ καὶ ἦσαν πλημμέλειαι δι' ἃς ἐσταυρώθην, οὐκ ἂν σε τὸν ταῦτα εἰδότα διέλαθον. Ἀλλ' οὐκ ἦσαν· δωρεὰς ἄρα με μισοῦντες ἐδίωκον, καὶ ψευδομαρτυρίας συστάντες κατ' ἐμοῦ D ἐξέπραττον ἃ οὐχ ἥρπασα. Καὶ ἄλλως δὲ ὡς κατὰ γνώμην τοῦ Πατρὸς τὰς ἡμετέρας ἀναλαβὼν ἁμαρτίας ταῦτά φησιν, κατὰ τὸ, « Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, » καὶ τὰ ἐπὶ τούτοις. Γέγραπται δὲ καὶ ὅτι « Κατάρα γέγονεν ὑπὲρ ἡμῶν. »

Οὐδεὶς γε μὴν ἁμαρτωλὸς ἔχει γινωσκομένην ἀπὸ Θεοῦ ἀφροσύνην ἢ πλημμέλειαν, ἐπεὶ πρόσθεν αὐτοῦ μενούσας οὐ διαμένων (14) τῶν παρανόμων ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ· οὐ μακρὰν δὲ ἀφροσύνη τῆς ἀγνοίας, καθ' ἣν λέγει πρός τινας, « Οὐδέποτε

[64] Joan. x, 18. [65] Hebr. v, 7. [66] I Cor. i, 25. [67] II Tim. ii, 19. [68] Philipp. ii, 7. [69] I Cor. i, 18, 21 [70] Isa. liii, 4. [71] Gal. iii, 13. [72] Matth. vii, 23.

(14) Sic. Dijudicent doctiores. EDIT.

Digitized by Google

ἔγνων ὑμᾶς· » καὶ καθ' ἣν οὐκ εἰδέναι λέγει τὴν ἡμέραν ἢ τὴν ὥραν τῆς κρίσεως. Εὐσεβῶς οὖν τούτων νοουμένων, καὶ τὴν ἀφροσύνην οὕτω νοήσωμεν· καὶ γὰρ διδάσκαλος τελείαν ἔχων ἐπιστήμην, διὰ συγκαταβάσεων τοῖς εἰσαγομένοις ταῦτα φαίνεται γινώσκων, ὧν εἰσιν ἐκεῖνοι χωρητικοί· τρόπον τινὰ συνομοιούμενος αὐτοῖς, τὴν τοιαύτην συγκατάβασιν ἀπεδέξατο πῶς ἄγνοιαν, πῶς καὶ ἀφροσύνην, ὑπάρχουσαν· ἐπεὶ τοίνυν καὶ « Ἰησοῦς πλούσιος ὢν » ἐν σοφίᾳ, « ἐπτώχευσεν δι' ἡμᾶς, » ὡς μὴ σοφία δοκεῖν, ἔσχεν ἀφροσύνην δι' ἧς ἐπλουτίσθημεν ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καταλλήλως δεῖ καὶ τὰς πλημμελείας νοεῖν. Εἰ δέ τις προσκόπτει, σκοπείτω τὰ χείρω δοκοῦντα τούτων εἰρημένα περὶ Θεοῦ, λήθην, μεταμέλειαν, θυμὸν, ὀργὴν, καὶ τὰ τοιαῦτα (15).

A nescire dicit et « diem » et « horam » judicii [73]. Quam cum benigne intelligamus, insipientiam quoque eadem ratione interpretabimur. Nam magister perfectam habens scientiam se ad sensum nostrum accommodat, eademque discere videtur quorum ipsi capaces sumus: quodam igitur modo nobis assimilatus, ita se humiliavit Christus ut nunc insipientem, nunc ignarum se profiteretur. Quando igitur « Jesus, dives cum esset » in sapientia, « egenus factus est propter nos [74], » et latente sapientia, insipientiam habuit qua nos ditesceremus in omni verbo et in omni scientia, eadem nos de ejus delictis sentiamus necesse est. Quod si quis hoc impugnaverit, recordetur quot et quanta vitia Deo tribuantur in Scriptura, oblivio, consiliorum mutatio, furor, ira, et cætera istiusce generis.

B

Στ. ι'. Ταύτην δὲ τὴν ῥῆσιν καὶ ὁ τὸν Χριστὸν ἔχων ἐν αὐτῷ Παῦλος ἐξέθετο λέγων· « Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθόν· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, καθάπερ γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ. »

Vers. 10. Hoc effatum explicat ille Paulus qui Christum in semetipso habebat, dicens : « Unusquisque nostrum proximo suo placeat in bonum. Etenim Christus non sibi placuit, sed, sicut scriptum est : Improperia improperantium tibi ceciderunt super me [75]. »

Στ. ια'. Εἶποι δ' ἂν τις· Μὴ φάγου καὶ οἰνοπότου δόξαν ἠνέγκατο παρὰ τοῖς κακοήθεσιν; Πρὸς ὃ ῥητέον ὡς οὐκ ἀεὶ τοῦτο ἔπραττεν, οὔτε αὐτὸς οὔτε οἱ μαθηταὶ, ἀλλ' ἡνίκα πρὸς ἑστίασιν ἐκαλοῦντο τοῦ ὠφελῆσαι χάριν καὶ ποιῆσαι σημεῖα. Καὶ δηλοῦσιν οἱ εὐαγγελισταὶ τὰ ἐν τοῖς τοιούτοις γενόμενα θαύματα· σπανίως δὲ καλούμενος ἀπίει πρὸς τὰ συμπόσια. Τοίνυν ὁρῶντες οἱ διαβάλλοντες τούτοις ἐχρῶντο τοῖς λόγοις, τὸν λοιπὸν τῆς αὐτοῦ διαίτης ἀγνοοῦντες καιρόν. Πλὴν ἀρκείτω πρὸς ἀπόδειξιν ἡ ἐν τεσσαράκοντα αὐτοῦ ἡμέραις συνεχὴς καὶ ἀδιάκοπος γενομένη νηστεία (16). Καὶ ἐπειδὴ τῆς ἐξ ἀλόγων παθῶν ἐπάρσεως κωλυτική ἐστιν ἡ νηστεία, « Συνέκαμψα, φησὶν, ἐν νηστείᾳ τὴν ψυχήν μου. » Σύνηθες δὲ τοῖς φαύλοις ὀνειδίζειν τοῖς ἀγαθοῖς δι' ἃς ἔχουσι καλοκαγαθίας· « Βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια. » Ὁ δὲ σάκκος αἰνίττεται τὴν σκληρὰν καὶ κακωτικὴν δίαιταν ἣν ἔσχε περὶ ἡμῶν ἐξομολογούμενος. Τινὲς δὲ διὰ τούτου δηλοῦσθαί φασιν ὃ ἀνείληφε σῶμα.

Vers. 11. Dicet forte quis : Nonne homo edax et potor habebatur apud malos? Ad quod respondendum, non sæpius conviviis ipsum aut discipulos ejus interfuisse, sed aliquoties invitatos non renuisse, quippe qui beneficia et miracula exhibere destinarent. Narrant evangelistæ hac ratione patrata miracula. At nonnisi rarissime convivio interfuit. Quod autem cernentes calumniatores ejus, talibus sermonibus eum increpaverunt, haud secus ac si luxuriæ deditus viveret. Hos ut confutemus sufficiat jejunium illud memoravisse quo quadraginta diebus continuo et sine ulla intermissione jejunavit. Et cum jejunium prohibeat ne indomitis cupiditatibus extollamur, « incurvavi, » inquit, « in jejunio animam meam. » Solent scelerati homines viris honestis virtutes exprobrare quibus ornantur. Nam « exsecratio peccatori cultura Dei [76]. » Saccus vitam duram exprimit et miseram qua vixit de nobis confessus. Contendunt quidam per saccum corpus indicari quod induit.

C

Στ. ιδ'. Ὑπάκουσον, φησὶν, εἰς καιρὸν διὰ τὸ πολύ σου ἔλεος τὴν ἀληθείᾳ σωτηρίαν παρέχων τοῖς ὑπὲρ ὧν ἀξιῶ. Τοῦτο δὲ ποιήσεις ὑπὲρ αὐτῶν ἀποθανόντα « σώσας » διὰ τῆς ἀναστάσεως· ὑπὲρ αὐτῶν γὰρ ἀναδέχομαι ζωήν τε καὶ σωτηρίαν. Ἡ δὲ κατὰ Θεὸν σωτηρία « ἐν ἀληθείᾳ, » τυπικῆς οὔσης τῆς ὑπ' ἰατρῶν καὶ στρατηγῶν σωτηρίας. Εἰ καὶ ἄλλοτε τοίνυν ἔφης ὅτι ἐν ἐμοὶ εὐδόκησας, ἐν τῷ καιρῷ τοῦ πάθους δεῖξον τὴν εὐδοκίαν σου, ὑπὲρ αὐτῶν με ἀναστήσας. Σὺν ἐμοὶ γὰρ ζωοποιηθήσονται οἱ δι' ἁμαρτίας νεκροί. Ταῦτα μυσταγωγῶν ὁ Ἀπόστολος εἶπεν· « Ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν αὐτοῦ ἀγάπην

Vers. 14. Exaudi, inquit, tempore opportuno; propter multitudinem misericordiæ tuæ iis veram salutem præbe, pro quibus precor. Hoc autem perficies eum « salvum » faciendo per resurrectionem, qui pro illis mortuus est : nam pro vobis suscipio vitam et salutem. Non est salus « in veritate » nisi quam Deus operatur, typice modo salvamur a medicis et ducibus. Licet igitur alias profiteari tibi in me bene complacuisse, tempore passionis ostende quantum tibi placeam, suscitando me pro hominibus. Nam mecum convivificabuntur qui peccatis mortui sunt. Quæ mysteria docens ait Apostolus :

D

[73] Matth. xxiv, 36. [74] II Cor. viii, 9. [75] Rom. xv, 2, 3. [76] Eccli. i, 32.

(15) Macte pulchram et curiosam explanationem dicti Evangelii Matth. xxiv, 36! quam quidem expilare naviter videtur S. Cyrillus. Sed et alibi interdum agnovimus Didymum a suo populari Cyrillo in sacris Exegesibus expressum.

(16) Habet hæc ad litteram Cyrillus comm. ac hunc eumdem ps., vers. eodem.

Digitized by Google

« Deus qui dives est in misericordia, propter nimiam charitatem qua dilexit nos, cum essemus mortui peccatis, convivificavit nos in Christo [76]. »

VERS. 15. Ne luto infigamur orat, hoc est ne corpori cupiditatibus nostris infigamur. Lutum forte et peccata nostra in corpus suum assumpsit, ut eas auferret. Orat etiam ut a tentationibus nos « eruamur; » nam cum ipso superamus profunda aquarum. « In eo enim in quo passus est ipse et tentatus, potens est et eis qui tentantur auxiliari [77]. » In profunda ista delabuntur qui non fortiter tentationes superant, nec alius est præter Deum qui nos eruat. Ad quem dicit etiam : « De profundis clamavi ad te, Domine [78]; » et cætera etiam pro nobis postulat. Nihil enim eorum quæ alios lædunt, timet ipse. Quod si igitur ante mortem tribuletur et angatur, nostri causa præcipue hæc mala tulit, necnon ut probaret se verum hominem exstitisse.

VERS. 17. Clementiam Dei in homines invocat pro quibus precatur : nam peccata eorum solvit. Eadem etiam de causa « multitudinem miserationum » velut pro omnibus rogat; nam missus est « non ut judicaret mundum, sed ut salvaretur mundus per ipsum [79]. » Suavem dicit esse misericordiam Dei ut supplicia quæque deprecetur; nam puniturus homines ait Deus : « Non parcet oculus meus super eum, et non miserebor ejus [80]. » Puerum se vocat, quod homo factus sit : significat etiam eadem vox Filium, nam per omnia nobis similis « absque peccato [81], » et formam servi accipiens [82], et affectus bonos quicunque hominibus innati sunt, induens, hæc habet. Redimitur autem anima ejus, quando ab inferis evadat, et animas redimat ibi captivas. Quod non convenit animæ ratione destitutæ et omni propria subsistentia; nam redimi non potest anima nisi ratione prædita sit. Dices autem animam ejus redimi et animas quascunque sibi comparaverit : ita enim homo Dei dicitur sanctus. Sic etiam fit unus spiritus cum eo anima quæ Deo adhæret [83]. Redimit quidem animam tradens pro anima quam suscepit, uti etiam corpus pro corpore, ut omnino homo pro homine detur. Quos ut ipse suscitans eruat, precatur, ut inimici confundantur et diabolus cui imperium mortis. Isti te non fugiunt, inquit, cum « in conspectu tuo » sint; nisi forte tribulationes eos opprimi indicent pro quibus missus est. Docet nos his verbis quantum nobis pepercerit Deus, dum proprio Filio suo non pepercit. Per « opprobrium » et « miseriam » significavit crucem.

VERS. 21. Per allegoriam dicitur Jesus opprobrium et miseriam exspectavisse ut pro mundo passus, peccatum ipsius tolleret. Non fuit inter homines secundum carnem Israelitas vocatos, qui cum eo mori vellet; qua de causa contristatus

ἣν ἠγάπησεν ἡμᾶς, νεκροὺς ὄντας διὰ παραπτώματα καὶ ἁμαρτίας τῷ Χριστῷ συνεζωοποίησεν. »

Στ. ιε'. Ἀλλὰ καὶ τὸ μὴ ἐμπαγῆναι πηλῷ ὑπὲρ ἡμῶν εὔχεται, ἵνα μὴ διὰ παθῶν ἐμπαγῶμεν τῷ σώματι. Πηλὸν δὲ ἴσως καὶ τὰς ἁμαρτίας ἀνέλαβεν ἐπὶ τὸ ἑαυτοῦ σῶμα, ὅπως ταύτας ἀνέλῃ. « Ῥυσθῆναι » δὲ καὶ τῶν πειρασμῶν ὑπὲρ ἡμῶν ἀξιοῖ· σὺν αὐτῷ γὰρ νικῶμεν τῶν ὑδάτων τὰ βάθη· « Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς, πειραθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. » Εἰς δὲ τὰ βάθη ταῦτα πίπτουσιν οἱ μὴ γενναίως τοὺς πειρασμοὺς ὑπομένοντες, Θεοῦ μόνου ῥυομένου. Πρὸς ὃν καί φησιν, « Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, » καὶ τὰ ἐπὶ τούτοις δὲ ὑπὲρ ἡμῶν αἰτεῖ. Οὐδὲν γὰρ αὐτὸν φοβεῖ τῶν ἄλλους βλαπτόντων· κἂν ἐκθλίβηται τοίνυν πρὸ θανάτου καὶ ἀδημονῇ, ἡμῶν μὲν ἕνεκα προηγουμένως, μάλιστα δὲ ἵνα καὶ ἄνθρωπος δειχθῇ γενόμενος ἀληθῶς, ἀναδέχεται ταῦτα τὰ πάθη.

Στ. ιζ'. Τὴν τοῦ Θεοῦ δὲ χρηστότητα ἐπὶ τοὺς ὑπὲρ ὧν ἀξιοῖ γενέσθαι παρακαλεῖ· λύσει γὰρ αὐτῶν τὰς ἁμαρτίας. Διὸ καὶ « πλῆθος οἰκτιρμῶν » ὡς ὑπὲρ πάντων αἰτεῖ· οὐ γὰρ ἐπὶ « τὸ κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι » ἐπέμφθη. Τὸ δὲ χρηστὸν τῷ ἐλέῳ προσέθηκεν πρὸς ἀντιδιαστολὴν τοῦ κολαστικοῦ· τῷ γοῦν κολάζοντί φησιν ὁ Θεός· « Οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, οὐδ' οὐ μὴ ἐλεήσεις αὐτόν. » Παῖδα δὲ διὰ τὴν ἐνανθρώπησιν ἐκάλεσεν ἑαυτόν· εἰ καὶ τὸν Υἱὸν ἡ λέξις δηλοῖ. Ὁμοιωθεὶς γὰρ ἡμῖν « χωρὶς ἁμαρτίας, » καὶ μορφὴν δούλου λαβών, καὶ τὰ φυσικὰ ἡμῶν καὶ ἀδιάβλητα οἰκειωσάμενος πάθη, ταῦτά φησιν. Ἐλυτροῦτο δὲ αὐτοῦ ἡ ψυχὴ μὴ ἐν ᾅδου κατεχομένη, ἀλλὰ καὶ τοὺς ἐκεῖ λυτρουμένη. Ὅπερ οὐκ ἂν εἴποι τις περὶ ἀλόγου ψυχῆς οὔσης ἀνυποστάτου καθ' ἑαυτήν· ἀλλὰ καὶ λυτροῦσθαι λογικῆς ἐστι ψυχῆς δυνατόν. Ἁγίους δὲ ψυχὴν αὐτοῦ καὶ πᾶσαν τὴν οἰκεκωθεῖσαν αὐτῷ· ὡς ἄνθρωπος Θεοῦ ὁ ἅγιος λέγεται. Οὕτω γὰρ καὶ ἡ κολληθεῖσα ψυχὴ καὶ ἓν πνεῦμα μετ' αὐτοῦ γενομένη ἦν. Καὶ λυτροῦται διδοὺς ὑπὲρ αὐτῆς ἣν ἀνείληφεν· ὡς καὶ τὸ σῶμα ὑπὲρ σώματος, ἵν' ὅλως ἄνθρωπος ὑπὲρ ἀνθρώπου δοθῇ. Οὓς δι' ἑαυτοῦ ῥυσθῆναι ζητεῖ διὰ τῆς ἀναστάσεως, ὅπως οἱ ἐχθροὶ καταλυθῶσι, καὶ ὁ τὸ κράτος ἔχων τοῦ θανάτου διάβολος. Οὓς οὐκ ἀγνοεῖς, φησὶν, « ἐνώπιόν σου » τυγχάνοντας· εἰ μὴ δὲ θλίψεις τὸ καταπονεῖσθαι τοὺς ὑπὲρ ὧν ἀπεστάλην. Διδάσκει δὲ διὰ τούτων τὴν ὑπὲρ ἡμῶν φειδὼ τοῦ Θεοῦ, δι' ἣν οὐκ ἐφείσατο τοῦ ἰδίου Υἱοῦ. Διὰ δὲ « τοῦ ὀνειδισμοῦ » καὶ « τῆς ταλαιπωρίας » ἐδήλωσε τὸν σταυρόν.

Στ. κα'. Πρὸς δὲ ἀλληγορίαν, τοῦ Ἰησοῦ προσδοκῶντος ὀνειδισμὸν καὶ ταλαιπωρίαν, ἵνα ὑπὲρ τοῦ κόσμου παθὼν ἄρῃ τὴν ἁμαρτίαν αὐτοῦ. Οὐδεὶς τῶν κατὰ σάρκα Ἰσραηλιτῶν συναποθανεῖν ἠθέλησεν αὐτῷ, ἵνα συλλυπηθῇ περίλυπον ἔχων τὴν ψυχὴν

[76] Ephes. II, 4, 5. [77] Hebr. II, 18. [78] Psal. CXXIX, 1. [79] Joan. III, 17. [80] Ezech. VII, 4. [81] Hebr. IV, 15. [82] Philipp. II, 7. [83] I Cor. VI, 17.

Digitized by Google

ἕως θανάτου· οὐδὲ παρεκάλεσεν αὐτὸν, συγκαταθέ- A
μενος ταῖς περὶ τοῦ θανάτου αὐτοῦ προφητείαις. Τὸ
δὲ ἐναντίον, χολὴ καὶ ὄξος ὁ καρπὸς αὐτῶν ἐγεγόνει,
μὴ τηρησάντων τὴν ἐξ ἀρχῆς φυτείαν ἣν ὁ Θεὸς
ἐφύτευσεν, τὴν Ἰουδαϊκὴν πληθὺν «ἄμπελον καρποφό-
ρον πᾶσαν ἀληθινήν. Στραφεῖσα δὲ εἰς πικρίαν,
ἐγένετο ἄμπελος ἀλλοτρία. » Εἴρηται γοῦν περὶ αὐ-
τῶν ἐχθρῶν καὶ ἀνοήτων γεγενημένων· « Ἐκ γὰρ
ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν· καὶ κληματὶς
αὐτῶν ἐκ Γομόρρας· σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς,
βότρυς πικρίας αὐτῆς· θυμὸς δρακόντων ὁ οἶνος αὐ-
τῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. » Ταύτην τὴν τῆς
σταφυλῆς χολὴν, καὶ τῆς πικρίας τὸν βότρυν προσ-
ήγαγον αὐτῷ πότον, καίτοι διψῶντι τὴν αὐτῶν σω-
τηρίαν· οἴνου γὰρ παράβασις, ὄξος· πλὴν ἐν τῇ
κλήτει τῶν ἐθνῶν εὑρίσκεται συλλυπούμενος καὶ πα- B
ρακαλῶν. Φασὶ γοῦν· « Εἰ συναπεθάνομεν, καὶ συζή-
σομεν· » καὶ, « Σύμφυτοι τοῦ θανάτου αὐτοῦ γεγόνα-
μεν, ἀλλὰ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἐσόμεθα. »

Στ. κζ'. Τὰ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀναλαβὼν εἰς
τὸ σῶμα τραύματα, διὰ τὸ ταύτας ἰάσασθαι. Ἃ δὴ
πεπόνθαμεν ὑπὸ ληστῶν ἐν τῷ καταβαίνειν ἀπὸ Ἰε-
ρουσαλὴμ εἰς Ἰεριχὼ, κέκληκεν ἴδια τραύματα. Ἀλ-
γηδόνα δὲ ταῦτα, ἐφ' ὅσον ἡμεῖς ἁμαρτάνομεν,
ἔχει. Εἰ δὲ καὶ διωγμὸν κατ' αὐτοῦ προσθήσομεν,
προσθήκην ἀλγηδόνων ποιοῦμεν τῷ μηκέτι ὑπὲρ
ἁμαρτωλῶν ἁπλῶς, ἀλλὰ καὶ διωκόντων αὐτὸν
ἀλγεῖν.

Στ. κθ'. Ὅτι γὰρ οἱ ἀρετὴν καὶ γνῶσιν ἔχοντες
Θεοῦ ζῶσιν, δηλοῖ τό· « Αὕτη ἡ ζωή σου, καὶ ἡ C
μακρότης τῶν ἡμερῶν σου, ἀγαπᾷν σε Κύριον τὸν
Θεόν σου ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς σου· »
καὶ τό· « Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον. »
Βίβλος δὲ ἐν ᾗ οἱ οὕτω ζῶντες ἐγγράφονται, ἡ
Θεοῦ γνῶσις· ἐστὶν γινώσκοντος τοὺς ὄντας αὐτοῦ·
ᾧ ἕπεται τοὺς ἀναξίους ἐξαλείφεσθαι τῆς αὐτοῦ
μνήμης.

Στ. λδ'. Οὗτος γάρ ἐστιν ὁ λύων τοὺς πεπεδημέ-
νους, καὶ ἐξάγων ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου
φυλακῆς.

Στ. λζ'. Οἵ τε πάλαι λεγόμενοι προφῆται καὶ θεο-
φιλεῖς ἄνδρες, καὶ οἱ μετὰ ταῦτα ὑπηρέται καὶ διά-
κονοι τοῦ Εὐαγγελίου.

est, animam tristem habens usque ad mortem. Nec fuit qui eum consolaretur, per prophetas de ipsius morte edoctus. Quin imo, fel et acetum fructus tulerunt : non servaverunt plantationem quam principio Deus plantavit, Judaicam « vitem fructiferam omnem veram; conversa autem in amaritudinem, vitis aliena facta est [84]. » Habentur hæc de inimicis ipsis quasi ratione destitutis. « Etenim ex vite Sodomorum vitis eorum, et palmes eorum ex Gomorrha; uva eorum, uva fellis; botrus amaritudinis eis : furor draconum vinum eorum, et furor aspidum insanabilis [85]. » Hoc felle uvæ, et botro amaritudinis potaverunt eum, salutem ipsorum sitientem : nam corruptio vini acetum. Non invenitur nisi in vocatione gentium qui simul contristaretur et consolaretur; dicunt itaque : « Si commortui sumus, et convivemus [86]; » et : Complantati mortis ejus facti, simul et resurrectionis erimus [87]. »

Vers. 27. Vulneribus scilicet affectum est corpus ejus propter peccata nostra, ut ea sanaret. Vulnera proprio nomine vocantur ea quibus a latronibus percussi sumus de Jerusalem ad Jericho iter facientes; hic autem dicit « dolore » propter peccata nostra permotum fuisse. Quod si eum etiam persequimur « super dolorem » addemus, quod jam non pro peccatoribus tantum, sed pro persequentibus eum doleat.

Vers. 29. Eos vivere qui virtutibus et Dei scientia ornantur, docet illud : « Hæc est vita tua, et longitudo dierum tuorum, diligere Dominum Deum tuum ex toto corde et tota mente tua [88] ; » et illud : « Qui credit in me habet vitam æternam [89]. » Liber in quo hi viventes scribuntur, scientia Dei est cognoscentis eos qui ipsius sunt : unde consequitur impios ex memoria ejus deleri.

Vers. 34. Ipse enim est qui compeditos solvit, et vinctos educit e vinculis, et e domo custodiæ.

Vers. 37. Illi scilicet qui olim prophetæ vocabantur et pii homines, et qui postea ministri et doctores Evangelii exstiterunt.

PSALMUS LXIX.

Στ. α'. Σωτηρία δὲ παντὸς μετανοοῦντος ἡ ὧν D
ἐπελάθετο μνήμη. Μνησθήσονται γὰρ καὶ ἐπιστρα-
φήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς·
ἀγαθοῦ γὰρ μνήμη τέλος ἐπιστροφῆς. Πάντες γὰρ
κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ γεγονότες, ἐννοίας
ἔχουσιν ἐσπαρμένας περὶ Θεοῦ· κἂν ἐξ ἀμελείας τις
ἁμάρτῃ, μετανοῶν ἀναμιμνήσκεται τοῦ ἀγαθοῦ, οὗ
κατὰ φύσιν ἔχει τὴν ἔννοιαν.

Στ. γ'. Ἡγεῖται δὲ τῆς ἁμαρτίας ἀναισθησία κα-
λῶν. Διὸ σὺν ἡδονῇ καὶ παῤῥησίᾳ πολλάκις πράττε-
ται τὸ κακὸν, κατὰ τό· « Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ
αὐτῶν. » Πρὸς οὓς ἡ προφητεία φησίν· « Αἰσχύνθητε
ἀπὸ καυχήσεως ὑμῶν. Φέρει γὰρ ψόγον τε καὶ ἀπ-

Vers. 1. Salus homini pœnitenti memoria eorum quæ oblitus fuerat; nam recordabuntur et ad Deum convertentur omnes fines terræ; memoria enim boni, finis conversionis. Nam omnes ad imaginem et similitudinem Dei facti, notitiam Dei habent natura animo insitam; etiam si quis per negligentiam peccaverit, ubi pœnitentiam agit, bonum recordatur cujus sensum innatum habet.

Vers. 3. Peccare videtur qui bonum non sentit. Et hac de causa sæpius libenti et libera mente peccant, juxta illud [90] : « Quorum gloria in confusione ipsorum. » Ad quos prophetia dicit : « Erubescite a gloriatione vestra. Affert enim reprehensionem et

[84] Jerem. II, 21. [85] Deut. XXXII, 32. [86] II Tim. II, 11. [87] Rom. VI 5. [88] Deut. XXX, 30. [89] Joan. III, 36. [90] Philipp. III, 19.

Digitized by Google

ruinam : » nam erubescentes continuo a malo abstinent, et bonum consequenter faciunt. Qui, inimici cum sint, ut revertantur orat, eorum memores quæ sunt operati : nam « quæsierunt animam meam, » a facinoribus et cædibus abhorrentem quibus indulgebant, et a defectione qua a Deo defecerant. Rogat etiam ipsorum utilitati inserviens ut a mala via avertantur, et de consilio confundantur quo eum seduci voluerant, dicentes : « Euge ; » hoc est, captabimus te fugientem a nobis. Notandum est hic nocendi voluntatem illis competere ; sed malum opere non perficiunt, nisi Deus hoc eis concesserit.

A ὠλειὰν · » αἰσχυνθέντες γὰρ πέπαύσονται τοῦ κακοῦ, καὶ τὸ ἀγαθὸν ἀκολούθως ποιήσουσιν. Οὓς καὶ νῦν ἐχθροὺς ὄντας ἐντραπῆναι πρόσευχεται, μνησθέντες ἃ διεπράξαντο. « Ἐζήτησαν » γάρ « μου τὴν ψυχήν, » ἢ πλημμελεῖν ὁμοίως ἢ ἀποκτεῖναι μὴ συντρέχουσαν αὐτοῖς εἰς ἀπόστασιν, καθ' ἣν ἐκτός εἰσι τοῦ Θεοῦ. Τοῦ δὲ κατὰ κακίαν δρόμου ἀποστραφῆναι, διὰ τὸ συμφέρον αὐτοῖς ἐξαιτεῖ, καὶ μὴν αἰσχυνθῆναι ἐφ' οἷς ἐβουλήθησαν καὶ αὐτὸν γίνεσθαι κακὸν, λέγοντες· « Εὖγε, » τουτέστι, κρατήσομέν σου φεύγοντος ἀφ' ἡμῶν. Ὅρα δὲ ὅτι μέχρι τοῦ βουληθῆναι κακῶσαι δύναμιν ἔχουσιν, τὴν βλάβην οὐ δρῶντες, εἰ μὴ Θεὸς αὐτοῖς παραδῷ.

Vers. 5. Hoc salutare non aliud præter Christum, qui nobis æternæ salutis auctor, et « hoc salutare videbit omnis caro[91]. »

Στ. ε'. Τοῦτο δὲ τὸ σωτήριόν ἐστιν ὁ Χριστὸς, ὁ αἴτιος αὐτοῖς αἰωνίου σωτηρίας, ὧν τοῦτο « τὸ σωτήριον ὄψεται πᾶσα σάρξ. »

B

PSALMUS LXX.

Vers. 1. Qui sperat in Deo, non confundetur in æternum, eademque ratione fallet mox spes eum qui in alio quopiam confidit ; nam : « Fidens in divitiis, hic cadet[92]. » Ita : « Nolite confidere in principibus, et in filiis hominum, quibus non est salus[93]. » Ita etiam : « Maledictus homo qui spem habet in homine ; benedictus homo qui fidit in Domino, et erit Dominus spes ejus[94]. » De spe autem illa scriptum est[95] : « Regenerasti nos in spem vivam ; » quam qui habet, ait, non confundetur in æternum. « In justitia eruitur, » qui a peccato abstinet, et in sapientia qui illam sectatur. Dices forte illum rogare ut ab injustis eruatur ; nec dedecceret hoc viros, qui juxta inscriptionem aliorum causa in captivitatem abducti fuerant, et ideo haud immerito libertatem rogarent. At justitia quoque vocatur vita virtutibus ornata, et injustitia omne peccatum opere perfectum. Orat igitur ut ex injustitia in justitia eruatur ; quam qui diligit animam suam odio habet. Quod autem omnes virtutes justitia designet, docet illud : « Qui ambulat in justitia[96], » irreprehensibilis ; omnem vero malitiam injustitiam dici, indicat illud[97] : « Injustitiam odio habui, et abominatus sum ; » et rursus illud : « Sanguis Jesu Christi emundet nos ab omni injustitia[98]. » Eamdem vocem adhibebit, quicunque legis umbram voluerit deserere, ut justitiam Dei habeat per fidem in Jesum Christum, et non justitiam suam quæ ex lege est.

Στ. α'. Ὁ ἔχων εἰς Θεὸν ἐλπίδα μέχρι τοῦ παντὸς αἰῶνος οὐ καταισχύνεται, καθάπερ ὁ ἐπί τι πεποιθὼς ἕτερον ἡνίκα τῆς ἐλπίδος ἐκπέσῃ. « Ὁ πεποιθὼς » γὰρ « ἐπὶ πλούτῳ, » φησὶν, « οὗτος πεσεῖται · » καὶ, « Μὴ ἐλπίζετε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. » Καὶ, « Ἐπικατάρατος ὃς ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον · εὐλογημένος δὲ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ · » περὶ ἧς γέγραπται, « Ἀναγεγεννημένοι εἰς ἐλπίδα ζῶσαν, » ἣν ὁ ἔχων, φησὶν, οὐ καταισχυνθείη εἰς τὸν αἰῶνα. « Ἐν τῇ δικαιοσύνῃ δὲ ῥύεταί τις, » μηδὲν ἀδικῶν, ἔν τε σοφίᾳ πάλιν ὁ ταύτην ποθῶν. Αἰτοῖτο δ' ἂν καὶ ἀπὸ τῶν ἀδικούντων ῥυσθῆναι · πρέπον γὰρ τοῦτο κατὰ τὴν ἐπιγραφὴν τοῖς ἑτέρων χάριν αἰχμαλώτοις γεγενημένοις, δικαίως γὰρ αἰτοῦσι ῥυσθῆναι. Ἀλλὰ καὶ ἡ πρακτικὴ ἀρετὴ δικαιοσύνη ὠνόμασται, ὡς ἀδικία πᾶσα ἡ ἐν πράξει ἁμαρτία. Ἀξιοῖ τοίνυν ἐκ τῆς ἀδικίας ἐν τῇ δικαιοσύνῃ ῥυσθῆναι · ἣν ὁ ἀγαπῶν μισεῖ τὴν ἑαυτοῦ ψυχήν · ὅτι δὲ ἡ καθόλου ἀρετὴ δικαιοσύνη, δηλοῖ τὸ, « Ὁ πορευόμενος ἐν δικαιοσύνῃ, » ἄμωμος · καὶ τὸ πᾶσαν κακίαν ἀδικίαν εἶναι, τὸ, « Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην · » καὶ τὸ, « Αἷμα Ἰησοῦ Χριστοῦ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας. » Ἐρεῖ τὴν φωνὴν καὶ ὁ τὴν τοῦ νόμου σκιὰν ὑπερβῆναι βουλόμενος, ἵνα σχῇ Θεοῦ δικαιοσύνην, πιστεύσας εἰς Ἰησοῦν Χριστὸν, καὶ μὴ δικαιοσύνην ἰδίαν τὴν ἐκ τοῦ νόμου.

C

Vers. 2. Qui possent homines vel creaturis quæ te circumdant tam inferiores clamores edere tibi exaudiendos? At tu, utpote bonus, te infirmitati nostræ accommodans, « inclina aures tuas ad me » de salute rogantem.

Στ. β'. Πῶς δ' ἂν οἱ ἄνθρωποι, τοσοῦτον καὶ τῶν περὶ σὲ κτισμάτων λειπόμενοι, βοὴν ἀφεῖναι τῶν σῶν ἀκοῶν ἐφικνουμένην δυνάμεθα; ἀλλ' ὡς ἀγαθὸς τρόπῳ συγκαταβάσεως « κλῖνον τὸ οὖς σου πρὸς μὲ » περὶ σωτηρίας δεόμενον.

D

Vers. 6. Possunt hæc ad omnes referri : nam nisi Deus servaret et foveret in utero conceptum, non subsisteret utique, vitæ omnino exsors. — Proprio non spirituali sensu intelligenda illa, « ex utero ; » spiritualis enim loco non conveniret. Nam scriptum est et Samuelem « ante cognovisse Deum, » quando pie a teneris unguiculis educatus sit. Dicit

Στ. ς'. Δύναται ἐπὶ πάντων ἁρμόζειν· εἰ μὴ γὰρ Θεοῦ δύναμις ἐφρούρει καὶ ἐφύλαττεν τὸ κατὰ γαστρὸς κυϊσκόμενον, οὐκ ἂν συνέστη, οὐκ ἂν μετέσχε ζωῆς. — Σωματικῶς οὐ νοητέον τὸ « ἐκ γαστρός · » οὐ γὰρ ἅμα τῷ τόπῳ τὸ λογικὸν ἐνεργεῖ· γέγραπται γὰρ καὶ τὸν Σαμουὴλ « πρὶν γνῶναι τὸν Θεὸν, » καίτοι θεοσεβῶς ἐξ ἁπαλῶν ὀνύχων ἀνῆκτο· λέγει δὲ καὶ

[91] Isa. XL, 5 ; Luc. III, 6. [92] Prov. XI, 28. [93] Psal. CXLV, 2, 3. [94] Jerem. XVII, 5, 7. [95] I Pet. I, 3. [96] Psal. XXXIII, 15. [97] Psal. CXVIII, 163. [98] I Joan. I, 7.

Digitized by Google

Μωϋσῆς ἐν τῇ ἐρήμῳ, « Καὶ πάντα τὰ παιδία ὅσα μεθ' ἡμῶν σήμερον, ἃ οὐκ οἶδεν ἀγαθὸν ἢ κακόν, εἰσελεύσεται εἰς τὴν γῆν τῆς ἐπαγγελίας. » Πῶς οὖν τηνικάδε Θεὸν εἰδὼς ὁ λέγων, ἐπεστηρίζετο προαιρετικῶς ἐπ' αὐτῷ; Λέγει τοίνυν, ὡς ἀνέθηκά σοι τὴν ἀρχὴν τοῦ νοεῖν τε καὶ ἐνεργεῖν· ἀφ' οὗ νοῶ σε μόνον εἰδώς. Τοῦτο δὲ οὐκ ἂν εἴποι τις ἀπὸ κακίας μετανοεῖν, ἀλλ' ὁ μείνας ἐξ ἀρχῆς ἐν Θεῷ, λέγων καθάπερ Ἰώβ· « Εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ ὀρφανοῖς οὐ μεταδέδωκα, εἰ μὴ ἐκ κοιλίας μητρός μου ὡδήγουν αὐτοὺς καὶ ἐξέτρεφον, ὡς πατὴρ, » δῆλον, ἐξ οὗπερ ἤρξατο λογικῶς ἐνεργεῖν· ὥσπερ οἱ λέγοντες· « Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματός σου· εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον, » ἀφ' οὗ φρονεῖν ἤρξαντο δηλαδή. Ἁρμόττει δ' ἂν καὶ τῷ ἐκ θείας διδασκαλίας καὶ ἐξ ὕδατος καὶ Πνεύματος γεννωμένῳ, καταλλήλως τῇ γεννήσει ταύτῃ γαστρὸς καὶ κοιλίας νοουμένων ἀφ' ὧν γεννηθεὶς νοητῶς προελήλυθεν.

Στ. ζ'. « Βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια. » Καὶ φάσκουσιν οἱ τοιοῦτοι· « Δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστιν. » Διὸ « τοῖς πολλοῖς » ἔφη, τουτέστι φαύλοις τε καὶ χυδαίοις, ἐξ ὧν ἀβλαβῆ με διατηρεῖς. Διὸ συμφώνως ὁ Ἀπόστολος εἶπεν· « Ὥσπερ περικαθάρματα τοῦ κόσμου καὶ πάντων γεγενῆσθαι περίψημα· » τοιοῦτον καὶ τὸ, « Ἡμεῖς μωροὶ διὰ Χριστόν· » καὶ τὸ, « Δοκῶ γὰρ ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους· » καὶ τὸ, « Θέατρον τῷ κόσμῳ ἐγενήθημεν· » τοιοῦτον καὶ τὸ τοῖς ἁμαρτωλοῖς εἰρημένον ὑπὸ Θεοῦ· « Καὶ ἔσται ὑμῖν Ἰεζεκιὴλ εἰς τέρας· » ὡσαύτως φησὶν ὁ προφήτης διὰ τὰ συμβολικῶς μάλιστα γινόμενα παρ' αὐτοῦ, οἷον τὸ, ἐπὶ τοσάσδε καταπαθῆναι τοῦτον ἡμέρας ἐπὶ πλευροῦ δεξιοῦ, καὶ τόσας πάλιν ἐπὶ εὐωνύμου· καὶ τῶν τριχῶν τοῦ σώματος ξύρησιν. Εἰ δὲ καὶ τοῖς πολλοῖς ἐδόκουν τοιοῦτοι, ἀλλὰ Θεῷ καὶ τῷ θείῳ λαῷ σοφοί τε ἦσαν καὶ δίκαιοι· πολλοῖς δὲ καὶ ὁ Σωτὴρ διὰ τὸν σταυρὸν ἔδοξε τέρας.

Στ. ι'. Εἰ γὰρ Χριστὸς ὁ λέγων, ἔπεται τῶν, « Εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· » τοῦτο γὰρ καὶ τὰ ἐπὶ τούτων περὶ τοῦ Ἰούδα φησίν.

Στ. ιβ'. Σὲ βοηθὸν κτώμενος, οἶδα ὅτι ὄψομαι καταισχυνομένους πάντας τοὺς ἐχθρούς μου.

Στ. ις'. Τῶν ἐμῶν αἰσχυνομένων ἐχθρῶν, τῷ κατ' ἐμοῦ μάτην ἐσπουδακέναι, προστίθημι καὶ νῦν ἐπινικίως αἰνῶν σε τῇ προλαβούσῃ αἰνέσει, περὶ ἧς ἔφην· « Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός. » Ἐνδιέβαλλον δὲ τὴν ψυχὴν αὐτοῦ οἱ λέγοντες· « Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν. » Μεγίστη γὰρ δηλοῦται κατὰ τοῦ ἐγκαταλειπομένου διαβολή. Πρὸς δ τὸ, « Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ, » φησὶν, δεικνὺς ὡς οὐ-

A etiam Moyses in deserto [99]: « Et omnis parvulus junior quicunque non novit hodie bonum vel malum, hi introibunt in terram promissionis. » Qua igitur ratione asserit hic pius homo se ultro in Deo fuisse confirmatum? Hæc habere sibi videtur: Ex quo ratione fruor, te unice novi; tu mihi et cogitandi et operandi principium fuisti. Quod usurpare nequit qui fuerit per pœnitentiam a malo revocatus, sed ille tantum hoc contendit qui usque Deo adhæserit, et cum Job dicit [1]: « Quod si et buccellam meam comedi solus, et pupillo non communicavi, si non de ventre matris meæ dux eis eram, et enutriebam ut pater, » ex quo scilicet rationis ad præcepta vitam instruere possum. Nec dedecet hic sermo eos qui ita loquuntur [2]: « Si obliti sumus B nomen Dei nostri, et si expandimus manus nostras ad deum alienum. » Ex quo sane ratione uti cœperunt. Nec inepte hæc de viro interpretaberis per divinam disciplinam ex aqua et Spiritu genito; aquam et spiritum venter uterusque significarent e quibus spiritualiter genitus in lucem prodiit.

Vers. 7. « Nam exsecratio peccatori cultura Dei [3]. » Dicunt qui ita sentiunt: « Justum in vincula conjiciemus quia molestus nobis [4]; » qua de causa « multis » ait se prodigium esse factum, hoc est, hominibus gregariis et vilibus, adversus quos tu me incolumem tueris: Item sonat illud Apostoli: « Tanquam purgamenta mundi facti sumus, omnium peripsema usque adhuc [5]; » et illud: « Nos stulti propter Christum [6]; » et rursus: « Puto enim quod Deus nos C apostolos novissimos ostendit, tanquam morti destinatos [7]; » et rursus: « Spectaculum facti sumus mundo [8]. » Nec alia ratione dicit Deus peccatoribus: « Eritque Ezechiel vobis in portentum, » uti habet propheta [9], cum toties ejus moribus ventura innuerit. Ita enim dormiit Ezechiel per quadraginta dies super latus dextrum [10], et per totidem rursus super sinistrum [11]; ita barbam et caput suum tonsit [12]. At licet multis tales visi sint, Deo tamen et divinæ plebi sapientes erant et justi: Salvator quoque propter crucem multis prodigium factus est.

Vers. 10. Quod si hæc a Christo dicantur, cum illis consentient: « Si inimicus exprobrasset, sustinuissem utique [13]; » nam hoc et quæ infra habentur ad Judam pertinent. D

Vers. 12. Te auxiliante mihi, non ignoro me inimicos pudore affectos visurum.

Vers. 16. Confusis inimicis, fracto scilicet inimicorum in me impetu, denuo nunc ad celebrandam victoriam adjiciam ad laudem illam de qua dictum fuerat: « In te cantatio mea semper. » Detrahebant animæ meæ, dicentes: « Deus dereliquit eum. » Nihil est enim quod magis animum dejiciat. Quamobrem autem hic: « Ego autem semper sperabo, » ait, declarans se nunquam esse derelinquendum a

[99] Deut. I, 39. [1] Job XXXI, 17. [2] Psal. XLIII, 21 [3] Eccli. I, 32. [4] Sap. II, 12. [5] I Cor. IV, 13. [6] ibid. 10. [7] ibid. 9. [8] ibid. [9] Ezech. XXIV, 24. [10] Ezech. IV, 6. [11] ibid. 4. [12] ibid. 6. [13] Psal. LIV, 13.

Digitized by Google

Deo, nec sibi quid mali ex his clamoribus accidisse. Nondum rejecta juxta litteram lege, vel sub littera et umbra, introibo secundum vivificantem spiritum, regia potestate potitus. Deus mihi dedit ut justitiam renuerem quæ juxta umbram legis ; de qua Paulus scribit : « Secundum justitiam quæ ex lege est conversatus sine querela [14] : » at omnia hæc tenebris circumfusa. Quæ ipsi prius lucra fuerant, detrimenta facta sunt, et omnia ut stercora existimat « propter eminentem scientiam Dei [15]. » Apud quosdam legimus : « Negotiationes non cognovi ; » indicant hæc verba virum divinæ justitiæ memorem, ab omni mundana negotiatione abhorrere propter injustitiam qua plerumque inficitur.

A δεμίαν ἐγκαταλείψει παρέσχετο χώραν. Καὶ τῶν κατ' αὐτοῦ φωνῶν τῶν μηδεμίαν βλάβην προστριψαμένων ἐξαγγέλλει· παρ' ὅλον δὲ κατὰ τὸ γράμμα τὸν νόμον οὐκ ἐξωσμένων (17) ἐπὶ τῆς λέξεως καὶ τῆς σκιᾶς, εἰσελεύσομαι κατὰ τὸ ζωοποιοῦν πνεῦμα, δυναστεύων βασιλικῶς. Τοῦτό μοι δεδωκότος Θεοῦ τὸ μὴ φροντίζειν τῆς κατὰ σκιὰν τοῦ νόμου δικαιοσύνης· περὶ ἧς γράφει Παῦλος, « Κατὰ τὴν ἐν νόμῳ δικαιοσύνην γενόμενος ἄμεμπτος, » πάντα τὰ σκιώδη. Ὃ ἦν αὐτοῦ πρότερον κέρδη ἐζημιῶσθαι. σκύβαλά τε νομίζειν « διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Θεοῦ. » Ἔν τισι δὲ γράφεται « πραγματείας, » δηλοῦν τὸ πάσης πόρρω γενέσθαι βιωτικῆς πραγματείας, διὰ τὴν ἀδικίαν τὴν ὡς τὰ πολλὰ παρεπομένην αὐτῇ, τὸν μνησθέντα θείας δικαιοσύνης.

Vers. 19. Quæ altissima et magnalia tunc perfecta sunt, cum Christus ad nos venit : nam Christo ex Virgine nato, clamavit cœlestis exercitus multitudo : « Gloria in altissimis Deo, et in terra pax, et in hominibus bona voluntas [16]. » Ubi enim hæc bona voluntas ad nos accessit, solutæ sunt super terram omnes discordiæ, et gloria facta est in altissimis, dum ad altissima ascenderent qui fuerant salvati. Nam perfecti cum jam essent, sicut Pater cœlestis perfectus est, et summam sanctitatem haberent, Deum habebant in se omnia in omnibus factum. Ait igitur Salvator in Evangeliis : « Volo, Pater, ut ubi sum ego, et illi sint mecum, ut videant claritatem meam [17]. »

B Στ. ιθ'. Ταῦτα δὲ τὰ ὑψηλὰ καὶ μεγάλα γέγονεν ἐπιδημήσαντος τοῦ Χριστοῦ· τεχθέντος γὰρ ἐκ τῆς Παρθένου, πλῆθος οὐρανίου στρατιᾶς, « Δόξα, » ἔλεγον, « ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, καὶ ἐν ἀνθρώποις εὐδοκία. » Τῆς γὰρ εὐδοκίας ταύτης γεγενημένης, τὰ ἐπὶ γῆς πάντα κατελύθη πολέμια, καὶ δόξα γέγονεν ἐν ὑψίστοις, εἰς τὰ ὕψιστα τῶν σωζομένων ἀναβαινόντων. Διὰ γὰρ τὸ γεγονέναι τελείους ὡς ὁ Πατὴρ ὁ οὐράνιος τέλειός ἐστιν, καὶ σχεῖν ἀνυπέρβλητον ἁγιότητα, τὸν Θεὸν ἔσχον ἐν ἑαυτοῖς πάντα ἐν πᾶσι γινόμενον. Ἔφη γοῦν ὁ Σωτὴρ ἐν Εὐαγγελίοις· « Θέλω, Πάτερ, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. »

Vers. 20. Quoniam autem his, « De abyssis eduxisti me, » adjecit, « iterum, » consentaneum erit, si modo « abyssus » de profundo calamitatum intelligatur, ad hanc sententiam referre, nempe quod ex hac abysso non semel, auxiliante Deo semper benefacere parato, possimus emergere, notum illud Scripturæ testimonium [18] : « Multæ tribulationes justorum, et de omnibus his liberabit eos Dominus. » —Nam benignitate et miseratione sua retrahit Deus de abysso malorum eos qui illis immersi sunt. Cum autem admissa mala ad inferos deducere videntur, rejectis malis communi hac vita vivificemur oportet. Hæc vero hominum persona profert, tot calamitates, ac tot tribulationes ante adventum Salvatoris perpessorum ; at Salvator postea nos vivificavit, animam suam dans redemptionem pro nobis : ita ut fideles vitam æternam adipiscerentur. Ipse etiam ad inferos descendit ut animas propter peccata sua illis in locis demersas reduceret. Quod si igitur abyssus res calamitosas indicet, vox « iterum » declarat multis beneficiis fuisse adjectum qui de talibus voraginibus effertur : « Nam multæ tribulationes justorum, et de omnibus his liberabit eos

C Στ. κ'. (18) Προσκειμένου τοῦ, « Ἐκ τῶν ἀβύσσων ἀνήγαγές με » τοῦ « πάλιν, » εἰ μὲν « ἡ ἄβυσσος » σημαίνοι τὸν ἐν τοῖς περιστατικοῖς βυθοῖς μόνος ἑρμηνεύεται ἀκόλουθον ἐκλαβεῖν· ὡς πολλάκις ἔστιν ἐκεῖθεν ὑπὸ Θεοῦ ἀναχθῆναι, ἀεὶ εὐεργετοῦντος, μαρτύριον τοῦτο τὸ φερόμενον, οὕτω, « Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς Κύριος. » — Ἀγαθότητι γὰρ ὁ Θεὸς ἐπάγων μεταδίδωσιν ἀνιμησάμενος ἐκ βάθους κακῶν τὸν κατενεχθέντα. Ἐπεὶ γὰρ τὰ κακωτικὰ ἐκταθέντα κατάγειν εἰς ᾅδου δοκεῖ, ἀκολούθως καὶ τὸ τούτων τέλος ζωοποιεῖν τὴν κοινὴν ταύτην ζωήν. Ἐκ προσώπου δὲ ταῦτα λέγει τῆς ἀνθρωπότητος, κακῶν ὅσων πειραθέντων καὶ θλίψεων πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, μεθ' ἣν ἡμᾶς ἐζωοποίησε, δοὺς λύτρον D ἀνθ' ἡμῶν τὴν ἰδίαν ψυχήν· ὥστε τοὺς πιστοὺς ζωὴν ἔχειν αἰώνιον. Καὶ καταβὰς εἰς ᾅδου, τοὺς ἐκεῖ γενομένους δι' ἁμαρτίας ἰδίας, ἀνήγαγεν. Εἰ μὲν ἡ ἄβυσσος σημαίνει τὰ περιστατικὰ, τὸ « πάλιν » δηλοῖ τὸ πολλάκις εὐεργετηθέντα τὸν ἐκ τούτων ἀποφυγεῖν βυθισμόν· « Πολλαὶ » γὰρ « αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. » Εἰ δὲ τὸν ᾅδην δηλοῖ, πῶς πάλιν ἐκεῖθεν

[14] Philipp. III, 6. [15] ibid. 8. [16] Luc. II, 14. [17] Joan. XVII, 24. [18] Psal. XXXIII, 20.

(17) Legit interpres τοῦ νόμου ... ἐξωσμένου.

(18) Locus si quis alius, mendosus, quem, ut sensus elici possit, sic emendari vell im et distinguí : Προσκειμένου τῷ, « Ἐκ τῶν ἀβύσσων ἀνήγαγές με, » τοῦ, « πάλιν, » εἰ μὲν ἡ ἄβυσσος σημαίνοι ἐν τοῖς περιστατικοῖς βυθὸν, ἀκόλουθον ἐκλαβεῖν, ὡς πολλάκις ἔστιν ἐκεῖθεν ὑπὸ Θεοῦ ἀναχθῆναι, ἀεὶ εὐεργετοῦντος, μαρτύριον τοῦτο τὸ φερόμενον, οὕτω· *Πολλαὶ*, κ. τ. λ. Quod si hæc verba, μόνος ἑρμηνεύεται, expungere non liceat, sententiæ εἱρμὸς prorsus me fugit. Judicent doctiores. Edit.

Digitized by Google

ἐσώθη; « Μία γὰρ εἰς τὸν βίον εἴσοδός τε καὶ ἔξ- A
οδος. » Ἔοικεν οὖν πρὸς τὸ ἐζωοποιῆσθαι τὸ ἐξ ᾅδου
ἀνελθεῖν, εἰρῆσθαι « πάλιν, » ὡς ἂν δευτέρας οὔσης
εὐεργεσίας.

Στ. κβ'. Καὶ ἄλλως δέ φησι, Μετὰ ψαλτηρίου καὶ
κιθάρας ὑμνήσω τὸν μετὰ τὰ κακὰ ζωοποιοῦντα
Θεὸν τὸν ἁγιάζοντα τὸν Ἰσραήλ. Δηλοῖ γὰρ τὸν ἁγια-
ζόμενον ἐκ τοῦ ἁγίου Θεοῦ, ὡς ἐν τῷ λέγειν τινὰς
ἁγίου Θεοῦ. Λέγεται γὰρ καὶ περὶ Χριστοῦ ὡς
« Ἐγενήθη ἡμῶν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη καὶ
ἁγιασμὸς καὶ ἀπολύτρωσις. » Ταῦτα γὰρ γίνεται
τοῖς κατ' αὐτὰ ποιωθεῖσιν. Καὶ ἀλλαχοῦ δὲ λέγει,
« Παρωξύνατε τὸν ἅγιον τοῦ Ἰσραήλ. » Ψυχὴν δὲ
λυτροῦται λογικὴν, τοιαύτην ὑπὲρ αὐτῆς παρασχών,
ὡς καὶ ὑπὲρ σωμάτων ὁμοούσιον σῶμα. B

Dominus. » Quod si autem inferos, quomodo exinde iterum reducentur? « Nam unus introitus ad vitam, idemque exitus [19]. » Innuere videtur vox « iterum » vivificatam animam, velut altero beneficio, de inferis deduci.

Vers. 22. Aliis verbis dicit: Cum psalterio et cithara cantabo Deum qui post mala vivificat, et Israel sanctificat. Declarat enim nos sancto Deo sanctificari, quo etiam sensu quidam Dei sancti esse dicuntur. Scriptum est enim de Christo: « Factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio [20]. » Nam hoc fit illis qui juxta eum informantur. Dicit etiam alias: « Ad iracundiam concitastis sanctum Israel [21]. » Animam redemit Christus rationalem, animam pariter ratione præditam pro ea tradens, ut et pro corpore corpus similis substantiæ.

PSALMUS LXXI.

Στ. α'. Οὐ γὰρ ἁρμόττει τῷ αἰσθητῷ Σαλομῶνι,
ἀλλὰ τῷ πνευματικῷ καὶ οὕτως εἰρηνικῷ, τοῦνομα
γὰρ τοῦτο δηλοῖ, ὡς καί φησιν· « Εἰρήνην τὴν ἐμὴν
δίδωμι ὑμῖν. » Περὶ οὗ γέγραφεν ὁ Θεόλογος· « Αὐ-
τὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν· » καὶ τό· « Εὐηγγελί-
ζετο εἰρήνην ὑμῖν τοῖς μακρὰν, εἰρήνην τοῖς ἐγγὺς, »
λύσας τὴν ἔχθραν τὴν διαιροῦσαν Ἕλληνας ἀπὸ τῶν
Ἑβραίων· ὥστε μίαν ποίμνην συστῆναι τῷ ἐκ
Δαυὶδ καὶ Παρθένου κατὰ σάρκα. Τοῦτο γὰρ τὸ, « Βί-
βλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ. »

Vers. 1. Non conveniunt hæc ipsi Salomoni, sed illi qui per Salomonem innuitur et itidem se pacificum gessit (hæc est enim vis nominis), dicit enim: « Pacem meam do vobis [22]. » De quo etiam scripsit Theologus: « Ipse enim est pax nostra [23];» et rursus: « Evangelizavit pacem vobis qui longe fuistis, et pacem iis qui prope [24], » inimicitias tollens quibus gentes ab Hebræis dissentiebant, ita ut unus grex fierent omnes filio David et Virginis secundum carnem. Hoc enim indicat illud: « Liber generationis Jesu Christi filii David [25]. »

Στ. β'. Καὶ τῆσδε τοῦ θανάτου κατακρίσεως ὑπὲρ
αὐτῶν χάριτι θανάτου γευσάμενος. Λέγει δὲ λαὸν
μὲν τὸν ἐκ περιτομῆς, « πτωχοὺς » δὲ τοὺς ἐξ ἐθνῶν
διὰ τὴν ἐξ ἀπιστίας καὶ κακίας πενίαν. Λέγοι δ' ἂν C
καὶ περὶ ὧν τό· « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύ-
ματι. »

Vers. 2. Morte cum omnes damnati essent, benignius mortem adiit. Populum vocat qui e circumcisione, et « pauperes » qui ex gentibus crediderunt, propter summam paupertatem qua hi infidelitate et malitia capti laborabant. Eos etiam forte intendit de quibus illud: « Beati pauperes spiritu [26]. »

Στ. ε'. Ταυτὸν τό· « Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα
κατὰ τὴν τάξιν Μελχισεδέκ. » Τῷ δὲ « πρὸ τῆς σε-
λήνης, » ταυτὸν τὸ, « Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ
με· » — « συμπαραμενεῖ δὲ τῷ ἡλίῳ » τῆς δικαιοσύνης,
καὶ ἣν ἥνωσεν ἑαυτῷ σάρκα ἐμψυχωμένην ψυχῇ λο-
γικῇ τε καὶ νοερᾷ, τὴν ἕνωσιν ἀδιαίρετον ἔχουσα.
Ἔστι δὲ καὶ πρὸ τῆς ἀναλόγως λεγομένης σελήνης
τῷ τὴν Ἐκκλησίαν ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἱδρύσθαι,
συγκειμένην ἐκ πάντων τῶν γενεὰν ἐχόντων ἀνθρώ-
πων· οὗτοι γὰρ ἔχουσιν ἐκ γενεᾶς καὶ γενεᾶς τὴν
διαδοχήν. Εἴρηται δὲ καὶ περὶ τῆς ὡς νύμφης Ἐκ-
κλησίας· « Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ
ὡς σελήνη ἐκλεκτή; » D

Vers. 5. Non aliter sonat illud: « Tu es sacerdos in æternum secundum ordinem Melchisedech [27]. » Cum illis « ante lunam » consentit hoc: « Ante sæculum creavit me [28]. » — « Permanebit cum sole » justitiæ caro quam sibi assumpsit anima ratiocinandi et intelligendi capaci animatam, cum sibi eam in æternum adunivit. Luna innuitur ipsa Ecclesia, sic per analogiam vocata, quod in ipso et per ipsum subsistat, omnium hominum generationibus constituta: hi enim successionem habent ex generatione in generationes. Dictum est etiam de Ecclesia per sponsam figurata: « Quæ est ista quæ progreditur sicut aurora, pulchra ut luna electa [29]? »

Στ. ς'. Ἀλλὰ καὶ ὥσπερ ὑετὸς αἴτιος εὐκαρπίας
τῇ γῇ, οὕτω τοῖς πιστοῖς ὁ Σωτὴρ γεννημάτων. Ση-
μαίνοι δ' ἂν ὁ μὲν πόκος τὸν Ἰσραὴλ, ἡ δὲ γῆ τὰ
ἔθνη· ἐπεὶ πρότερον « ἐπὶ πόκον κατῆλθεν, » εἶτ'
ἐκεῖθεν « ἐπὶ τὴν γῆν, » ἐξ ἀπειθείας τοῦ Ἰσραὴλ,
πάσης ἐκ τῶν σταγόνων ποτισθείσης τῆς γῆς ἐπὶ τῷ
καρποὺς ἐνέγκαι πνευματικούς.

Vers. 6. Uti terræ pluvia fons ubertatis, ita fidelibus Salvator fons bonorum fructuum. Innuit forte vellus Israel, et terra gentes, quando prius in « vellus descendit, » et postea exinde « super terram, » propter Israelis incredulitatem stillicidiis irrigata est omnis terra ad fructus spirituales ferendos.

Στ. ζ'. Ἐλέγομεν τὴν σελήνην τὴν Ἐκκλησίαν δη-

Vers. 7. Jam statuimus per lunam Ecclesiam

[19] Sap. VII, 6. [20] I Cor. I, 30. [21] Isa. I, 4. [22] Joan. XIV, 27. [23] Eph. II, 14. [24] ibid. 17. [25] Matth. I, 1 [26] Matth. V, 3. [27] Psal. CIX, 4. [28] Eccli. XXIV, 44. [29] Cant. VI, 9.

Digitized by Google

designari. Nam lunam non propria luce, sed spuria a sole mutuata lucet : ita et Ecclesia quandiu super terram est, ex parte cognoscit, nec tota genuino lumine illustratur. At in fine cum sole erit, quando perfecte et facie ad faciem Deum videbit ; nam restituetur lunaris Ecclesiæ constitutio juxta Solem justitiæ informatæ; fulgebunt sicut sol justi qui complent Ecclesiam in regno Patris sui. Quapropter dicitur ad sponsam : « Quæ est ista quæ progreditur sicut aurora, » hoc est, jam orienti lumine illustrata? Deinde sicut luna plena erit, quando sicut sol omnes stupefaciet.

A λοῦν. Ἡ γὰρ σελήνη νόθον ἐξ ἡλίου δέχεται φῶς, καὶ (μὴ) οἰκοθεν ἔχει· ὡς ἡ Ἐκκλησία ὅσον ἐστὶν ἐπὶ γῆς, ἐκ μέρους γινώσκει, καὶ οὐ γνησίως ὅλη πεφώτισται, λήγουσά ποτε ἐσομένη κατὰ τὸν ἥλιον, ὅτε τὸ τέλειον καὶ πρόσωπον πρὸς πρόσωπον ἔλθῃ, ὅτι καὶ ἡ σεληνιακὴ κατάστασις τῆς Ἐκκλησίας ἀναῤῥεθήσεται κατὰ τὸν Ἥλιον τῆς δικαιοσύνης ἐσομένης, ἐκλαμψάντων ὡς ὁ ἥλιος τῶν συμπληρούντων τὴν Ἐκκλησίαν δικαίων ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν. Διὸ λέγεται πρὸς τὴν νύμφην· « Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, » ἀρχὴν φωτισμοῦ ἔχουσα ; εἶτ' ὡς σελήνη πλησιφαὴς ἐσομένη, μεθ' ὃ ὡς ὁ ἥλιος θάμβος ἔσται.

Στ. ιε'. Ὑμνήσουσι τὸν αὐτοῦ Πατέρα, παρ' αὐτοῦ τοῦτο μαθόντες, κατὰ Παῦλον εἰπόντα· « Εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ· » καὶ πάλιν, « Δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν Πατέρα· » καὶ ὁ Σωτὴρ δέ φησιν· « Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. » Τοῦτον τοίνυν ὑμνήσουσιν ἐφ' οἷς ἔτυχον ἐξ Υἱοῦ συνυμνοῦντες καὶ τὸν δι' οὗ τούτων ἠξίωνται.

Στ. ις'. « Ἄκρα δὲ τούτων τῶν ὀρέων, » αἱ τῶν προαναφωνήσεων ἐμβάσεις εἰσίν· ἐφ' ἃ φθάσας ὁ προφητευόμενος στήριγμα γέγονεν ἐν τῇ γῇ.

Vers. 15. Celebrabunt Patrem Christi, ab ipso hac de re instructi, juxta Paulum dicentem : « Gratias ago Deo meo per Jesum Christum [30]; » et rursus: « Per ipsum habemus accessum ad Patrem [31] ; » ipse etiam Salvator ait : « Nemo venit ad Patrem nisi per me [32]. » Gratias igitur Patri referent de bonis quæ consecuti sunt, hymnos a Filio edocti, et Filio per quem tanta sunt adepti.

Vers. 16. « Summa montium » prophetarum effata ; quæ perficiens qui fuerat prædictus, fundamentum in terra factus est.

PSALMUS LXXII.

Vers. 1. Asaph poeta lyricus, et cantorum choro præfectus. — Israel interpretandus *videns Deum*. Considerantes igitur quem vident, sciunt eum esse bonum et vel gravissimas calamitates ad utilitatem nostram convertere.

Στ. α'. (19) Οἱ δὲ μελοποιὸν καὶ τῶν ᾀδόντων χοροδιδάσκαλον. — Ἰσραὴλ δὲ *ὁρῶν Θεὸν* ἑρμηνεύεται. Διὸ καὶ νοοῦντες ὃν ὁρῶσιν, ἴσασιν ὅτι ἀγαθός ἐστιν, ἐπὶ συμφέροντι τοῖς ἀνθρώποις ἐπάγων τὰ δυσχερῆ.

Vers. 9. Impietate et morum pravitate peccaverunt, iniquitate, hoc est perversis moribus, « circumamicti, » et simul impietate, de divina providentia præsertim errantes. « Prodit » autem « iniquitas » ex iis qui vitam luxuriosam agunt, per mala opera adeps facta prædictorum consiliorum. Non enim deliberatione cordis tantum malum egerunt, sed et alios perdere voluerunt. Qua de causa, animo male disposito, fallaciter locuti sunt, bona scilicet prædicantes. At dum conviciis divinam providentiam incessebant, neminem fugiebat in terris quam injusta essent ista convicia. Quales sunt qui astrorum affectionibus ea tribuunt quæ divina providentia diriguntur. Qui sidera pro diis habentes, et creaturam creatori anteponentes, « in cœlum sustulerunt os suum. » Probatur autem a sapientibus eos non nisi futilia et nugatoria proferre.

C

Στ. θ'. Ἐνεχόμενοι πρακτικῇ κακίᾳ καὶ ἀσεβείᾳ, τὴν ἀδικίαν καθόλου πρακτικὴν οὖσαν κακίαν « περιβέβληνται, » καὶ σὺν αὐτῇ τὴν ἀσέβειαν περὶ Θεοῦ προνοίας ἁμαρτάνοντες μάλιστα. « Ἐξέρχεται » δὲ « ἀδικία » ἐκ τῶν γεννώντων διατρυφὴν, στέαρ εἰρημένων λογισμῶν πρακτικῶς γενομένη. Οὐ γὰρ μέχρι διαθέσεως ἐστήσαντο κακὸν, καὶ ἄλλους βλάπτειν ἐθέλοντες. Διὸ μετὰ τὴν διάθεσιν ἀπατηλῶς ἐλάλησαν, ἀγαθὰ δῆθεν ἐπαγγελλόμενοι. Βλασφημοῦντες δὲ κατὰ τῆς θείας προνοίας πᾶσιν ἐγνώσθησαν τοῖς ἐν τῇ γῇ, μὴ δικαίως αὐτὴν διαβάλλοντες. Ὁποῖοί τινές εἰσιν οἱ τῇ φορᾷ τῶν ἀστέρων ἀνατιθέντες τὰ προαιρέσει γινόμενα. Οἳ καὶ θεοποιοῦντες τὰ ἄστρα, καὶ τὴν κτίσιν παρὰ τὸν κτίσαντα, « εἰς οὐρανὸν ἔθεντο τὸ στόμα αὐτῶν. » Ἀλλ' ὅμως ὑπὸ τῶν σοφῶν διελέγχονται ὡς θνητὰ καὶ ἀνθρώπινα λέγοντες.

D

Vers. 10. Impiis superba locutis, revertendi occasionem cepit populus Dei, ad lucidarum doctrinarum contemplationem revocatus, quæ hic dies vocantur. Vox « huc » locum designat quem Deus tenet ; uti Moysi dictum est : « Tu autem hic stes mecum [33]. » — Rursus « quomodo scivit, » aiunt, quasi Deus sensibus carens et corporeis membris

Στ. ι'. Τῶν ἀσεβῶν ὑπερήφανα λελαληκότων, ὁ τοῦ Θεοῦ λαὸς ἀφορμὴν ἔσχεν ἐπιστροφῆς, φωτεινῶν ἐθέλων ἀπολαῦσαι θεωριῶν, ἃς « ἡμέρας » ὁ λόγος καλεῖ· τὸ δὲ « ἐνθάδε (20), » ἔνθα ὁ λέγων τοῦτο Θεός· ὁποῖον τὸ λεχθὲν Μωϋσῇ· « Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ. » — Καὶ πάλιν τὸ « Πῶς γνώσεται, » ὡς τοῦ Θεοῦ, διὰ τὸ μὴ ἔχειν αἰσθητικὴν, ἤγουν ὀργανικὴν

[30] Rom. I, 8. [31] Ephes II, 18. [32] Joan. XIV, 6. [33] Exod. XXXIV, 2.

(19) Hæc formam ἀποδόσεως præ se ferunt, cujus desset πρότασις, nempe : Οἱ μὲν τὸν Ἀσὰφ *τοιοῦτον* εἶναι λέγουσι, vel quid simile. EDIT.

(20) LXX, ἐνταῦθα.

Digitized by Google

δύναμιν, τῶν ἐπὶ γῆς προνοεῖν πραγμάτων ἀδυνατοῦντος διὰ τὸ τὴν νόησιν αὐτοῦ τύπους τῶν λεγομένων ἢ γινομένων μὴ δέχεσθαι. Καίτοι τὸ « Πῶς γνώσεται, » ὁμολογίαν ἔχει τοῦ γινώσκειν τὸν Θεὸν, ἀγνοουμένου τοῦ τρόπου τῆς γνώσεως. Μετὰ ταῦτα δὲ καὶ ἀγνοεῖν αὐτὸν λέγουσιν, εἰπόντες, « Εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ; » Πεπλάνηνται δὲ νομίζοντες αὐτὸν ἔχειν διάθεσιν τὴν κατὰ ποιότητα· Πατὴρ γὰρ σοφίας καὶ ἀληθείας καὶ θείας ἐπιστήμης ἐστίν. Εἴρηται γοῦν, « Θεὸς γνώσεων Κύριος, » καὶ, « Ὁ διδάσκων ἄνθρωπον γνῶσιν, » καὶ, « Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων. »

Στ. ιβ'. Καὶ πῶς ὧν διδάσκει καὶ δίδωσι λείπεται; Νεμεσητικοῦ δὲ πάθους τὸ θέλειν ἕκαστον τῶν πρὸς ἀξίαν τυγχάνειν, τοῦ ἀληθῶς σοφοῦ τὴν εὐπραγίαν ἢ δυσπραγίαν οὐκ ἐν ἡδονῇ ἢ λυπηροῖς τιθεμένου, ἀλλὰ τὴν μὲν ἐν ἀρετῆς κτήσει καὶ εὐσεβείας, τὴν δὲ τῇ τούτων στερήσει· ἐπεὶ τοίνυν ἑκατέροις συμβαίνει ἀηδῆ (21) τε καὶ λυπηρὰ, οὐκέτι ὡς εὐσεβέσιν ἢ ἁμαρτωλοῖς, τοῖς μὲν ταῦτα, τοῖς δὲ ἐκεῖνα συμβαίνει, ὅπερ διὰ τοῦ προκειμένου κατασκευάζεται. Ὡς ἂν μὲν τὸ λεχθῆναι τὰ ταράττοντα, λύσις εὐσεβὴς ἐπενεχθῇ. Τοιοῦτο ἐν τῷ Μαλαχίᾳ φησὶν ὁ Θεός· « Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν· καὶ εἴπατε· Ἐν τίνι κατελαλήσαμέν σου; καὶ εἴπατε· Μάταιος δουλεύων Θεῷ· καὶ ἰδοὺ μακαρίζομεν ἀλλοτρίους· καὶ ἀνοικοδομοῦνται πάντες ποιοῦντες ἄνομα· ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν, οὐδὲν ἡμῶν πλέον ἐχόντων τῶν δουλευόντων αὐτῷ· καίτοι ἱκέται προπορευόμενοι τοῦ προσώπου αὐτοῦ. » Πρὸς δὲ τοὺς ταῦτα λέγοντας ἐπάγει μεθ' ἕτερα· Εἴπατε πᾶς ποιῶν πονηρὰ, καλὸν ἐνώπιον αὐτοῦ, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν.

Στ. κγ'. Οὐχ ἁπλῶς δὲ, « Κτηνώδης, » εἶπεν, « ἐγενήθην, » ἀλλὰ « παρὰ σοί. » Ὡς γὰρ πρὸς τὸν Πατέρα τῆς σοφίας καὶ Θεὸν τῆς γνώσεως πᾶν ἀγνοεῖ γενητὸν, καὶ Μωϋσῆς γὰρ ἰδὼν τὸν Θεὸν ἔφη· « Ἐγὼ ἄλογός εἰμι ἱκανὸς πρὸ χθὲς καὶ τρίτης ἀφ' οὗ ἤρξας λαλεῖν τῷ θεράποντί σου ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι, » οὐ γὰρ ἁπλῶς εἶπεν ὁ λογιώτατος, ἀλλ' « ἀφ' οὗ ἤρξας λαλεῖν τῷ θεράποντί σου. » Πρὶν γὰρ ἀκοῦσαι θείας φωνῆς δοκεῖ τις λόγιος ὀξύς τε καὶ μεγαλόφωνος εἶναι. Καὶ Ἀβραὰμ ἔλεγε πρὸς τὸν Κτίστην· « Ἐπεὶ ἠρξάμην λαλεῖν πρὸς τὸν Κύριον, ἐγὼ δέ εἰμι γῆ καὶ σποδὸς, » ὅπερ ἠγνόει πρὶν λαλῆσαι Θεῷ. Τοιοῦτος καὶ ὁ κτηνώδης παρ' αὐτῷ, μὴ γιγνώσκων ὁμοίως τὸ προνοοῦντι Θεῷ. « Διαπαντὸς δὲ μετ' αὐτοῦ, » ὁ διαπαντὸς κατορθῶν ἀρετὴν καὶ πᾶσαν εὐσέβειαν ἄνευ τινὸς περὶ ταύτης ἀνωμαλίας ἐν διαλείμμασιν.

Στ. κζ'. Οὐδεὶς διΐσταται τοπικῶς τοῦ μὴ ἐν τόπῳ Θεοῦ. Σχέσει δὲ τὸ ἄδικον καὶ πονηρὸν, μακρὰν νοεῖται τοῦ δικαίου καὶ ἀγαθοῦ, ὅπερ ἀπόλλυσιν· ὡς καὶ σώζει τὸ ἐγγίζειν, ἀρετῆς ἀναλήψει, Θεῷ. Ταυτὸν

A de rebus providere non posset quæ super terram fiunt, quod verborum rerumque imagines divina mens suscipere nequit. Attamen illis vocibus, « Quomodo scivit, » Deum cognoscere omnia confitentur, licet scientiæ hujus ratio eos fugiat. Postea autem eum eadem nescire contendunt, dicentes : « Si est scientia in Altissimo. » Erraverunt existimantes Deum juxta qualitatem disponi : nam Pater sapientiæ et veritatis, et divinæ scientiæ est. Dictus est ideo Deus « scientiarum Dominus [34] ; » et : « hominem docens scientiam [35] ; » et : « Dominus novit cogitationes hominum [36]. »

Vers. 12. Quâ autem ratione derelinquitur Deus ab his quos doctrina sua et donis instruit? Facile indignantis est, velle ut quisque pro meritis sua
B consequatur. At vere sapiens non felicem reputat qui voluptatibus, et miserum qui calamitatibus abundat; sed hominem beatum aut infelicem existimat, prout virtutibus et pietate ornatur aut destituitur. Cum igitur utrisque jucunda et injucunda eveniant, non hæc quidem peccatoribus, illa vero piis; hoc enim præsenti isti versui contradiceret. At dum sermone mentem perturbantia recolunt, liberat eos pie Deus. Asserit hoc Deus ipse apud Malachiam : « Ingravastis super me verba vestra, et dixistis : In quo locuti sumus contra te? Dixistis : Vanus est qui servit Deo; et nunc nos beatos dicimus alienos; et, ædificantur omnes qui faciunt iniqua : restiterunt Deo, et salvi facti sunt; et, quid amplius
C nos, quia custodivimus custodias ejus et quia ambulavimus supplices ante faciem ejus [37]? » Iis qui ista proferant dicit inter alia : Dixistis omnes qui operamini prava, pulchrum est coram Deo, et in ipsis complacuit sibi.

Vers. 23. Non simpliciter ait « se jumentum esse factum, » sed adjicit « apud te. » Nam coram Patre sapientiæ et Deo scientiæ creatura quælibet rudis : ita enim Moyses Deum videns : « Non sum idoneus ante hesternam neque ante nudiustertiam diem neque ex quo cœpisti loqui famulo tuo : gracili voce et tarda lingua ego sum [38]. » Non absolute dixit hæc facundissimus ille vir, sed « ex quo cœpisti loqui famulo tuo. » Ante enim quam divinam vocem audiisset existimabat se promptæ esse ac magnificæ
D eloquentiæ. Abraham quoque dixit ad Creatorem : « Nunc cœpi loqui ad Dominum meum; ego autem sum terra et cinis [39], » quod nesciebat antequam cum Deo loqueretur. Tale est jumentum apud Dominum, scientia sua divinæ providentiæ impar. « Semper est cum eo, » qui semper virtutem perficit et omnem pietatem, et nunquam ab ea vel minime defecerit.

Vers. 27. Non est qui a Deo locorum distantia elongeat, cum ipse loco non contineatur; sed qui pravis et iniquis affectibus indulget, a justo et a bono procul abesse videtur, et perit; ita salvatur

[34] I Reg. II, 3. [35] Psal. XCIII, 10. [36] ibid. 11. [37] Mal. III, 13, 14, 15. [38] Exod. IV, 10. [39] Gen. XVIII, 17
(21) Legendum videtur ἡδέα.

Digitized by Google

Deo acceptus, qui virtutem sectatur. Idem enim sonat elongare a Deo ac peccare. Non dixit autem «qui elongaverunt;» hi enim per pœnitentiam salvari possunt, jam non elongantes ut olim a Deo. At nonne est peccati servus qui peccatum fecit? Cum multi multa de bono docerent, breviter hic sapiens non aliud bonum esse dixit quam adhærere Deo, et ponere spem in eo. Virtutes quæ nos ad perfectionem deducunt sunt « portæ Sion, » cujus filia est anima ad virtutem informata et instructa.

A γὰρ τὸ μακρύνεσθαι (22) Θεοῦ, τὸ ἁμαρτάνειν. Οὐκ εἶπεν δὲ « οἱ μακρύναντες· » δυνατὸν γὰρ μετανοοῦντας σωθῆναι, μηκέτι μακρύνοντας· ταύτῃ καὶ ὁ ποιῶν, ἀλλ' οὐχ ὁ ποιήσας τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Πολλῶν δὲ πολλὰ περὶ ἀγαθοῦ φιλοσοφησάντων, συντόμως ὁ σοφὸς τὸ προσκολλᾶσθαι τῷ Θεῷ τοῦτό φησιν, ἐπ' αὐτῷ τίθεσθαι τὴν ἐλπίδα. Αἱ εἰσαγωγοὶ δὲ ἀρεταὶ πρὸς τελειότητα, « πύλαι Σιών, » ἧς θυγάτηρ, ἡ κατ' αὐτὴν γινομένη ἡ καὶ συνηθεῖσα ψυχή.

PSALMUS LXXIII.

Vers. 1. Malorum causam sciscitantur, ut causa ablata, auferantur et illa. Repellit autem Deus non nisi qui ipsi a Deo recedunt; nam « eum qui venit ad me non ejiciam foras, » ait Jesus [40]. — Iram et furorem Dei noli ex hominum norma ponderare. Procul absit hæc dementia! Nil enim humanum de Deo profiteri possumus, sed prædictis verbis innuit scriptor quantum displiceant Deo qui hic oves pascuæ ejus vocantur. Pascua autem Dei spiritus eloquia, quales prophetæ sunt et lex; quibus sicut oves justos pascit.

Στ. α'. Πυνθάνονται δὲ τῶν κακῶν τὴν αἰτίαν, ἵνα σὺν ἐκείνῃ καὶ ταῦτα κωλύσωσιν. Ἀπωθεῖται δὲ Θεὸς τὸν ἐξ αὐτοῦ μακρύνοντα ἑαυτόν· « Τὸν γὰρ ἐρχόμενον πρὸς μὲ οὐ μὴ ἐκβάλω ἔξω, » εἶπεν ὁ Ἰησοῦς. — Ὀργὴν τοῦ Θεοῦ καὶ θυμὸν μὴ καθ' ἡμᾶς νόμιζε. Ἄπαγε τῆς ἀτοπίας! Περὶ γὰρ τὸν Θεὸν οὐδὲν πάθος ἀνθρώπινον, ἀλλὰ τὴν ὑπερβάλλουσαν ἀποστροφὴν διὰ τῶν εἰρημένων αἰνίττεται λέξεων, ἣν ὑπομένειν φησὶ πρόβατα νομῆς αὐτοῦ. Νομὴ δὲ τοῦ Θεοῦ τὰ λόγια τοῦ Πνεύματος, νόμος οἷον καὶ προφῆται, ἐν οἷς καθάπερ πρόβατα τοὺς δικαίους νέμει.

Vers. 17. Qui hæc fecisti omnia, inquit, talium ac tantarum creator, creaturæ tuæ memor esto.

Στ. ιζ'. Ὁ ταῦτα, φησίν, ἅπαντα πεποιηκὼς ὁ τῶν τοσούτων καὶ τηλικούτων δημιουργός, μνήσθητι ταύτης.

Vers. 18. « Inimicus improperans Domino, » diabolus; populus autem imprudens, dæmonum chorus. — At Caiphas quoque summus sacerdos Christo improperavit. Et populus imprudens Judæorum exacerbavit nomen ejus clamans: « Tolle, tolle, crucifige eum [41]. » Bestias intendit illas de quibus dictum est: « Grex dispersus Israel, leones ejecerunt eum [42]. » Quorum autem molas Dominus confregit [43]. Ex eis Satanas juxta Petrum dicentem [44]: « Adversarius noster diabolus tanquam leo rugiens circuit quærens quem devoret. » Nec omnes martyres a bestiis vorati sunt. Pauperes autem ejus qui dicunt [45]: « Ecce nos reliquimus omnia, et secuti sumus te; » et rursus qui divitias vanæ doctrinæ et malitiæ abjecerunt, iidem forte ac pauperes spiritu [46]. Deinde hortatur Deum ut testamenti sui cum Abrahamo memor, semen hujus patriarchæ « in finem » non derelinquat. Qui autem, utpote per corpus ad terram depressi, obscurata mente per ignorantiam, « domibus iniquitatum repleti sunt. »

Στ. ιη'. « Ἐχθρὸς ὀνειδίζων τὸν Κύριον, » ὁ διάβολος· ἄφρων δὲ λαός, ὁ τῶν δαιμόνων χορός. — Ἀλλὰ Καϊάφας ὢν ἀρχιερεὺς ὠνείδισε τὸν Χριστόν. Ὁ δὲ τῶν Ἰουδαίων ἄφρων λαὸς παρώξυνεν αὐτοῦ τὸ ὄνομα κεκραγώς· « Ἆρε, ἆρε, σταύρωσον αὐτόν. » Θηρίοις δὲ λέγει, πρὸς ὧν εἴρηται, « Πρόβατον πλανώμενον Ἰσραὴλ, λέοντες ἐξωσαν αὐτόν. » Ὧν δὴ τὰς μύλας συνέτριψε Κύριος. Ὧν ἐστιν ὁ Σατανᾶς, κατὰ Πέτρον εἰπόντα· « Ὁ ἀντίδικος ἡμῶν διάβολος περιπατεῖ ὡς λέων ὠρυόμενος ζητῶν τίνα καταπίῃ. » Ἄλλως γὰρ οὐδὲ πάντες οἱ μάρτυρες ὑπὸ θηρίων ἐβρώθησαν. Πένητες δὲ αὐτοῦ οἱ λέγοντες· « Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· » καὶ πάλιν οἱ ἀποβαλόντες πλοῦτον τὸν ἐν ψευδοδοξίᾳ τε καὶ κακίᾳ, οἱ αὐτοὶ τάχα τοῖς πτωχοῖς τῷ πνεύματι ὄντες. Εἶτα παρακαλεῖ μνησθέντα τῆς πρὸς Ἀβραὰμ διαθήκης, τοὺς ἀπὸ τοῦ σπέρματος αὐτοῦ μὴ « τελέως » καταλιπεῖν. Οἱ δὲ τῇ γῇ προσπελάζοντες, διόπερ ἔχουσι σῶμα, τὸν πολυφρόντιδα νοῦν σκοτισθέντες δι' ἄγνοιαν, « πλήρεις οἴκων ἀνομιῶν » γεγόνασιν.

PSALMUS LXXIV.

Vers. 1. Interitus aut « corruptio » sæpius in Scriptura peccatum indicat, incorruptio autem virtutem. Etenim « gratia, » ait, « cum omnibus qui diligunt Dominum nostrum Jesum Christum in incorruptione [47]. » Cum opus bonum qui inceperit, illud etiam perficiat necesse est, « ne corrumpas, » ait, donec, corruptione vitata, in incorruptione sit.

Στ. α'. Τῆς δὲ φθορᾶς ἤτοι « διαφθορᾶς » πολλάκις ἐν τῇ Γραφῇ δηλούσης τὴν ἁμαρτίαν, τὴν ἀρετὴν ἡ ἀφθαρσία σημαίνει· « Ἡ χάρις » γὰρ, φησὶ, « μετὰ τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. » Καὶ ἐπεὶ τὸν ἀρξάμενον ἔργου ἀγαθοῦ δεῖ τοῦτο πρὸς τέλος ἐνέγκαι, « μὴ διαφθείρῃς » μέχρι τούτου, φησὶ, μέχρι φυγὼν τὴν φθορὰν ἐν

[40] Joan. VI, 37. [41] Joan. XIX, 15. [42] Jerem. IV, 17. [43] Job XXIX, 17. [44] I Petr. V, 8. [45] Matth. XIX, 27. [46] Matth. V, 3. [47] Ephes. VI, 24.

(22) Legendum hic τῷ μακρύνεσθαι, et mox τῷ ἁμαρτάνειν.

Digitized by Google

ἀφθαρσίᾳ γενήσει· μετὰ δὲ τοῦτο. Διὸ συμπληρωθέντος αὐτοῦ « ψαλμὸς ᾠδῆς » ἀναπέμπεται. Φθάσαντες οὖν ἐπ' αὐτῷ ἐξομολογοῦνται τῷ τῶν κατορθωμάτων αἰτίῳ Θεῷ· οἱ μὲν οὖν οὔπω τέλειοι, ἐξομολογοῦνται μὲν περὶ ὧν ἔσχον, ἐπικαλοῦνται δὲ τῶν λειπομένων τυχεῖν· οἱ δὲ τέλειοι περὶ πάντων ἐξομολογούμενοι, περὶ φυλακῆς αὐτῶν ἐπικαλοῦνται βεβαίας.

Στ. ζ'. « Ἐρήμων » δέ φησιν ἀρετῆς καὶ εὐσεβείας. Σημεῖον δὲ τῆς πονηρίας αὐτῶν, τὸ διὰ θυσιῶν αὐτοὺς ἀποτροπιάζεσθαι· ὡς δὴ βλάπτοντας εἰ μὴ λοιβὴν, καὶ καπνὸν, καὶ κνίσσαν λάβοιεν. Ἀλλ' εἰ εὐσεβεῖς Θεὸν εἰδότες, τοῦ φρονεῖν εἱμαρμένην καὶ γοητείαν ἐλευθεροῖ.

A Hoc autem perfecto, « psalmus cantici » ad Deum mittitur. Qui igitur ad eumdem finem festinant, confitentur Deo, omnium virtutum auctori; qui nondum perfecti confitentur ei de iis quæ acceperunt, et cætera impetraturos se optant; qui vero jam perfecti de omnibus confitentur, et Deum ut ea servet rogant.

Vers. 7. « Desertum » virtute ait et pietate destitutum. Indicat illorum malitiam, quod per sacrificia placari; lædent enim nisi libationes accipiant, et fumum, et nidorem. At si pii sint et Dei memores, liberabit eos a fatidicorum et incantatorum sensibus.

PSALMUS LXXV.

Στ. γ'. Διωκτέον ἄρα πάσης (23-24) κακίας πολέμου οὔσας. « Τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην » ἔχοντες, τόπος γενώμεθα τοῦ Θεοῦ καὶ κατοικητήριον, σκοπεύοντες πᾶσαν ἀλήθειάν τε καὶ ἀρετήν· σκοπητήριον γὰρ ἡ Σιών. Τόπος δὲ Θεοῦ καὶ ἡ ἁγία Ἐκκλησία ἐν εἰρήνῃ καθιδρυμένη. Ἀλλ' ἐπεὶ χάριτι Θεοῦ, καὶ οὐχ ἡμῶν δυνάμει ταῦτα κατώρθωται, αἰτίαν τῆς εἰρήνης ἀναφέρων ὁ λόγος φησίν.

Στ. ζ'. Διὰ δὲ τοῦ « ἐνύσταξαν, » τὴν τοῦ θανάτου ἐδήλωσε εὐκολίαν· καθάπερ γὰρ ὁ νυστάζων ῥᾳδίου ἐθελήσας καθεύδει, οὕτως ἐκεῖνοι σύντομον ἐδέξαντο τοῦ βίου τὸ πέρας.

B Vers. 3. Malitia nihil aliud præter bellum est. At pacem adepti « quæ exsuperat omnem sensum [48], » locus Dei facti sumus et habitatio, omnem veritatem et virtutem speculantes: nam specula Sion. Locus Dei est etiam sancta Ecclesia in pace fundata. Cum autem gratia Dei, non nostra virtute hæc perficiantur, Deum vocat hic sermo pacis auctorem.

Vers. 7. Per vocem « dormitaverunt, » quam facile eos invadat mors, indicat; nam sicuti dormitans quam facillime dormit, ita et illi terminum vitæ quam citissime contigerunt.

PSALMUS LXXVI.

Στ. β'-δ'. Ὅτε δὲ πόῤῥω διέστηκεν ὁ λέγων τοῦ πρὸς ὃν ὁ λόγος, ἐπιτεταμένης χρεία φωνῆς. Ἐπεὶ τοίνυν τοῦ ποιήσαντος ἡ γενητὴ οὐσία κεχώρισται, κραυγῆς τῆς κατὰ διάνοιαν δεῖ. Θεὸν δὲ καλεῖ, τῷ πάντα πεποιηκέναι· Κύριον δὲ, τῷ δεσπόζειν τῶν ἐξ αὐτοῦ γεγονότων. Λέγοι δ' ἂν καὶ Θεὸν μὲν τὸν Πατέρα, Κύριον δὲ τὸν Υἱόν. « Ἡμέρα » δὲ τῷ λέγοντι « θλίψεως » πᾶς ὁ βίος αὐτοῦ, ἤγουν αἰὼν ὁ ἐνεστηκὼς, ἐν ᾧ πρὸς τὸ ῥυσθῆναι ζητεῖ τὸν Θεὸν, ὡς ἂν τις ἰατρὸν ἐπὶ νόσῳ διοχλούσῃ καλῶν. Ζητεῖ δὲ πράξει καὶ διαθέσει μὴ ἀπατώμενος κατὰ τοὺς τῶν περιστατικῶν ἀγνοοῦντας τὸ τέλος, ὡς ὁ Σαοὺλ πρὸς ἐγγαστρίμυθον ἀπελθὼν ἠπατήθη. Ὁ δὲ ἅγιος ὅσον ἐνοχλεῖται, ζητεῖ τὸν Θεὸν ἐν τῇ τῶν περιστατικῶν ἀγνοίᾳ, καλουμένῃ νυκτὶ, κατὰ τὸ παρ' Ἡσαΐᾳ· « Ἐν θλίψει τοῦ Κυρίου ἐμνήσθην. »

C Vers. 2-4. Quoties procul orator ab eo abest ad quem verba facit, alta voce clamet necesse est. Cum igitur a creatore multum distet creatura, clamare videatur oportet. Deum vocet enim, quod cuncta fecit, et Dominum, quod in omnes creaturas dominetur. Fortasse etiam Deum Patrem vocat, et Dominum Filium. « Dies tribulationis » omnis vita hominum, aut sæculum præsens, in quo ut eruatur orat Deum: hominis ad instar clamat morbo laborantis et medicum invocantis. Inquirit autem nec mente nec opere deceptus, longe dissentiens ab illis qui finem calamitatum non agnoscunt, uti Saul ad ventriloquam abiens deceptus est. Sanctus vir, quandiu perturbatur, Deum inquirit in calamitatum erroribus qui hoc loco nox dicuntur, juxta illud

D Isaiæ: « In tribulatione recordatus sum tui [48a]. »

Στ. δ'. Ἀδολεσχῶν πρὸς αὐτὸν ἐπαινετῶς. Οὕτω γὰρ κεῖται πολλάκις ἐν τῇ Γραφῇ προσευχὴ συνεχής. Ὑπὸ γοῦν τοῦ παιδὸς τοῦ ἱερέως ἡ Ἄννα προσκαρτερῆσαι κωλυομένη τῇ προσευχῇ, φησίν· « Ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως τοῦ νῦν· » ἀλλὰ καὶ « Ἰσαὰκ ἐξῆλθεν ἀδολεσχῆσαι εἰς τὸ πεδίον. » Ἐπὶ ψεκτοῦ δὲ τὸ, « Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας. » Τὴν δ' οὖν λέξιν ἡ τοῦ προσώπου διαστέλλει ποιότης (25). Νῦν τοίνυν καὶ τὸ πρόσωπον

Vers. 4. Deficiens ad Deum laudanda ratione. Hoc enim sensu sæpius occurrit in Scriptura continua meditatio. Anna, cum a puero Heli prohibetur ne orationi instet, ait: « Quoniam ex multitudine meditationis meæ extendi usque nunc [49]; » imo, « et egressus est Isaac exerceri (meditari) in campo [49a]. » Ita etiam ait homo incriminatus [50]: « Narraverunt mihi iniqui fabulationes (meditationes). » Vocis « meditationis » sensum mens oratoris definit et

[48] Philipp. IV, 7. [48a] Isa. XXVI, 16. [49] I Reg. I, 16. [49a] Gen. XXIV, 63. [50] Psal. CXVIII, 85.

(23-24) Num legendum πάσας ut sensus sit: *Omnis igitur malitia fugienda est, quippe quæ ad bellum pertineat?* EDIT.

(25) Non hic solum sed et alibi apud nostrum hunc Didymum invenient hellenistæ vel nova vocabula vel novos illorum sensus.

Digitized by Google

rerum natura. Hic autem mens et vox laudanda : Animam revelat; cujus spiritus pusillanimis factus est. Ita enim et Stephanus ait : « Domine Jesu, suscipe spiritum meum [81]. » Sibimetipsi diffidens propter instantes inimicos Deo se tradit. — Anticipata quadam perturbatione turbatus sum; at turbulentum nihil locutus sum, mens tantum turbata fuit.

VERS. 17. Undique enim volantia Dei tela, in transitu eum prædicabant.

VERS. 20. Quia nemini perspicua viarum ejus ratio.

A καὶ ἡ λέξις ἐπαινετὰ, οὗ τὸ πνεῦμα ὠλιγοψύχησεν, δηλοῦν τὴν ψυχήν. Οὕτω γὰρ καὶ Στέφανος ἔλεγε· « Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. » Ὀλιγωρήσας δὲ διὰ τοὺς ἐπικειμένους ἐχθροὺς ἐπέδωκεν ἑαυτὸν τῷ Θεῷ. — Προπαθείᾳ τινὶ γεγένημαι, ὡς τάραχον ὑπομεῖναι· ἀλλ' οὐκ ἐφθεγξάμην ταραχῶδες οὐδὲν, διαθέσει τινὶ τεθορυβημένῃ γεγένημαι.

Στ. ιζ'. Περιτρέχοντα γὰρ πανταχοῦ τὰ τοῦ Θεοῦ βέλη διεπορεύοντο κηρύττοντα.

Στ. κ'. Διὰ τὸ ἀκατάληπτον εἶναι τὸν τῆς πορείας αὐτοῦ λόγον.

PSALMUS LXXVII.

VERS. 1. Legem dicit hic omne Vetus Testamentum, quippe quod nos hæc fugere, illa vero persecere docet : quod est legis alia quidem vetantis, alia autem præscribentis. — Qui Christi mentem habent, hæc spiritualiter intellexerunt. Narraverunt enim eis qui juxta spiritum patres; ipsi etiam alios docuerunt, qui rursus minores se his doctrinis instruerent.

B Στ. α'. Νόμον νῦν ἔφη τὴν Παλαιὰν πᾶσαν Γραφὴν, ἣγουν διδάσκει τὰ μὲν φεύγειν, τὰ δὲ κατορθοῦν, ὅπερ ἔργον νόμου, τὰ μὲν ἀπαγορεύοντος, τὰ δὲ καὶ προστάττοντος. Οἱ Χριστοῦ νοῦν ἔχοντες ταῦτα συνῆσαν πνευματικῶς. Διηγήσαντο γὰρ αὐτοῖς οἱ κατὰ πνεῦμα πατέρες· καὶ αὐτοὶ δὲ ἐπιστήμης ἑτέρους ἐγέννησαν, ὅπως κἀκεῖνοι τοῖς μετ' αὐτοὺς διηγήσωνται.

VERS. 21. Ignis scilicet qui ad illustrandos eos sensus eorum humiles combussit.

Στ. κα'. Τὸ δυνάμενον καταφλέξαι ἐπ' εὐεργεσίᾳ αὐτῶν τὴν ὑλικὴν προαίρεσιν.

VERS. 63. Mediis in calamitatibus defunctas forte beatas prædicaverunt, nedum eas plorarent.

Στ. ξγ'. Τάχα δὲ καὶ τεθνηκυίας αὐτὰς ἐν τοσούτῳ κακῷ ἐμακάρισαν μᾶλλον ἢ ἔκλαυσαν.

VERS. 67. Rursus omissis cæteris tribubus, unam tribum Ephraim memorat, quam regno potituram prævidebat; ex ea enim egressus est Jeroboam qui decem tribus Davidico imperio subduxit.

Στ. ξ'. Πάλιν δὲ τὰς ἄλλας καταλιπὼν φυλὰς, μόνης μέμνηται τῆς Ἐφραΐμ, τὴν ἐσομένην προορῶν τυραννίδα· ἐκ ταύτης γὰρ ὁ Ἱεροβοὰμ ὁρμώμενος τὰς δέκα φυλὰς ἐκ τῆς Δαυϊτικῆς ἀπέῤῥηξε βασιλείας.

VERS. 70. Propter hoc et divinam in eos providentiam, elegit Deus fidei et pietatis virum qui se exemplum gesserat, ut sapientiori gregi præsit.

Στ. ο'. Διὰ γὰρ τούτου δοκιμὴν δεδωκότα αὐτὸν ὁ Θεὸς πίστεως καὶ εὐσεβείας, τῆς τε τῶν ὑπ' αὐτῶν προνοίας ἐξελέξατο ἐπὶ τὴν τῶν λογικωτέρων θρεμμάτων ἀρχήν.

PSALMUS LXXVIII.

VERS. 1. Quidam hæc de Jerusalem a Romanis, postquam Judæi in Christum bacchati sunt, capta interpretantur; alii autem de Antiochi Epiphanis incursibus.

Στ. α'. Οἱ δὲ τὴν ὑπὸ Ῥωμαίων αἰχμαλωσίαν μετὰ τὴν εἰς τὸν Χριστὸν παροινίαν· ἄλλοι δὲ τὴν ἐπὶ τοῦ Ἐπιφανοῦς Ἀντιόχου.

VERS. 2. Non longe a Jerusalem, nec prope Jerusalem, sed « in circuitu ejus » (ipsa enim est *visio pacis*). Quando igitur qui scandalizatur, e Jerusalem ejicitur, verarum doctrinarum arce, extra illam et in circuitu ejus effunditur prædictus sanguis, « et non est qui sepeliat, » aut eum sepultura dignum existimet; tanta sunt ejus peccata! Tales sunt post agnitam veritatem lapsus! Itaque cum baptizatus cum Christo consepelitur, alia non erit redemptio, et sane « non erat qui sepeliret » eos qui semel cum redempti sint denuo peccant.

Στ. β'. Οὐ μακρὰν οὐδὲ πόῤῥω τῆς Ἱερουσαλὴμ, ἀλλὰ «κύκλῳ αὐτῆς» (αὕτη δέ ἐστιν ἡ τῆς εἰρήνης *ὅρασις*). Ἐπεὶ οὖν ὁ σκανδαλιζόμενος ἔξω γίνεται τῆς Ἱερουσαλὴμ, τῆς τῶν δογμάτων ὀρθότητος, περὶ αὐτὴν καὶ κύκλῳ αὐτῆς ἐκχεῖται τὸ προειρημένον αἷμα, καὶ οὐκ ἦν θάπτων, οὐδὲ ταφῆς ἀξιώσων, διὰ τὸ ὑπεραίρειν αὐτοῦ τὰ ἁμαρτήματα. Τοιαῦτα δὲ τὰ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας πταιόμενα. Ἐπεὶ οὖν συνθάπτεται Χριστῷ ὁ βαπτιζόμενος, δεύτερον δὲ οὐκ εἴη λουτρὸν, εἰκότως « οὐκ ἦν ὁ θάπτων » τοὺς μετὰ τὸ λουτρὸν ἠσεβηκότας.

VERS. 4. Hæc causam et quidem apud Deum defendentis suam. Etenim licet nos merito patiamur, inquit, attamen nomen tuum improperio est. Ita enim ipse Deus apud Isaiam [82] loquitur : « Propter vos semper nomen meum blasphematur in gentibus. » Vicinos vocat Idumæos, Ammonitas et Moabitas, et cæteras gentes confines, quæ ipsis adversæ et infensæ. — « In circuitu nostro sunt » genti-

Στ. δ'. Ταῦτα δικαιολογίας, ἤρτηται δ' ἐκ τῆς παρὰ Θεῷ. Εἰ γὰρ καὶ ἡμεῖς ἄξιοι, φησὶν, ὧν πεπόνθαμεν, ἀλλὰ τὸ ὄνομα τὸ σὸν ἡμῖν συνονειδίζεται. Ὥσπερ καὶ αὐτὸς ὁ Θεὸς διὰ τοῦ Ἡσαΐου λέγει· « Δι' ὑμᾶς (πάντας) τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. » Γείτονας δὲ καλεῖ τοὺς Ἰδουμαίους, Ἀμμονίτας, καὶ Μωαβίτας, καὶ τὰ ἄλλα ἔθνη τὰ ὅμορα, ἅπερ αὐτοῖς ἀντίπαλα καὶ

[81] Act. VII, 58. [82] Isa. LII, 5.

Digitized by Google

πολέμια καλεῖ. — ϟ Κύκλῳ δὲ ἡμῶν εἰσιν » Ἑλλήνων οἱ σοφοὶ μυκτηρίζοντες καὶ χλευάζοντες ἡμᾶς ὡς ἀνεξετάστως καὶ μωρῶς πιστεύοντας. — Πεπαίδευκας, φησὶ, τοὺς Ἰδουμαίους ἱκανῶς. « Ἤδη ποτὲ μετάγαγε τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη » τὰ δυσσεβῆ καὶ ἐπὶ βασιλείας ἀλλοτρίας τοῦ σοῦ σεβάσματος.

A les doctores subsannantes et irridentes nos, ac si absque ullo examine et stulte crederemus. — Informasti, inquit, Idumæos apte; « effunde jam iram tuam in gentes » impias, et in regna aliena quæ te non verentur.

Στ. ιγ'. Μυστικώτερον δὲ ἐρεῖς, ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι βίῳ, ἢ ἐν ἀμφοτέραις ταῖς γενεαῖς, τῇ τε ἐκ περιτομῆς, καὶ τῇ κλήσεως τῶν ἐθνῶν· ὅπως καὶ αὐταὶ μάθωσιν Θεὸν αἰνεῖν.

Vers. 13. Mystice dices: In præsenti et in futura vita. Aut in utraque generatione, in ea quæ de circumcisione, et in ea quæ de gentibus vocata, ut ipsi discant Deum laudare.

PSALMUS LXXIX.

Στ. β'. Ὑδηγεῖ καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν προστιθεμένους ὡσεὶ πρόβατα, τουτέστιν ὡς τὰ ἑαυτοῦ πρόβατα τοὺς Ἰσραηλίτας. Ἰωσὴφ γὰρ ἑρμηνευόμενος *Κυρίου πρόσθεσις* (26), σημαίνει τοὺς ἀπὸ τῶν ἐθνῶν τοῖς ἐκ περιτομῆς προστιθεμένους. — « Καθήμενος δὲ ἐπὶ τῶν χερουβὶμ » ὁ Κύριός ἐστιν, ὡς ἐν τῷ Ἰεζεκιὴλ παρίσταται. Ἐφέψεται δὲ τοῖς ἐν τοῖς ζώοις οὖσιν, τετευχόσι ταύτης τῆς προσηγορίας ἀπὸ τῆς προσούσης αὐτοῖς σοφίας. *Πλήθους* γὰρ *γνώσεως* ἑρμηνεύεται τὰ χερουβίμ.

B Vers. 2. Deducit etiam eos qui de gentibus adjecti sunt velut oves, hoc est, ut oves suos Israelitas. Nam Joseph *additamentum* interpretandus significat fideles, iis qui de circumcisione sunt additos. — « Sedet super cherubim » Dominus, uti Ezechiel docet [53]. His autem animalibus insidet, utpote propter scientiam suam tanto munere dignis. Nam vocem cherubim interpretantur *scientiæ multitudinem*.

Στ. ιβ'. « Ἥφει τὰς παραφυάδας αὐτῆς » ἕως καὶ αὐτῶν τῶν ποταμῶν τῶν ποτιζόντων αὐτὴν, ἐπὶ τὸ τὸν κατάλληλον καρπὸν ἀποδοῦναι.

Vers. 12. « Propagines suas extendit » usque ad ipsa flumina quibus irrigatur, ut vicissim fructus ferat.

Στ. ιγ'. Εἰσὶ δὲ οὗτοι ψευδοδιδάσκαλοι, καὶ τὰ τῆς πλάνης πνεύματα. Τρυγῶσι δὲ αὐτὴν ἔχουσαν σταφυλὴν χολῆς καὶ βότρυν πικρίας αὐτοῖς· γέγονε γὰρ τοιούτων οἱστική. Καὶ ὅτε μὲν ἀντὶ τῶν ἠθικῶν ἀρετῶν πάθη καρποφορεῖ, ἀκάνθας ἀντὶ σταφυλῶν ἤγαγεν· ὅτε δὲ περὶ τὰ τῆς γνώσεως ἁμαρτάνει, σταφυλὴν χολῆς καὶ βότρυν πικρίας φέρει.

C Vers. 13. Hi sunt falsarum doctrinarum doctores, et erroris spiritus. Vindemiant autem eam uvas fellis et botros amaritudinis ferentem; talia enim præbet. Nam quando, neglecta virtute, cupiditatibus indulget, spinas pro uvis fert; quando autem circa veritatem errat, uvam fellis dat et botrum amaritudinis [54].

Στ. ιη'. « Τὸν Υἱὸν τοῦ ἀνθρώπου, » φησὶν, « ἐκραταίωσας ἑαυτῷ, » μὴ συγχωρήσας αὐτὸν ἐκ σπέρματος ἀνδρὸς τὴν σύστασιν ἔχειν τοῦ σώματος· ἐπελθόντος γὰρ Πνεύματος ἁγίου τῇ Παρθένῳ, καὶ τῆς τοῦ Ὑψίστου δυνάμεως, ὁ ἅγιος οὗτος τόκος ὑπέστη, ὅστις ἡτοιμάσατο τὴν ἄμπελον πρὸς καρποφορίαν.

Vers. 18. « Filium hominis, » ait, « confirmasti tibi, » non passus eum ex hominis semine corpus assumere: nam superveniente Spiritu sancto in Virginem, et virtute Altissimi, natus est sancta illa soboles, quæ vineam excoluit ut fructus ferret.

PSALMUS LXXX.

Στ. ι'. Ἀλλότριον δὲ Θεὸν πρόσφατον, τὸν πεπλανημένως παρὰ τοῖς ἔθνεσιν νενομισμένον ὠνόμασε, τὴν πολύθεον εἰδωλολατρείαν οὕτω παραπεμπόμενος. — Ταῦτα τὴν Ἀρείου καὶ Εὐνομίου παραπληξίαν ἐλέγχει· εἰ γὰρ οὐχ ὁμοούσιος, ἀλλότριος ἄρα καλοῖτ' ἂν εἰκότως· καὶ εἰ ἦν ὅτε οὐκ ἦν, πρόσφατον προσεκύνουν τὸν Θεὸν μὴ συνιέντες τὸ εἰρημένον, « Ὁ δὲ Θεὸς ἐν μέσῳ βασιλεὺς ἡμῶν πρὸ αἰώνων. »

D Vers. 10. Deum recentem et alienum vocat eos qui falso a gentibus exculti fuere, et ideo damnat impiam multorum deorum adorationem. — Hæc etiam Arii et Eunomii insaniam confutant; nisi enim Christus consubstantialis, alienus dicatur oportet; et si non semper exstitit, recentem adoraverunt Deum Christiani, illius effati immemores: « Deus autem rex noster ante sæculum [55]. »

PSALMUS LXXXI.

Στ. β'. Ἐπικρύπτοντες τὰ ἴδια αὐτῶν πρόσωπα, καθὰ κατ' εἰκόνα τοῦ Θεοῦ ἐστε. — Καταπονουμένους ῥυόμενοι ἐκ τῶν πλεονεκτούντων ἁμαρτωλῶν. Ἀλλὰ καὶ τοῖς κατ' ἀρετὴν θεοποιηθεῖσι λέγεται ὅπως τὸν ἀναβάλλοντα τὸν φαῦλον πατέρα, καὶ τὸν τῆς πονηρίας πλοῦτον κρίνωσιν ἀξίως τῆς πρὸς αὐτὸν

Vers. 2. Facies vestras deturpantes quibus ad imaginem Dei estis. — Afflictos eruentes de manu peccatorum eos opprimentium. Piis etiam et justis hominibus præcipitur ut scelestum patrem et malitiæ divitias judicent, uti viros decet a Deo adoptatos et educatos; justificent vero hominem pro-

[53] Ezech. x, 1. [54] Deut. xxxii, 32. [55] Psal. lxxiii, 12.

(26) A radice יסף, *addidit*. Alii autem Joseph *corruptionem* aut *ablationem* explicant a radice יוסף, *terminavit, consumpsit*.

Digitized by Google

pter modestiam suam humilem, et propter ea quæ pro pietate toleravit egenum factum.

διὰ παιδεύσεως προστασίας· δικαιούτωσαν δὲ καὶ τὸν δι' ἀτυφίαν ταπεινὸν, καὶ πένητα διὰ τὸ πονεῖν ὑπὲρ εὐσεβείας γεγενημένον.

Vers. 7. Moriuntur homines non quidem communi morte, sed ea quæ peccatum insequitur, nempe cadentes « sicut unus de principibus. » Hic autem diabolus : quippe qui tunc cecidit cum formam serpentis induit.

Στ. ζ'. Ἀποθνήσκουσι δὲ οὐχὶ οἱ ἄνθρωποι τὸν κοινὸν θάνατον, ἀλλὰ τὸν ἐπόμενον τῇ ἁμαρτίᾳ θάνατον, πίπτοντες παραπλησίως τῷ πεσόντι « ἑνὶ τῶν ἀρχόντων. » Οὗτος δέ ἐστιν ὁ διάβολος· τοῦτο δὲ γέγονε διὰ τὴν πρὸς τὸν ὄφιν συγκατάβασιν.

PSALMUS LXXXII.

Vers. 14. Rota natura mobilis et inconstans; talis est impiorum vita; pro temporum varietate nunc in sublime feruntur, nunc inde relabuntur, rotæ ad instar.

Στ. ιδ'. Τροχοῦ φύσις στρεπτὴ, καὶ οὐχ ἑστῶσα ἐν ταυτῷ· τοιοῦτος δὲ πᾶς ὁ τῶν ἀθέων βίος, καιρῷ μὲν εἰς ὕψος ἐπαιρόμενος, εἶτα στροφὴν ποιούμενος τὴν ἐπὶ τοὐναντίον, τροχῷ παραπλησίως.

Vers. 19. Alii quidem per altissimum Deum excelsi occurrunt, virtute in sublime lati et exaltati. At non est inter eos qui per se et natura sua talis sit : nam Deus solus altissimus, creator non creatura, uti etiam solus sapiens, et solus verus, sapientiam docens et veritatem.

Στ. ιθ'. Εἰ καὶ ἄλλοι ὑψηλοὶ καὶ ὑψίστου ἐκ Θεοῦ γεγένηνται, ἀρετῇ μετεωριζόμενοι καὶ ὑψούμενοι. Ἀλλ' οὐδεὶς ἐξ ἐκείνων ἐξ ἑαυτοῦ καὶ κατ' οὐσίαν ἐστὶν τοιοῦτος· μόνος γὰρ Θεὸς ὕψιστος, ποιῶν ἀλλ' οὐ γινόμενος, ὡς μόνος σοφός ἐστιν καὶ μόνος ἀληθινὸς παρέχων σοφίαν καὶ ἀλήθειαν.

PSALMUS LXXXIII.

Vers. 12. Gratiam dat Deus iis qui gratia salvantur juxta illud : « Gratia salvati estis [56]. »

Στ. ιβ'. Δίδωσιν ὁ Θεὸς χάριν τοῖς σωζομένοις χάριτι κατὰ τὸ, « Χάριτί ἐστε σεσωσμένοι. »

PSALMUS LXXXIV.

Vers. 2. Benedicit Dominus terram suam, cor bonum et justitiæ studiosum. Qui enim ab eo semen accepit centuplum reddit. In terram Domini redibit multitudo eorum qui a malis potestatibus in captivitate detinebantur, et qui cupiditatibus adversantes Jacob dicuntur. Quo facto, peccata omnia remittet; et si insuper peccant, operiet peccata per virtutem ea non occultantem, sed omnino tollentem, uti dicit : « Charitas operit multitudinem peccatorum [57]. » Nam sicut scientia ignorantiam operit, ita divina charitas quæ a virtute non alia est, operit peccata eorum quos benedicere dignatus fuerit. Benedixit autem eos Filium suum mittens, super terram conspiciendum et cum hominibus commoraturum. Quo quidem nato, dictum est : « Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas [58]. » Exinde apparet Dei iram non esse affectum; peccatis hominum incenditur, et peccatis ablatis, statim restinguitur ipsa. Ira et furor unum idemque significant; quorum ministri « vasa iræ » vocantur.

Στ. δ'. Εὐδοκεῖ τὴν ἀγαθὴν καὶ σπουδαίαν καρδίαν γῆν ὑπάρχουσαν αὐτοῦ, Κύριος. Τὸν παρ' αὐτοῦ γὰρ δεχομένη σπόρον, ἀνὰ ἑκατὸν ἀποδίδωσιν. Εἰς ἣν ἀποστρέφει καὶ τὸ πλῆθος τῶν αἰχμαλωτισθέντων ὑπὸ πονηρῶν δυνάμεων λογισμῶν ἐκκωδώντας (27) διὰ τὸ τοῖς πάθεσι μάχεσθαι· τοῦτο δὲ δράσας, ἄφεσιν παρέχει πᾶσιν ἁμαρτιῶν· κἂν ἐφαμάρτωσιν, ἐπικαλύπτει δι' ἀρετῆς οὐκ ἐγκρυπτούσης αὐτὰς, ἀλλὰ δι' ὅλου ἀφανιζούσης· ὡς καὶ, « Ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν. » Ὡς γὰρ ἐπιστήμη καλύπτει τὴν ἄγνοιαν, οὕτως ἀγάπη θεία ἡ αὐτὴ οὖσα τῇ ἀρετῇ καλύπτει τὰς ἁμαρτίας, ὧν ἂν εὐδοκήσει κρίνας εὐεργετεῖν. Εὐδόκησε δὲ τὸν Υἱὸν ἀποστεῖλας τὸν ἑαυτοῦ, ὀφθῆναί τε ποιήσας ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι. Οὗ δὴ καὶ τεχθέντος ἐλέγετο, « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Ἐντεῦθεν δὲ δῆλον, ὡς οὐ πάθος ἡ ὀργὴ τοῦ Θεοῦ, ὑποστῆναι δὲ οἰκονομεῖται δι' ἁμαρτίας· ὧν ἀναιρουμένων καὶ αὕτη συναπέρχεται. Ὀργὴ δὲ καὶ θυμὸς ὁμωνύμως, καὶ οἱ τούτοις ὑπηρετούμενοι, « ὀργῆς » λεγόμενοι « σκεύη. »

Vers. 4. Deum sanitatum orat, ut nominibus occasionem pœnitentiæ ad conversionem præbeat; sic enim furorem sedabunt quem ipsi per peccata concitaverant : nam sublata omni materia ignea, jam non est ignis. Quando Deus eos vivificat, qui ex pristina sua conversatione ad eum convertuntur, ipse etiam eos rursus admittit quos propter eorum peccata rejecerat.

Στ. ε'. Ὡς δὲ Θεὸν σωτηριῶν αἰτεῖ, μετανοίας πρόφασιν αὐτοῖς εἰς ἐπιστροφὴν παρασχεῖν, ὡς ἂν λύσωσι καὶ ὃν ἐξῆψαν αὐτοὶ δι' ἁμαρτίας θυμόν· οὐδὲ γὰρ πῦρ ἐστιν ἔτι τῆς καυστικῆς ὕλης ἀνηλωμένης. Ὅτε καὶ Θεὸς ζωοῖ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας ἐκ τῆς προτέρας ἐπιστροφῆς (28), ἤγουν καὶ αὐτὸς ἐπιστρέφει πρὸς οὓς ἀπεστράφη δι' ἁμαρτίας.

Vers. 10. Cum miracula salutaria fient, et mortui resurgent, et cæci videbunt, et leprosi mundabuntur, et alia hujusce generis prodigia cernentur. Ut autem procul a peccatoribus salutare, qui opera perditionis perficiunt, ita Dominus prope eos qui

Στ. ι'. Ἔτι καὶ τῶν σωτηρίων θαυμάτων, νεκρῶν μὲν ἀνισταμένων, τυφλῶν δὲ βλεπόντων, καὶ λεπρῶν καθαριζομένων, καὶ τῶν ὁμοίων γινομένων θαυμάτων. Ὡς δὲ μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ἐνεργούντων τὰ τῆς ἀπωλείας, οὕτως ἐγγὺς τῶν διὰ

[56] Ephes. II, 5. [57] Prov. X, 12. [58] Luc. II, 14.

(27) Ita cod.

(28) Forte ἀποστροφῆς. Edit.

Digitized by Google

φόβον Θεοῦ τὰ τῆς σωτηρίας πραττόντων ὁ Κύριος· καὶ τοῦτον ἔχουσιν αὐτοῖς ἀχωρίστως, οὐκ ἔστιν ὑστέρημα· ὧν μὴ (29) κατασκηνοῖ δόξαν ἐν τῇ καρδίᾳ· ταύτην γὰρ αὐτῶν ἐκάλεσε γῆν καρποφοροῦσαν αὐτοῖς ἀνὰ ἑκατόν· κατὰ τὸ, « Ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ. » Οὕτω καὶ ἐν τῷ σώματι κατὰ τὸ, « Δοξάσατε τὸν Θεὸν ἐν τῷ σώματι ἑαυτῶν, » τῶν τελείαν σωφροσύνην ἐχόντων.

A timore Dei opera salutis operantur ; et hunc quidem habent ita ut jam non ab eo sejungi possint. Nec est cur non habitet gloria in corde eorum ; ipse enim cor vocat terram centuplum ferentem, juxta illud : « Deus qui dixit de tenebris lucem splendescere, ipse illuxit in cordibus nostris ad illuminationem scientiæ claritatis Christi [59]. » Ita etiam de corpore : « Glorificate Deum in corpore vestro [60], » perfectam prudentiam habentes.

Στ. ια'. Δύναται καὶ ἐντεῦθεν ἡ τῶν ἀρετῶν ἀνακολούθησις δείκνυσθαι ἀντιστρεφόντων ἀλλήλοις τοῦ τε ἐλεητικοῦ καὶ τοῦ ἀληθοῦς, τοῦ τε δικαίου καὶ εἰρηνικοῦ. Ἡ δὲ συζυγία καὶ ἐν τῷ· « Τὸ ἔλεός σου καὶ ἡ ἀλήθεια διαπαντὸς ἀντελάβετό μου· » καὶ ἐν τῷ, « Ἐξαπόστειλον τὸ ἔλεος καὶ τὴν ἀλήθειάν σου. »

VERS. 11. Ex hoc loco perspicitur quam intima societate quædam virtutes inter se uniantur, misericordia cum veritate, justitia cum pace. Jam conjunctæ occurrunt in hoc : « Misericordia tua et veritas semper susceperunt me ; » et in illo : B « Mitte misericordiam et veritatem tuam [61]. »

Στ. ιγ'. Ὡς καρποφορεῖ γὰρ ὑετοῦ δοθέντος ἡ γῆ, οὕτω χρηστότητι Θεοῦ καρπὸν ἡ νοητὴ δίδωσι γῆ, κατ' εἶδος πᾶσαν μετερχομένη τὴν ἀρετήν.

VERS. 13. Uti pluvia tellus fota fructum suum dat, ita spiritualis terra, animus noster, benignitate Dei fructum fert, omni genere virtutum ornata.

PSALMUS LXXXV.

Στ. β'. Οἱ ἅγιοι πάντες αὐχοῦσιν ὡς ἐπ' ἀξιώματι μεγάλῳ τῷ δοῦλοι εἶναι Θεοῦ. Τοιγαροῦν Ἰωνᾶς ὅθεν ἐστὶν ἐρωτώμενος, « Δοῦλος, » εἶπεν, « εἰμὶ Θεοῦ, καὶ τὸν Θεὸν τοῦ οὐρανοῦ σέβομαι. » Καὶ μὴν οἱ ἀπόστολοι μαρτυροῦνται πρὸς τοῦ Σωτῆρος καλῶς αὐτὸν Κύριον δι' ἔργων ὁμολογοῦντες καὶ λόγων· « Ὑμεῖς γὰρ φωνεῖτέ με· Ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. » Τοῦτο γοῦν καὶ ὡς ἀξίωμα μέγα τῶν ἰδίων συγγραμμάτων προτάττουσιν. Ἰάκωβος γάρ, « Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος· » καὶ « Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, » καθάπερ οἱ ἐκ τῶν περὶ αὐτοὺς ἀξιωμάτων ἐν ταῖς βιωτικαῖς συγγραφαῖς χρηματίζειν ἐθέλοντες.

VERS. 2. Omnes sancti gloriantur de servitute Dei velut de dignitate quadam. Ita Jonas interrogatus unde esset : « Servus Dei ego sum, » inquit « et Deum cœli ego colo [62]. » Itidem testantur apostoli de Salvatore, egregie eum operibus et sermonibus confitentes, « Vos vocatis me magistrum et Dominum, et bene dicitis, sum etenim [63]. » Hæc ipsi C referunt in scriptis suis velut laudem. Nam Jacobus, « Dei et Domini nostri Jesu Christi servus [64] ; » et Paulus, « servus Jesu Christi [65], » non aliter se gerunt ac qui in scriptis de vita sua omnes dignitates honoresque memorant quibus illustrari possunt.

Στ. ε'. Οὐ κυρίως δὲ τὴν ἐπιείκειαν εἶπεν ἐπὶ Θεοῦ, ἀνθρωπίνην τυγχάνουσαν ἀρετήν, ἀλλ' ὡς τὸ χαίρειν καὶ εὐφραίνεσθαι καὶ μνημονεύειν.

VERS. 5. Deus non absolute mitis, hoc enim humanus affectus, sed mitis eadem ratione dicitur, ac lætari, et gaudere, et recordari.

Στ. η'. Θεοὺς πάλιν λέγει τοὺς ἁγίους, οὐ τοὺς δαίμονας ἢ τὰ ἀγάλματα· μόνος γὰρ ὁ Κύριος ὡσαύτως ἐστὶ Θεὸς τῷ Πατρί. Πᾶς δὲ ἅγιος μετουσίᾳ τῇ τούτου, θεὸς τὸν Θεὸν Λόγον δεξάμενος, κατὰ τὸ, « Ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο. » Γεγένηνται μὲν γὰρ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν, οὐδεὶς δὲ κατ' οὐσίαν θεός, ὁμοιωθησομένων, ἀλλ' οὐκ ὄντων ὁμοίων τῷ Κυρίῳ αὐτῶν· « Ἔσεσθε γὰρ ἅγιοι, διότι ἐγὼ ἅγιός εἰμι. » Αὐτοῦ μὲν ὄντος ἁγίου, αὐτῶν δὲ ἐσομένων. Περὶ ὧν ἀληθὲς εἰπεῖν· « Τίς ἅγιός ἐστιν ὡς σύ, Κύριε; Σοὶ » γὰρ, ἔφη, « τίς ὁμοιωθήσεται ἐν θεοῖς, Κύριε; ἀλλὰ τίς ὅμοιός σοι (30); » Ὅμοιοι γὰρ αὐτῷ ἔσονται κατὰ τὸ ῥηθὲν, « Ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθὼς ἔστιν. » Οὐδεὶς οὖν ὅμοιος τῷ Κυρίῳ τῶν προκειμένων θεῶν, ἀλλ' οὐδὲ κατὰ τὰ ἔργα αὐ-

D Etenim ad similitudinem et imaginem Dei facti sunt, nullus autem suapte natura deus : similes Dei non sunt, sed facti sunt. Nam « sancti eritis, quia sanctus ego sum [67]. » Ipse est sanctus, illi sancti erunt. De quibus cum veritate dicitur : « Quis sanctus est sicut tu, Domine [68] ? tibi enim, » inquit, « [69] quis similis in diis, Domine ? quis similis tibi ? » Nam similes Dei erunt, uti scriptum est : « Similes ei erimus, quoniam videbimus eum sicuti est [70]. » Non est igitur nunc in diis qui Dei similis sit, sed nec secundum opera ejus. Ideo legimus

[59] II Cor. IV, 6. [60] I Cor. VI, 20. [61] Psal. LVI, 4. [62] Jon. I, 9. [63] Joan. XIII, 13. [64] Jac. I, 1. [65] Rom. I, 1. [66] Joan. X, 35. [67] Lev. II, 45. [68] I Reg. II, 2. [69] Exod. XV, 11. [70] I Joan. III, 2.

(29) An expungenda particula μή, reddendumque, *in quorum corde gloriam habitare facit ?* EDIT.

(30) Forte legendum et distinguendum : Οὐ γὰρ ἔφη, *Τίς ὁμοιωθήσεταί σοι ἐν θεοῖς, Κύριε; ἀλλὰ,* Τίς ὅμοιός σοι; ID.

Digitized by Google

in Evangelio : « Si opera non fecissem in eis quæ nemo alius fecit, peccatum non haberent [71]. » Etiamsi eadem opera faciunt, ea saltem non eodem modo : illi enim votis et fide, ipse autem auctoritate et virtute sua. Sed sufficiunt quæ hac de re principio psalmi octogesimi secundi diximus.

τοῦ. Διό φησιν ἐν Εὐαγγελίοις· « Εἰ μὴ τὰ ἔργα ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον. » Ἂν τὰ αὐτὰ μὲν γὰρ ἔσθ' ὅτε δρῶσι κατὰ τὸ ὑποκείμενον, ὁ δὲ τρόπος διάφορος. Οἱ μὲν γὰρ εὐχῇ καὶ πίστει, ὁ δὲ μετ' ἐξουσίας ἐποίει. Ἱκανὰ δὲ περὶ τούτων εἴρηται καὶ ἐν ἀρχῇ τοῦ πβ' ψαλμοῦ (31).

Vers. 11. Qui bona selegerit, quorum fruitione lætetur. Ita et timere nomen Domini, ut eo cum lætitia fruatur.

Στ. ια'. Ὁ τὰ ἀγαθὰ αἱρούμενος, δι' αὐτὰ τῇ τούτων ἐνευφραίνεται κτήσει· ὁποῖον καὶ τὸ φοβεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ, διὸ μετ' εὐφροσύνης αὐτοῦ τυχεῖν.

PSALMUS LXXXVI.

Vers. 6. In ea inscribuntur non principes modo, sed et populi : scriptura hæc non aliud præter Ecclesiam primogenitorum in cœlo descriptorum. Quorum inscriptio non syllabis fit aut nominibus, sed signis qualitatem animæ significantibus ; nec potest eorum scripturam narrare nisi qui solus inscriptionem videt. E contra « Qui receperunt in terra scribentur, » ait Jeremias [72]. Decet eos in terrenis manere qui terrena sapiunt ; eos autem qui imaginem Dei cœlestis colunt, in cœlo conversationem habere, libro Dei inscriptos.

Στ. ς'. Ἐν ᾗ ἐγγράφονται οὐ μόνον ἄρχοντες, ἀλλὰ καὶ λαοί· ἥτις ἐστὶν Ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ. Ὧν ἀναγραφὴ οὐ συλλαβῶν τε καὶ ὀνομάτων, ἀλλὰ τῶν ψυχῆς δηλούντων ποιότητα. Ἣν ὁ μόνος ὁρῶν, μόνος δύναται καὶ τὴν γραφὴν αὐτῶν διηγήσασθαι. Ἐκ δὲ τοῦ ἐναντίου, φησὶν Ἱερεμίας, « Ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήσονται. » Δῆλον ὡς τινί τινα (32) τοῦ χοϊκοῦ περικείμενοι φρονοῦντες ἐπίγεια, ὥσπερ ἐκεῖνοι τὴν εἰκόνα τοῦ ἐπ' οὐρανοῦ φρονοῦντες ἔχουσιν ἐν οὐρανῷ τὸ πολίτευμα ἐνταγέντες βίβλῳ Θεοῦ.

PSALMUS LXXXVII.

Vers. 1. « Pro maeleth, » hoc est pro saltatione chori filiorum Core, ut sapienter respondeat qui timet Deum et ideo verus Israelita est. Æman enim interpretatur *timor eorum*, et Æman erit quicunque Deum timuerit. Canticum psalmi recitantes oportet, ut cum intellectu respondeant, et cum intellectu audiendo saltationem solemnem dirigant.

Στ. α'. « Ὑπὲρ μαελὲθ, » τουτέστιν ὑπὲρ χοροῦ χορείας τῶν υἱῶν Κορὲ, ὑπὲρ συνετῶς ἀποκρίνασθαι τῷ τὸν Θεὸν φοβουμένῳ, καὶ διὰ τοῦτο τυγχάνοντι ἀληθῶς Ἰσραηλίτῃ. Αἱμὰν γὰρ ἑρμηνεύεται *φόβος αὐτῶν*, ὡς πάντα τὸν ἔχοντα τὸν θεῖον φόβον, Αἱμὰν εἶναι. Ὧ προσήκει σύνεσιν ἀποκρίνασθαι, σύνεσιν ἔχοντι πρὸς ἀκρόασιν μετὰ χορείας θείας, τοῦ ψαλμοῦ τὴν ᾠδὴν ἀπαγγέλλοντος.

Vers. 2. In die quidem negotiorum mole oppressus, oro ut bona tua mecum communices. In nocte autem et in tristitia, ut, fugata nocte, spiritus meus ad te oriri possit. Simplicius etiam loqueretur juxta illa Salvatoris : « Pater meus faciet vindictam filiorum suorum clamantium ad se die ac nocte [73]. » Qui enim die ac nocte legem Domini meditatur, hoc ipso ad Deum salutis clamat die ac nocte, ut Deus salutem ipsi aut largiatur aut servet. Multa cum fiducia adjicit : « Intret in conspectu tuo oratio mea, » certus se ea petere quæ ipsi utilia, et per se vere bona, et quæ Deus libenter concedet ; orat etiam ut aurem suam ad precem benignius inclinet. « Nam clamavi ad te, » inquit.

Στ. β'. Ἐν ἡμέρᾳ μὲν οὖν καὶ πραγμάτων εὐφορίᾳ παραμεῖναί μοι τὴν τῶν ἀγαθῶν μετουσίαν αἰτῶ. Ἐν νυκτὶ δὲ καὶ δυσκολίᾳ, ὅπως τέλος λαβούσης τῆς νυκτὸς, τὸ πνεῦμά μου πρὸς σὲ ὀρθρίσαι δυνήσεται. Καὶ ἁπλούστερον δὲ λέγοιτο κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Σωτῆρος· « Ὁ Πατήρ μου ποιήσει τὴν ἐκδίκησιν τῶν τέκνων αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός. » Ὁ γὰρ τὸν νόμον Κυρίου μελετῶν ἡμέρας καὶ νυκτὸς, αὐτῷ τούτῳ κέκραγε πρὸς τὸν Θεὸν τῆς σωτηρίας αὐτοῦ ἡμέρας καὶ νυκτὸς, ἢ σωτηρίαν αἰτῶν, ἢ φυλαχθῆναι παροῦσαν. Πολλῆς δὲ παῤῥησίας, τὸ, « Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, » ὡς ἂν τὰ ὄντως ἀγαθὰ βουλομένου, ἃ καὶ αὐτῷ συμφέρει, καὶ Θεῷ φίλον διδόναι, καὶ κλίνειν πρὸς τὸν αἰτοῦντα συγκαταβάσει τὸ οὖς. « Κέκραγα δὲ πρὸς σὲ, » ἔφη.

Vers. 6. Uti mortui, inquit, jam non amplius ullum humanum auxilium sperant, ita ego quoque a sperande quovis bono liberatus sum, hoc est : jam ne minima mihi restat spes. — Non enim de manu tua expulsus sum ; et me « nemo de ea poterit rapere, » testante ipso Salvatore; quandiu enim

Στ. ς'. Ὡς γὰρ οἱ νεκροὶ, φησὶν, ἐλπίζουσιν οὐκέτι βοήθειαν ἀνθρωπίνην οὐδεμίαν, οὕτως κἀγὼ τοῦ προσδοκᾶν τι χρηστὸν ἠλευθέρωμαι, τουτέστιν, ἀνέλπιστά μοι πανταχόθεν ἐστίν. — Οὐ γὰρ ἐκ τῆς σῆς ἀπώσθην χειρός· τὸν ὑπὸ ταύτης γὰρ φρουρούμενον « οὐδεὶς ἁρπάσαι δυνήσεται, » καθά φησιν αὐτὸς ὁ

[71] Joan. xv, 24. [72] Jerem. xvii, 13. [73] Luc. xviii, 7.

(31) Utique ad Psal. lxxxii, v. 19. Cæteroqui initium commentarii ad dictum psalmum non est inventum in Catena nostra.

(32) Δῆλον ὡς τινί τινα. Locus non videtur sanus. Quid si legatur τινές loco τινί? Mox suspicor legendum εἰκόνα τοῦ ἐπουρανίου φοροῦντες. Edit.

Digitized by Google

Σωτήρ. Ὅσον γάρ τις περιέχεται τοῦ Θεοῦ, ἀήττητος τοῖς ἁρπάζειν ἐθέλουσιν· ἧς ἀπωθεῖταί τις ἁμαρτάνων, οὐκέτι ταύτης ἀξιῶν.

Στ. ζ'. Ὡς ἂν ἐκεῖθεν αὐτοὺς εἰς τὸν παράδεισον ἀνιμήσωμαι τοῦ Θεοῦ· εἰ δὲ καὶ δι' αὐτοὺς ἐν θανάτῳ γεγένημαι, ἀλλ' οὐκ ἐν αὐτῷ τῷ κυρίως θανάτῳ, ἀλλ' ἐν τῇ τούτου σκιᾷ· ἔφθασα γὰρ τριήμερος ἀναστάς. Ἀλλὰ καὶ ἐν σκοτεινοῖς ὑπ' αὐτῶν τεθειμένος κατηύγασα αὐτοὺς ὡς μηκέτι τούτους ἐν σκότει διάγειν, ἀλλ' ἐν ἐμοὶ τῷ φωτί.

Στ. ιε'. Ἁρμόττει τῇ Ἰησοῦ παῤῥησίᾳ τὸ, « Ἵνα τί ἀπωθεῖς; » Οὐ γάρ ἐστιν αἴτιον δι' ὃ τὴν ἐμὴν ἀπωθεῖς προσευχὴν ἡμαρτηκότος οὐδέν. Δεξάμενος οὖν αὐτήν, τοὺς ὑπὲρ ὧν πρεσβεύομαι σῶσον, τὸ πρόσωπον αὐτοῖς ἐπιλάμπων τὸ σόν.

Στ. ιζ'. Ἀνέλαβε γὰρ τὰς ὑπὲρ ἡμῶν ἡμαρτηκότων ὀργάς. Οἱ δὲ τοῦ Πατρὸς φοβερισμοὶ μόνον αὐτὸν ἐξετάραξαν, οὐδὲν ἐνεργῆσαι κατ' αὐτοῦ δυνηθέντες μὴ ποιήσαντος ἁμαρτίαν. Ὀργαὶ δὲ καὶ φοβερισμοὶ Θεοῦ, δυνάμεις ὑπηρετούμεναι ταῖς τιμωρίαις, ὀργῆς λεγομέναις σκεύη. Δι' ἃς ἔλεγεν ὁ Σωτήρ, « Νῦν ἡ ψυχή μου τετάρακται. » Τελειοτάτην μὲν γὰρ ἔσχεν ψυχήν. Ἀλλ' ἐν πλήθει τοσούτων ἐχθρῶν πρωσπάθειαν ἔσχεν, μάλιστα περιπνιγόντων αὐτὴν πανταχόθεν ὡς ὕδωρ, ἀλλὰ τὸν μὴ ἐπιστάμενον νήχεσθαι. Αὐτὸς δὲ τούτοις ἄριστα διενήχετο. « Ὕδωρ γὰρ πολὺ οὐ σβέσει ἀγάπην. » Ἡ γὰρ τελεία καὶ πρὸς Θεὸν τεθεῖσα δι' ἀγάπης, ἕξις ἄσβεστός ἐστιν, ἥτις ἐνυπάρχει τῷ Ἰησοῦ κατὰ τὸ ἀνθρώπινον.

Deo adhærebo, omnes superabo quicunque me rapere vellent. At de manu Dei expellitur peccator, jam non ea dignus.

VERS. 7. Ut eos exinde ad paradisum Dei efferam; morte quidem me affecerunt, nec tamen vera morte, sed umbra mortis; nam tertio die resurgens e sepulcro. In tenebris ab ipsis positus adhortatus sum eos, ut deinceps jam non in tenebris vitam agant, sed in me, qui sum lumen.

VERS. 15. Decet Jesum liber ille sermo: « Ut quid repellis? » Non est enim causa, cur orationem meam repellas, cum ipse non peccaverim. Suscipe igitur eam, et eos salva pro quibus precor faciem tuam eis illuminans.

VERS. 17. Iras enim subiit quas ipsi nos peccatis nostris concitaveramus. Terrores autem Patris eum turbabant modo, nec erat qua ratione innocuum pœnis affligerent. Iræ vero et terrores Domini, nil aliud præter vindices virtutes, quæ vasa iræ vocantur [74]. Qua de causa dixit etiam Salvator: « Nunc anima mea turbata est [75]. » Perfectissimam quidem habebat animam; sed multitudine tot ac tantorum inimicorum mota est, præsertim cum nandi nescius se velut aqua undique circumdatum cerneret. Ipse tamen hæc quam optime effugit. « Nam aqua vel permulta non exstinguet charitatem; » anima igitur perfecta et cum Deo per charitatem conjuncta quæ Jesu homini inerat, ideo erat omnino inexstinguibilis.

PSALMUS LXXXVIII.

Στ. β'. Ἀλλὰ καὶ πολλάκις εἰρήκαμεν ὡς ἔνθα δι τῶς « ἡ γενεὰ » φέρεται, σημαίνει τὸν ἐκ περιτομῆς λαὸν, καὶ τὸν ἐθνικόν. Εἶτα λέγει τὴν αἰτίαν δι' ἣν ᾄδει τὰ ἐλέη Κυρίου· ὅσον γὰρ ἐνέστηκεν ὁ παρὼν αἰὼν, προδήλως εὐεργετεῖ, πολλῶν εὐεργετουμένων ἐλέῳ Θεοῦ, ὡς εἴ τις ἐκ πολλῶν λίθων οἰκοδομὴ γινομένη· τάχα δὲ ἔλεος οἰκοδομεῖται, τῆς Σοφίας οἰκοδομούσης ἑαυτῇ οἶκον. Ἡ γὰρ ἐνανθρώπησις αὐτῆς, θεμέλιος καὶ πέρας τῆς οἰκοδομίας τοῦ ἐλέου ἐστὶν, πάντων ἀφαιρέσει τῆς προσλαμβανούσης ἁμαρτίας ἐλεουμένων. Ἑτοιμάζεται δὲ ἐν οὐρανοῖς ἡ ἀλήθεια τοῖς ἀπεντεῦθεν προπαρασκευασαμένοις, ὡς οἴονται, προσβαλεῖν αὐτῇ δι' ἐσόπτρου καὶ δι' αἰνίγματος, δι' ὧν οἱ ἐπὶ γῆς αὐτὴν φανταζόμεθα· τὸ γὰρ πρόσωπον(33) αὐτῆς κάλλος ἐκεῖ, καὶ τῆς ἀληθείας τὸ τέλος κατηργημένης τῆς μερικῆς διαλήψεως. Ἑτοιμάζεται δὲ τοῖς ἔχουσιν ἐν οὐρανοῖς τὸ πολίτευμα τῷ φέρειν τὴν εἰκόνα τοῦ ἐπουρανίου, δι' ἣν καὶ χρηματίζουσιν οὐρανοί.

VERS. 2. Jam sæpius adnotavimus vocem « generationem » bis occurrere ad declarandum populum de circumcisione et gentes. Deinde indicat cur misericordias Domini cantet. Quandiu enim durabit præsens hæc ætas, manifeste multos beneficiis suis ornabit Dei misericordia. Uti ædificium ex multis lapidibus, ita forte ædificabitur misericordia, cum sibi Sapientia ædificabit domum [76]. Sapientiæ enim incarnatio, fundamentum et finis misericordiæ; cum omnes a peccatis suis tunc liberati sint misericordiam adepti. Præparatur autem in cœlis veritas eis qui his in terris ad eam adipiscendam præparantur, ut putant, per speculum et ænigma, per quæ hic eam assequimur. Ipsius enim facies pulchritudo ibi, et perfectio veritatis, cum evacuata fuerit imperfecta visio. Præparatur quoque iis qui in cœlis conversationem habent, eo quod cœlestis imaginem referant, quare etiam cœlum nuncupantur.

Στ. γ'. Διὸ μηδὲ πέρας ἔξειν αὐτοῦ τὴν βασιλείαν φησίν. Ἀλλ' οὐ κατὰ προσωποληψίαν ὤμοσε τῷ Δαυΐδ, ἀλλὰ δούλῳ ὄντι Θεοῦ. Καὶ σημεῖον αὐτοῦ τῷ οἴκῳ παρέσχετο, Παρθένον τε τεκεῖν τὸν μεθ' ἡμῶν τῶν ἀνθρώπων Θεόν· τοῦτο γὰρ τὸ *Ἐμμανουήλ*,

VERS. 3. Hic nullis finibus circumscribi ait regnum ejus. Non acceptione personarum facta juravit David, sed quod servus Dei est. Et signum domui ejus dedit, e Virgine pariendum qui nobiscum hominibus Deus; hoc enim *Emmanuel*, qui est præ-

[74] Rom. IX, 22. [75] Joan. XII, 27. [76] Prov. IX, 1.

(33) Forte legendum προσώπου, et articulus τό ad κάλλος referendus. EDIT.

Digitized by Google

paratum semen David. Juravisse ea dicitur Deus quæ certe largitur, quia apud homines sermo jurejurando firmatur. Immutabilis cum autem Deus, jusjurandum ejus immutabilitatem consilii indicat. Hoc non ipsum David innui (qua enim ratione homo morti obnoxius talia audiret?), sed Christum, Davidis sobolem, æterna vita et æterno regno instructum est manifestum.

VERS. 7. Nullus eorum qui adoptantur, et ita filii Dei fiunt, similis erit vero Dei Filio. Quid ille qui particeps est cum eo qui nulla ratione particeps? Qua de causa Paulus, cum dicit : « Gratia vobis et pax a Deo Patre nostro [77], » præcavens ne quis putet se cum Filio unigenito æquari, adjecit : « Et a Domino nostro Jesu Christo. » Nam licet gratia Pater noster factus sit, ipsi tamen natura Filius est Dominus cui omnes inserviunt. Quare et nunc, « Quis similis Domino, » ait? Nulla enim juxta substantiam similitudo, sed juxta qualitatem : nam ipse Filius Patri consubstantialis. Nam secundum qualitatem misericordes etiam simus, « sicut Pater cœlestis misericors est [78]. » Ipse quoque perfectus Pater, « Sancti eritis, inquit [79], quia ego sanctus sum. » — Hic Dominus veniet cum virtute et gloria multa, et sancti « rapientur in nubibus obviam Domino in aere, » ut « semper cum Domino sint [80]. » Quando igitur Dominus et sancti in nubibus erunt, nec tunc ullus eorum qui in nubibus rapientur, similis ei qui veniet « super nubes cœli cum virtute multa et gloria [81]. » Etiamsi quisque cum virtute et gloria raptus fuerit, at non cum « multa ; » nam eam virtutem et eam gloriam habebit quam receperit; Salvator autem cum « multa » quam præstat. Illi quoque « in nubibus, » ipse vero « super nubes, » quod summam ac regiam potestatem notat. Præterea sanctorum quilibet nubes spiritualis spiritualem rorem stillans (nam nubes rorent justitiam, ait [82]). At nemo eorum similis Domino, qui et ipse nubes. Unaquæque enim illarum paucos vix rigat, hæc autem non omnes tantum homines, sed omnia etiam ratione prædita animalia.

VERS. 8. Terribilis cum inimicos pœnis affliget. Nam si ad eum propius accedunt qui divina disciplina instruuntur, peccando ad ignem feruntur. Qua de causa Salvator : Qui prope me, prope ignem; qui autem longe a me, longe a regno. Nunc igitur dicit eis qui in circuitu mandata ejus negligunt, « magnus et terribilis » vere eis qui ipsi propter virtutem adversantur.

VERS. 10. Deum mari quoque dominari ut cæteris creaturis, testatur Jonas dicens : « Suscitavit

ὅπερ ἐστὶ τὸ ἑτοιμαζόμενον σπέρμα τοῦ Δαυΐδ. Ἐφ οἷς δὲ βεβαίως χαρίζεται Θεὸς, ὀμνύναι λέγεται, διὰ τὸ παρ' ἀνθρώποις ὅρκῳ πιστοῦσθαι τὸν λόγον. Ἀτρέπτου τοίνυν ὄντος Θεοῦ, ὅρκος αὐτοῦ τὸ ἀμετάτρεπτον τῆς βουλῆς. Τοῦτο δῆλον, ὅτι οὐκ εἰς αὐτὸν τὸν Δαυΐδ νοεῖται (πῶς γὰρ τόν γε ἀποθανόντα ;), ἀλλ' εἰς τὸν Χριστὸν τὸν ἐξ αὐτοῦ καταγόμενον, τὸν διηνεκῶς ζῶντα καὶ βασιλεύοντα.

Στ. ζ'. Ἀλλ' οὐδὲ τῶν τὴν υἱοθεσίαν δεξαμένων, καὶ κατὰ τοῦτο γεγεννημένων ἐκ Θεοῦ, τῷ ἀληθεινῷ (34) τις γεννήματι ὁμοιωθήσεται. Πῶς γὰρ ὁ μετέχων τῷ ἀμεθέκτῳ; Τοιγαροῦν ὁ Παῦλος εἰπὼν, « Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, » εὐλαβηθεὶς μὴ δόξῃ τισὶν ἰσοτιμίαν ἑαυτῷ νέμειν πρὸς τὸν Υἱὸν τὸν μονογενῆ, προσέθηκε, « Καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. » Εἰ γὰρ καὶ χάριτι γέγονεν ἡμῶν Πατὴρ, ἀλλ' ἔστιν ὁ κατὰ φύσιν Υἱὸς, οὗ καὶ δοῦλοι πάντες Κυρίου τυγχάνοντος. Διὸ καὶ νῦν, « Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ, » φησίν; Οὐδεμία γὰρ κατ' οὐσίαν ὁμοίωσις, ἀλλὰ κατὰ ποιότητα· αὐτὸς γὰρ ὁμοούσιός ἐστιν Υἱὸς τῷ Πατρί. Κατὰ ποιότητα γὰρ καὶ οἰκτίρμονες γινόμεθα, « ὡς ὁ Πατὴρ ὁ οὐράνιος οἰκτίρμων ἐστί. » Καὶ τέλειος ὁ Πατήρ· « Ἅγιοι γὰρ ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. » — Οὗτος δὴ ὁ Κύριος ἔρχεται μετὰ δυνάμεως καὶ δόξης πολλῆς, καὶ οἱ ἅγιοι « ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα ἐπὶ τῷ πάντοτε σὺν Κυρίῳ εἶναι. » Τοῦ τοίνυν νῦν Κυρίου καὶ τῶν ἁγίων ἐν νεφέλαις ὄντων, οὐδεὶς τῶν ἁρπαγέντων ἐν νεφέλαις ἰσωθήσεται τῷ ἐρχομένῳ « ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. » Εἰ γὰρ καὶ ἕκαστος μετὰ δυνάμεως καὶ δόξης ἡρπάγη, ἀλλ' οὐ « πολλῆς· » ἐκείνην γὰρ τὴν δύναμιν καὶ τὴν δόξαν εἶχεν ἣν ἔλαβεν· ὁ δὲ Σωτὴρ « μετὰ πολλῆς » ἧς παρέχει. Καὶ οἱ μὲν « ἐν νεφέλῃ, » ὁ δὲ « ἐπὶ τῶν νεφελῶν, » ὅπερ αὐθεντικὸν καὶ βασιλικόν. Ἔτι μὴν ἑκάστου τῶν ἁγίων νεφέλης ὄντος πνευματικῆς οὐσης (35) τὸν νοητὸν ὑετόν (αἱ νεφέλαι γὰρ, φησὶ, ῥανάτωσαν δικαιοσύνην). Οὐδεὶς ἰσωθήσεται τῷ Κυρίῳ, καὶ αὐτῷ νεφέλῃ τυγχάνοντι. Ἑκάστη γὰρ ἐκείνων ὀλίγους ποτίζει, αὕτη δὲ οὐ πάντας ἀνθρώπους μόνον, ἀλλὰ καὶ πάντα τὰ λογικά.

Στ. η'. Καὶ τοῖς ἐναντίοις δὲ κολάσεις ἐπιφέρων, ἔστι φοβερός. Πελάζων γάρ τις αὐτῷ διὰ τοῦ τὴν θείαν δέδεκται (36) διδασκαλίαν, τῷ ἁμαρτάνειν ἐγγὺς γίνεται τοῦ πυρός. Διό φησιν ὁ Σωτήρ· Ὁ ἐγγύς μου, ἐγγὺς τοῦ πυρός· ὁ δὲ μακρὰν ἀπ' ἐμοῦ, μακρὰν ἀπὸ τῆς βασιλείας (37). Καὶ νῦν οὖν, φησὶ τοῖς περικύκλῳ τῶν ἐντολῶν αὐτοῦ παρακούουσι, « φοβερὸς μέγας ὄντως » τοῖς δι' ἀρετὴν ἀντεχομένοις αὐτοῦ.

Στ. ι'. Τοῦ δεσπόζειν σὺν τῇ λοιπῇ κτίσει καὶ τῆς θαλάττης, πίστις τὸ λέγεσθαι ἐν Ἰωνᾷ· « Ἐξήγειρε

[77] Rom. I, 7. [78] Luc. VI, 36. [79] Levit. XI, 45. [80] I Thess. IV, 16. [81] Marc. XIII, 26. [82] Isa. XLV, 8.

(34) Ἀληθεινῷ. Forma Alexandrina pro ἀληθινῷ EDIT.

(35) Οὔσης. Valde suspicor Didymum scripsisse ὑούσης. ID.

(36) Forte δεδέχθαι. ID.

(37) Hæc recitari videntur a Didymo ex aliquo, præter quatuor, Evangelio, puto, *secundum Ægyptios*. Id etiam alibi suspicatus sum.

Digitized by Google

Κύριος κλύδωνα ἐν τῇ θαλάσσῃ· » καὶ πάλιν· « Θελήσει αὐτοῦ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. » Ταύτῃ δὲ καὶ Ἰησοῦς ἐπετίμησεν, δεικνὺς ὡς ἔστιν Υἱὸς τοῦ « Δεσπότου τοῦ κράτους αὐτῆς. » Εἰ δὲ τὸν τῶν ἀνθρώπων βίον ἡ θάλασσα δηλοῖ, κράτος αὐτῆς ὁ Πονηρὸς, ἐν ᾧ ὁ κόσμος ὅλος κεῖται, τουτέστιν ἡ θνητὴ καὶ ἐπίκαιρος πολιτεία. Ὃν ἐκνευρίσας ὁ Κύριος, δέδωκε τοῖς μαθηταῖς αὐτοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ, καταπραΰνων τὰς ἀστάτους ὁρμὰς, κύματα καλουμένας αὐτῆς. Ὡς ἂν καὶ βάσιμος τοῖς ἐπιβαίνουσι γένηται· ὧν ὁ Πέτρος εἰκών. Οὐδεὶς γὰρ χωρὶς Ἰησοῦ πατεῖν δύναται τοῦ βίου τὴν θάλατταν, τὰς τούτου νικῶν ἡδυπαθείας τε καὶ μερίμνας, ἀλλ' οὐ συμβαδίζοντος. Αὐτὸς γάρ ἐστιν ὁ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης, πρὸς ὃν εἴρηται· « Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς. » Τρίψαντος ἐν τῷ βίῳ τά τε πάθη καὶ τὰς μερίμνας, ὧν ἐπιβαίνειν ἔνεστι τοῖς ἴχνεσιν ἐπακολουθοῦντας αὐτοῦ.

Στ. ιβ'. Ἀνάγοις δ' ἂν οὕτως· Οἱ ἑρμηνευόμενοι οὐρανοὶ ἐξομολογούμενοι τὰ θαυμάσια αὐτοῦ, καὶ ἡ τὸν Ἰησοῦ δεχομένη σπόρον καὶ καρποφοροῦσα εἰς ρ', καὶ ξ', καὶ λ', « γῆ αὐτοῦ » τυγχάνουσα. Κτῆμα δὲ αὐτοῦ καὶ ἣν ἐθεμελίωσεν ἅμα τῷ πληρώματι αὐτῆς οἰκουμένη δηλοῦσα τὴν Ἐκκλησίαν. Ἐν ταύτῃ γὰρ οἰκοῦσι ψυχαὶ, τὸν ἀληθῆ προσηκάμεναι λόγον, καὶ δυνάμεις ἱεραὶ παρεμβαλοῦσαι κύκλῳ τῶν φοβουμένων αὐτόν. Ἐν ᾗ « Θεμέλιον, φησὶ Παῦλος, οὐδεὶς ἄλλον δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. » Ἐφ' ᾧ τὸ πλήρωμα τῶν ἀρετῶν καὶ δογμάτων εὐσεβῶν, καὶ τῶν τοῦ θείου Πνεύματος δωρεῶν. Ἔκτισε δὲ τὸν βορρᾶν ὁ Κύριος καὶ τὰς θαλάσσας ἐπὶ τῷ μηκέτι εἶναι ὃ πρότερον ἦσαν· ὡς ὁ κτίσας τοὺς β' εἰς ἕνα καινὸν ἄνθρωπον, ἐκ δύο τούτους ἕνα πεποίηκεν. Καὶ κτιζομένη δὲ καρδία καθαρὰ, ἐξ οὗ καθαρᾶς γεγένηται καθαρά· κτίζει δὲ καὶ τοὺς ἐκτὸς τῆς πίστεως, ἵν' ἐν Χριστῷ καινὴ γένωνται κτίσις.

Στ. ιγ'. Ἔστι δὲ τὸ μὲν Θαβὼρ, *ἐκλεκτὸς*, τὸ δὲ Ἑρμωνιείμ, *φωτὸς μετεωρισμός*. Ὁ γὰρ τυγχάνων ἐκλογῆς θείας, καὶ ὑπὸ φωτὸς μετεωριζόμενος, ὅπερ ἐφώτισεν ἑαυτῷ φῶς γνώσεως, ἀγαλλιᾶται τῷ ὀνόματι τοῦ Θεοῦ. Ἑρμηνεύεται δὲ τὸ Θαβὼρ καὶ *λάκκος*. Δίδωσι γὰρ Θεός τισιν ἐλουγίας τρόπῳ λάκκου (38) λελατομημένους, οὓς οὐκ ἐξελατόμησαν οἱ λαβόντες. Κἂν ἐπὶ ψόγου δὲ τίθεται, μεταξαλὼν ὁ οὕτως ὠνομασμένος, ὡς χρηματίσαι φρέαρ ἢ πηγὴ, ἀγαλλιάσεται ἐπὶ τῷ ὀνόματι Κυρίου.

Στ. ιδ'. Χρηματίζει ὁ Μονογενὴς καὶ « βραχίων » ἐν τῷ· « Καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; » καὶ ἐν τῷ· « Ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδειμεν. » Καὶ χεὶρ ἐν τῷ· « Ἡ χεὶρ σου ἡ ὑψηλὴ ἐποίησε ταῦτα πάντα· » καὶ δεξιὰ ἐν τῷ· « Δεξιὰ Κυρίου

A Dominus tempestatem in mari [83]; » et rursus : « Voluntate ejus stetit mare a commotione sua [84]. » Cui et Jesus imperavit, ostendens se esse Filium « Dominantis potestati maris. » Quod si autem hominum vitam mare designat, potestas ejus non aliud præter diabolum, cui inservit omnis mundus, hoc est mortalis et fugax dominatio. Quem conterens Dominus dedit discipulis suis potestatem calcandi supra serpentes et scorpiones et super omnem virtutem ejus [85], refrenans cæcos ejus impetus, qui fluctus maris dicuntur. Qua de causa accedentibus facilis patet transitus : quorum imago Petrus. Non alius enim vi sua potest præter Jesum vitæ mare calcare, voluptates et curas ejus superans; sed potest quivis comitante Jesu. Ipse enim

B super mare haud secus ac super pavimentum incedit, ad quem dictum est : « In mari via tua, et semitæ tuæ in aquis multis [86]. » Ipse in vita sua passiones et curas omnes superavit, ab iis etiam superandas qui iisdem vestigiis insteterint.

Vers. 12. Hoece modo ista explicabis : Cœli qui mirabilia ejus confitentur, et terra quæ semen Jesu accipiet et fructus feret alia centum, alia sexaginta, alia triginta [87], hæc « tua terra. » Domini est quoque orbis terrarum quem fundavit simul cum plenitudine sua, Ecclesiam exhibens, in qua habitant animæ veram doctrinam consecutæ, et virtutes sanctæ choro timentium eum admistæ. In qua, ait Paulus, « Fundamentum aliud nemo potest ponere, præter id quod positum est, quod est Jesus

C Christus [88]. » Super quem plenitudo virtutum et piarum doctrinarum et donorum divini Spiritus. Creavit aquilonem et maria Dominus, ut jam non sint quod prius erant, uti etiam duo creavit, ut unum novum hominem afficiant, ex duobus eos unum fecit. Creatur cor mundum [89], quando purgatione mundatur : creat etiam eos qui extra fidem, ut in Christo nova fiant creatura.

Vers. 13. Thabor quidem *electus* est, et Hermonim, *luminis sublimitas*. Qui enim divinam electionem sortitus fuerit, et lumine illuminatur, quod eum scientiæ luce illustrat, exsultat in nomine Dei. Interpretantur etiam *lacum* Thabor. Nam Deus dat

D quibusdam paludes, lacus ad instar lapidibus constructas quas ipsi non exstruxerunt, qui eas accipiunt. Licet hæc vox ad carpendum adhibeatur, cum mutaverit vitam qui ita vocatur, ita ut puteus appelletur aut fons, exsultabit in Domino Domini.

Vers. 14. Vocatur Unigenitus « brachium » et in illo : « Brachium Domini cui revelatum est [90]; » et in illo : « Excelsum brachium tuum, et nos nesciebamus. » Dicitur et manus : « Manus tua excelsa fecit hæc omnia; » et dextera in illo [91] : « Dextera Domini

[83] Jon. I, 4. [84] ibid. 15. [85] Luc. X, 19. [86] Psal. LXXVI, 20. [87] Matth. XIII, 8. [88] 1 Cor. III, 11. [89] Psal. L, 12. [90] Isa. LIII, 1. [91] Psal. CXVII, 16.

(38) Cuique patet, Græcæ linguæ Scripturæque sacræ non imperito, hic legendum esse εὐλογίας τρόπῳ λάκκους. Cfr. Deut. VI, 11. Edit.

Digitized by Google

exaltavit me.» Ait autem, «Exaltetur manus tua» admirabilia faciens; hæc habuit igitur Petrus ad Deum: «Da servis tuis cum omni fiducia loqui verbum tuum, in eo quod manum tuam extendes ad sanitatem, et signa et prodigia fieri[92].» Exaltatur etiam dextera Domini omnes imitatores ad sublimia ferens. Præparent adventum tuum misericordia et veritas. Quis enim continget faciem tuam nisi prius misericordiam contigerit, et cum veritate fuerit conversatus? Rursus forte dices misericordia et veritate Unigenitum designari, ut in illo: «Misit Deus misericordiam suam et veritatem suam[93].» Priorem enim videtur se mentibus inserere, consociatumque sibi Patrem illis patefacere: «Nam qui recipit me, recipit Patrem[94];» et: «Veniemus, ego et Pater[95].» Nam imago cum sit invisibilis Dei, menti puræ ostendit seipsum, per semetipsum Patrem revelans. Est etiam vultus Patris, character ejus hypostaseos. Et necesse est ut prius cordibus eorum insit, qui eum in puritate videre possunt: misericordiam consequimur per mores virtutes et veritatem per piam scientiam. Moralis enim operatio misericordia indiget, et cognitio veritate ornatur. Quapropter sæpius in Scriptura hæc una proferuntur.

A ὑψωσέ με·» λέγει δὲ, «Ὑψωθήτω ἡ χείρ σου» παραδοξοποιοῦσα· φησὶ γοῦν ὁ Πέτρος πρὸς τὸν Θεόν· «Δὸς τοῖς δούλοις σου ἀφόβως μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου, ἐν τῷ ἐκτείνειν τὴν χεῖρά σου εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα.» Ὑψοῦται δὲ καὶ ἡ δεξιὰ αὐτοῦ μετεωρίζουσα πάντα τὸν μιμητήν. Προπορεύεται δέ σου τῆς παρουσίας ἔλεος καὶ ἀλήθεια. Τίς γὰρ προσβαλεῖ σου τῷ προσώπῳ μὴ προηλεημένος, καὶ ἐνωμιληκὼς τῇ ἀληθείᾳ; Λέγοις δ' ἂν πάλιν ἔλεος καὶ ἀλήθειαν τὸν Μονογενῆ, ὡς ἐν τῷ· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ.» Ὡς προεπιδημῶν ταῖς διανοίαις ἐμφανίζει τὸν συνηρμοσμένον αὐτῷ Πατέρα· «Ὁ γὰρ ἐμὲ δεχόμενος, δέχεται τὸν Πατέρα·» καὶ, «Ἐλευσόμεθα ἐγώ τε καὶ ὁ Πατήρ.» Εἰκὼν γὰρ ὑπάρχων τοῦ Θεοῦ τοῦ ἀοράτου, B τῷ καθαρῷ νῷ δείκνυσιν ἑαυτὸν, δι' ἑαυτοῦ δεικνὺς τὸν Πατέρα. Ἔστι δὲ καὶ πρόσωπον τοῦ Πατρὸς, χαρακτὴρ ὢν τῆς ὑποστάσεως αὐτοῦ. Καὶ δεῖ προεῖναι τῇ καρδίᾳ τῶν αὐτὸν ἐν καθαρότητι δυναμένων ὁρᾷν, ἔλεον μὲν δι' ἠθικῶν ἀρετῶν, ἀλήθειαν δὲ διὰ γνώσεως εὐσεβοῦς. Κατὰ μὲν γὰρ τὴν ἠθικὴν ἐνέργειαν ἐλεούμεθα, κατὰ δὲ τὴν γνῶσιν τῇ ἀληθείᾳ προσβάλλομεν. Διὸ πολλαχοῦ τῆς Γραφῆς ἀλλήλοις ταῦτα συνονομάζεται.

Vers. 16. Attende eum dicere «Qui scit,» non vero «Qui scivit.» Nam semper victoriam operetur oportet, qui semper adversus inimicos pugnat. Hoc enim eum ad conspiciendam veritatem perducit; et vultu Domini illuminabitur de inceps in æterna die, in qua cum sociis exsultabit, salutare Dei consortium adeptus. Istud enim exsultationis occasio. Exaltabitur etiam justitia tua ab illo qui factus est sapientia et sanctitas et sanctificatio[96], qui ipse excelsus et adhærentes sibi ad se trahit. Exaltamur quoque ea justitia quæ propter fidem Jesu Christi omnibus fidelibus convenit. Nam etiam si potestatem habuerint qua agere et contemplari possint, de donis gloriantur a te acceptis, juxta illud: «Qui gloriatur, in Domino glorietur[97].» Ac dicent, Ipse dedit nobis virtutem viriliter agendi. Qua de causa confiteri non dubitat: «In Deo faciemus virtutem. In beneplacito tuo exaltabitur cornu nostrum.» Nam exaltatus est in nobis Christus beneplacito Patris dicentis: «Hic est Filius meus dilectus, in quo bene complacui[98].» In ipso enim complacuit illi nos salvare. Susceptio est ejus qui pugnat pro nobis: qui est sanctus rex veri Israel, Deum videntis, Christus ipse ac Dominus. Potest etiam susceptio Domini esse, si eam ipse perficit et sanctus Israel exspectantis eam: sanctus est qui nunc sanctificatur; mente eum perspicere, præstantissimum est: «Quoniam Domini regis nostri susceptio, et Sancti Israel.»

Στ. ις'. Ὥρα δὲ ὡς «Ὁ γινώσκων» εἶπεν, ἀλλ' οὐκ «Ἔγνωκώς.» Δεῖ γὰρ ἀεὶ τὸ νικᾷν ἐνεργεῖν τὸν ἀεὶ πρὸς ἀντιπάλους ἔχοντα τὸν ἀγῶνα. Τοῦτο γὰρ αὐτὸν πρὸς τὴν τῆς ἀληθείας θεωρίαν προσάγεται· καὶ τῷ προσώπῳ τοῦ Θεοῦ φωτιζόμενος ἔσται λοιπὸν C ἐν αἰωνίῳ ἡμέρᾳ, ἐν ᾗ μετὰ τῶν ὁμοίων ἀγαλλιάσεται, τὴν σωστικὴν τοῦ Θεοῦ προσηγορίαν περικείμενος. Αὕτη γὰρ τῆς ἀγαλλιάσεως πρόφασις. Ὑψωθήσεται δὲ καὶ τῇ σῇ δικαιοσύνῃ τῷ γινομένῳ σοφίᾳ καὶ ἁγιωσύνῃ καὶ ἁγιασμός· ἥτις ἐστὶν ὑψηλὴ, καὶ διὰ μετουσίας ἕλκει πρὸς ἑαυτήν. Ὑψοῦται δέ τις καὶ τῇ διὰ πίστεως Ἰησοῦ Χριστοῦ δικαιοσύνῃ εἰς πάντας τοὺς πιστεύοντας. Εἰ γὰρ καὶ ἔχουσι δύναμιν, καθ' ἣν δυνατῶς πράττουσίν τε καὶ θεωροῦσιν, ἀλλὰ παρὰ σοῦ λαβόντες καυχῶνται, κατὰ τό· «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.» Καὶ λέγοντες· Αὐτὸς γὰρ δίδωσιν ἰσχὺν τοῦ ποιῆσαι δύναμιν. Διὸ καὶ σὺν παῤῥησίᾳ φασίν· «Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας D ἡμῶν.» Ὑψώθη γὰρ ἐν ἡμῖν ὁ Χριστὸς εὐδοκίᾳ Πατρὸς εἰπόντος· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.» Ἐν αὐτῷ γὰρ ἡμᾶς εὐδόκησε σῶσαι. Καὶ ἀντίληψις αὐτοῦ ἐστιν ὑπερμαχοῦντος ἡμῶν· ὅστις ἅγιος βασιλεὺς ὢν τοῦ ἀληθινοῦ Ἰσραὴλ, τὸν Θεὸν ὁρῶντος, ὑπάρχων αὐτὸς ὁ Χριστός τε καὶ Κύριος. Δύναται δὲ ἡ ἀντίληψις καὶ τοῦ Κυρίου εἶναι, ὡς ἐνεργουμένη ὑπ' αὐτοῦ καὶ τοῦ ἁγίου Ἰσραὴλ ὡς ὑπομένοντος αὐτήν· ὡς ἅγιον εἶναι νῦν τὸν ἁγιαζόμενον ἐν τῷ νῷ καθορᾷν αὐτὸν, ἵνα ᾖ ὑπέρβατον, ὅτι «τοῦ Κυρίου βασιλέως ἡμῶν ἡ ἀντίληψις καὶ τοῦ Ἁγίου Ἰσραήλ.»

[92] Act. IV, 29, 30. [93] Psal. LVI, 4. [94] Matth. X, 40. [95] Joan. XIV, 23. [96] I Cor. ., 30. [97] I Cor. X, 17. [98] Matth. III, 17; XVII, 5.

Digitized by Google

Στ. κ'. Ἀκούει μόνον τοῦ λαλοῦντος ὁ μὴ νοῶν. Ὁ δὲ καὶ συνιείς, ἀντιλαμβάνεται τῇ ὁράσει τοῦ νοῦ τῆς τοῦ λέγοντος προφορᾶς. Ὁ δὲ Θεὸς τοῖς τελείοις λεγομένοις υἱοῖς δείκνυσι μᾶλλον ἢ λέγει. Διὸ τὸ ἐν ὁράσει κατὰ τὸ, « Καὶ ὁ λαὸς ἑώρα τὴν φωνὴν Κυρίου, » τουτέστιν ἐνόει. Τοιαῦται τῶν προφητῶν αἱ ὁράσεις, οὐκ αἰσθητὰ βλεπόντων, ἀλλ' ὁρώντων τὰ νοητά. « Ἐπὶ δυνατὸν » δὲ τὸν ἐκ ῥίζης Ἰεσσαὶ βοήθειαν ἔθετο πάσῃ βοηθοῦσαν τῇ κτίσει, τὸν ὑψωθέντα τοῦ λαοῦ κατὰ σάρκα, καθ' ἣν καὶ ἐκλεκτός ἐστι καὶ προσεδέχθη. Καὶ γάρ « ἐστιν ἐκλελογισμένος ἀπὸ μυριάδων, » ὡς ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων. Καθ' ὃ καὶ ὕψωσεν αὐτὸν Πατὴρ χαρισάμενος αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα λεγομένῳ δούλῳ τε καὶ Δαυὶδ, οὗπερ ἦν ἐκ τοῦ σπέρματος. Δυνατὸς καὶ ἱκανὸς ὢν χειρὶ πρὸς τὸ διδάξαι τὴν λογικὴν κτίσιν δουλεῦσαι Θεῷ, εἰς ὃ καὶ ἐχρίσθη Πνεύματι ἁγίῳ ἀρχιερεύς τε καὶ βασιλεὺς κατὰ πάντων ἀποδειχθείς. Περὶ οὗ χρίσματος τό· « Ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. » Χεὶρ δὲ καὶ βραχίων δι' ὧν ἀντελάβετο καὶ κατίσχυσεν αὐτὸν, τοῦ Μονογενοῦς ἡ θεότης, μεγάλα δι' αὐτοῦ κατεργασαμένη. Καὶ κρείττων δὲ τοῦ διαβόλου γεγένηται, μὴ ποιήσας ἁμαρτίαν, μήτε δόλον ἐσχηκώς ἐν τῷ στόματι αὐτοῦ, δι' ὧν ὠφελεῖν ἐκεῖνος δοκεῖ. Οὐ μὴν οὐδὲ « κατ' ἀνομίαν τις γεννηθεὶς » κακώσει δι' ἁμαρτίας αὐτόν. Τὸ δὲ ὠφελεῖν ἐπ' ἐχθροῦ, τὸ ἐνῦσαι δηλοῖ· ὡς ἐν Εὐαγγελίοις Ἰσραὴλ καὶ Φαρισαῖοί φασι πρὸς ἀλλήλους· « Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν· ἴδε, ὁ κόσμος ὅλος ὀπίσω αὐτοῦ ἀπῆλθεν. »

Στ. λ'. Μὴ δόκει δὲ μέχρι τούτου παρατείνειν τὸν Χριστοῦ θρόνον μέχρι πληρώσεως οὐρανοῦ. « Ὁ οὐρανὸς » γὰρ, φησὶ, « καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Τῶν δὲ λόγων μὴ παρερχομένων, βασιλεύσει καὶ μετὰ πάροδον οὐρανοῦ τε καὶ γῆς. Οὐ γὰρ ἕως τοῦ παρελθεῖν εἶπεν τὸν οὐρανὸν, ἀλλ' « ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. » Καὶ μετὰ τὴν πάροδον γὰρ οὐρανὸς ἔστιν· οὐ γὰρ ἴσον τῷ φθαρῆναι, τὸ παρελθεῖν αὐτόν. Λέγοις δ' ἂν καὶ γῆς μὲν ἡμέρας τὰ λαμπρὰ τοῖς ἀνθρώποις δοκοῦντα περιμάχητα, οὐρανοῦ δὲ τὰ φωτεινὰ τῆς ἀληθείας μυστήρια, οἷς ὅμοιος ὁ θρόνος τοῦ Σωτῆρος ἀσάλευτος.

Στ. λς'. Ἐπὶ τοῖς διηνεκέσι καὶ μένουσιν ὄμνυσιν ὁ Θεός. Τῷ τοίνυν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀπαράβατον ἱερωσύνην διδοὺς, οὐ μεταμέλεται. Καὶ τῷ Ἀβραὰμ μεθ' ὅρκων ἐπαγγέλλεται ἐν τῷ σπέρματι αὐτοῦ ἐνευλογηθήσεσθαι πάντα τὰ ἔθνη τῆς γῆς. Πρόσκαιρον δέ τι διδοὺς, οὐκ ὄμνυσιν ἐπ' αὐτῷ· καὶ μεταμέλεσθαι λέγεται, καθάπερ χρίσας εἰς βασιλέα Σαοὺλ. Διὸ καὶ τῷ Δαυὶδ ὄμνυσι περὶ τοῦ ἐκ τοῦ σπέρματος αὐτοῦ τὸν Σωτῆρα γενέσθαι Χριστὸν, συνδιαιωνίζοντος τοῦ θρόνου τῆς ἀρχῆς αὐτοῦ αὐτῷ τῆς δικαιοσύνης ἡλίῳ· καὶ ἡ σελήνη δὲ, φησὶ, τῶν ὑπὸ Χριστοῦ φωτιζομένων τὸ ἄθροισμα τὸν αἰῶνα μένει πλησιφαὴς, πληρουμένου τοῦ ἡλίου, ἐκλαμψόντων τῶν δικαίων ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πα-

A Vers. 20. Audit tantum loquentem, qui non cogitat. Qui autem quoque intelligit, mentis visione dicentis consilium perspicit. Deus eis qui perfecti filii dicuntur ostendit potius quam verbis exprimit. Ideo in visione locutus est juxta illud : « Et populus videbat vocem Domini [a], » hoc est, sentiebat. Tales prophetarum visiones, cernentium non ea quæ sensibus, sed quæ mente percipiuntur. « Super potentem, » qui ex radice Jessæ, adjutorium posuerat omnem creaturam juvans, super eum qui de populo secundum carnem exaltatus est, juxta quam etiam electus est et acceptus. Nam « electus e decem millibus, » uti habet Canticum canticorum [1]. Et exaltavit eum Pater donans nomen quod est super omne nomen, ei qui dicitur servus et David de cujus semine ortus est. Potens et terribilis manu, ut ab eo B discant Deo servire omnes creaturæ ratione præditæ, ad quod munus unctus est etiam a Spiritu sancto summus sacerdos et rex omnium communis. De qua unctione dictum est alias : « Unxit te Deus, Deus tuus, oleo exsultationis præ participibus tuis [b]. » Manus et brachium quibus eum fovet et confortat, Unigeniti divinitas, magna per eum operata. Diabolum superavit, dum nec peccaret, nec dolum haberet in ore suo, quibus ille proficere videtur. Nec poterit ei nocere per peccata « filius iniquitatis. » Ipsum autem in inimico profecisse, testantur Evangelia ; nam Pharisæi et sacerdotes inter se dicebant : « Videtis quia nihil proficimus : ecce C mundus totus post eum abiit [2]. »

Vers. 30. Noli putare Christi thronum eversum iri quando tempus cœli complebitur. Nam « cœlum et terra transibunt, » ait [3], « verba autem mea non præteribunt. » Quod si autem verba non prætereunt, certe regnabit adhuc post transitum cœli et terræ. Non dicit enim donec transeat cœlum, sed « sicut dies cœli ; » et permanebit cœlum etiam cum transierit : aliud est illud perire, aliud transire. Dicendum etiam forte terræ dies splendorem honoresque illos designare quos homines tanto studio affectant ; dies autem cœli lucida esse veritatis mysteria quibus similis thronus Salvatoris immotus.

Vers. 36. Quando perpetua et mansura promit- D tit, jurat Deus. Ita cum secundum ordinem Melchisedech æternum sacerdotium dat, non pœnitebit eum. Ita etiam Abrahamo cum jurejurando nuntiat in semine ejus benedicendas esse cunctas gentes. De fluxis autem et caducis non jurat ; sed etiam eum pœnitere dicit, uti cum regem Saul unxisset. Ideo Davidi jurat Salvatorem Christum ex semine ejus oriturum, et thronum imperii ejus cum ipso justitiæ sole perduraturum : luna, dicit, hoc est, congregatio eorum qui a Christo illuminantur, in æternum manebit plena, replente eam sole, fulgentibus justis sicut sol in regno Patris eorum. Quod autem hæc omnia sic se habeant in eo

[a] Exod. xx, 18. [1] Cant. v, 10. [b] Psal. xliv, 8. [2] Joan. xii, 19. [3] Matth. xxiv, 35.

Digitized by Google

lis testis, de quo Job : « Et ecce nunc in cœlis est testis meus, et conscius meus in excelsis[5]. »

τρὸς αὐτῶν. Περὶ δὲ τοῦ ταῦτα οὕτως ἔξειν ὁ μάρτυς ἐν οὐρανῷ, περὶ οὗ φησι Ἰώβ· « Ἰδοὺ γὰρ ἐν οὐρανοῖς ὁ μάρτυς μου καὶ ὁ συνίστωρ μου ἐν ὑψίστοις. »

VERS. 39. Dixisti, Domine, Christi semen manere in æternum, et nihilominus repulisti semen ejus; testamentum ejus non profanaturum te asseruisti, et « profanasti » tamen « sanctitatem ejus in terra, » morti scilicet et sepulcro tradens corpus ejus. Ecclesia domus sanctuariumque Christi, te permittente, impiorum persecutionibus pluries lacessita est. Dei servus Christus; quippe qui servi formam accepit, et ex ea natus est quæ angelo dixit : « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum[6]. » Omne filiorum ejus vel validissimum auxilium destruxisti, ita ut insidiis omnium paterent; nam macerias vocat Scriptura divinam custodiam. Vocantur etiam forte vineæ Domini macerie divini apostoli, quos a Deo ablatos dicent, quicunque eos dispersos viderint scandalizatos in ea nocte qua Jesus traditus est. Qui et munitiones appellantur, eodem tempore per formidinem eversæ, unde etiam Christus, corpus scilicet ejus, direptus est; nam « Vos estis corpus Christi, et membra de membro[7]. » Sunt quoque munitiones ejus Ecclesiæ ubique terrarum dispersæ, quæ factæ sunt opprobrium iis qui circa eam stantes vicini vocantur. Hi vero sunt qui Scripturæ adhærere videntur, et ad Ecclesiam pertinere, at eam doctrinis et operibus malis opprobrio habent. Nam uti Deum glorificamus recta agentes et sentientes, ita extolluntur inimici ejus, quasi virtute sua facerent quæ eum pati concessisti. Quapropter lætificantur qui oderunt eum, cernentes eum omni auxilio destitutum, dum inimici eum bello aggrediuntur; atque ideo vinculis oppressum ad crucem deduxerunt, et vel gravissimis eum suppliciis affecerunt.

Στ. λθ'. Εἰπὼν, ὦ Δέσποτα, τοῦ Χριστοῦ τὸ σπέρμα εἰς τὸν αἰῶνα μένει, ἀπώσω τὸ σπέρμα αὐτοῦ· καὶ μὴ βεβηλώσειν εἰπὼν τὴν πρὸς αὐτὸν διαθήκην ἐβεβήλωσας. « Τὸ ἁγιαστήριον αὐτοῦ εἰς τὴν γῆν, ἤτοι εἰς θάνατον καὶ μνῆμα τὸ σῶμα παραδοὺς αὐτοῦ. » Ἣν τὴν Ἐκκλησίαν οὖσαν οἶκον καὶ ἁγιαστήριον αὐτοῦ συγχωρήσας κατὰ καιροὺς καὶ παραδοθῆναι τοῖς ἐκ τῶν ἀθέων ἐπενεχθεῖσιν αὐτῇ διωγμοῖς. Θεοῦ δὲ δοῦλος ὁ Χριστός· ὃς ἀναλαβὼν τὴν τοῦ δούλου μορφὴν, γενόμενος ἐκ τῆς ἐπουσίης τῷ ἀγγέλῳ· « Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. » Ἀλλὰ καὶ πᾶσαν τῶν υἱῶν αὐτοῦ καθεῖλας ἐχυρωτάτην βοήθειαν, ὡς πρακεῖσθαι πρὸς πᾶσαν ἐπιβουλήν· φραγμοὶ γὰρ κατὰ τὴν Γραφὴν αἱ θεόθεν φρουραί. Λέγοιντο δὲ φραγμοὶ ἀμπελῶνος τοῦ Χριστοῦ, καὶ οἱ θεῖοι ἀπόστολοι, οὓς καθαιρεῖσθαι ὑπὸ Θεοῦ φασιν οἱ ὁρῶντες αὐτοὺς ἐσκορπισμένους καὶ σκανδαλισθέντας ἐν τῇ νυκτὶ τῆς παραδόσεως Ἰησοῦ. Οἵπερ καὶ ὀχυρώματα λέγονται, κατὰ τὸν αὐτὸν καιρὸν περιπεσόντες δειλίᾳ· ᾧ ἠκολούθησε τὸ διηρπάσθαι Χριστὸν, ὅ ἐστιν αὐτοῦ τὸ σῶμα· « Ὑμεῖς γάρ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέλους. » Ὀχυρώματα δὲ αὐτοῦ καὶ πανταχοῦ Ἐκκλησίαι. Ἐγένοντο δὲ καὶ ὀνειδος τοῖς διὰ τὸ περὶ αὐτὸν εἶναι γείτοσιν καλουμένοις. Οἵτινές εἰσιν οἱ δοκοῦντες τῆς Γραφῆς αὐτοῦ περιέχεσθαι, καὶ τῆς Ἐκκλησίας ὑπάρχειν ἐγγὺς, δι' οὓς ἀναιδίζεται κακῶς φρονοῦντας ἢ πράττοντας. Ὥσπερ οὖν δοξάζουσιν αὐτὸν οἱ ὀρθῶς φρονοῦντες ἢ πράττοντες, οἱ ἐχθροὶ αὐτοῦ κατεπαίρονται ὡς ἰδίᾳ δυνάμει πράττοντες ἃ δὴ παθεῖν συνεχώρησας. Ἐφ' οἷς καὶ οἱ μισοῦντες εὐφραίνονται, μηδεμίαν ὁρῶντες ἀντλῆψιν ἐν τῷ συμβάλλειν εἰς πόλεμον αὐτῷ τοὺς ἐχθρούς· ὥστε δήσαντας αὐτὸν ἀπαγαγεῖν ἐπὶ τὸν σταυρὸν, καὶ ὅσα πρὸς ὕβριν ἐπενεγκεῖν.

Talia proferunt qui Christum quidem cupiunt et providentiam confitentur, consilium autem non perspexerunt, quo Deus proprio Filio suo non parcens inimicis eum tradidit. At silebunt, ubi salutem agnoscent ipsius morte constitutam. Non enim Pater tantum tradidit eum pro nobis, sed et ipse tradidit semetipsum; nam dedit animam suam redemptionem pro multis. Antea putabant et ab emundatione dissolutum esse Christum, quam operatus est ipse sanguine suo; et in terram collisam esse sedem ejus, licet eum Deus sicut dies cœli posuerit. Nam passionibus et cruce perspectis, existimaverunt transiisse regnum ejus, imminutum et in cruce confusione perfusum. De qua Apostolus ait[8] : « Qui proposito sibi gaudio, sustinuit crucem, confusione contempta, » ut ex mortuis resurgens ab emundatione jam non sit dissolutus, sed ipse cæteros mundans, mundi peccatum tollat,

Ταῦτά φασιν οἱ Χριστὸν μὲν ποθοῦντες καὶ Πρόνοιαν ἡγούμενοι, τὸν σκοπὸν δὲ μὴ καθορῶντες, καθ' ὃν οὐ φεισάμενος ὁ Πατὴρ τοῦ ἰδίου Υἱοῦ, ἔκδοτον αὐτὸν ἀφῆκε τοῖς ἐπαναστᾶσιν αὐτόν. Παύσονται δὲ τῶν ῥημάτων μαθόντες τὴν κατορθωμένην σωτηρίαν διὰ τοῦ θανάτου αὐτοῦ. Οὐ μόνον τοῦ Πατρὸς ὑπὲρ ἡμῶν παραδόντος αὐτὸν, ἀλλὰ καὶ αὐτοῦ ἑαυτόν· δέδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Τέως γε μὲν ἤροντο καὶ ἀπὸ τοῦ καθαρισμοῦ καταλελῦσθαι Χριστὸν, οὗ εἰργάσατο διὰ τοῦ αἵματος αὐτοῦ· κατερράχθαι δὲ εἰς γῆν τὸν θρόνον αὐτοῦ, καίτοι τοῦ Θεοῦ τεθεικότος αὐτὸν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. Ὁρῶντες γὰρ αὐτοῦ τὸ πάθος καὶ τὸν σταυρὸν, ἔδοξαν τέλος εἰληφέναι τὴν βασιλείαν αὐτοῦ σμικρυνθεῖσαν καὶ ἀνατραπεῖσαν ἐπὶ τῇ κατὰ τὸν σταυρὸν αἰσχύνῃ γεγενημένῃ. Περὶ ἧς ὁ Ἀπόστολος εἶπεν· « Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, » ἵν' ἐκ νε-

[5] Job xvi, 20. [6] Luc. i, 48. [7] I Cor. xii, 27. [8] Hebr. xii, 2.

Digitized by Google

χρων ἀναστὰς, μηκέτι ᾖ καταλελυμένος ἀπὸ καθαρισμοῦ· ἀλλ' ἐνεργῶν αὐτὸν αἶρει τὴν ἁμαρτίαν τοῦ κόσμου, κατὰ τό· « Καθαρισμὸν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐκ δεξιῶν τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, » ἀνορθωμένον ἔχων καὶ βεβαίως ἱδρυμένον τὸν θρόνον τὴν μακροήμερον καὶ αἰώνιον διαμενόντα (39).

juxta illud : « Purgationem peccatorum faciens, sedet ad dexteram majestatis in excelsis [9], » sedem habens restitutam, et firmiter fundatam, in longos dies et in æternum permanentem.

Στ. μη'. Μνήσθητι, φασὶν οἱ ταῦτα λέγοντες, ὅτι τρεπτοὶ τὴν φύσιν ὑπάρχομεν, ὄντες αὐτεξούσιοι, μήπως εἰς ἀσέβειαν ἐξοκείλωμεν· λέγοις δ' ἂν ὑπόστασιν καὶ τὴν καθ' ἣν ὑποστῆναί τις δύναταί τι τῶν ἐπιπόνων.

Vers. 48. Memento, aiunt qui hæc habent, nos mutabiles esse natura, et juris nostri, ne ad impietatem dilabamur; substantiam forte eam quoque intendit qua mala quæque sustinemus.

Στ. μθ'. Ἡ δὲ « Τίς » φωνὴ ποτὲ μὲν λέγεται πευστικῶς, ὡς ἐν τῷ, « Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ; » ποτὲ δὲ σημαίνει τὸ σπάνιον, ὡς ἐν τῷ· « Τίς ἄρα ἐστὶν ὁ δοῦλος πιστὸς καὶ φρόνιμος ; » καὶ, « Τίς σοφὸς, καὶ συνήσεται ταῦτα ; » καὶ τὸ ἀδύνατον, ὡς ἐν τῷ· « Τίς ἔγνω νοῦν Κυρίου ; » καὶ ἐν τῷ, « Τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ ; » Δηλοῖ δὲ καὶ τὸν εὐτελῆ, ὡς ἐν τῷ· « Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν ; » καὶ, « Ἰδοὺ Κύριος βοηθήσει μοι, τίς κακώσει με ; » Κεῖται καὶ ἐπὶ τοῦ καλουμένου παρά τισιν ἰδίως ποίου, παρὰ δὲ ἄλλοις, ἀτόμου, καὶ ἑνὸς ἀριθμῷ· ὡς ἐν τῷ (40), ἄνθρωπος δηλωτικὸν τοῦ οὐδείς· Τίς (41) γὰρ τὸν κοινὸν ὑποφεύξεται θάνατον; « Ὃ » γὰρ « θάνατος, » φησὶν, « εἰς πάντας ἀνθρώπους διῆλθεν. » Καὶ καθὼς ἁμαρτία τῷ ἀποπεπτωκέναι θεότητος. Οἷον τό· « Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε· » καὶ τό· « Ὅπου γὰρ ἔρις καὶ ζῆλος ἐν ὑμῖν, οὐχὶ ἄνθρωποί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε ; » Ὁ δὲ τοιοῦτον ὁμώνυμον, οὐ διαφεύξεται θάνατον. Τοῦτο γὰρ τῶν γενομένων θεῶν μετουσίᾳ θεότητος. Ζῶσι γὰρ ἀεὶ μεταποιούμενοι τῆς αἰωνίου ζωῆς, ἥτις ὑπὲρ ᾅδην ἐστὶ ῥυομένου Θεοῦ.

Vers. 49. Vox « Quis » usurpatur nunc ad interrogandum uti in illo [10] : « Quis ascendet in montem Domini? » nunc ad declarandam paucitatem, ut in illo : « Quis est fidelis servus et prudens [11] ? » et : « Quis sapiens, et intelliget hæc [12] ? » nunc ad innuendum aliquid fieri non posse; ut in hoc : « Quis novit mentem Domini? » et in illo : « Quis congregavit ventos in sinu? » Significat etiam aliquem contemnendum, uti in illo [13] : « Si Deus pro nobis, quis contra nos? » et : « Ecce Dominus auxiliabitur mihi, quis nocebit mihi? » Apud quosdam sic dictam qualitatem indicat, apud alios vero individuum, et numero unum. Nec desunt versus ubi « quis » neminem declaret, ut in hoc : Quis communem mortem effugiet? Nam « mors, » inquit, « omnes homines pertransivit [14]. » Haud secus ac peccatum, ex quo a Deo defecimus. Itidem sonat hoc : « Vos sicut homines moriemini [15], » et illud [16] : « Cum enim sit inter vos zelus et contentio, nonne carnales estis, et secundum hominem ambulatis? » Qui igitur homo, non effugiet mortem : hoc enim eorum qui divinitatis participes facti sunt dii. Vivunt enim semper, æternam vitam adepti, quæ Deo competet supra inferos elato.

PSALMUS LXXXIX.

Στ. γ'. Ἀνάγων εἰς ὕψος ἐκ τῶν χαμαιζήλων πραγμάτων τὸν ἄνθρωπον, μὴ πρὸς ταῦτα πάλιν ἀποστρέψῃς αὐτόν.

Vers. 3. Hominem cum in sublime extuleris, a negotiis mundanis distractum, ne avertas eum rursus ad ea.

Στ. θ'. Πᾶς οὖν ὁ χρόνος ὁ παρεκτείνων τῇ ἡμετέρᾳ μετὰ σώματος ζωῇ, φανερὸς καὶ πεφωτισμένος σοι τυγχάνει, ὡς ὁρᾷν πᾶν ἁμάρτημα πρακτικὸν καὶ ἐν λογισμοῖς.

Vers. 9. Omne igitur tempus, quo cum corpore nostro vivimus, manifestum tibi et illuminatum, ita ut omnia perspicias quæcunque mente aut opere deliquerimus.

Στ. ιβ'. Ἡ δέησις ἐπισταμένων ἐστὶν, ὅτι δεξιὰν ἔχει Θεὸς, καὶ ποθούντων ταύτην ἰδεῖν, δι' ἧς ἐδημιούργησέ τε καὶ προνοεῖ τοῦ κόσμου, ὅπως μὴ δι' ὧν ἐνεργεῖ καταλάβωσιν, ἀλλὰ τῷ προσβάλλειν αὐτήν. Οἷοιτο δ' ἂν καὶ αἴτησις εἶναι τῆς ἐπιδημίας Χριστοῦ. Τότε γὰρ γνωρισμὸς ἡ τοῦ Θεοῦ δεξιὰ γέγονεν, ὅτε ὁ Λόγος σὰρξ γενόμενος ἐσκήνωσεν ἐν ἡμῖν. « Ἐθεασάμεθα γὰρ τὴν δόξαν αὐτοῦ ὡς Μονογενοῦς παρὰ Πατρός. » Τότε σὺν αὐτῇ φανερωθέντας ἔγνωμεν καὶ « τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ, » οἵτινές εἰσιν οἱ φάσκοντες· « Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τε-

Vers. 12. Precatio hæc scientium est Deum habere dexteram, qua universum mundum creavit et gubernat, cupientiumque eam videre, ne ab ea unquam deprehendantur sed ei contra adhæreant. Potest etiam hæc oratio de Christi adventu intelligi. Nam tunc revelata est Dei dextera, cum Verbum caro factum in nobis habitavit. « Vidimus enim gloriam ejus, gloriam quasi Unigeniti a Patre [17]. » Tunc cum eo manifestos vidimus, et « eruditos corde in sapientia, » qui non alii ac dicentes : « Sapientiam loquimur inter perfectos [18]. » Tunc

[9] Hebr. I, 3. [10] Psal. XXIII, 3. [11] Matth. XXIV, 45. [12] Psal. CVI, 45. [13] Rom. VIII, 31. [14] Rom. V, 12. [15] Psal. LXXXII, 7. [16] I Cor. III, 3. [17] Joan. I, 14. [18] I Cor. II, 6.

(39) Lege διαμενοῦντα vel διαμένοντα. Edit.
(40) Aliqua desiderantur. Idem.
(41) Animadvertent grammatici varium vocabuli τίς usum. Mai.

Digitized by Google

revelatum est et de prophetis eos vera de Christo docuisse, et forte ante eventum hæsitavisse, utpote corde nondum in sapientia eruditi : qualis est qui mente sapit, verbis autem erraverit. Hic veritatem profitetur, sermone non scientia imperitus. — Pro voce « eruditos » occurrit etiam « vinctos pedicis. » Non sinit enim sapientia nos a pietate pedem referre ; sapientiæ pedicis vinciri jubemus. Pusillanimes qui dicunt : « Usquequo ? » hoc est, faciem tuam et dexteram tuam avertis a nobis ? Nam vel brevissima mora, tempus longissimum. At convertere ad eos qui se a mandatis tuis averterunt. Deinde addit : Uti apparens nobis dextera tua, sol justitiæ, ortum præparavit « diei » spiritualis, qua misericordia tua repleti sumus, ita nobis in omnibus diebus lætandum, quas nobis lumen tuum verum illuminavit, variis sensibus corda afficiens quæ illustrat. Ac certe oriens in mentibus et operibus, multas facit in nobis dies, ita ut exsultantes tristium dierum mœrorem solvamus, quibus humiliati sumus, captivitati propter malitiam et ignorantiam traditi, malis oppressi quæ a veris bonis aliena, de quibus dictum est : « In risu insipiens agit mala [19] ; » aut calamitatibus, de quibus Job dixit : « Si bona suscepimus de manu Domini, mala cur non sustinebimus [20] ? » Respice igitur in servos tuos, et homines validos ac fortes, disciplina et imitatione ad virtutem informatos, dirige in via salutis. Ita enim erit super nos splendor tuus fulgentes sicut sol in regno tuo. Et in moribus suis confisi, orant ut dirigantur ipsi, et opera manuum suarum super eos ; quod nollet malus, omnia oblivione deleri optans.

λείοις· » ἅμα δὲ καὶ οἱ προφῆται οἱ τότε λέγοντες ἀληθῆ περὶ αὐτοῦ πεφανέρωνται, ἴσως ἂν ὑποπτευθέντες πρὸ τῆς ἐκβάσεως, ὡς μὴ τῇ τοῦ Θεοῦ σοφίᾳ πεπαιδευμένοι τὴν καρδίαν· ὁποῖός ἐστιν ὁ τὸν νοῦν σεσοφισμένος, κἂν διαμαρτάνῃ λόγῳ προφορικῷ. Ἐρεῖ γὰρ ἀληθεύων, εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. Γράφεται δὲ καὶ « πεπεδημένους. » Αἱ γὰρ τῆς σοφίας οὐ συγχωροῦσι πέδας (42) χωρὶς εὐσεβείας ὁδεύειν· ἐν ταύταις γὰρ ἐμβαλεῖν τοὺς πόδας τῆς ψυχῆς προστετάγμεθα. Ἀπολιγωροῦσι δὲ λέγοντες· « Ἕως πότε ; » τουτέστι, τὸ πρόσωπόν σου καὶ τὴν δεξιάν σου ἀποστρέφεις ἀφ' ἡμῶν ; καὶ βραχεῖα γὰρ ἀναβολὴ πρὸς τοῦτο, χρόνος ἐστὶ μακρότατος. Ἀλλ' ἐπίστρεψον πρὸς τοὺς ἀποστραφέντας τὰ σὰ προστάγματα. Εἶτά φησιν· Ὡς ἐπιλάμψασα ἡμῖν ἡ σὴ δεξιά, ἥλιος οὖσα δικαιοσύνης ἀρχὴν ἡμέρας νοητῆς κατεσκεύασεν, δι' ἧς ἐπληρώθημεν τοῦ ἐλέους σοῦ, ὡς πάσας εὐφραίνεσθαι τὰς ἡμέρας, ἃς ἡμῖν τὸ φῶς σου ἐφώτισε τὸ ἀληθινὸν ἐμποιοῦν ἐν αἷς εἰσέρχεται καρδίαις ποικίλως. Καὶ μὴν ἀνατέλλον ἐν ταῖς πράξεσι καὶ νοήσεσι, πολλὰς ἐν ἡμῖν ἡμέρας ποιεῖ· ὡς ἀγαλλιωμένους λῦσαι τὸ τῶν κακωτικῶν ἡμερῶν σκυθρωπὸν, ἐν αἷς ἐταπεινώθημεν, αἰχμαλωσίᾳ παραδοθέντες διὰ κακίαν καὶ ἄγνοιαν, ἐν κακοῖς γεγονότες ἢ τοῖς ἐναντίοις τῶν κυρίως ἀγαθῶν, περὶ ὧν εἴρηται· « Ἄφρων ἐν γέλωτι πράττει κακά· » ἢ τοῖς ἐπιπόνοις, περὶ ὧν εἶπεν Ἰὼβ, « Εἰ τὰ ἀγαθὰ ἐκ χειρὸς Κυρίου ἐδεξάμεθα, τὰ κακὰ οὐχ ὑποίσομεν ; » Ἐπίβλεψον τοίνυν ἐπὶ τοὺς δούλους σου, καὶ τοὺς κατὰ διδασκαλίαν καὶ μίμησιν ἀρετῆς γεννηθέντας ἡμῖν εὐτόνους καὶ ἄῤῥενας ὁδήγησον ἐπὶ τὴν τῆς σωτηρίας ὁδόν. Οὕτω γὰρ καὶ ἡ λαμπρότης σου ἔσται ἐφ' ἡμᾶς ἐκλάμψαντας ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ σου. Θαῤῥοῦντες δὲ ἐφ' οἷς δεδράκασιν, ἀξιοῦσι κατευθυνθῆναι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν ἐπ' αὐτοὺς, ὅπερ ὁ φαῦλος οὐ βούλεται, λήθῃ δὲ μᾶλλον παραδοθῆναι.

PSALMUS XC.

Vers. 7. Dum ad justum appropinquare conatur, cadit turba inimicorum ; nam « dum appropinquant super me nocentes, ut edant carnes meas : qui tribulant me et inimici mei, ipsi infirmati sunt et ceciderunt [21]. »

Στ. ζ'. Ἅμα γὰρ τῷ θέλειν πλησιάσαι τῷ σπουδαίῳ, πίπτει ἡ φάλαγξ τῶν ἐναντίων· « Ἐν τῷ ἐγγίζειν » γὰρ « ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν. »

PSALMUS XCI.

Vers. 3. Veritas finis eorum qui in meditando et docendo Deo versantur ; quam qui annuntiaverit non ex summis et manifestis operibus, sed ex imis et occultis, perfectissimam scientiam præbebit : talem autem sapientiam noctem vocavit. Natura enim fugiunt plerorumque mentem, propter virtutis magnitudinem, quæ pie ac recte de Deo dicuntur ; nox autem vocantur quia captu difficilia. Nox etiam cum tenebris conferenda, quas posuit Deus latibulum suum [21*].

Vers. 8. Quando peccatores sicut fenum oriuntur, et iniquitatem operantur, et majus apparet odium eorum in Deum. Fugit eos altitudo et magnitudo Dei, qui malitia cæcatos habent mentis oculos, quibus Deum consequerentur. Soluto au-

Στ. δ'. Θεολογίας καὶ θεοπτείας ὑπόθεσις τυγχάνων, τέλος ἔχει τὴν ἀλήθειαν, ἣν ἀναγγέλλειν προσήκει, οὐκ ἐξ ἐπιπολῆς καὶ ἐκ τῶν φανερῶν πραγμάτων, ἀλλ' ἐκ βαθέων καὶ ἀποκρύφων, διαγνώσεως ὑπερβολήν. Τὴν δὲ σοφίαν τὴν ἐν τοῖς τοιούτοις ὠνόμασεν νύκτα· φύσει γὰρ τὰ περὶ Θεοῦ εὐσεβῶς καὶ ὀρθῶς λεγόμενα, τῆς τῶν πολλῶν γνώσεως, διὰ μέγεθος δυνάμεως, ἀποδημεῖ. Νὺξ δέ ἐστι διὰ τὸ δυσκατάληπτον· αὕτη δὲ νὺξ ἀναφορὰν ἔχει πρὸς τὸ σκότος, ὃ ἔθετο ὁ Θεὸς ἀποκρυφὴν αὐτοῦ.

Στ. η'. Ὅτε οἱ ἁμαρτωλοὶ οἷα χόρτος ἀνατέλλουσιν, καὶ ἐνεργεῖται ἡ ἀνομία, καὶ ἡ πρὸς Θεὸν ἔχθρα αὐτῶν ἐπιτείνεται. Ἀγνοεῖται δὲ τοῦ Θεοῦ ὕψος καὶ μέγεθος, τυφλούσης τῆς κακίας τὸ ὄμμα τοῦ νοῦ τὸ δυνάμενον προσβάλλειν τῷ Κυρίῳ, ὅταν δὲ κατάλυσις

[19] Prov. x, 23. [20] Job II, 10. [21] Psal. xxvi, 2. [21*] Psal. xvii, 12.

(42) Πέδαι ? Ed.

Digitized by Google

τῆς ἁμαρτίας γένηται, ὡς ἀπολέσθαι διὰ τὸ ἁμαρτάνειν ἐχθροὺς γεγενημένους Θεῷ, ἀπόλλυσθαι δέον οἱ τοιοῦ οἱ εἰσι, τὸ τηνικάδε ὁ Θεὸς ὁ ὕψιστος εἰς τὸν αἰῶνα εὑρεθήσεται τῷ καθαρθέντι νῷ.

Στ. ι'. Τῇ ἡμέρᾳ τῆς κρίσεως, ἁπάντων ἀνθρώπων ταπεινουμένων ἀφ' ἧς εἶχον ὑψαυχενίας ἐπὶ τοῖς προσκαίροις, ὑψοῦται Κύριος, μόνος βασιλεὺς ἁπάντων ἀποδεικνύμενος, ἀμέμπτως τε πάντων προνοησάμενος, καὶ διαταξάμενος τὰ ὅλα.

A tem peccato ita ut perirent qui per peccata Dei inimici sunt facti, cum eis pereundum sit qui tales sunt, tunc invenietur in æternum purificatæ menti Deus altissimus.

VERS. 10. Die judicii, humiliata omnium hominum de rebus fugacibus superbia, exaltabitur Dominus, solus omnium rex visus, omniaque absque ulla reprehensione providens ac dirigens.

PSALMUS XCII.

Στ. γ'. Οἱ μιμούμενοι ποταμοὶ τὸν ποταμὸν τὸν εὐφραίνοντα τὴν πόλιν τοῦ Θεοῦ, ἐπαίρουσι πρότερον τὴν σφῶν νόησιν· εἶτα τὰς φωνὰς τὰς ἑρμηνευούσας τὰ νοηθέντα αὐτοῖς· ὡς ἀπὸ τῆς τῶν πολλῶν τούτων ποταμῶν ὑδάτων φωνῆς, θαυμαστοὺς καὶ ἀποδοχῆς B ἀξίους γενέσθαι διὰ μετανοίας καὶ ἀναλήψεως ἀρετῆς, τοὺς πάλαι δι' ἀλαζονίας καὶ πλούτου καὶ αὐθαδείας καὶ δοξαρίων μετεωρισμοὺς ὄντας τῆς τοῦ βίου τῶν ἀνθρώπων θαλάττης. Δυνατὸν δὲ καὶ τοὺς λόγους αὐτοὺς τῶν θεοπνεύστων Γραφῶν, Καινῆς τε καὶ Παλαιᾶς, ποταμοὺς (43), διὰ τὸ τίμιον καὶ ζωτικὸν καὶ καρποφορίας αἴτιον.

VERS. 3. Flumina imitata flumen quod lætificat civitatem Dei, sensus suos primum elevant; ac postea voces quibus mentem suam exprimunt. A voce igitur multarum istarum aquarum mirabiles fient et acceptabiles per pœnitentiam et admissam virtutem, qui prius jactantia et divitiis et arrogantia et vanis opinionibus elationes fuerant maris, humanæ videlicet vitæ. Flumina etiam dici possunt Scripturæ Novi et Veteris Testamenti; nam earum ope exornantur homines, et vivificantur, et fructus ferunt.

Στ. δ'. Μετεωρισμὸν (44) θαλάττης, κατὰ τὴν παροῦσαν διάνοιαν ὄντων τῶν καλουμένων πειρασμῶν, οἳ καὶ θαυμαστοὶ γενήσονται, σωτηρίας αἴτιοι ἀναφαινόμενοι ἀπὸ τῶν φωνῶν τῶν ποτίμων πολλῶν ὑδάτων. Ἔστι γοῦν ἰδεῖν ἐπὶ τοῖς πειρασμοῖς καὶ ἀγῶσι τούτοις νικητάς τινας ἀποδεικνυμένους. « Μακάριος γὰρ ἀνὴρ, ὃς ὑπομένει πειρασμόν, » καὶ τὰ ἑξῆς. — Ἐκ γὰρ τῶν πραγμάτων αὐτῆς, καὶ τῶν C ἐν ἑαυτοῖς τῶν αὐτῶν ἐμβαινόντων, θαυμαστοὶ γίνονται οἱ μετεωρισμοὶ αὐτῆς λογικῶς καὶ φρονίμως ἐταζόμενοι. — Ἐν τοῖς ὑψηλοῖς καὶ ἐπηρμένοις λόγοις θαυμαστὸς ὁ Κύριός ἐστιν· ὡς πιστοῦσθαι ἐπὶ τούτῳ τὰ μαρτύρια τὰ συγγενῆ τοῖς λεγομένοις δικαιώμασι καὶ νομίμοις.

VERS. 4. Scriptoris juxta mentem, elationes maris nil aliud præter tentationes, quæ ideo mirabiles fient, quod a vocibus multarum aquarum causa salutis] declarabuntur. Ad eos igitur referenda hæc, qui de tentationibus et istiusce generis adversariis victoriam referunt. Nam « Beatus vir qui suffert tentationem [22], » et cætera.—Mirabiles etiam qui se a negotiis vitæ et ab affectibus suis ratione et prudentia extolluntˌ. — In excelsis et sublimibus sermonibus mirabilis Dominus, ut hæc credita fiant testimonia ejus, quæ non alia ab iis quæ justificationes et leges vocantur.

Στ. ε'. Οἶκος Θεοῦ πάντες οἱ προσηκάμενοι αὐτὸν εἰς ἑαυτούς· οἷς καὶ πρέπει ἀληθῶς τὸ ἅγιος εἶναι, οὐκ ἐπὶ μίαν καὶ δευτέραν, ἀλλ' « εἰς μακρότητα ἡμερῶν· » Ὅθεν ὁ μυσταγωγὸς βουλόμενος τὸν οἶκον τοῦ Θεοῦ εἰς μακρότητα ἡμερῶν ἁγίασμα ἔχειν, φησίν· « Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθείρει τοῦτον ὁ Θεός. Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. » Πρέπει γὰρ D ἀληθῶς ἡ ἁγιότης καὶ τὸ ἁγίασμα παντὶ τῷ γινομένῳ Θεοῦ οἴκῳ, ἵν' ὥσπερ Θεοῦ, ἅγιος· ἢ καὶ ὥσπερ ἅγιος, οὕτω καὶ Θεοῦ. — Οἶκον αὐτοῦ εἴτε τὴν αὐτοῦ σάρκα λέγοις, εἴτε τὴν Ἐκκλησίαν, εἴτε τοὺς ἀφιερωθέντας αὐτῷ, τούτων τὸ ἁγίασμα « εἰς μακρότητα ἡμερῶν, » τουτέστιν εἰς αἰῶνα αἰώνων. Διόπερ οἱ ἄλλοι ἑρμηνευταὶ « μήκη χρόνων » ἐκδεδώκασιν. Οὐ τοίνυν περὶ τοῦ ναοῦ τῶν Ἰουδαίων ἡ προφητεία ἐκλαμβάνεσθαι δύναται· τούτου γὰρ πάλαι καὶ πρόπαλαι καθαιρεθέντος, ἁγίασμα πῶς ἔσται « εἰς μακρότητα ἡμερῶν; » Ἀλλ' ἡμεῖς, εἴπερ ἡμῖν

VERS. 5. Domus Dei, omnes qui eum admiserunt in se; quos etiam decet sanctos esse, non in unam aut alteram diem, sed in « longitudinem dierum. » Unde Apostolus volens domum Dei in longitudinem dierum sanctificatione ornari, ait: « Nescitis quia templum Dei estis, et Spiritus Dei habitat in vobis? Si quis autem templum Dei violaverit, disperdet illum Deus. Templum enim Dei sanctum est: quod estis vos [23]. » Decet enim vere sanctitas et sanctificatio omnes quicunque Dei domus fiunt, ut sicuti Dei sunt, ita sancti sint, aut et Dei sint, quia sancti. — Domum ejus dices aut corpus ejus, aut Ecclesiam, aut viros Deo consecratos; quorum sanctificatio « in longitudinem dierum, » hoc est in sæcula sæculorum. Illud ideo et alii « longitudinem temporum » interpretantur. Non intelligenda igitur hæc prophetia de templo Jerusalem; hoc enim jam olim, jam pridem everso, qui maneret ejus sanctificatio « in longitudinem dierum? » At nos, si templum Dei vocari cupierimus, ut inhabi-

[22] Jac. I, 12. [23] I Cor. III, 16, 17.

(43) Supple λέγειν. EDIT.

(44) Legendum in genitivo μετεωρισμῶν. ID.

Digitized by Google

tantem Spiritum sanctum habeamus, servabimus sanctitatem « in longitudinem dierum. »

πόθος ναὸς Θεοῦ προσαγορεύεσθαι, ἵνα ἐνοικοῦν τὸ Πνεῦμα τὸ ἅγιον ἔχωμεν, φυλάξωμεν τὸν ἁγιασμὸν « εἰς ἡμερῶν μακρότητα. »

PSALMUS XCIII.

VERS. 1. Fidenter agit Deus ultiones quia accuratius pernoscit quid sint operati, et quo consilio qui judicantur, dum cæteri judices nonnunquam fallantur, ita ut jam non pro delictorum quantitate pœnas exigant. Quibus de causis confusione afficiuntur interdum judices, inepte punientes eos qui in malitia deprehenduntur. Solus enim fidenter agit ulciscendo, qui dicit : « In qua mensura mensi fueritis, remetietur vobis [94]. » Cuique enim retribuit secundum opera ejus.

Στ. α'. Τῷ γὰρ ἀκριβῶς ἐπίστασθαι τῶν κρινομένων τὰ πράγματα, καὶ αὐτὴν τὴν πρόθεσιν τῶν ἐνεργούντων αὐτά, μετὰ παῤῥησίας ἐπάγει ἐκδικήσεις, τῶν ἄλλων κριτῶν ἔσθ' ὅτε σφαλλομένων, ὡς μὴ κατὰ ἀναλογίαν τῆς ποσότητος, τῶν ἁμαρτανομένων ἐπάγειν τὴν τιμωρίαν. Ἐφ' ᾧ καὶ αἰσχύνεσθαι συμβαίνει τὸν κρίνοντα, ὡς μὴ δεόντως ἐπιτιμήσαντα τοῖς ἐαλωκόσι τῇ κακίᾳ, μόνου παῤῥησιαζομένου, ἐν τῷ ἐκδικεῖν τοῦ λέγοντος· « ὯΙ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. » Ἀποδιδοὺς γάρ ἐστιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

VERS. 2. Ostende omnibus quam altum imperium tuum, et superborum frange arrogantiam, docens experimento te judicem esse orbis terrarum, qui superbis resistis, et eos merito supplicio affigis. Apparuerunt hæc omnia adveniente Christo. Tunc enim fidenter egit homo factus peccati expers, cum Deus ultionum Dominus esset. Terram judicavit, declarans eam peccatis plenam, cum ipse peccatum nec admiserit unquam, nec cognoverit. Ideo « retributionem reddidit » Pharisæis qui superbe eum despiciebant, et invisibilibus inimicis qui crucifixum irridebant.

Στ. β'. Δεῖξον ἅπασι τῆς σῆς δεσποτείας τὸ ὑψηλὸν, καὶ κατάλυσον τὴν τῶν ἀλαζόνων ὀφρὺν, διδάσκων διὰ τῆς πείρας, ὅτι σὺ εἶ τῆς οἰκουμένης κριτὴς, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, καὶ τὴν ἁρμόζουσαν αὐτοῖς κόλασιν ἀποδιδούς. Ἀναδειχθείη ταῦτα πάντα καὶ εἰς τὴν Χριστοῦ ἐπιδημίαν. Τότε γὰρ ἐπαῤῥησιάσατο ἀναμάρτητος ἄνθρωπος γεγονὼς, καίτοι Θεὸς ἐκδικήσεως Κύριος ὤν. Ἀλλὰ καὶ τὴν γῆν ἔκρινεν, ἁμαρτίας πλήρη αὐτὴν ἀποδείξας, αὐτὸς ἁμαρτίαν οὐ ποιήσας, οὐδὲ γνοὺς ἁμαρτίαν. Διὸ καὶ « ἀνταπέδωκε » τοῖς ὑπερηφάνοις αὐτὸν Φαρισαίοις, καὶ τοῖς ἀοράτοις ἐχθροῖς ἐπαρθεῖσιν ἐν τῷ σταυρῶσαι αὐτόν.

VERS. 20. Tu creator noster, Domine, ac profecto de nobis curas. Quod si quid boni nobis contigerit, non ignoramus illud a te esse. At quando videbimus a malis quibusdam justos in discrimen adductos, et innocentes damnatos, clamabimus ad te : Nunquid alia sedes regni adhæret, aut adhærebit tibi, talia cum adversus servos tuos perficiantur? At non adhæret tibi sedes iniquitatis; nam legem omnium reginam constituisti, qua omnia dirigantur. — Et paulo post : Sedes iniquitatis nil aliud ac impotentissima dominatio. Quippe quæ crudelissima et odiosa, gravia et laboriosa imperat, laboremque præceptis addit. Natura autem non sunt gravia mandata Domini, juxta Joannem; ideoque sursum ferunt, et exaltant, et ad sublimia eum tollunt qui ipsis inservit. — Et rursus : Quapropter reprime eorum crudelissimos in nos impetus. — Fingentes se judicum esse ac magistratuum munere instructos, sanguinem innocentem condemnant.

Στ. γ'. Σὺ δημιουργὸς ἡμῶν ὑπάρχων, καὶ δὴ καὶ φροντίζεις ἡμῶν, ὦ Δέσποτα. Ὅθεν εἴ τι πάρεστιν ἡμῖν ἀγαθὸν, ἴσμεν αὐτὸ ὅσον καὶ παρὰ σοῦ εἶναι. Ἀλλ' ἐπεὶ ὁρῶμεν φαύλους τινὰς κατὰ τῶν δικαίων φονῶντας, καὶ ἀθώους καταδικάζοντας, ἀναφθεγγόμεθα πρὸς σέ· Μὴ ἕτερος θρόνος βασιλείας σύνεστί σοι, ἢ προσέσεσθαί (45) σοι, ὅτι ταῦτα κατὰ τῶν θεραπόντων ἐπιτελεῖται; Ἀλλ' οὐ πρόσεστί σοι ἀνομίας θρόνος· νόμον γὰρ τῶν πάντων βασιλέα ἀνέδειξας, καθ' ὃν τὸ πᾶν διοικεῖται.— Καὶ μετ' ὀλίγα· Θρόνος ἀνομίας ἡ μετὰ τυραννίδος ἀρχή. Διὸ καὶ ὠμότατος καὶ ἐπαχθὴς ὤν, βαρέα καὶ ἐπίμοχθα προστάττει, συμπράττων τοῖς προστάγμασιν αὐτοῦ κόπον. Ἀλλ' αἱ ἐντολαί σου Θεοῦ βαρεῖαι οὐκ εἰσὶ, κατὰ τὸν Ἰωάννην· ὅθεν καὶ ἀνωφερεῖς εἰσιν, ἀνυψοῦσαι καὶ μετεωρίζουσαι τὸν μεταποιούμενον. — Καὶ πάλιν· Διὸ κώλυσον αὐτοὺς τῆς ὠμότατης καθ' ἡμῶν ὁρμῆς. — Ἐπιμορφαζόμενοι δὲ καὶ τὸ κριταὶ καὶ δικασταὶ τυγχάνειν, καταδικάζουσιν ἀθῶον αἷμα.

PSALMUS XCIV.

VERS. 3. Deos dicit quos Scriptura angelos vocat; super illos etiam deos regnat Deus, quos sermone alloquitur.

Στ. γ'. Θεοὺς λέγει οὓς ἀγγέλους ἡ Γραφὴ καλεῖ· βασιλεύει δὲ κἀκείνων γενομένων θεῶν, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ γεγένηται.

VERS. 4. Ubique terrarum prædicato Evangelio, uti fuerat prænuntiatum, in manu sua habuit sic dictos fines terræ; nam possessio ejus fines terræ.

Στ. δ'. Πάσης τῆς γῆς ἐπιδραττόμενος ὁ λόγος, κατὰ τὸν τῆς προνοίας λόγον, ἐν τῇ χειρὶ ἑαυτοῦ ἔχει τὰ λεγόμενα τῆς γῆς πέρατα· ἡ κατάσχεσις γὰρ

[94] Matth. VII, 2.

(45) Num προσέσται? EDIT.

Digitized by Google

αὐτοῦ τὰ πέρατα τῆς γῆς ἐστιν. — Ὀρῶν ὄντων τῶν διηρημένων, βίῳ γὰρ καὶ φρονήματι, θεοσεβῶν ἀνδρῶν. Κατ' ἐξαίρετον δὲ αὐτοῦ εἰσιν ὑπερέχοντες, οὓς ὑψηλὰ τῶν ὀρέων προσηγόρευσεν.

A — Montes non alii præter viros electos, vita simul et mente pios. Valde autem præstant, quos montium altitudines appellat.

Στ. η'. Ταύτας τὰς λέξεις ἕως τοῦ τέλους τοῦ ψαλμοῦ, ὑπὸ τοῦ ἁγίου Πνεύματος εἰρῆσθαι φήσας ὁ Ἀπόστολος, ἔθηκεν αὐτὰς ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ, ἁμωσγέπως, καὶ ἑρμηνείαν αὐταῖς ἐπαγαγών. Ἡρμήνευσε δὲ τὸ « σήμερον » εἰς τὸν πάντα τὸν ἐνεστηκότα αἰῶνα, ἀναφέρων αὐτῷ (46)· ἑκάστη γὰρ ἡμέρα τοῦ αἰῶνος σημαίνεται διὰ τοῦ « σήμερον. »

Vers. 8. Quæ verba usque ad finem psalmi a sancto Spiritu edicta fuisse testatus Apostolus, ea usurpavit in Epistola ad Hebræos [25], qualia occurrunt, ipsaque interpretatus est. Vocem « hodie » de tempore hujus vitæ explicat; singuli enim dies vitæ nostræ voce « hodie » designantur.

Στ. ι'. « Προσώχθισα· » προσκορὴς, φησὶν, ἐγενόμην, οὐ πάσῃ γενεᾷ, ἀλλ' ἐκείνῃ ἀεὶ πλάνῃ συμβιούσῃ, διὰ τὸ μὴ ἐθέλειν γνῶσιν ἔχειν Θεοῦ. Ἔφη τὸν Θεὸν ὀργισθέντα ὀμῶσαι (47) μὴ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ. Ταῦτα δὲ ἐν ἑβδομηκοστῷ ἑβδόμῳ εἰπὼν, ἐξηγησαμένου δὲ καὶ Παύλου ταύτην τὴν λέξιν, οὐδὲ πλέον τῶν τότε ῥηθέντων ἐροῦμεν. Ταῦτα δὲ καὶ ἡμᾶς διαδέξονται, εἰ τῆς τοῦ Θεοῦ φωνῆς εἰσέτι καὶ νῦν κατὰ τὴν σήμεραν ἡμέραν ἀνακαλουμένης ἡμᾶς ἀκούοντες, σκληρύνομεν τὰς ἑαυτῶν καρδίας· διαλήψεται γὰρ ἡμᾶς ὀργὴ Θεοῦ, καὶ ἀποπεσούμεθα τῆς παρ' αὐτοῦ καὶ σὺν αὐτῷ ἀναπαύσεως.

Vers. 10. « Offensus fui, » iratus sum, inquit, non omni generationi, sed illi erroribus usque jactatæ, quod Deum cognoscere nolit. Deum juravisse dicit in ira, eos non introducendos esse in requiem. Hæc autem psalmo septuagesimo septimo locutus est: explicante Paulo hunc versum non plura dictis proferemus. Hæc ad nos quoque pertinebunt, si vocem Dei etiam nunc, hodierno die, nos vocantis audientes, nostra corda obduramus, deprehendet enim nos ira Dei, et e requie ejiciemur quæ a Deo et cum Deo est.

B

PSALMUS XCV.

Στ. α'. Λεκτέον οὖν περὶ τῆς τοιαύτης εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως τοῦ οἴκου, προφητικωτέραν τὸν Δαυὶδ τεθεωρηκότα τὴν ὑπὲρ τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τὴν ᾠδὴν πεποιηκέναι. Ἄδουσι δὲ τὴν ᾠδὴν οἱ τὸν παλαιὸν ἄνθρωπον ἐκδυσάμενοι καὶ τὸν νέον ἐνδυσάμενοι τὸν ἀνανεούμενον εἰς τὸ γενέσθαι κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, τῷ μαθητεύεσθαι τῇ Καινῇ Διαθήκῃ, τὴν καινότητα τῆς Χριστοῦ διαθήκης καὶ διδασκαλίας προσηκάμενοι.

C

Vers. 1. Dicendum de ista restitutione domus, David aliam domus renovationem prophetica mente perspexisse et cantico celebrasse. Decantant hoc canticum qui veterem hominem exuunt et novum induunt ita renovatum, ut ad imaginem fiat Creatoris, Novo Testamento edoctus, novitatem Christiani Testamenti et Christianæ disciplinæ amplexus.

Στ. β'. Οὗτοι οὖν πάντες οἱ ᾄδοντες τῷ Θεῷ, πρὸς τὸ ᾄδειν αὐτῷ καὶ εὐλογεῖν τὸ ὄνομα αὐτοῦ προστάττονται· διὰ γὰρ ἔργων ἀγαθῶν καὶ γνώσεως τῆς ἀληθείας εὐλογεῖ τις καὶ δοξάζει τὸ ὄνομα τοῦ Θεοῦ.

Vers. 2. Omnes qui canunt Domino ad laudandum nomen ejus in canticis invitantur. Bonis enim operibus et cognitione veritatis laudat quis et glorificat nomen Dei.

Στ. γ'. Περὶ ὧν ἐν λθ' ψαλμῷ πρὸς Θεὸν εἴρηται· « Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου. » Τὸν τούτων τῶν θαυμάτων αἴτιον ὑμνῶν Ἡσαΐας ὁ προφήτης φησίν· « Κύριος ὁ Θεὸς δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου· ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθεινήν. » Θεὸς γὰρ ὁ Σωτὴρ θαυμαστὰ πεποίηκεν, ἐλευθερώσας πᾶσαν ψυχὴν ὑπὸ τοῦ διαβόλου καταπονουμένην. — Καὶ μετ' ὀλίγα· Εἰ δὲ καὶ τὰς (48) τεραστίους δυνάμεις εἶναι βούλεται, τὰ ἐπαγγελλόμενα τοῖς λαοῖς θαυμάσια, καθ' ἃ Ἰησοῦς νεκροὺς ἤγειρε, καὶ τυφλοὺς εἰς ὄψιν ἀποκαθιστᾷ, καὶ εἴ τι ἄλλο τοιοῦτο ἀναγέγραπται, οὐχ ἁμαρτάνεις.

D

Vers. 3. De quibus mirabilibus dictum est in psalmo tricesimo nono: « Multa fecisti tu, Domine Deus meus, mirabilia tua [26]. » Quorum mirabilium auctorem celebrans ait propheta Isaias: « Domine Deus, glorificabo te, laudabo nomen tuum; quoniam fecisti admirabiles res, consilium antiquum verum [27]. » Deus enim Salvator mirabilia fecit, liberans animas omnes diaboli imperio oppressas. — Et paulo post: Quod si quis hæc populis annuntiata mirabilia non alia esse voluerit ac miram potestatem qua mortuos Jesus excitavit, et cæcorum oculos illuminavit, et alia hujuscemodi perfecit quæ referuntur, non errat.

PSALMUS XCVI.

Στ. α'. Τοῦ ἱκανοῦ χειρί. Οὗτος δέ ἐστιν ὁ πνευματικὸς Δαβὶδ, ὁ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα

Vers. 1. Viri idonei manu. Hæc ad spiritualem David referenda qui ex semine David secundum car-

[25] Hebr. III, 7 sqq. [26] Psal. XXXIX, 6. [27] Isa. XXV, 1.

(46) Num legendum αὐτό, id est τὸ *σήμερον*? EDIT.

(47) Scribendum ὀμόσαι, nisi Alexandrinorum more o in ω mutatum velis. ID.

(48) Num legendum Εἰ δὲ καί τις, et infra ἁμαρτάνει? ID.

Digitized by Google

nem factus est. Terra autem ejus constituta est, vel auferente eo turbas et bellicos tumultus cujusque generis, vel informante eo terram, ita ut de accepto semine fructus offerat centum, et sexaginta, et triginta justitiam seminantibus [48], ideoque genimina justitiæ repleantur ab ipso Jesu seminata. Quapropter regnat etiam Deus, non quidem regnum adeptus quo prius omnino careret, sed quod peccatoribus rex factus est pœnitentiam agentibus, qui olim imperium ejus negabant. Exsultat igitur omnis terra, illud ideo facere jussa, quod Dominus ejus regnet.

A γεγονώς. Ἡ γῆ τοίνυν αὐτοῦ καθίστατο, παντὸς θορύβου καὶ ταράχου πολεμικοῦ ὑπ' αὐτοῦ καταλυθέντος· ἢ καθίσταται γῆ, κατάστασιν ἀναλαμβάνουσα, καθ' ὃ καρποφορεῖ ὃν ἐδέξατο σπόρον εἰς ἑκατὸν, καὶ ξ', καὶ λ', σπειράντων ἑαυτοῖς δικαιοσύνην ἐπὶ τῷ γεννήματα δικαιοσύνης πλησθῆναι τῶν ὑπὸ Ἰησοῦ σπαρέντων. Διὸ καὶ βασιλεύει ὁ Κύριος, οὐκ ἀπὸ τοῦ μὴ βασιλεύειν καθάπαξ ἐπὶ τὸ βασιλεύειν ἐληλυθὼς, ἀλλ' ἀπὸ τοῦ μὴ ἄρχειν τῶν ἁμαρτανόντων μετανοησάντων ἥκειν ἐπὶ τὴν βασιλείαν. Ἀγαλλιᾶται οὖν πᾶσα ἡ γῆ τοῦτο ποιεῖν προσταττομένη, ἐπὶ τῷ τὸν Κύριον πάσης αὐτῆς βεβασιλευκέναι.

Vers. 2. Non corporaliter. Nam si corpora essent quæ in circuitu, corpus esset etiam, aut saltem corpore indutus, qui circumdatur. Incorporeus autem, aut potius supra illa corpora Deus et unigenitus ejus Filius, in quantum Deus Verbum est. Ad indicandum eum intellectu comprehendi non posse, dicitur nunc nube et caligine circumdari. Innuit forte nubes sermones illos potabiles qui de ipso manant; caligo autem declarat quam difficilis captu sit: nam dictum est jam prius [49]: « Inclinavit cœlos et descendit, et caligo sub pedibus ejus. » Difficillime enim, imo nullo modo intelligi posse a mente cujusvis creaturæ, qua ratione Deus cuncta creet et gubernet, declarant illa, « Caligo sub pedibus ejus. »

Στ. β'. Οὐ σωματικῶς. Εἰ γὰρ τὰ κυκλοῦντα εἴη σώματα, καὶ ὁ κυκλούμενος εἴη σῶμα, ἢ σώματί γε χρώμενος. Ἀλλ' ἀσώματος, μᾶλλον δὲ ὑπὲρ ἐκεῖνα(49) σωμάτων, ὁ Θεὸς καὶ ὁ μονογενὴς αὐτοῦ Υἱὸς, καθ' ὃ Θεὸς Λόγος ἐστί. Λέγεται δὲ νῦν πρὸς παράστασιν τῆς ἀκαταληψίας αὐτοῦ, περὶ αὐτὸν νεφέλη καὶ γνόφος εἶναι. Καὶ τάχα μὲν ἡ νεφέλη τοὺς ἐξ αὐτοῦ ῥέοντας ποτίμους σημαίνει λόγους· ὁ δὲ γνόφος τὴν ἀσάφειαν τῆς ἀκαταλήψεως αὐτοῦ. Εἴρηται γοῦν καὶ πρότερον, « Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. » Τὸ γὰρ δυσθεώρητον μᾶλλον δὲ ἀκατάληπτον τῷ νῷ τῶν αὐτοῦ γενητῶν τῆς πορείας αὐτοῦ, καθ' ἣν πορεύεται δημιουργικῶς καὶ προνοητικῶς παρίσταται διὰ τοῦ, « Γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. »

Vers. 3. Inimici justitiæ qui stultam et iniquam vitam agunt, uti a veritate abhorrentes, qui falsa docent et profitentur; dictum est etiam nos mundi amicitia inimicos fieri Dei. — « Inflammabit eos, » non eorum naturam perdendo et tollendo; nam immortalis anima substantia; sed auferendo ab eis carnis opera et humiles affectus. Quapropter gloriatur Salvator se ignem in terras emisisse, quo mundana quæque consumeret.

Στ. γ'. Ἐχθροὶ τοῦ λόγου τῆς δικαιοσύνης οἱ ἀλόγως καὶ ἀδίκως πράττοντες, ὥσπερ αὖ διάφοροι τῆς ἀληθείας οἱ ψευδοδοξοῦντες καὶ ψευδόμενοι· καὶ ἡ φιλία δὲ τοῦ κόσμου ἐχθροποιεῖν εἴρηται Θεῷ. — Οὐκ ἀναλίσκων καὶ φθείρων (49') αὐτῶν τὴν οὐσίαν, ἀθάνατος γὰρ ἡ τῆς ψυχῆς αὐτῶν ὑπόστασις, ἀλλ' ἀφανίζων τὰ περὶ αὐτοὺς ἀναφυέντα τῆς σαρκὸς ἔργα καὶ ὑλικὰ φρονήματα· ὅθεν ὁ Σωτὴρ εὔχεται ἀναφθῆναι· τὸ πῦρ βαλεῖν ἦλθεν ἐπὶ τῆς γῆς, ὅπως ἀναφθῇ τὰ γήϊνα πάντα.

Vers. 4. Illustres sermones divinæ disciplinæ ejus « illuxerunt ut fulgura » omni terrarum orbi, illuminantes et illustrantes eum, ut lucem adipisceretur scientiæ. Quæ fulgura conspiciens terra, commota est et immutata, terrestres sensus exuens, ut imaginem cœlestis induat. — Videbit terra humanas leges, et cum his congruos mores; omnes patrils derelictis ad evangelicam disciplinam deflexerunt. Orbis terrarum Domini fulgoribus conspectis illuminatur. Terra autem commotione permota est, et fit orbis terrarum ita, ut orbi factæ appareant divina Dei fulgura.

Στ. δ'. Οἱ φωτινοὶ (50) λόγοι τῆς θείας διδασκαλίας αὐτοῦ « ἀστραπῶν τρόπῳ ἔφαναν » πάσῃ τῇ οἰκουμένῃ καταυγάζοντες καὶ φωτίζοντες αὐτὴν, ἐπὶ τῷ ἔχειν φῶς γνώσεως. Ἀλλ' ἡ γῆ ταύτας τὰς ἀστραπὰς ἰδοῦσα, κλονηθεῖσα μετέβαλεν, ἀποβαλοῦσα τὴν γεώδη ποιότητα, ἐπὶ τοῦ ἀναλαβεῖν τὴν εἰκόνα τοῦ ἐπουρανίου. — Ἰδοῦσα τοὺς ἀνθρωπίνους νόμους, καὶ τὰ κατάλληλα τούτοις ἔθη, πάντες οἱ ἄνθρωποι τὰ σφέτερα πάτρια καταλιπόντες, τῇ εὐαγγελικῇ παιδεύσει προσεληλύθασιν. Ἀλλὰ οἰκουμένη ἰδοῦσα τὰς ἀστραπὰς τοῦ Κυρίου, ἐλλάμπεται. Ἡ δὲ γῆ σαλεύεται διὰ τοῦ κλόνου, ἀρχὴν λαμβάνουσα πρὸς τὸ καὶ αὐτὴν οἰκουμένην χρηματίσαι, ἵνα φανῶσιν αὐτῇ τοιαύτῃ γεγενημένῃ αἱ θεῖαι τοῦ Κυρίου ἀστραπαί.

Vers. 6. Qui annuntiaverant Salvatorem, justitiam videlicet Dei, huc adventurum, cœli apte dicuntur, quia imaginem cœlestis referunt, et con-

Στ. ς'. Οἱ προαναφωνήσαντες τὴν ἐνταῦθα ἐπιδημίαν τοῦ Σωτῆρος ὄντος δικαιοσύνης Θεοῦ, οἱ οὐρανοί εἰσιν, τῷ φέρειν τὴν εἰκόνα τοῦ ἐπουρανίου,

[48] Matth. XIII, 8. [49] Psal. XVII, 10.

(49) Scribe ὑπερέκεινα, adverbium. Edit.

(49') Grammatica postulat ut scribatur ἀναλίσκον, φθείρον, et mox ἀφανίζον, siquidem hæc participia ad τὸ πῦρ referenda sunt. Cfr. vers. 3 psalmi. Id.

(50) Pro φωτεινοί, more Alexandrino, ut mox ἔφαναν et multa alia, quæ non monito lectore servavimus. Id.

Digitized by Google

καὶ ἔχειν τὸ πολίτευμα ἐν οὐρανῷ, ἀναγγείλαντες A versationem in cœlo habent : annuntiaverunt Dei
τὴν τοῦ Θεοῦ δικαιοσύνην οὐρανόθεν ἐλευσομένην, justitiam de cœlo venturam, quæ non alia a justi-
οὐκ ἄλλην τῆς δικαιοσύνης αὐτοῦ τυγχάνουσαν (51)· tia Dei : cum autem sæpius justitia vocetur virtus
ἀλλ' ἐπεὶ καὶ ἡ πρακτικὴ ἀρετὴ πολλαχοῦ δικαιοσύνη operibus perfecta, hanc non alii opere annuntiare
καλεῖται, ταύτην ἀναγγέλλειν πραγματικῶς μόνοι possunt præter cœlos, hoc est justos, nam fidem
ἴσασιν οἱ οὐρανοὶ ὄντες ἄνδρες δίκαιοι· ἐπιδεικνυμέ- bonum operantem annuntiat justus, et fides eorum
νην γὰρ πίστιν ἀναγγέλλει δίκαιος, τῆς πίστεως justitia reputatur.
αὐτῶν εἰς δικαιοσύνην λογιζομένης.

Στ. ι'. Ἐναντίον καὶ ἐχθρὸν τῷ Θεῷ, οὐκ ἐν ἀντι- Vers. 10. Malignus Deo infensus et odiosus, non
στάσει φύσεως ὄν, οὐ γὰρ ἀντιδιαιρεῖται τῇ ἀγαθῇ naturæ oppositione ; non enim differt natura a bono ;
φύσει πονηρὸν τὸ παρὰ φύσιν· οὐδὲ φύσιν τινὰ δεικνυ- nec suspicaberis naturam hic indicari quæ malig-
μένην ὑπολαβεῖν ἔστιν, ἣν καλεῖ πονηρόν. Οὐδὲ γὰρ na vocetur. Non enim talem scientia complectemur, quam cognoscentes odio habeamus ; sed maligni esse dicimus omne opus malitiæ, illudque odio prosequimur dummodo recta sentiamus. — B Quod si quis sanctos aggressus fuerit, corpori nocere et mortem inferre ad summum valebit ; anima autem eorum incolumis et illæsa remanebit. Qui enim non confitereris veritatis martyres juxta animas ab Domino suo fuisse custoditos ?
ἔχομέν τινα τοιαύτην ἐν γνώσει, ἵν' εἰδότες μισήσαι-
μεν, ἀλλὰ πονηρὸν ἅπαν τὸ κακίας ἔργον ἐπιστά-
μεθα, καὶ τὸ τοῦ μίσους, ἐάν περ εὖ φρονῶμεν. —
Εἴ ποτε ἐπεβούλευσέ τις τῶν ὁσίων, μέχρι τῆς σώ-
ματος κακώσεως ἢ θανάτου τὰ τῆς ἐπιθέσεως ἴσχυσε,
τῆς ψυχῆς ἀζημιώτου καὶ ἀμειώτου διαμεινάσης.
Τίς γὰρ οὖν οὐχ ὁμολογήσειε τοὺς τῆς ἀληθείας μάρ-
τυρας πεφρουρῆσθαι κατὰ τὰς ψυχὰς ὑπὸ τοῦ ὁμολο-
γουμένου ὑπ' αὐτῶν Κυρίου ;

Στ. ια'. Τῷ τὴν πρακτικὴν ἀρετὴν κατορθώσαντι, Vers. 11. Justo virtutem operibus perficienti,
δικαιοσύνην καλουμένην, ἀνέτειλε φῶς τῆς γνώσεως, quæ justitia dicitur, orta est lux scientiæ, quæ non
οὐκ ἄλλο τυγχάνον τοῦ φωτὸς τοῦ ἀληθινοῦ· περὶ οὗ alia a lumine vero, de quo Pater dixit : « Orietur
ὁ Πατὴρ εἶπεν· « Τοῖς δὲ φοβουμένοις τὸ ὄνομά μου vobis qui timetis nomen meum sol justitiæ [50]. »
ἀνατέλλει ἥλιος δικαιοσύνης. »

PSALMUS XCVII.

Στ. γ'. Διαφέρει τοῦ Ἰακὼβ ὁ Ἰσραὴλ ἐπινοίᾳ ἀλλ' C Vers. 3. Differt Israel a Jacob affectibus, non natura :
οὐχ ὑποστάσει· ὁ γὰρ αὐτὸς ὁτὲ μὲν Ἰακὼβ, ὁτὲ δὲ nam idem nunc Jacob, nunc Israel vocatur. Quando
Ἰσραὴλ ἐστιν. Ὅτε γὰρ ἀσκητὴς τυγχάνων τῆς πρα- enim in colenda virtute se exercet, insanas cupi-
κτικῆς ἀρετῆς, καταπαλαίων τὰ ἄλογα πάθη καὶ κα- ditates frangens, et peccata, malignasque virtutes
κίας καὶ τὰς ἐνεργούσας αὐτὰς πονηρὰς δυνάμεις, quæ ea operantur, Jacob est, sic dictam catervam
Ἰακὼβ ἐστι πτερνίζων τὸ εἰρημένον στίφος. Ὅτ' ἂν calce petens. Quando autem supra omnem mali-
δὲ ἀνωτέρω πάσης μοχθηρίας γεγονὼς διὰ καθαρό- tiam elatus, mentis puritate Deum consequitur,
τητα νοῦ προσβάλλει τῷ Θεῷ, Ἰσραὴλ προσαγορεύε- dicitur Israel. — Prædicato Evangelio in toto ter-
ται. — Κηρυχθέντος γὰρ τοῦ Εὐαγγελίου ἐν πάσῃ τῇ rarum orbe in testimonium omnibus gentibus
οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, κατὰ τὴν juxta Christi prophetiam, « Viderunt omnes fines
τοῦ Χριστοῦ χρησμῳδίαν, « Εἶδεν πάντα τὰ πέρατα terræ » Christum « salutare Dei. » — Et paulo
τῆς γῆς » Χριστὸν « τὸ σωτήριον τοῦ Θεοῦ. » — Καὶ post : Qui sunt terram prætergressi, supra eam
μετ' ὀλίγα· Οἱ περάσαντες τὴν γῆν καὶ ἀνωτέρω αὐ- elati, jam non humilia et terrena sentiendo, sed
τῆς γεγενημένοι, τῷ μὴ ὑλικὰ καὶ ἐπίγεια ἔτι φρο- quæ sursum sunt quærendo et sapiendo, hi fines
νεῖν, ἀλλὰ ζητεῖν καὶ φρονεῖν τὰ ἄνω, πέρατα γῆς terræ sunt, videntes salutem et salutis auctorem
ὄντες, εἶδον σωτηρίαν καὶ τὸν αὐτῆς αἴτιον Θεοῦ Λό- D Dei Verbum, quod salutare Dei.
γον, ὄντα σωτήριον τοῦ Θεοῦ.

Στ. δ'. Πᾶσαν τὴν γῆν, τουτέστι τοὺς ἐπὶ γῆς Vers. 4. Omnem terram, homines videlicet in
ἅπαντας ἀνθρώπους, προστάττει ἐπινίκιον αἶνον terra habitantes, jubet hymnis et laudibus Deum
ἀναπέμπειν τῷ Κυρίῳ κατελθόντι τοὺς πολεμίους celebrare propter victorias de invisibilibus homi-
τοὺς ἀοράτους ἐχθροὺς τῶν ἀνθρώπων, διάβολον καὶ num inimicis, de diabolo ejusque asseclis relatas.
τοὺς ὑπασπιστὰς αὐτοῦ.

Στ. ε'. Τίς δὲ ἡ κιθάρα, πολλάκις εἴπομεν· τί τὸ Vers. 5. Quid sit cithara, jam sæpius diximus :
ψάλλειν ἐν αὐτῇ, τί τὸ πρακτικῶς ἐστι διὰ σώματος psallere autem in cithara, non aliud præter virtu-
ἐνεργεῖν τὰ τῆς ἀρετῆς, ἢ διὰ πασῶν τῶν τῆς ψυχῆς tem opere perficere aut per corporis vires, aut per
δυνάμεων. — Ἀντὶ τοῦ· Πρὸς τὸν ψαλμὸν, τὸν διὰ omnes animæ virtutes. — « Voce psalmi, » hoc est,
τοῦ ὀργάνου πληττόμενον, καὶ φωνή τις ᾄδέσθω οὖσα ad psalmum organo præcantatum, vox quæ decan-
ἡ περὶ τῶν πρακτέων θεωρία. tatura, earum contemplatio quæ opere perficienda
sunt.

[50] Malach. IV, 2.

(51) Deesse aliquid videtur. EDIT.

Digitized by Google

Vers. 6. « Tubis ductilibus » canunt quicunque veritatis sermonem splendide et clare profitentur. Illi enim vere ad celebrandam spiritualem festivitatem idonei, dicentes : « Sufficientia nostra ex Deo est, qui et idoneos nos fecit ministros novi Testamenti [31] ; » quod non alii confiteri possunt, præter eos qui omni sermone et omni scientia divites.

Vers. 7. In civitatibus hominum refertis consideranda est præsertim prophetiæ perfectio. Nam mare fluctuans imitatur in ecclesiis piorum virorum multitudo, pariterque resonant ibi psallentium voces.

Vers. 8. Rursus flumina vocat, quibus cæteros docendi munus demandatum, quique fluminum ad instar divinas aquas profundunt : illos plaudere jubet, hoc est Deum celebrare ; nam ovantium rursus sermo. — Et rursus : Quæ hic occurrunt multitudinem forte designant eorum qui undarum instar ad salutem convolvuntur, et vocibus laudibusque regnum Domini celebrant.

Vers. 9. Servos suos præ primis « judicabit in æquitate. » Nam cum populi cor rectum rectosque mores habeant, reddet unicuique secundum opera ejus.

Στ. ς'. Σαλπίζουσιν « ἐν ἐλαταῖς » οἱ τὸν λόγον τῆς ἀληθείας λαμπρῶς καὶ δικαίως προφέροντες. Οὗτοι γὰρ ἀληθῶς εἰς πνευματικὴν ἑορτὴν διεγείρειν ἱκανοί, λέγοντες · « Ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκανοὺς (52) διακόνους καινῆς Διαθήκης · » τῶν πλουτούντων παντὶ λόγῳ καὶ πάσῃ γνώσει, μόνον τοῦτο δυναμένων προφέρειν.

Στ. ζ'. Διαφερόντως ἐν ταῖς πολυανθρώποις πόλεσιν ἔστιν ἰδεῖν τῆς προφητείας τὸ τέλος. Θάλατταν γὰρ κυμαίνουσαν τῶν εὐσεβῶν ἀνδρῶν ἐν ταῖς ἐκκλησίαις μιμεῖται τὸ πλῆθος, τοιαύτη δὲ καὶ ἡ τῶν ψαλλόντων ἠχή.

Στ. η'. Πάλιν ποταμοὺς τοὺς τῆς διδασκαλικῆς μεταλαγχάνοντας ὠνόμασε χάριτος, καὶ ποταμῶν δίκην τὰ θεῖα προχέοντας νάματα, οὓς κροτεῖν ἔφη, Θεὸν ἀνυμνεῖν · νενιχηκότων γὰρ πάλιν ὁ λόγος. — Καὶ πάλιν · Ἴσως δὲ τὰ πλήθη τῶν σωζομένων ποταμηδὸν συνερχομένων, καὶ φωναῖς θεολογικαῖς ἀνυμνούντων τὴν τοῦ Κυρίου βασιλείαν, διὰ τῶν ἐν χερσὶ δηλοῦται.

Στ. θ'. Κατ' ἐξοχὴν τοὺς οἰκειωθέντας αὐτοῦ χρηματίσαι « ἐν εὐθύτητι κρίνει. » Ἐπεὶ εὐθεῖαν καρδίαν καὶ εὐθείας πράξεις ἔχουσιν οἱ λαοί, ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

PSALMUS XCVIII.

Vers. 2. Primo in Sion, data lege missisque prophetis magnus Dominus ; deinde excelsus apparuit super omnes populos de gentibus ad fidem conversos. Nam « gloria et honor et pax omni operanti bonum, Judæo primum et Græco [32]. » Exaltatus cuim e terra, omnes traxit ad se [33].

Vers. 5. Exaltate Dominum, non equidem eum ex inferiori loco ad superiorem efferentes ; hoc enim non nisi corpora deceret, sed alta et sublimia de eo sentientes.— Scabello ejus declaratur vetus templum, uti apud Jeremiam scriptum est : « Quomodo obtexit caligine in ira sua Dominus filiam, projecit de cœlo in terram sanctificationem (*alias* gloriationem) ejus, et non est recordatus scabelli pedum suorum [34] ? » Et paulo post : Scabellum ut adoretur imperat, summum scilicet in mundum universum imperium, quod tunc apparebit, cuique non sancti modo, sed omnes inservient. — Sancti dicti sunt etiam sacerdotes et prophetæ. Huic autem sancto non adorandum ait scabellum, declarare cupiens quantum hic a cæteris sanctis differat ; nam ipse Sanctus sanctorum. Quapropter Moysem ut legum latorem, Aaron ut summum sacerdotem, Samuelem ut principem prophetarum commemorat. — Hæc non ad istos viros tantum referenda, sed ad omnes qui iisdem virtutibus præstant.— Et paulo

Στ. β'. Πρότερον ἐν Σιὼν, κατὰ τὴν δόσιν τοῦ νόμου καὶ τῶν προφητῶν μέγας ἐστὶν ὁ Κύριος· εἶθ' οὕτως ὑψηλὸς τυγχάνει ἐπὶ πάντας τοὺς ἀπὸ τῶν ἐθνῶν προσερχομένους τῇ πίστει λαούς. « Δόξα » γὰρ « καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. » Ὑψωθεὶς γὰρ ἐκ τῆς γῆς, πάντας εἵλκυσεν πρὸς ἑαυτόν.

Στ. ε'. Ὑψηλὸν ποιεῖτε, οὐκ ἐκ τοῦ κάτω εἰς τὸ ἄνω ἐπαίροντες αὐτὸν, ἴδιον γὰρ σωμάτων τοῦτο, ἀλλ' ὑψηλὰς καὶ ὑπερφυεῖς περὶ αὐτοῦ ἔχοντες νοήσεις. — Λέγεται δὲ ὑποπόδιον αὐτοῦ ἐπὶ τοῦ πάλαι νεὼ, ὡς ἐν Ἱερεμίᾳ γέγραπται · « Πῶς ἐγνόφωσε Κύριος ἐν ὀργῇ αὐτοῦ τὴν θυγατέρα, κατέῤῥιψεν εἰς γῆν τὸ ἁγίασμα αὐτῆς, οὐκ ἐμνήσθη ὑποποδίου αὐτοῦ; » — Καὶ μετ' ὀλίγα · Τὸ ὑποπόδιόν φησιν προσκυνεῖν τὴν παγκόσμιον ἐξουσίαν τὴν τότε φανησομένην, ἥ μὴ μόνη (53) τῶν ἡγιασμένων, ἀλλὰ καὶ πάντων κρατεῖ. — Ἐπειδὴ ἅγιοι καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται ἐλέγοντο. Ἅγιον δὲ τοῦτον οὗ δεῖ τῷ ὑποποδίῳ προσκυνεῖν προσηγόρευσεν, δεῖξαι βούλεται πόσην εἶχε διαφορὰν πρὸς τοὺς λοιποὺς ἁγίους · αὐτὸς γὰρ ἦν ὁ τῶν ἁγίων Ἅγιος. Διὰ τοῦτο Μωϋσέως μὲν ὡς νομοθέτου, Ἀαρὼν δὲ ὡς ἀρχιερέως, Σαμουὴλ ὡς ἐξάρχου τῶν προφητῶν, ἐμνημόνευσεν. — Οὐ περὶ μόνων τῶν ἀνδρῶν τούτων ταῦτα λέγεται, ἀλλὰ περὶ πάντων τῶν ἐχόντων τὴν αὐτὴν αὐτοῖς ἀρετήν. — Καὶ μετ' ὀλίγα· Τί οὖν ἔχομεν

[31] II Cor. III, 5, 6. [32] Rom. II, 10. [33] Joan. XII, 32. [34] Thren. II, 1.

(52) Lege cum S. Paulo (II Cor. III, 5), ἱκάνωσεν ἡμᾶς. Edit.
(53) Οὐ μόνον? Id.

Digitized by Google

περὶ τούτων εἰπεῖν; ἢ ὅτι τοὺς τὰς αὐτὰς ἀρετὰς ἔχοντας, ὁμωνύμως αὐτοῖς ὠνόμασεν. Εἰ δὲ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι καὶ οἱ πιστοὶ θεράποντες γινόμενοι, πάντες κατὰ Μωϋσέα τυγχάνουσιν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Στ. ζ'. Ἐπεὶ ὁ τοῦ Θεοῦ λόγος βέβαιος καὶ ἀκλινής ἐστι, στύλος εἰκότως καλεῖται, ὡς τὴν καταδεξαμένην αὐτὸν Ἐκκλησίαν, στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας εἶναι. Ἀλλ' ἐπεὶ καὶ πότιμος καὶ καρπῶν αἴτιός ἐστιν, ὑετοῦ δίκην εἰς τὰς διανοίας τῶν ἀνθρώπων ἐρχόμενος, « στύλος νεφέλης ἐστί. » Τάχα δὲ καὶ προεθεσπίζετο διὰ τούτου ἡ τοῦ Σωτῆρος δεῦρο κάθοδος, καθ' ἣν ἐπιβὰς κούφης νεφέλης, εἰς Αἴγυπτον ἦκε τὸν περὶ γῆν τόπον. — Τελείου δὲ ἀνδρὸς καὶ ἔχοντος πάσας τὰς ἀρετὰς, τὸ πάντα τὰ μαρτύρια καὶ προστάγματα τοῦ Θεοῦ φυλάττειν.

Στ. η'. Σὺ ὁ ἡμέτερος καὶ Κύριος καὶ Θεὸς, λέγω δὴ ὁ τῶν ἐθνῶν βασιλεὺς, αὐτὸς ἦσθα ὁ καὶ τὸν ἀμφὶ Μωϋσέα καὶ Ἀαρὼν ἐπακούων. — Ἐν οἷς παιδείας ἐδέοντο, ὥσπερ τὸν Ἀαρὼν ἐπὶ τῇ μοσχοποιίᾳ, καὶ τὸν Μωϋσῆν ἐπὶ τῇ ἀπιστίᾳ τοῦ ὕδατος τῆς ἀντιλογίας.

post : Quid igitur de istis dicemus ? nisi omnes itidem designari quicunque iisdem virtutibus ornantur. Quod si autem res ita se habeat, perspicuum est omnes quicunque fideles servi fiunt, juxta Moysem esse ; eadem pariter de cæteris valent.

VERS. 7. Cum Dei sermo firmus et inconcussus, haud inepte columna vocatur, ita ut quæ illum suscepit Ecclesia, columna sit et fundamentum veritatis. At cum simul potabilis sit, et ubertatis causa, et roris instar mentes hominum imbuat, « columna nubis » vocatur. Innuunt etiam forte hæc Salvatoris in terram adventum ; quippe qui levi circumdatus nube Ægyptum, terram videlicet accessit. — Perfecti hominis est et omnibus virtutibus ornati, omnia Dei testimonia et præcepta custodire.

VERS. 8. Tu Dominus et Deus noster, tu et gentium rex, non alius ab illo qui Moysem et Aaron exaudivit. — (Propitius fuisti eis) quando venia indigebant, uti Aaron cum vitulum conflavit, et Moyses cum aquæ contradictionis confidere noluit.

PSALMUS XCIX.

Στ. δ'. Πύλαι τοῦ Κυρίου αἱ κατ' εἶδος ἀρεταὶ, περὶ ὧν καὶ ἐν ἄλλοις εἴρηται· « Ἀνοίξατέ μοι πύλας αὐτοῦ· » ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ, ἐν τοῖς κατὰ θεολογίαν ὕμνοις, εἰσεληλυθότες εὐχαρίστως ἐξομολογήσονται τῷ Θεῷ.

VERS. 4. Portæ Domini, cujusque generis virtutes ; de quibus alias quoque dictum est : « Aperite mihi portas justitiæ [35]. » Atria Domini ingressi hymnis Deum celebrantes, grata mente confitebuntur ei.

PSALMUS C.

Στ. α'. Ὁ νῦν ᾄδων πραΰνει καὶ καταστέλλει τὰ ἤθη τῶν ἀκροατῶν διὰ τῆς ᾠδῆς, κριτὴν τὸν Θεὸν τῶν πραττομένων ἀνθρώποις ὑμνῶν. Εἶτ' ἐπεὶ ἀκριβὴς αὐτοῦ ἐστιν ἡ κρίσις, οὐ τὰ φανερὰ μόνον, ἀλλὰ καὶ τὰ κρυπτὰ τῆς καρδίας ἐξετάζουσα, σὺν χρηστῇ προθέσει ἐπάγει αὐτήν. Εἰ γὰρ τῷ πρὸς ἀξίαν τῶν ἔργων καὶ λόγων καὶ ἐνθυμημάτων ἡμῶν σκοπήσῃ, ἀρδὴν ἀπολλύμεθα· ἵν' οὖν μὴ τοῦτο γένηται, πρὸ τῆς κρίσεως ἐλεεῖ· « Ἐὰν » γὰρ « ἀνομίας παρατηρήσῃ, Κύριε, τίς ὑποστήσεται ; » Καὶ ἐπεὶ παρὰ σοῦ ὁ ἱλασμός ἐστιν, πηγὴ γὰρ τυγχάνεις ἀγαθότητος καὶ ἐλεημοσύνης, θαῤῥοῦμεν ὅτι ἐλέῳ καὶ κρίσει ἐξετάζοντός σου τὰ καθ' ἡμᾶς, σωτηρίας τευξόμεθα.

VERS. 1. Qui nunc cantat, mores audientium cantico informat et exornat, judicem Deum celebrans operum ab hominibus perfectorum. Deinde cum judicium ejus accuratum sit, non manifesta tantum, sed vel abscondita cordis perscrutantis, misericordiam Dei simul commendat. Nam si pro meritis opera et sermones et sensus cujusque consideraverit, omnibus omnino pereundum. Quod ne fiat, ante judicium misericordem se gerit ; nam « si iniquitates observaveris, Domine, quis sustinebit [36] ? » Cum igitur propitiatio apud te, tuque fons bonitatis et misericordiæ, speramus nos, te nostra cum misericordia et judicio perscrutante, salutem consecuturos.

Στ. β'. Τῶν διαπορευομένων κατὰ τὰς τοῦ νόμου ἐνεργείας ὅσοι σὺν κακίᾳ κινοῦνται, ἐκτὸς ἑαυτῶν γίνονται, ἐμπαθῶς τοῖς αἰσθητοῖς προσκεχηνότες. Ἔθος γοῦν λέγειν τοὺς τοιούτους ἐκτὸς ἑαυτῶν καὶ ἐξεστηκότας εἶναι. Ὁ δὲ σὺν ἀκακίᾳ, τουτέστι σὺν ἀρετῇ, κινούμενος περὶ τὰ πρακτέα καὶ φρονητέα, πρὸς ἑαυτὸν κυκλικῶς τρέφεται ὅλως τοῦ νοῦ καὶ τῆς ἐπιμελείας τοῦ ἔσω ἀνθρώπου γινόμενος, « διαπορεύεται » μεθ' ἕξεως βελτίστης « ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ. » Οἶκος δὲ ἑκάστου τῶν σπουδαίων ἡν καθορθοῦσιν τὴν ἀρετήν.

VERS. 2. Qui juxta legis operationes deambulant, quotiescunque cum malitia moventur, jam non sunt apud se, rerum sensibilium amore quam vehementissime capti. Unde istiusce generis homines extra se esse et exsistere dicimus. Qui autem in innocentia, in virtute scilicet movetur circa ea quæ agenda aut cogitanda sunt, circum semetipsum in orbem circumvolvitur, mente et cura interiori homini unice intentus, et cum optimis moribus « in medio domus suæ deambulat. » Domus autem unicuique justorum, virtus quam perficit.

[35] Psal. CXVII, 19. [36] Psal. CXXIX, 3.

Digitized by Google

Vers. 3. Non habeo mihi datam legem quam transgrediar. Hunc versum usurpare poterunt et Joseph et Susanna et tres pueri in fornace et quicunque iisdem vestigiis insiterint.

Vers. 4. Scriptum est in Ecclesiaste : « Fecit Deus hominem rectum [37]. » Quod si igitur homo rectus exstitit, in principio ad virtutem informatus, omnis malitia et morum pravitas procul ab eo est. Talia profiteri poterit quicunque pristinam rectitudinem et cum Deo similitudinem retinuerit.

Vers. 8. Mortificatis membris in terra, oppresso et in servitutem redacto corpore. Ii sunt impetus quibus nos caro ad peccata propellit, qui animas ita afficiant, ut voluptatis amore iniquitatem operari non dubitent.

Στ. γ'. Οὐ σκοπὸν ἔχω καὶ προκείμενον τέλος παρανομῆσαι. Καὶ ἐροῦσί γε τὸ ἐγκείμενον Ἰωσὴφ, Σουσάννα, οἱ ἐν τῇ καμίνῳ τρεῖς παῖδες, καὶ ὅσοι εἰς τὰ τάγματα τούτων συλλέγονται.

Στ. δ'. Γέγραπται ἐν τῷ Ἐκκλησιαστῇ· « Ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ. » Εἰ οὖν εὐθὴς γεγένηται, τὸ κατ' ἀρετὴν ἀρχῆθεν πεποιῶσθαι, πᾶσα κακία καὶ σκολιότης ἠθῶν μακρὰν αὐτοῦ ἐστιν. Ὅστις οὖν διέμεινε τηρῶν τὴν εὐθύτητα καὶ τὴν πρὸς Θεὸν ὁμοιότητα, ταύτην προφέρει τὴν φωνήν.

Στ. η'. Νεκρουμένων γὰρ τῶν μελῶν τῶν ἐπὶ τῆς γῆς, ὑποπιεζομένου καὶ δουλαγωγουμένου τοῦ σώματος. Αἱ ἐκ τῆς σαρκὸς τῶν ἁμαρτημάτων ἀφορμαὶ, οἵαί τε εἰσὶν ἐγεῖραι λογισμοὺς τῇ ψυχῇ τοὺς σπεύδοντας δι' ἡδονῆς ἀπόλαυσιν τὴν ἀνομίαν ποιεῖν.

PSALMUS CI.

Vers. 1. Quod si quid petieris non habens quod petis, illudque petitione consecuturus, pauper es. Dum Deum oras, bonorum optas particeps fieri, quæ viribus tuis adipisci nequis : quamobrem omnes coram Deo pauperes. Licet igitur magnus fuerit David et rex, pauper erat, eorum egenus quæ Deus largitur : itaque cum sciret se Dei auxilio vel magna, vel omni ex parte destitutum, tanta anxietate perturbatus est, ut animo prorsus deficeret. Deinde deposita omni spe precem suam coram Domino effudit, invocans eum qui ea quæ bona sunt invocantibus se tribuit. Qui enim non talia, sed peritura petit, non audet coram Domino precem suam effundere, animo malis affectibus dedito.—Orantes Deum tanquam supplices invocamus, precantes ea petimus quæ vult indigenti suppeditari. Hæc autem sunt res absolute bonæ, quas Deum largiri decet, nobisque petentibus accipere prodest. Jam dictum est de clamore sanctorum Deum laudantium et magna voce celebrantium, illos non ore sed mentis affectu ad Deum clamare.

Στ. α'. Πᾶς ὁ αἰτούμενός τι, οὐκ ἔχων ὃ αἰτεῖται ἐπὶ τὸ τυχεῖν τούτου ἐρχόμενος διὰ τῆς αἰτήσεως, πτωχός ἐστι. Πᾶς οὖν προσευχόμενος Θεῷ, ἀγαθῶν αἰτεῖται μετουσίαν, ταύτην ἐξ ἑαυτοῦ ἔχειν οὐ δυνάμενος· ὅθεν καὶ πάντες πρὸς Θεὸν πτωχοί. Εἰ καὶ μέγας οὖν καὶ βασιλεὺς ὁ Δαυὶδ, ἐν τοῖς ἐκ Θεοῦ διδομένοις πτωχὸς ἦν· ὅθεν γνοὺς ἑαυτὸν πολλῶν ἢ πάντων τῶν ἐκ Θεοῦ χορηγουμένων λειπόμενον, ἀκηδίας ἀναπίμπλαται, ὡς σφόδρα ἀθυμῆσαι. Εἶτα μετὰ τὸ οὕτω διατεθῆναι, ἐκχέει ἐνώπιον Κυρίου τὴν δέησιν αὐτοῦ, αἰτούμενος παρὰ τοῦ διδόντος τὰ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. Ὁ γὰρ μὴ ταῦτα, ἀλλά τι τῶν προσκαίρων αἰτῶν, οὐκ ἔχει παῤῥησίαν ἐνώπιον Κυρίου ἐκχέειν τὴν δέησιν αὐτοῦ, δι' ἐμπαθῆ προαίρεσιν. — Ἡ μὲν προσευχὴ τὴν ἱκετηρίαν δηλοῖ τὴν πρὸς τὸν Θεὸν, καὶ τὴν παράκλησιν· ἡ δὲ δέησις τὴν αἴτησιν, τὴν περὶ ὧν βούλεται αὐτῷ τῷ δεομένῳ παρασχεθῆναι. Ταῦτα δέ ἐστι τὰ κυρίως ἀγαθὰ, καὶ τῷ Θεῷ πρέπον διδόναι, καὶ τοῖς αἰτοῦσι συμφέρει λαβεῖν. Εἴρηται δὲ ἤδη περὶ κραυγῆς τῶν ἁγίων ὑμνούντων Θεὸν καὶ εὐχομένων αὐτὸν μεγαλοφώνως, ὅτι ἔστιν οὐχὶ ἐν προφορᾷ, ἀλλ' ἡ τῆς νοήσεως ἐπίστασις.

Vers. 4. Sæpius jam notatum est ossa nil aliud esse præter firmissimas interioris hominis doctrinas et validissimas animæ virtutes, quæ cupiditatum incendio confringuntur; aruit autem cor ejus, nil lætum habens quo lætaretur. Tantas enim in calamitates delapsus sum, ut jam panem comedere oblitus sim, præstanti ipsius naturæ convenientem et congruum. Cujus panis particeps factus est, qui rebus externis non amplius turbatur et circumagitatur.

Στ. δ'. Εἴρηται πολλάκις ὀστᾶ εἶναι τοῦ ἔσω ἀνθρώπου τὰ εὔτονα τῶν δογμάτων, καὶ αἱ στερρόταται τῆς ψυχῆς δυνάμεις, ἃ καὶ συμφρύγεται ὑπὸ τῆς τῶν ψυχικῶν παθῶν πυρώσεως. Ξηρανθῆναι δὲ αὐτοῦ τὴν καρδίαν φησὶν, οὐδὲν ἱλαρὸν ἐφ' ᾧ ἔστιν ἔχειν θυμηδίαν κεκτημένην. Γέγονα γὰρ ἐν τοῖς προκειμένοις περιστατικοῖς τοσοῦτον, ὡς μηκέθ' οἷόν τε εἶναι τὸν κατάλληλον καὶ ἁρμόδιον τῇ τιμιωτέρᾳ οὐσίᾳ αὐτοῦ ἄρτον τρέφεσθαι. Τούτου γὰρ τοῦ ἄρτου μεταλαμβάνειν ἔστι, μὴ περιελκόμενον μηδὲ θολούμενον τῶν ἐκτός.

Vers. 17. Quibus verbis, ni fallor, annuntiat Dei Verbi, ipsius Domini et Salvatoris nostri Jesu Christi inter homines commorationem; cujus opera Sion denuo ædificata est. Quod si autem illud confitearis, noli putare hic de terrena civitate, aut de terrestri Jerusalem agi; sed renovandam esse dicit pietatis conversationem. —Cum circa divinam

Στ. ιζ'. Προφητεύειν αὐτὸν οἶμαι ἐν τούτοις τοῦ Θεοῦ Λόγου, αὐτοῦ δὴ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν εἰς ἀνθρώπους θεοφάνειαν, αἰτίαν ἐσομένην τῆς ἀνοικοδομῆς τῆς Σιών. Ἔνθα δὴ γενόμενος, μή μοι τὴν ἐπὶ γῆς πόλιν ὑπολάμβανε, μηδὲ τὴν ἐπίγειον Ἱερουσαλὴμ νόμιζε δηλοῦσθαι, ἀλλὰ τοῦ τῆς εὐσεβείας πολιτεύματος τὴν ἀνανέωσιν.

[37] Eccle. VII, 30.

Digitized by Google

— Ἐπειδὴ γὰρ οἱ τὰς θείας οἰκονομίας ἀγνοοῦντες, ἀσθένειαν ὑπελάμβανον τοῦ Θεοῦ, τὴν Ἰουδαίων δουλείαν καὶ τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν, εἰκότως δόξαν ἐκάλεσε τοῦ Θεοῦ τὴν τῆς πόλεως νεουργίαν. A

providentiam errantes, infirmitate Dei putabant Judæos fuisse in captivitatem deductos, et Jerusalem vastatam, haud immerito dicit Dei gloriam esse urbis restitutionem.

Στ. κβ'. Ἡ γὰρ σκοπευτικὴ ψυχὴ Σιὼν τυγχάνουσα, ἕξει τοὺς ἐπαγγέλλοντας αὐτῇ διδασκάλους τὸ ὄνομα Κυρίου, ἀπαγγέλλοντας δὲ καὶ τὴν αἴνεσιν αὐτοῦ, ἐν τῇ διὰ τὸ ὁρᾶν *τὴν εἰρήνην* χρηματιζούσῃ Ἱερουσαλὴμ διανοίᾳ. Ἡ δὲ Σιὼν καὶ Ἱερουσαλὴμ κατήγοροι τῆς Ἐκκλησίας, διὰ τὸ σκοπεῖν τὰ κρείττονα, καὶ ὁρᾶν τὴν εἰρήνην τῷ εἰρμῷ καὶ τῇ συμφωνίᾳ τῶν δογμάτων. Εἰκότως καὶ ἐν οὕτω καλουμένῃ Σιὼν ἀναγγελθείη τὸ ὄνομα Κυρίου, καὶ ἡ αἴνεσις αὐτοῦ ἐν τῇ οὕτω προσαγορευθείσῃ Ἱερουσαλήμ. Ἐν ταύτῃ γὰρ κηρύσσεται τὰ τῆς θεότητος αὐτοῦ μυστήρια, τά τε τῆς πρὸ τῶν αἰώνων, καὶ τὰ τῆς δευτέρας αὐτοῦ καὶ ἐνδόξου παρουσίας. B

Vers. 22. Anima enim, quæ hic voce Sion intenditur, magistros habebit qui ipsi nomen Domini annuntient, et laudem ejus in mente celebrent, hic Jerusalem vocata, quod *pacem* videat. Ecclesiam quoque designant Sion et Jerusalem; ipsa enim optima sapit et pacem videt, doctrinis inter se tam apte connexis. Nec immerito annuntiatur nomen Domini in ista Sion, et prædicatur laus ejus in ista Jerusalem. In ipsa enim narrantur divinitatis ejus mysteria, et ea quæ ante sæcula, et ea quæ ad alterum illustremque ipsius adventum referenda.

Στ. κδ'. Τίς « ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ; » Οὐ συμφαίνει ἡ λέξις μήποτ' οὖν τὸν κτιζόμενον λαὸν ἐπὶ τῷ αἰνέσαι Κύριον λέγειν. Ὑπερ μᾶλλον τὸν ἐν τῇ προγραφῇ πτωχὸν ἀκηδιῶντα καὶ ἐνώπιον Κυρίου ἐκχέοντα τὴν δέησιν αὐτοῦ ἡγητέον εἶναι τὸν ἀποκρινόμενον, οὐ φωνῇ καὶ προφορᾷ, ἀλλ' ἐν ὁδῷ ἰσχύος αὐτοῦ· ἰσχυρῶς γὰρ καὶ μετ' εὐτονίας ὁδεύοντα τὴν κατ' ἀρετὴν ὁδὸν τῶν πράξεων.

Vers. 24. Quis « respondit ei in via fortitudinis suæ? » Non indicat Scriptura verba ista ad celebrandum Dominum a novo populo usurpari. Rectius igitur putares ea proferre illum qui in inscriptione pauper dicitur, et anxius, et coram Domino precem suam effundens, illumque respondere non voce et ore, sed in via fortitudinis suæ : viam scilicet virtutis et honestæ vitæ firmo et certo pede perficiendo.

Στ. κε'. Ἐν ἡμίσει δὲ ἡμερῶν ἀνάγεται ὁ μὴ τελείως μηδὲ ὡς δεῖ ἐνταῦθα καρποφορήσας κατὰ τὴν ἀρετήν. Οὐκ ἐν χρονικῷ δὲ διαστήματι τοῦτο μεμέτρηται, ἐπεὶ τότε πλήρης ἡμερῶν κατὰ τὸν Ἀβραὰμ παραλαμβάνομαι, ὅταν τελειωθῶ μετὰ τῆς γνώσεως τῆς ἀληθείας καὶ τῶν ἀρετῶν. C

Vers. 25. In dimidio dierum suorum auferetur, qui nec perfectos nec dignos virtutis fructus his in terris tulit. Non enim metiuntur hæc temporum intervallo, cum plenus dierum secundum Abraham inveniar, quando perfectam veritatis scientiam, perfectamque virtutem fuero consecutus.

Στ. κς'. Τουτέστιν ἅμα τῷ οὐσιωθῆναι αὐτὴν πεποίηκας. Συμφώνως δὲ τὸ, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, » δύναται τὸ κατ' ἀρχὰς κείμενον ἀναιρεῖν δόξαν τῶν λεγόντων πάντων τὴν γῆν στοιχεῖον εἶναι, ὡς πάντα ἐξ αὐτῆς γεγονέναι, οὐδενὸς προτέρου αὐτῆς ὄντος. Φαίνεται γὰρ οὐκ ἀρχὴ, ἀλλὰ κατά τινας προεπινοουμένας αὐτῆς ἀρχὰς θεμελίους αὐτῆς ὑπάρχειν. Εἴρηται καὶ τῷ Ἰὼβ ὑπ' αὐτοῦ τοῦ Κυρίου θεμελιώσαντος τὴν γῆν· « Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; » Θεμελιοῦντος δὲ τοῦ Κυρίου, δι' οὗ τὰ πάντα γεγένηται, τὴν γῆν. Καὶ περὶ τοῦ Πατρὸς λέγεται· « Ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· » καὶ τὸ εἰρημένον δὲ περὶ Θεοῦ, « Κρεμάζων γῆν ἐπ' οὐδενὸς, » ἐμφαίνει τὴν ἐν τῷ μέσῳ τοῦ παντὸς χώραν αὐτὴν ἐσχηκέναι. — Τῶν ἐνεργητικῶν σου δυνάμεων, χειρῶν ὀνομαζομένων· ἐπεὶ γὰρ τῶν ἐν ἡμῖν τεχνιτῶν χερσὶν ἐργαζομένων τὰ ἔργα, παρίστησιν γνησίως αὐτοὺς ταῦτα πεποιηκέναι. Τὸ κυρίως ἔργα τοῦ Θεοῦ τὰ κτίσματα εἶναι, παρίσταται διὰ τὸ χειρῶν αὐτοῦ ἔργα λέγεσθαι. D

Vers. 26. Terram scilicet fecisti, cum primum constituta est. Nec aliter sonat illud : « In principio fecit Deus cœlum et terram [38]. » Voce a principiis videtur tolli eorum opinio qui contendunt terram esse rerum omnium elementum, ita ut ex ea omnia facta sint, et nihil prius exstiterit. Principia enim quædam ante fuisse suspicamur, quam terra fundaretur, nedum ipsa sit cæterarum rerum principium. Ita dictum est apud Job ab ipso Domino terram fundante : « Ubi eras cum fundarem terram [39]? » Fundavit eam igitur Dominus per quem omnia facta sunt. Dicitur autem et de Patre : « Deus in sapientia fundavit terram [40]; » et rursus : « Suspendens terram super nihilum [41] : » quod innuit terram in medio totius universi fuisse locatam. — Manus vocantur virtutes quibus operatur Deus; cum enim apud nos manibus fabri opera sua perficiant, fingunt Deum simili modo hæc creavisse. Dei opera proprie esse creaturas manifestum ex eo, quod opera manuum ejus dicantur.

Στ. κη'. Οὐ πεφυκὼς ἀλλοιοῦσθαι ἢ μεταβάλλεσθαι· κτισμάτων γὰρ ἴδιον τοῦτο, καὶ τὴν οὐσίωσιν αὐτοῖς ἀπὸ τροπῆς ἦρχθαι. — Παλαιουμένων πάντων τῶν ὑπὸ χρόνων, τὰ γὰρ χρονικὴν ἀρχὴν ἐν τῷ γίνεσθαι

Vers. 28. Non es qui corrumpi aut mutari possis : hoc enim creaturarum proprium ; quippe quæ vel mutatione creantur. — Dum omnia tempore veterascunt, quæ enim certo tempore exorta sunt,

[38] Gen. I, 1. [39] Job XXXVIII, 4. [40] Prov. III, 19. [41] Job XXVI, 7.

Digitized by Google

labentibus annis veterascant oportet.— Et paulo post: Dum vetera volvi jubet, indicat usum jam non exstare ad quem in præsenti rerum ordine constituta fuerunt : nam sicut opertorium volvitur, cum eo jam non amplius opus est, ita quando cœlum cum terra simul evertendum sit, ubi transierint, juxta Salvatorem dicentem : « Cœlum et terra transibunt. » Non inepte dicuntur sicut opertorium volvi. Cum igitur eos volvendos esse dixerit, addit « et mutabuntur. » — Tu, Domine, usque idem et immotus; nec unquam esse cœperunt anni tui, nec siveris eos unquam deficere; nam æternus de quo hic agitur.—Et rursus : Non deficere dicit annos ejus, quod nullis finibus terminatur vita ejus, sed inconceptibilis maneat, vere et sola immortalis.

A λαχόντα, πολλοῦ χρόνου παρατρέχοντος παλαιοῦται. — Καὶ μετ' ὀλίγα· Τὸ δὲ παλαιούμενον καὶ ἐλίσσεσθαι αὐτοὺς σημαίνει, παρεληλυθέναι τὴν χρείαν, καθ' ἣν συνεβάλλοντο τῇ παρούσῃ διακοσμήσει· ὡς γὰρ τὸ περιβόλαιον ἐλίσσεται μετὰ τὸ πληρῶσαι τὴν χρείαν, οὕτως ἐπεὶ καὶ τοῦ οὐρανοῦ ἅμα τῇ γῇ πάλιν ἀναστοιχείωσις ἔσται, μετὰ τὸ παρελθεῖν αὐτά, κατὰ τὸν λέγοντα Σωτῆρα· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται. » Εἰκότως εἴρηται ὡσεὶ περιβόλαιον ἐλίσσεσθαι. Τῇ ἐλιγῇ γοῦν αὐτῷ ἐπιφέρεται (54) τὸ « καὶ ἀλλαγήσονται. » — Σοῦ, ὦ Δέσποτα, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος, οὔτε ἤρξατο, οὔτε χρονικῶς ἐκλαβεῖν τὰ ἔτη θελήσεις· ἄχρονος γὰρ περὶ οὗ ταῦτα λέγεται. — Καὶ πάλιν· Μὴ ἐκλείπειν δὲ αὐτοῦ εἶπεν τὰ ἔτη τῷ ἐπάπειρον (55) τὴν B ὕπαρξιν αὐτοῦ μένειν ἄφθαρτον, ὄντως καὶ μόνου ἀθανασίαν ἔχοντος.

Στ. κθ'. Υἱοὺς δὲ δούλων τοῦ Θεοῦ. οὐ πάντως (56) κατὰ σάρκα διαλαβεῖν, ἀλλὰ κατὰ παίδευσιν καὶ μίμησιν πολιτείας. Ταύτῃ γὰρ καὶ οἱ υἱοὶ τῶν προφητῶν τινες ἐκαλοῦντο, τῷ κατὰ προφητικὴν ἕξιν ἴσως γεγενῆσθαι παρ' αὐτῶν. — Σπέρμα δὲ αὐτῶν οἱ πρὸς αὐτῶν ὠφελούμενοι ἐτύγχανον.

Vers. 29. Filii servorum Dei non quidem secundum carnem intelligendi, sed ii sunt qui eorum ad normam et disciplinam informantur. Ita enim vocabantur quidam filii prophetarum, sane quod vitam suam juxta prophetarum mores instituebant. — Semen autem eorum qui ab ipsis fuerint aucti.

PSALMUS CII.

Vers. 1. Licet homo concretus non alius sit præter animam et corpus, e quibus constat, ipse tamen animam suam tanquam a se distinctam alloquitur. Ipse igitur homo animam suam ad laudandum Deum excitat. Qui contendunt hanc animam Spiritus esse, non putant profecto illum ab ea animari, sed imperio eam et cura dirigere. Interiora sua vocat omnes mentis facultates; nam hoc sensu interpreteris oportet quod Salvator quibusdam dixit : « Regnum cœli intra vos est [42]. »

Στ. α'. Εἰ καὶ μὴ ἄλλος ὁ σύνθετος ἄνθρωπος παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξ αὐτῶν γὰρ τούτων συντέθειται, ἀλλά γε τοῦ ὅλου ἡ ψυχὴ λέγεται, ὡς ἄλλη αὐτοῦ. Ὁ σύνθετος οὖν ἐστιν ὁ παρορμῶν τὴν ἑαυτοῦ C ψυχὴν ἐπὶ τὸ εὐλογεῖν τὸν Κύριον. Καὶ οἱ τὴν ψυχὴν δὲ λέγοντες εἶναι τοῦ Πνεύματος, οὐχ ὡς ψύχουσαν αὐτῷ φασὶν, ἀλλ' ὡς ὑπ' αὐτῷ καὶ τὴν αὐτοῦ κηδεμονίαν τυγχάνουσαν. Ἐντὸς δὲ αὐτοῦ καλεῖ πᾶσαν τὴν λογικὴν τοῦ ἀνθρώπου δύναμιν· οὕτω γὰρ ἀκουστέον καὶ τοῦ Σωτῆρος λέγοντός τισιν· « Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν. »

Vers. 3. « Sana, » inquit, « animam meam quia peccavi tibi [43]. » Redimit autem vitam de corruptione, ne diutius corrupta et libidinosa vita vivas, sed in incorruptione diligas Dominum Jesum. Redimet etiam vitam tuam de corruptione, dum in resurrectione incorruptibile tibi largietur corpus.

Στ. γ'. Ἴασαι, φησὶν, τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Λυτροῦται δὲ ζωὴν ἐκ φθορᾶς, ἵνα μηκέτι κατὰ φθορὰν καὶ ἐμπαθῆ ζῇς ζωὴν, ἀλλ' ἐν ἀφθαρσίᾳ ἀγαπῶν τὸν Κύριον Ἰησοῦν. Καὶ ἄφθαρτον δὲ παρέχων σοι σῶμα ἐν τῇ ἀναστάσει, λυτροῦται ἐκ φθορᾶς τὴν ζωήν σου.

Vers. 4. Corona enim tua ex misericordia et miseratione constat. Nam uti alii justitiæ coronam adipiscuntur, et immarcescibilem coronam gloriæ, ex justitia et recta fama contextam, ita et tu pro operibus tuis misericordia et miseratione coronaberis, juxta illud : « Beati misericordes, quoniam ipsi misericordiam consequentur [44]. » Potius autem propter misericordiam miserationemque Dei, quam propter laudem quam tibi hac in vita promeruerit. — Coronat nos non pro meritis nostris, sed pro summa sua misericordia et miseratione.

Στ. δ'. Τῆς ὕλης τοῦ στεφάνου τούτου ἐλεημοσύνης καὶ οἰκτιρμοῦ τυγχανούσης. Ὡς γὰρ ἄλλοι τὸν τῆς D δικαιοσύνης στέφανον, καὶ τὸν ἀμαράντινον τῆς δόξης στέφανον δέχονται ἐκ δικαιοσύνης καὶ δόξης ὀρθῆς πεπλεγμένον, οὕτω καὶ σὺ ἐξ ἐλέους καὶ οἰκτιρμοῦ ὧν εἰργάσω στεφανοῦσαι· κατὰ τὸ, « Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. » Οὐ τοσοῦτον δι' ἃ ἠνδραγαθήσω ἐν τῷ ἀγωνίζεσθαι, ὅσον διὰ τὸ ἐλεῆσθαι (57) καὶ οἰκτείρεσθαι ὑπὸ Κυρίου. — Στεφανοῖ ἡμᾶς οὐ πρὸς τὴν ἡμετέραν σκοπῶν ἄθλησιν, ἀλλὰ πρὸς τὸν ἑαυτοῦ ἔλεον καὶ οἰκτιρμόν.

Vers. 5. (Satiat) bona largiens rogantibus eum.

Στ. ε'. Διδοὺς γὰρ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. Ἐπεὶ

[42] Luc. XVII, 21. [43] Psal. XL, 5. [44] Matth. V, 7.

(54) *Τῇ ἐλιγῇ οὖν αὐτῷ ἐπιφέρεται.* Si quis vocem ἐλιγή in lexicis quæsiverit, frustra erit; a themate autem ἑλίσσω derivata idem significat atque ἑλιγμός. Præterea non nemini legere placuerit αὐτῶν, quamvis αὐτῷ defendi possit, modo ad τὸ *ἐπιφέρεται* referatur. EDIT.

(55) Lege ἐπ' ἄπειρον, *in æternum*. ID

(56) Supple δεῖ, vel aliquid simile. ID.

(57) Nota ἐλεῆσθαι pro ἐλεεῖσθαι, et infra οἰκτειρμόν pro οἰκτιρμόν, φύσει pro φύσῃ. ID.

Digitized by Google

οὖν καὶ αὐτὸ τὸ ἐπιθυμεῖν τῶν ἀγαθῶν, αἰτεῖσθαι αὐτὰ τυγχάνειν, δίδούς σοι πάντα τὰ ὧν ὀρέγῃ, « ἐμπιμπλᾷ ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου · » τοῦ γὰρ δικαίου πᾶσα ἐπιθυμία ἀγαθή ἐστιν. — Ὡς γὰρ τὸ ὄρνεον τοῦτο γηρᾶσαν ἀποτιλλοῦται, ἵνα αὖθις νέα ἕτερα φύσει, οὕτω καὶ ὁ συγγηράσας τῇ κακίᾳ ἀνανεωθῇ τῆς ἀρχαιότητος καὶ τῆς νεότητός σου ἐν ἀπολήσει γινομένη. Ἐν οἷς ποτε ἐχρῶ ἰσχυροῖς οὖσιν, καὶ νῦν χρωμένη μετέωρος εἰς οὐρανὸν ἀρθεὶς πρὸς πάντας ἅμα σοὶ τὸν Θεὸν ὑπομεμενηκότας · « Οἱ » γὰρ « ὑπομένοντες τὸν Κύριον ἀλλάξουσιν ἰσχύν, πτεροφυεῖς εἰσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάζουσιν. »

A Cum igitur idem sit, bona desiderare atque illa petere, tribuens tibi quæcunque appetieris, « satiat in bonis desiderium tuum; » nam desideria justi semper bona. Quemadmodum aquila veterascens plumis destituitur ut renovetur altera natura; ita qui in malitia consenuit, renovatur, vetustatem novitate tua commutans. Quod si enim nunc utaris, quibus olim validis usus es, sublimis ad cœlum extolleris, ad omnes qui tecum una Deum exspectaverunt. Nam « qui exspectant Dominum mutabunt fortitudinem, assument alas sicut aquilæ, current, et non laborabunt [46]. »

Στ. ς'. Πατὴρ τῶν οἰκτιρμῶν καὶ μόνος ἀγαθὸς ὢν ὁ Κύριος, ἐλεημοσύνας ποιεῖ, πάντας ἐλεῶν, εὐεργετῶν. Ὅθεν καὶ τοῖς ἀδικουμένοις ὑπὸ διαβόλου καὶ τῆς κακίας ποιῶν κρῖμα, τὸν ἴδιον Υἱὸν ἔπεμψεν ἐπὶ τὸ ἰάσασθαι καὶ ἐλευθερῶσαι τοὺς καταδυναστευομένους ὑπὸ τοῦ Σατανᾶ. — Ὅπως διὰ τοῦ αἵματος τοῦ Κυρίου αὐτοῦ Ἰησοῦ Χριστοῦ καθαρισθῶμεν ἀπὸ πάσης ἀδικίας, οὐ μόνον γὰρ (58) καθ' ἣν ἠδικούμεθα, ἀλλὰ καὶ ἧς ἐπράττομεν. Ἐντεῦθεν μανθάνομεν κατὰ τὴν Παύλου προτροπὴν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν · τοῖς μὲν γὰρ ἀδικουμένοις ὁ Θεὸς ποιεῖ κρῖμα, εὐεργετῶν αὐτοὺς, τοῖς δὲ ἀδικοῦσιν κόλασιν ἐπιφέρων, ὡς μὴ κληρονομεῖν αὐτοὺς θείαν ἐπαγγελίαν · « Ἄδικοι » γὰρ « βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. »

B Vers. 6. Pater miserationum et solus bonus cum sit Dominus, misericordem se gerit et omnes misericordia fovet. Unde injuriam patientibus diaboli et malitiæ judicium faciens, proprium suum Filium misit, ut sanaret et liberaret quoscunque Satanas servitute premebat. — Ut sanguine Domini Jesu Christi ab omni injustitia mundemur, ab ea quam passi sumus, aut quam ipsi admisimus. Quibus discimus, juxta Pauli exhortationem [46], injuriam accipiendam nobis esse potius quam faciendam; nam injuriam patientibus facit Deus judicium, beneficiis cumulans eos; injuriam autem facientes pœnis affligit, ita ut divinam repromissionem non hæreditent. « Non hæreditabunt » enim « regnum Dei injusti. »

Στ. ζ'. Ἐκ παραλλήλου ἀρεταὶ καλοῦνται. Ὁ γὰρ λέγων, « Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, » τὰς ἀρετὰς ἀξιοῖ φανερὰς αὐτῷ γενέσθαι.

C Vers. 7. Viæ hic virtutes designant. Nam qui dicit: « Vias tuas, Domine, notas fac mihi [47], » postulat, ut sibi virtutes innotescant.

Στ. η'. Τούτων δὲ, φησὶν, αἴτια τῶν ἀγαθῶν, τῆς θείας ἀγαθότητος ἄβυσσος, ὁ ἀμέτρητος ἔλεος, τῆς φιλανθρωπίας τὸ πέλαγος.

Vers. 8. Quorum bonorum causa, ait, abyssus divinæ bonitatis, infinita misericordia, benignitatis oceanus.

Στ. θ'. Ἔστι πάντα τὰ εἰρημένα ὁ Κύριος, ἐπείπερ ἀληθινός ἐστιν Θεός. Ὢν δὲ Θεὸς ἀληθινὸς, οὐκ ἐνέξει τῶν εἰρημένων ἀρετῶν, ἀλλὰ πηγὴ, οὐκ οὐσία αὐτῶν ὑπάρχει · διὸ καὶ θαῤῥοῦμεν · ὅτι κἂν ποτε ἁμαρτήσασιν ἡμῖν ὀργισθείη, οὐκ ἐπὶ τὸ συντελέσαι καὶ ἀποτελέσαι τοῦτο ποιεῖ. Τοῦτο γὰρ ἦν τὸ « εἰς τέλος ὀργισθήσεται, » τουτέστι παραμένειν τὸ ὀργίζεσθαι ἕως τέλους καὶ φθορᾶς τῶν πρὸς οὓς ἡ ὀργή. Μὴ εἰς τέλος οὖν ὀργιζόμενος, οὐδ' εἰς τὸν αἰῶνα μηνιεῖ.

Vers. 9. Hæc omnia de Domino valent, quando Deus verus est. Deus autem verus cum sit, non illis virtutibus ornatur, sed fons, non substantia earum est; quamobrem et nos fiduciam habemus. Nam etiamsi in peccantes nos iratus fuerit, non ad perdendos delendosque nos illud facit. Hoc enim significaret illud « in finem irascetur, » manebit scilicet ira usque ad finem et ruinam eorum in quos irascitur. Dum autem non in finem irascitur, neque in æternum indignabitur.

Στ. ιδ'. Εἰ γὰρ καὶ μὴ πᾶσα ἡ κατασκευὴ ἡμῶν ἐκ χοῦ ἐστιν, ἔχομεν γὰρ καὶ νοερὰν φύσιν ἑαυτοῖς κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ τυχοῦσαν, ἀλλά γε ἐν ταῖς πρὸς Θεὸν ἱκεσίαις συλλήπτορα καὶ εὐεργέτην ἔχειν αὐτὸν ἀξιοῦντες, τὸ ὑποδεέστερον καὶ ἀσθενέστερον τῶν ἐν ἡμῖν προφέροντες, φαμέν · « Μνήσθητι, Κύριε, ὅτι χοῦς ἐσμεν. » Διὸ βοήθησον τῇ ἀσθενείᾳ καὶ τῇ εὐτελείᾳ ἡμῶν.

D Vers. 14. Licet non unice ex pulvere constemus, naturam ratione præditam adepti et ad imaginem similitudinemque Dei factam, in orationibus tamen ad Deum, auxilium beneficiaque ejus implorantes, nosmetipsos quam infirmissimos quamque imbecillimos præbemus, dicentes: « Memento, Domine, quod pulvis sumus. » Quapropter auxiliare infirmitati et vilitati nostræ.

Στ. ιε'. Ἀκολούθως τῷ, « Μνήσθητι, Κύριε, ὅτι χοῦς ἐσμεν, » οὐ περὶ τοῦ ἔσω ἀνθρώπου, ἀλλὰ περὶ τοῦ ἔξω τὰ προκείμενα διαγορεύει. Κατὰ γὰρ τὴν ἔνυλον καὶ μετὰ σαρκὸς ζωὴν, ἡμέρας τινὰς ἔχομεν τὰς συμπληρούσας ἡμῖν τὸν παρεκτείνοντα

Vers. 15. Sicut verba illa, « Memento, Domine, quod pulvis sumus, » ita et quæ hic occurrunt, non ad interiorem hominem, sed ad exteriorem pertinent. Nam juxta vitam humilem carnis dies habemus cum arescenti feno conferendas, eas sci-

[46] Isa. XL, 31. [47] I Cor. VI, 7, 8. [47] Psal. XXIV, 4.

(58) Nota particulam γάρ in sensu conjunctionis Latinæ *scilicet*. EDIT.

Digitized by Google

licet quibus hac in terra cum corpore vivimus.—Et paulo post : Dies vocat quæ hac in vita carnali viventibus quam gratissime captantur, divitias, famam, honores et cætera hujusce generis bona. Quæ florum et feni ritu efflorent et marcescunt, ita ut jam non fuisse videantur.

A χρόνον τῆς μετὰ σαρκὸς ζωῆς παραβαλλομένας χόρτῳ ξηραινομένῳ. — Καὶ μετ' ὀλίγα· Παρίστησι δὲ ταύτας ἐν τῷ βίῳ ὑπαρχούσας τοῖς μετὰ σαρκὸς ζῶσι δοκούσας εὐημερίας, πλούτους, δόξας ἀξιώματα καὶ τὰς ἄλλας εὐπραγίας. Ἅπερ δίκην ἄνθους καὶ χόρτου ἀπορρεῖ καὶ μαραίνεται, ὡς μηδὲ γεγονέναι δοκεῖν.

Vers. 16. Spiritus animam innuit, qua præsente corpus et vivit et operatur; qua autem evanescente ruit et labitur corpus, ita ut jam non pristinos characteres retineat. — (Spiritus) eorum sane qui mortali hac in vita degunt.

Στ. ις'. Πνεῦμα τὴν ψυχὴν λέγει, ἧς παρούσης καὶ ζῇ τὸ σῶμα καὶ ἐνεργεῖ· ἀποπτάσης δὲ, κατασβέννυται καὶ φθείρεται, ὡς μηδὲ τοὺς προτέρους ἐπιγινώσκεσθαι χαρακτῆρας. — Δηλαδὴ τῶν ἐν τῷ παρόντι θνητῷ βίῳ.

Vers. 17. Sane caduca nobis natura. At divina benignitas longiorem vitam largitur, et vel posteros avorum gratia et benevolentia fovet. Hæc millies testantur historiæ. Nam propter justitiam Abrahæ, et B Isaaci et Jacobi, dignatus est exortum ex eis populum vocatione et familiari custodia prosequi. — « Filii » justorum, qui eorum virtutes imitantur : ita misericordia ejus « super timentes eum » incircumscripta, « a sæculo usque in sæculum. » Non enim nunc misericordem, nunc immisericordem se præbet; nam natura bonus cum sit, semper miseretur.—Et paulo post: Ipsa autem cum hac misericordia consociata justitia, nec tempore ullo circumscripta, in omnes generationes patet, in filios filiorum, in omnes deinceps futuros, ita ut istam justitiam semper retineat cum misericordia, quæ a sæculo in sæculum propagatur. — Qui bona operando hæredes facti sunt futurarum promissionum.

Στ. ιζ'. Ἡ μὲν οὖν φύσις οὕτως ἐπίκαιρος. Ἡ δὲ θεία φιλανθρωπία τὸν μακραίωνα χαρίζεται βίον, καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τοῖς δικαίοις ἀντίδοσιν. Τοιαῦτα δ' ἂν μυρία εὕροις ἐν ταῖς ἱστορίαις· διὰ γὰρ τὴν τοῦ Ἀβραὰμ δικαιοσύνην, καὶ διὰ τὴν τοῦ Ἰσαάκ τε καὶ τοῦ Ἰακὼβ, τὸν ἐξ αὐτῶν φύντα μετὰ ταῦτα λαὸν τῆς κλήσεως καὶ τῆς οἰκείας ἐπισκοπῆς κατηξίωσεν. — « Υἱοὺς » τῶν δικαίων ἀνδρῶν τοὺς τῶν ἔργων αὐτῶν ζηλωτάς· οὕτω τὸ ἔλεος τὸ « ἐπὶ τοὺς φοβουμένους αὐτὸν » ἀπερίγραφόν ἐστιν, « ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος » παρατείνων (59). Οὐ γὰρ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ οὔ· φύσει γὰρ ἀγαθὸς ὢν, ἀεὶ ἐλεεῖ. — Καὶ μετ' ὀλίγα· Ἀλλὰ καὶ ἡ σύζυγος τῷ ἐλέει τούτῳ δικαιοσύνη, οὐδὲ αὐτὴ περιοριζομένη χρόνῳ, εἰς πάσας ἐκτείνεται τὰς γενεὰς, ἐπὶ υἱοὺς υἱῶν, καὶ εἰς πᾶσαν διαδοχὴν παραμένουσαν, ὡς ἀεὶ τὴν δικαιοσύνην ταύτην ἔχει, μετὰ τοῦ ἐξ αἰῶνος εἰς αἰῶνα ἐλέου. — Οἳ καὶ ἐναπεγράφησαν διὰ τοῦ πράττειν τὰ ἀγαθὰ κληρονόμοι τῶν μελλουσῶν ἐπαγγελιῶν.

Vers. 18. Dantur enim mandata non ut memoriæ tantum commendentur, sed ut opere etiam perficiantur. Ea autem, ut facerent ea, hominibus data esse testatur ipse Salvator, dicens : « Qui habet mandata mea et facit ea, hic diligit me. » Nam facientium ea, non recordantium modo ea, merces et hæreditas, repromissiones.

Στ. ιη'. Δέδονται γὰρ αὗται οὐκ ἐπὶ τῷ μνήμην αὐτῶν ψιλὴν, ἀλλὰ μνήμην εἰς τὸ ποιῆσαι. Ὅτι δὲ εἰς τὸ ποιεῖν δέδονται, καὶ ὁ Σωτὴρ παρίστησιν εἰπών· « Ὁ ἔχων τὰς ἐντολάς μου καὶ ποιῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. » Τῆς γὰρ ποιήσεως, ἀλλ' οὐ τῆς μνήμης αὐτῶν μόνης, μισθὸς καὶ κληρονομία αἱ ἐπαγγελίαι.

Vers. 19. Jam alias dictum est Deum nullo loco circumscribi, sed convenienti aptaque loquendi ratione dicitur in cœlo habitare. Haud inepte igitur asseritur ab illis et hic, eum sedem regni in cœlo paravisse, hoc est firmavisse, cum imperio regnoque suo non cœlestia modo, sed omnia prorsus dirigat ac gubernet.

Στ. ιθ'. Καὶ ἐν ἄλλοις εἴρηται οὐκ ἐν τόπῳ εἶναι τὸν Θεὸν, ἀκολουθίᾳ δέ τινι καὶ οἰκονομίᾳ λέγεσθαι αὐτὸν οἰκεῖν ἐν οὐρανῷ. Ἀκολούθως οὖν ἐκείνοις καὶ ἐνταῦθα ἐν οὐρανῷ ἡτοιμακέναι, τουτέστιν ἱδρυκέναι, τὸν θρόνον τῆς βασιλείας εἴρηται, τῆς ἀρχῆς αὐτοῦ καὶ βασιλείας οὐ μόνον τῶν ἐν οὐρανῷ, ἀλλὰ καὶ πάντων ἁπαξαπλῶς κρατούσης καὶ δεσποζούσης.

Vers. 20. Noli putare hæc a propheta homine angelis mandari, sed ab inhabitante eum Spiritu sancto : nam, « Omnes angeli ejus, » Domini videlicet, ait, « benedicite eum. » Cum autem angelis omnibus legem dat, ab eis alius sit natura Spiritus necesse est. Quod si res ita se habeant, qui igitur ad eam audaciam venere quidam, ut assererent eum ex ordine angelorum esse, licet ab omnibus distinctus sit?

Στ. κ'. Οὐ τὸν προφήτην ἄνθρωπον ὄντα, ἀλλὰ τὸ ἐν αὐτῷ Πνεῦμα ἅγιον ἡγητέον προστάττειν τοῖς ἀγγέλοις τὰ ἐγκείμενα· « Πάντες » γὰρ, φησὶν, « οἱ ἄγγελοι αὐτοῦ, » δηλονότι τοῦ Κυρίου, « εὐλογεῖτε αὐτόν. » Προστάττων δὲ πᾶσι τοῖς ἀγγέλοις, τὸ Πνεῦμα ἕτερον αὐτῶν κατ' οὐσίαν ἐστίν. Εἰ δὲ τοῦτο, πῶς θρασέως ἐτόλμησάν τινες τῆς τάξεως τῶν ἀγγέλων αὐτὸ φάναι, καὶ τὸ ἁπάντων ἕτερον ὄν;

PSALMUS CIII.

Vers. 3. Aerem qui supra nos, et æthera ad Deum vergentem tegit aquis, convolventibus nubi-

Στ. γ'. Τὸν ἀνωτέρω ἡμῶν ἀέρα καὶ νεύοντα πρὸς Θεὸν αἰθέρα ὕδασι τοῖς κατὰ τὰς συστροφὰς

(59) Lege παρατείνον. Edit.

Digitized by Google

τῶν νεφελῶν στεγάζει. Πρὸς δὲ διάνοιαν, τὴν νοητὴν οὐσίαν τὸν οὐρανὸν ὀνομάζει, ἐκτεινομένην καὶ ἁπλουμένην ἐπὶ σκέπειαν τοῦ νοῦ. Ὁ στεγάζων τοῖς νοητοῖς καὶ θείοις ὕδασι τὰ ὑπερῷα τῆς ψυχῆς, τουτέστι τὰς δυνάμεις αὐτῆς τὰς ὑπεράνω τῶν αἰσθητῶν τυγχανούσας.

A bus. Cœlum vocat naturas ratione præditas, quæ ad protegendam mentem extenduntur et explicantur. Spiritualibus et divinis aquis tegit superiora animæ, hoc est facultates quibus supra res sensibiles extollitur.

Στ. ς'. Τὴν ἀμέτρητον τοῦ Θεοῦ γνῶσιν λέγει ἄβυσσον· ταύτην διὰ τὴν ἀκατάληπτον καλλωνὴν (60) ἐνδέδυται καὶ περιβέβληται. Διόπερ ἐστὶν ἄγνωστος ἐν τῷ μεγέθει τῆς γνώσεως.

Vers. 6. Infinitam Dei scientiam dicit abyssum : quam propter incomprehensam pulchritudinem induit, seque ea amicit. Quamobrem ignotus est in magnitudine scientiæ.

Στ. θ'. Αἰσχύνεται οἷον τὴν ψάμμον ἡ θάλασσα, καθάπερ χαλινῷ τῷ ὅρῳ τῷ θείῳ κωλυομένη ἀναχαιτίζεται πάλιν, καὶ εἰς τοὐπίσω χωρεῖ.

Vers. 9. Arenam revereri videtur mare. Et velut freno, divino termino cohibita, se recipit, fluctusque retrahit.

Στ. ιη'. Τὸ γένος τῶν ἐλάφων πολεμίως ἔχει πρὸς τὸ τῶν ὄφεων γένος· σπεύδουσι γοῦν ἀνελεῖν αὐτούς. Τοιοῦτοι δὲ πάντως οἱ Χριστοῦ μαθηταὶ, ἑτοίμως B ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν. Ἔσχον δὲ καὶ τὴν κατὰ τῶν νοητῶν ὄφεων δύναμιν ἐκ τοῦ ὁρέξαντος ἐξουσίαν αὐτοῖς « πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

Vers. 18. Cervorum genus generi serpentum infensum; nam quam libentissime illos auferunt. Tales omnino Christi discipuli, quibus nihil antiquius quam impietatis fautores ulcisci. Habent autem potestatem spirituales serpentes superandi, ex quo facultatem acceperunt « calcandi super serpentes et scorpiones et vires inimici conterendi [48]. »

Στ. κζ'. Εἰς εὔκαιρον δὲ προσδοκῶσιν ταύτης τυχεῖν, ὅταν πάσης κακεξίας καὶ νόσου ὦσιν ἀπηλλαγμένοι. Τότε γὰρ διδομένης ταύτης συλλέξουσιν, τοσοῦτον σπεύδοντες αὐτὴν λαβεῖν ὅσον εἰς κόρον τραφῆναι. — Περὶ τῶν λογικῶν μόνων εἴρηται· τὸ γὰρ προσδοκᾶν καὶ πρὸς Θεὸν ἔχειν τὴν προσδοκίαν, τοῦτο αἰνίττεται.

Vers. 27. Haud immerito exspectant escam, quando ab omni mentis malitia et morbo liberati sint. Qua tunc data, colligent, nec prius colligere desinent, quam omnino satientur. — De spiritualibus tantum hæc intelligenda; illud enim exspectare et ad Deum exspectationem habere non aliud innuit.

Στ. λα'. Οὐχ ὡς δεόμενος τέρπεται προσκυνούμενος. Ἀλλ' ὡς σώζειν βουλόμενος τὴν ἀλήθειαν C δείκνυσι· καὶ κολάζειν δυνάμενος, οὐκ ἐπιφέρει τὴν κόλασιν. — Εἰ δὲ σοὶ βούλεται πνευματικῶς ἔχειν ταῦτα, ὡς ἂν ἐπιβλέπῃ Θεὸς, κατὰ τὸ, « Ἐπίβλεψον ἐπ' ἐμέ· » καὶ, « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους. » Τοῦτο οὐκ ἔστι κατὰ γῆινα, ἀλλὰ σκοτοδινιῶντα τρέμει, ὡς ἀποβληθῆναι καὶ παρελθεῖν τὴν ὑλικὴν ἕξιν.

Vers. 31. Lætatur Dominus de cultu nostro, sed non quasi eo indigeret. Sed salvos nos fieri cum vult, veritatem ostendit; et dum punire ei liceret, a pœnis temperat. — Quod si autem hæc spiritualiter intelligenda putaveris, ita ut Deus respiciat juxta illud : « Aspice in me [49]; » et : « Oculi Domini super justos [50]. » Hoc non erit juxta terrena, sed tenebrosa vertigine laborantia trement, ita ut abjiciantur et prætereant humiles mores.

Στ. λβ'. Ἐφαπτόμενος δὲ ὁ Θεὸς καὶ τῶν πονηρῶν δυνάμεων, διὰ τὴν ὑπερηφανίαν ὀρῶν καλουμένων, καπνίζει αὐτὰς, ἐναύσματα ἤδη αὐταῖς ἐνιείς τῆς διὰ πυρὸς κολάσεως.

Vers. 32. Tangens Deus malas potestates quæ propter superbiam montes vocantur, fumigat eas, ignem accendens quo puniendæ sunt.

Στ. λγ'. Τοῦτο τῆς ζωῆς τὸ κέρδος, ἐπὶ τοῦτο καὶ ζῆν ἄξιον. Διὰ τοῦτο δεινὸς ὁ θάνατος, ὁ κατασιγάζων τὸν ὑμνητήν. Ἀπώλειά τε ὁ θάνατος. Διότι « Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, » καὶ D μόνον ἡ ὕπαρξις ἡ ζωὴ, ὅτι « Οἱ ζῶντες σὲ, » φησὶν, « αἰνέσουσιν· » ἐν γὰρ τῇ πρὸς τὸν ὄντα συναφείᾳ τὸ εἶναι ἔχομεν. — Τοῦ ᾄσματος οὐκ ἐν φωνῇ, ἀλλ' ἐν νοήσει τὴν ὕπαρξιν ἔχοντος. « Ψαλῶ, » δὲ καὶ ἐν πράξεσι τελείαις τῷ Θεῷ, « ἕως ὑπάρξιν ἔχω, » καθ' ἣν μετέχω τοῦ ὑπάρχοντος πρὸ τῶν αἰώνων, καὶ εἰπόντος, « Ἐγώ εἰμι ὁ ὤν. »

Vers. 33. Hoc vitæ lucrum, nec est alia digna causa cur vivamus. Ideo metuenda mors, quia laudantium cantus cohibet. Morte tollimur. Quapropter « Non est in morte qui memor sit tui [51]. » Nec aliter sumus quam vivendo; nam « viventes, » inquit, « laudabunt te [52]; » non enim sumus nisi « Ei » adhærendo « qui est. » — Cantabo non voce quidem, sed mente. « Psallam » Deo in perfectis operibus « quandiu sum, » illius particeps factus, qui fuit ante sæcula, et qui dixit : « Ego sum, qui sum [53]. »

Στ. λδ'. Οὕτω γὰρ καὶ αὐτὸς ὁ Χριστὸς, τὴν Ἐκκλησίαν ἀποδεξάμενος, φησὶν ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων, « Ἡ φωνή σου ἡδεῖα. » — Ἐπὰν ὁ δηλούμενος ἐνστῇ καιρὸς, ὁ τῆς τοῦ Θεοῦ δικαιοκρισίας,

Vers. 34. Ita enim ipse Christus Ecclesiam excipiens ait in Cantico canticorum [54] : « Vox tua dulcis. » — Quando aderit prædictum tempus, quo Deus juste judicabit, tunc « lætabor ego in Do-

[48] Luc. x, 19. [49] Ps. cxviii, 132. [50] Ps. xxxiii, 16. [51] Ps. vi, 6. [52] Ps. cxviii. 175. [53] Exod. iii, 14. [54] Cant. ii, 14.

(60) Corrigendum καλλονήν, nisi καλλωνήν ad Alexandrinam dialectum referre velis. Edit.

Digitized by Google

mino, » dummodo nunc hoc tempore eloquium meum ei jucundum sit.

A « Ἐγὼ μὲν εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ, » εἴ γε νῦν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἡδυνθείη αὐτῷ ἡ διαλογή μου.

PSALMUS CIV.

Vers. 4. Quemadmodum, testante historia, Samuel continuo in tabernaculo testimonii ministrans faciem Domini vidit, ita, qui se indesinenter et sine ulla intermissione veræ doctrinæ meditationi et virtutum operibus tradunt, semper faciem Dei quærunt, illum pura mente conspicere optantes. Facies autem Dei, character hypostaseos est, imago Dei invisibilis. Quapropter, qui videt Filium, Patrem quoque videt.

Στ. δ'. Ὥσπερ κατὰ τὴν ἱστορίαν διηνεκῶς Σαμουὴλ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου λειτουργῶν ἐώρα τὸ τοῦ Θεοῦ πρόσωπον, οὕτως οἱ συνεχῶς καὶ ἀδιαστάτως ἐξετάσει δογμάτων τῆς ἀληθείας καὶ πράξει τῶν ἀρετῶν ἐπιδεδωκότες σφᾶς, διὰ παντὸς ζητοῦσι τὸ πρόσωπον τοῦ Θεοῦ, ἰδεῖν αὐτὸ νῷ καθαρῷ βουλόμενοι. Πρόσωπον δὲ Θεοῦ ὁ χαρακτὴρ τῆς ὑποστάσεώς ἐστι, τυγχάνων εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. Δι' ὃ καὶ ὁ ὁρῶν αὐτὸν, εὐθὺς ὁρᾷ τὸν Πατέρα.

Vers. 5. Prodigia narraturus, quæ in Ægypto facta sunt, memorat primum quam justæ fuerint Ægyptiorum pœnæ. Os ejus, Verbum ejus cogita, qui legislatoris et accurati præceptoris instar justissimas vobis leges et doctrinas tradidit.

B Στ. ε'. Ἐπειδὴ γὰρ τῶν ἐν Αἰγύπτῳ γεγενημένων ποιεῖται διήγησιν, προδιδάσκει τῆς Αἰγυπτίων τιμωρίας τὸ δίκαιον. Στόμα δὲ αὐτοῦ, τὸν Λόγον αὐτοῦ νοήσεις, ὃς καὶ νομοθέτου καὶ ἀκριβοῦς παιδευτοῦ δίκην κεκριμένα παιδεύματα καὶ παραγγέλματα ὑμῖν δέδωκεν.

Vers. 8. Numerus millium generationum adhibetur non ad declarandam multitudinem, sed quia uni Deo convenientior. Ita et in illo : « Millia lætantium [55], » et rursus : « Bona mihi lex oris tui, super millia auri et argenti [56]. »

Στ. ζ'. Ὁ τῶν χιλίων γενεῶν ἀριθμὸς οὐ κατὰ πλῆθος εἴρηται, ἀλλὰ διὰ τὴν πρὸς μονάδα οἰκείωσιν. Ὥσπερ καὶ ἐν τῷ· « Χιλιάδες εὐθηνούντων· » καὶ ἔτι· « Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. »

Vers. 12. Breves pro « paucis » dicuntur; nam brevitas ad longitudinem, paucitas ad numerum referenda.

Στ. ιβ'. Τὸ βραχεῖς ἀντὶ « ὀλίγων » εἶπεν· τὸ γὰρ « βραχὺ » ἐπὶ μεγέθους κεῖται· τὸ δὲ « ὀλίγους, » ἐπὶ ἀριθμητῶν τάττεται.

Vers. 18. Pedes tantum ejus in compedibus humiliavit, anima autem non fuit simul vincta, et ferrum effugit. Quicunque enim vinculis obruti, necessitatem hanc ignave ferunt, animam habent ferro inflexam. Hæc autem non usque pertulit : nam ipse definit finem captivitatis, dicens eam durasse, donec veniret Verbum Dei, quo e vinculis liberatus, curator et nutritor omnium factus est.

C Στ. ιη'. Τοὺς πόδας αὐτοῦ μόνους ἐταπείνωσεν ἐν πέδαις, τῆς ψυχῆς αὐτοῦ οὐ συνδεθείσης, καὶ ἔξω τοῦ σιδήρου γεγενημένης. Ὅσοι γὰρ δεσμοῖς περιβαλλόμενοι, ἀγεννῶς τὴν περίστασιν φέρουσιν, καμφθεῖσαν ὑπὸ τοῦ σιδήρου τὴν ψυχὴν ἔχουσι. Τοῦτο δὲ ὑπέμεινεν οὐκ εἰς ἅπαντα· περιορίζει γὰρ τῆς περιστάσεως τὸ τέλος, εἰπὼν αὐτὴν κεκρατηκέναι, μέχρις οὗ διῆλθεν ὁ τοῦ Θεοῦ Λόγος, καθ' ὃν ἐκ τοῦ δεσμωτηρίου μετασταλεὶς, κηδεμὼν καὶ τροφεὺς πάντων κεχειροτόνητο.

Vers. 19. Ut ferveret spiritu, et ipsi divino lumini adhæreret; cujus enim opera poteris illam exhortationem perficere : « Spiritum nolite exstinguere [57]. »

Στ. ιθ'. Ἐπὶ τῷ ζέειν τῷ πνεύματι καὶ ἐξημμένον αὐτῷ (61) ἔχειν τῷ θείῳ φωτί· καθ' ὃ καὶ τηρεῖν δυνατὸν παραίνεσιν λέγουσαν, « Τὸ πνεῦμα μὴ σβέννυται. »

Vers. 20. Nec ipsum Josephum fugit hæc doctrina. Nam dicit fratribus suis : Non vos me huc misistis. « Vos cogitastis contra me in malum; Deus autem in bonum [58]. »

Στ. κ'. Καὶ αὐτὸς δὲ Ἰωσὴφ οἶδεν τοῦτο τὸ δόγμα. Διὸ πρὸς τοὺς αἰτίους ἔφη· Οὐχ ὑμεῖς ἀπεστάλκατέ D με ὧδε· « Ὑμεῖς μὲν γὰρ εἰς κακὸν ἐβουλεύσασθε, ὁ δὲ Θεὸς εἰς ἀγαθόν. »

Vers. 22. Cum non omnes viribus suis e malis evadere possint, hominibus ad eam infirmitatem delapsis mittit Deus duces quibus ad bona iter facientes dirigantur. Quales autem sunt lex Dei, Moyses, et pontificum traditio, cujus symbolum Aaron.

Στ. κβ'. Ἐπεὶ μὴ πάντες οἱοί τε εἰσὶν ἐξ ἑαυτῶν ἀναχωρεῖν τῶν βλαβερῶν, τοῖς οὕτως ἀσθενοῦσιν ἀποστελεῖ Θεὸς τοὺς δυναμένους ὁδηγοὺς καὶ ἡγεμόνας τῆς ὁδοῦ τῆς ἐπὶ τὰ ἀγαθὰ φερούσης· εἰσὶ δὲ οὗτοι ὁ Θεοῦ νόμος, Μωϋσῆς, καὶ ὁ ἀρχιερατικὸς λόγος, οὗ σύμβολον Ἀαρών.

Vers. 26. Quorum memoriam commendat hic sermo ut in hymni decantatione, docens Deum populi sui memorem, Ægyptios hostes ejus pœnis et suppliciis affecisse. Ad hoc autem perficiendum

Στ. κς'. Τούτων ὁ παρὼν λόγος ὡς ἐν ὑμνολογίᾳ μνημονεύει, διδάξαι βουλόμενος ὡς τοῦ λαοῦ κηδόμενος ὁ Θεὸς, τοὺς ἀδικήσαντας αὐτὸν Αἰγυπτίους μετῆει καὶ ἐκόλαζεν, οὐ διά τι τῶν μεγάλων ἐπι-

[55] Ps. LXVII, 18. [56] Ps. CXVIII, 72. [57] I Thess. v, 19. [58] Gen. L, 20.

(61) Legendum αὐτό et ad πνεῦμα referendum. Infra corrigendum σβέννυτε, mutatioque ε in αι sive scribarum errori sive Alexandrinorum dialecto tribuenda. EDIT.

Digitized by Google

φέρων (62-82), οὐ γὰρ ἠπόρει ἡ παντοδύναμος χεὶρ ἀθρόον αὐτοῖς ὀργὴν ἐπιπέμψαι, ἢ θρασεῖς λέοντας, ἢ ἄρκους, ἢ λιμὸν, ἢ θάνατον· διὰ δὲ τῶν εἰρημένων αὐτοὺς ἐτιμωρεῖτο, ἠρέμα καὶ αὐτοὺς εἰς μετάνοιαν προκαλούμενος (83).

A non magna adhibuit; nam ut eos ira premeret non indigebat ministris leonibus, aut ursis, aut fame, aut morte. Sed prædictis malis afflixit eos, sensim eos quoque ad pœnitentiam exhortans.

PSALMUS CVI.

Στ. α'. Καὶ ὁ προκείμενος ψαλμὸς περιέχων Θεοῦ εὐεργεσίας καὶ ἐλεημοσύνας πρὸς τοὺς ἀνθρώπους γεγενημένας, ἑνὸς αὐτοῦ τυγχάνων προτεταγμένον ἔχει τὸ « Ἀλληλούϊα. »

Vers. 1. Psalmus hic Dei benignitatem et misericordiam in homines commendans haud inepte inscriptam habet vocem « Alleluia. »

Στ. ιζ'. Ἔτι βαδιζόντων τὴν τῆς ἀνομίας αὐτῶν ὁδὸν, ἀντελάβετο αὐτῶν ὁ Θεὸς ἐλέῳ, ἐπείπερ διὰ πλῆθος ὧν εἶχον ἀσεβειῶν ταπεινωθέντες ἠνίσχοντο τοῖς ἀφ' ὧν αὐτοὺς ἐξήγαγεν. Καὶ ὅρα εἰ δύναται ἐφαρμόσαι τούτοις τὸ περὶ τοῦ ἐν τῷ σταυρῷ μετανοήσαντος λῃστοῦ. Ἔτι γὰρ ἐν ὁδῷ ἀνομίας ὄντος αὐτοῦ, διὰ λῃστείαν γὰρ κέκριτο, καὶ ταπεινωθέντος κολάσει διὰ τὰς ἀνομίας ἃς εἶχεν, ἀντελάβετο αὐτοῦ, εἰπὼν πρὸς αὐτόν· « Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. »

Vers. 17. In via iniquitatis adhuc procedentes suscepit eos Deus misericordia sua, dum propter multitudinem injustitiarum suarum humiliati iis detinebantur a quibus eos Dominus revocavit. Vide, quantum istis conveniant, quæ de latrone in cruce pœnitentiam agente narrantur. Hunc enim adhuc in ira iniquitatis gradientem, nam propter latrocinia damnatus fuerat, et humiliatum pœnis per injustitias suas meritis, suscepit Dominus, dicens ei : « Hodie mecum eris in paradiso [59]. »

Στ. κ'. Τίνας αὐτοὺς ἴασατο, ἢ τοὺς προκατειλεγμένους; Τούτους γὰρ τοὺς τοσαῦτα πεπονθότας, καὶ ἐν τοσούτοις κακοῖς ἐξητασμένους, ἀποσταλεὶς ἄνωθεν παρὰ τοῦ Πατρὸς ὁ μονογενὴς Υἱὸς ἴασατο, καὶ ἐῤῥύσατο ἐκ τῶν διαφθορῶν αὐτῶν. Ὡς μηκέτι κατὰ τὸ παλαιὸν πλανᾶσθαι, μηδὲ τὴν ὁδὸν τῆς σωτηρίας, καὶ τὴν πόλιν τοῦ Θεοῦ, ἐφ' ἣν σπεύδειν ὁ λόγος παρακελεύεται ἀγνοεῖν· μηδὲ πεινεῖν καὶ διψεῖν (84) καὶ τὰς ψυχὰς λιμώττειν δι' ἔνδειαν καὶ σπάνιν λογικῶν τροφῶν, μηδὲ ἐν σκότει καὶ σκιᾷ θανάτου καθέζεσθαι, μηδὲ ἐν πτωχείᾳ καὶ σιδήρῳ πεπεδῆσθαι, μηδὲ εἱλεῖσθαι περὶ τὰς τοῦ θανάτου πύλας, ἀλλὰ τούτων μὲν ἁπάντων ἀπηλλάχθαι. Γνωρίζειν δὲ μὴ μόνον ἀλλὰ καὶ ὁδεύειν τὴν ὁδὸν τὴν φέρουσαν ἐπὶ τὴν οὐράνιον πόλιν, καὶ σπεύδειν τυχεῖν τῆς τῶν οὐρανῶν βασιλείας.

Vers. 20. Quos sanavit, nisi eos de quibus supra actum est? Quos enim tanta perpessos, et tantis malis afflictos, sanavit unigenitus Filius desursum a Patre missus, et de corruptelis eorum eripuit eos. Unde factum est, ut jam non uti prius errarent, et iram salutis, civitatemque Dei ad quam properare jubentur ignorarent; nec esurirent sitirentve, aut animo deficerent indigentia, aut paucitate ciborum spiritualium; nec sederent in tenebris et umbra mortis, in mendicitate et ferro compediti; nec eriperentur a portis mortis; nam ab istis malis jam prorsus liberati sunt. Quinimo viam ad cœlestem civitatem ducentem non cognoscunt modo, sed et perficiunt, et regnum cœlorum consequi festinant.

Στ. κβ'. Οὐ τὰς διὰ Μωϋσέως παρηγγελμένας, ἀλλὰ θυσίας τὰς διὰ τῆς Καινῆς Διαθήκης παραδεδομένας. Ὁ γοῦν Ἀκύλας ἀκριβέστατα ἡρμήνευσεν, εἰπών· « Καὶ θυσάτωσαν θυσίαν εὐχαριστίας. » Σαφῶς διὰ τῆς τοιαύτης ἑρμηνείας, τὰς τῆς Καινῆς Διαθήκης, ἃς καὶ εὐχαριστίας ὀνομάζειν ἡμῖν ἔθος, παραστήσας τὰς λογικὰς καὶ ἀναιμάκτους (85). Θύοντας δὲ ταύτας, ἐξαγγέλλειν παρακελεύεται εἰς πάντας ἀνθρώπους τὰ εἰς αὐτοὺς γεγενημένα τοῦ Θεοῦ Λόγου κατορθώματα, καὶ τοῦτο πράττειν ἐν ἀγαλλίασει. — Ἐξαγγέλλει δὲ ἐν ἀγαλλιάσει τὰ ἔργα αὐτοῦ πᾶς ὁ τὰ εἰς ἑαυτὸν γινόμενα ἐξαγγέλλων, καὶ πεῖραν ἐσχηκὼς τῆς αὐτοῦ εὐεργεσίας, οὐχ ὁ ἁπλῶς εἰς ἑτέρους γενόμενα διηγούμενος.

Vers. 22. Non ea quæ a Moyse prædicata fuerunt sacrificia, sed quæ per Novum Testamentum confirmata fuere. Rectissime igitur Aquila interpretatus est, dicens : « Et sacrificent ei sacrificium laudis. » Qua prædictione clare sacrificia Novi Testamenti, sacrificia spiritualia et incruenta designat, quæ etiam sacrificia eucharistiæ vocare solemus. Quibus oblatis, apud omnes homines opera annuntiare, atque illud quidem in exsultatione, jubentur, quibus eos Deus Verbum salvavit. — Annuntiat autem opera Domini in exsultatione, quicunque beneficia annuntiaverit, quæ ipse expertus fuerit, quæ ipse experimento cognoverit, non vero qui opera narrat aliorum gratia perfecta.

Στ. κς'. Καθ' ὑπερβολὴν εἴρηται· καὶ γὰρ τοῦ τοιούτου τρόπου εὕροις ἂν μυρία παραδείγματα ἐν τῇ Γραφῇ. Περὶ γὰρ τῶν πόλεων τῶν τοῦ Ἰσραὴλ ἐχθρῶν ὅτι τετειχισμέναι ἦσαν ἕως τοῦ οὐρανοῦ, διὰ τὸ ἄγαν ὑψηλοῖς τετειχίσθαι τείχεσιν· καὶ τὸ, « Ὑπὲρ χιόνα δὲ λευκανθήσομαι. »

Vers. 26. Per exaggerationem dicuntur hæc : hujus enim tropi millia documenta invenies in Scripturis sacris. Sic dictum est de civitatibus hostium Israel, mœnia earum usque ad cœlum ascendere, quia excelsissima erant; sic se habet etiam illud : « Super nivem dealbabor [60]. »

[59] Luc. XXIII, 43. [60] Ps. L, 9.

(62-82) Num deest aliquid, v. c. κόλασιν? EDIT.

(83) Nihil Didymi est ad psal. CV sive in cod. Vat. B, sive apud Corderium.

(84) Ita cod.

(85) Testimonium pro sacrificio ss. missæ.

Digitized by Google

Vers. 32. Dictis quæ ad apostolos et ad Ecclesiam pertinent, aperte memorat senioribus honores in Ecclesia esse constitutos; nam bona quæque annuntianti, hoc quoque commendandum erat. Mandatum est autem, eis qui Dominum suum « in ecclesia populi » exaltaturi sunt, ut eum et « in cathedra seniorum » laudent.

Vers. 33. Quæ sunt ista flumina? Antiquus populus de circumcisione: quippe qui, prius magnis bonis ornatus, postea malis afflictus est. — Et paulo post: « A malitia habitantium in ea, » et non alia de causa mutata est terra in salsuginem. Gens tota Judæorum omnibus bonis frustrata est quibus olim abundabat: ita ut jam non prophetæ eam docerent, nec apparerent ei angeli. Ablatum est etiam quidquid eis sacrum: patria, templum, Sanctum sanctorum, regnum, sacerdotium; imo pro liberis servi facti sunt, et qui sui juris fuerant gentium legibus inservierunt. Quæ autem omnia subierunt propter malitiam et iniquitatem suam.

Vers. 35. Ecclesia eorum, qui de gentibus crediderunt, quæ prius cum Deo deserta esset, et bono quoque destituta et sterilis, mutata est « in stagna aquarum, » etquæ olim sine aqua fuerat, facta est « in exitus aquarum. »

Vers. 36. Et habitaverunt in ea, quicunque olim esuriebant et perierant et falso multorum deorum cultu errabant; qui cum diu erravissent tandem, turrim refugii et portum certum invenerant, evangelicam disciplinam consecuti. — Piam illorum conversationem indicat hic sermo. Ibi collocati sunt qui olim esuriebant: quippe qui, Jesu Deo in terram misso, Domini auxilium et beneficia adepti, « civitatem habitationis » constituerunt, et habitaverunt in ea, qui prius sitierant, a divinarum spiritualiumque ciborum penuria liberati qua laborabant et cœlesti esca dignati.

Vers. 37. Qui homines a deterioribus ad meliora revocant, ita ut hic etiam cœleste semen, vel ut nati a patre, apostolorum ministerio consecuti, in hominum animis seminent, et vineas plantent, Ecclesias scilicet ubique terrarum dispersas: simul qui benedicerentur et multiplicarentur digni sunt habiti. Jumenta vocantur qui intelligentia et ratione minores; hæc multiplicari fas est et illuminari, gratiam Salvatoris videntes in totum terrarum orbem diffusam.

Vers. 39. Non dissentit hoc ab illo salutari effato, quo regnum Dei a priori populo auferendum dicitur et genti dandum fructum ejus ferenti [61].

Vers. 43. Non cuivis licet benigna Salvatoris consilia intelligere et agnoscere, divinaque mandata

[61] Matth. xxi, 43.

(86) Num legendum τὸν τόπον ἔνθα? Edit.

Στ. λβ'. Μετὰ τὰ εἰρημένα περὶ τῶν ἀποστόλων καὶ τῆς Ἐκκλησίας, σαφῶς μνημονεύει καὶ τοῦ τεθειμένου ἐν αὐτῇ πρεσβείου· ἔδει γὰρ ὡς ἐν ἀγαθῶν εὐαγγελίοις, καὶ τούτων τὴν μνήμην παραληφθῆναι. Προστάττονται δὲ οἱ δηλωθέντες ὑψοῦν τὸν ἑαυτῶν Κύριον « ἐν ἐκκλησίᾳ λαοῦ, » καὶ « ἐν καθέδρᾳ πρεσβυτέρων » αἰνεῖν αὐτόν.

Στ. λγ'. Τίνες οὗτοι; οἱ ἐκ τοῦ προτέρου λαοῦ τοῦ ἐκ περιτομῆς· μεγάλων γὰρ οὗτοι προτέρων ἀγαθῶν ἠξιωμένοι, εἰς τοὐναντίον περιετράπησαν. — Καὶ μετ' ὀλίγα· « Ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ, » καὶ οὐκ ἐξ ἄλλου τινός. Καὶ πᾶν δὲ τὸ ἔθνος αὐτῶν πάντων ἐστέρηται τῶν πάλαι ὑπαρχόντων αὐτοῖς ἀγαθῶν· ὡς μηκέτι προφητῶν ἀξιοῦσθαι, μήτε ἀγγέλων ἐπιφανείας. Καὶ πάντα δὲ αὐτῶν τὰ σεμνὰ καθῄρηται, ἡ μητρόπολις, τὸ ἱερὸν, τὰ Ἅγια τῶν ἁγίων, τὸ βασίλειον, ἡ ἱερωσύνη· ἀλλὰ καὶ δοῦλοι ἀντ' ἐλευθέρων γεγόνασι, καὶ νόμοις ἐθνῶν ὑπήκοοι, οἱ πρὶν αὐτόνομοι κατέστησαν. Καὶ ταῦτα πάντα ὑπομεμενήκασι διὰ τὰς αὐτῶν κακίας καὶ πονηρίας.

Στ. λε'. Ἡ ἐξ ἐθνῶν Ἐκκλησία τὸ πρὶν οὖσα Θεοῦ ἔρημος καὶ πάντων ἀγαθῶν ἄγονός τε καὶ ἄκαρπος, μεταβέβληται « εἰς λίμνας ὑδάτων, » καὶ ἡ πάλαι πρότερον ἄνυδρος, γέγονεν « εἰς διεξόδους ὑδάτων. »

Στ. λς'. Καὶ κατῴκησαν ἐν αὐτῇ οἱ πάλαι πεινῶντες καὶ οἱ πρὶν ἀπολλύμενοι καὶ πάσῃ πολυθέῳ πλάνῃ καλινδούμενοι, ἀπὸ τῆς μακρᾶς πλάνης πύργον καταφυγῆς εὑρίσκοντες, καὶ ἀγαθὸν λιμένα τὴν εὐαγγελικὴν διδασκαλίαν. — Τὴν ἔνθεον πολιτείαν τούτων δηλοῦντος τοῦ λόγου τὸν τρόπον. Ἔνθα (86) κατῳκίσθησαν οἱ πρὶν πεινῶντες· αὐτοὶ δὲ οὗτοι, μετὰ τὴν εἰς αὐτοὺς ἀποστολὴν τοῦ Ἰησοῦ τοῦ Θεοῦ, τυχόντες καὶ τῆς παρ' αὐτοῦ βοηθείας τε καὶ ὠφελείας, συνέστησαν « πόλιν κατοικητηρίου, » καὶ κατῴκησαν ἐκεῖ οἱ πάλαι πεινῶντες, παυσάμενοι μὲν τοῦ πάλαι πιέζοντος αὐτοὺς θείων καὶ λογικῶν τροφῶν λιμοῦ, τῆς δὲ οὐρανίου τροφῆς ἀπολαύειν κατηξιωμένοι.

Στ. λζ'. Οἱ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω μεταβαλόντες, ὅπως εἰς ἔτι δεῦρο τὸν ἐπουράνιον σπόρον, ὡς παῖς παρὰ πατρὸς διαδεξάμενοι διὰ τῆς τῶν ἀποστόλων παραδόσεως, ἐν ταῖς τῶν ἀνθρώπων κατασπείρουσι ψυχαῖς, φυτεύουσί τε ἀμπελῶνας, τὰς ἁπανταχοῦ γῆς Ἐκκλησίας, καὶ ὅμως εὐλογίας καὶ πληθυσμοῦ καταξιοῦνται· καὶ τοὺς ἐν αὐταῖς ἰδιωτεστέρους καὶ ἀλογωτέρους, κτήνη προσαγορευομένους, πληθύειν· ἔξεστιν ὀφθαλμοὺς παραλαμβάνειν, τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐκχυθεῖσαν χάριν τοῦ Σωτῆρος ἡμῶν συνορῶντας.

Στ. λθ'. Ἀδελφὸν ἂν εἴη τοῦτο τῆς σωτηρίου φωνῆς, ἣ φησιν ἀρθήσεσθαι τὴν βασιλείαν τοῦ Θεοῦ ἐκ τοῦ προτέρου λαοῦ, καὶ δοθήσεσθαι ἔθνει ποιοῦντι τὸν καρπὸν αὐτῆς.

Στ. μ'. Οὔτε τὸ συνιέναι καὶ διαγνῶναι τὰς φιλανθρώπους τοῦ Σωτῆρος οἰκονομίας, οὔτε τὸ φυλάξαι

Digitized by Google

τὰς θείας οἰκονομίας παντὸς, ἀλλὰ τοῦ σοφίᾳ θείᾳ καὶ συνέσει χρωμένου καὶ βοῶντος πρὸς τὸν Δεσπότην· « Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια τοῦ νόμου σου. »

A custodire, sed illi tantum qui divina sapientia et intelligentia utitur, et ad Dominum clamat : « Aperi oculos meos et meditabor mirabilia de lege tua[82]. »

PSALMUS CVII.

Στ. β'. « Δόξα αὐτοῦ » ἡ πρακτικὴ καὶ θεωρητικὴ ἕξις καθ' ἣν διάκειται πρὸς ἠθικὴν καὶ διανοητικὴν ἀρετήν.

Στ. δ'. Οἷς ἀνέτειλε τὸ φῶς τὸ ἀληθινὸν, πρὸς Κύριον ὀρθρίσαντες ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες, πλήττοντες τὸ ψαλτήριον καὶ κρούοντες τὴν κιθάραν μελῳδοῦσι τῷ πανσόφῳ Θεῷ, εὐρύθμως καὶ ἐναρμονίως τοὺς ὕμνους ἀναπέμποντες.

Στ. ς'. Ἀπὸ τῆς πρώτης λέξεως, ἕως τοῦ « ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, » ὁ αὐτός ἐστιν τῷ νς'. Ἀπὸ δὲ τοῦ ἑξῆς στίχου μέχρι τελευτῆς, τῷ νθ'· ὅθεν ἕκαστα τῶν προκειμένων ἐκεῖ εἰρηκότες, νῦν ἐπιτεμνώμεθα. — Ὑψουμένου τοῦ Θεοῦ ἐν τοῖς τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦσι, καὶ διὰ τοῦτο οὐρανοῖς καλουμένοις. Ἡ δόξα αὐτοῦ ἐπὶ πᾶσαν ἐκτείνεται τὴν γῆν τὴν δυναμένην καρποφορεῖν εἰς ρ' καὶ ξ' καὶ λ'. Ἡ ὑψουμένου τοῦ Θεοῦ ἐπὶ τὰς θεωρητικὰς τοῦ κόσμου φύσεις προσαγορευομένας οὐρανοὺς, ἡ δόξα αὐτοῦ ἐπὶ τὰς πρακτικὰς, γῆν ὀνομαζομένας, τυγχάνει.

Στ. ζ'. Οὐκ ἄλλως οἱ ἄξιοι τοῦ ὑπὸ σοῦ ἀγαπᾶσθαι ῥυσθεῖεν ἀπὸ τῶν κατεχόντων πολεμίων, ἢ καὶ τῶν περιστάντων αὐτοὺς, ἢ σοῦ σώσαντος τῇ δεξιᾷ σου, καὶ ἐπακούσαντος ἐμοῦ τοῦ ὑπὲρ αὐτῶν πρεσβευομένου. — Δεξιὰν καλεῖ τὴν ἀγαθὴν ἐνέργειαν.

Στ. η'. Ὁμίλασις ἑρμηνεύεται Σίκιμα, ἔργου σύμβολον οὖσα. Ὑψωθεὶς οὖν ὁ Κύριος ἐπὶ τὸν σταυρὸν, ἀναβεβηκὼς διεμέρισε τῶν ἀνθρώπων τὰ ἔργα, ὡς τὰ μὲν δικαιῶσαι, τὰ δὲ ἀποδοκιμάσαι· κριτὴς γὰρ δίκαιός ἐστιν.

Στ. θ'. Γαλαὰδ *μετοικισμὸς*, Μανασσῆς δὲ (87), Ἐφραΐμ *καρποφορία* ἑρμηνεύονται. Ἐρεῖ οὖν ὁ Σωτήρ· « Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς, » ἀπὸ τῆς κακίας ἐπὶ τὴν ἀλήθειαν, καὶ ἀπὸ κακίας εἰς ἀρετὴν, ἢ γῆς εἰς οὐρανὸν μετοικιζόμενος· ἐμὸς δ' ἐστὶ καὶ ὁ λήθην τῶν κακῶν πᾶσαν ὑπερβὰς, καὶ ἀπὸ ταύτης γεγενημένος. Ὁ γὰρ μετὰ λήθην εἰς μνήμην ἐρχόμενος, Μανασσῆς ἐστι, τουτέστιν ἀπὸ λήθης ἀφεὶς καὶ καταλιπὼν τὴν λήθην, καθ' ἣν ἐπιλέληστο Θεοῦ τῶν ἀγαθῶν. — Ἀλλὰ καὶ ἡ πολλὴ καρποφορία τῶν πεπιστευκότων ἐθνῶν, σκέπη καὶ ἀντίληψις τοῦ Σωτῆρος γέγονεν. Ὡς γὰρ Παῦλος τοῖς πρὸς αὐτοῦ ὠφεληθεῖσιν γράφει, ὡσεὶ αὐτοῦ « χαρὰ καὶ στέφανος, » οὕτω καὶ ὁ Σωτὴρ ἀντίληψιν ἔχει στέφανον αὐτοῦ πλεκομένους τοὺς δικαιοσύνην καὶ ἀλήθειαν καρποφοροῦντας. — Καὶ Ἰούδας δὲ ὁ βασιλεὺς αὐτοῦ ἐστιν, οὐ τῷ βασιλεύειν αὐτοῦ, ἀλλὰ τῷ βασιλέα ὄντα προσοικειώσασθαι αὐτῷ· τοιοῦτος δὲ ὁ Δαυΐδ, ἢ τάχα πᾶς ὁ ἐξομολογούμενος, ἐφ' οἷς κατώρθωσεν. Ἰούδας ἐστὶν *ἐξομολόγησις* ἑρμηνευόμενος.

Vers. 2. « Gloria ejus, » nil aliud præter mentis dispositionem ad virtutem animo agnoscendam et opere perficiendam.

Vers. 4. Quibus illuxit lux vera. Ad Dominum diluculo exorti, velut in die decenter ambulantes, psalterium percutientes et citharam pulsantes Deo perfecta sapientia instructo canunt, cumque hymnis numerosis ac concinnis celebrant.

Vers. 6. Hic versus a prima voce usque ad illa, B « super omnem terram gloria tua, » occurrit in psalmo LVI. Reliqua hujus psalmi usque ad finem in psalmo LIX reperiuntur : breviter igitur quæ ibi dicta fuere hic repetenda. — Exaltatur Deus in iis, quæ imaginem cœlestis referunt, ideoque cœli vocantur. Gloria ejus super omnem terram extenditur quæ centum, sexaginta et triginta fructus ferre poterit[83.83]. Exaltatur etiam Deus super naturas hic ad contemplandam veritatem aptas, quæ cœli dicuntur : gloria autem ejus super eas quæ ad perficiendam virtutem natæ, atque hic terra appellantur.

Vers. 7. Non enim aliter liberarentur ab inimicis opprimentibus aut insequentibus eos qui studio tuo digni sunt, nisi te salvante eos dextera tua, et exaudiente me pro illis deprecantem. — Dexteram vocat C bonam operationem.

Vers. 8. Sicima *humerus* interpretatur, rei symbolum. Exaltatus igitur Dominus super crucem, exinde hominum opera divisit, ita ut alii justificarentur, alii vero damnarentur ; nam justus judex.

Vers. 9. Galaad *translatio*, Manasses *oblivio*, Ephraim *fertilitas* interpretantur. Ait igitur Salvator : « Meus est Galaad, et meus est Manasses : » ab errore ad veritatem, a malo ad virtutem, aut a terra in cœlum translatus ; meus est etiam qui malorum omnium immemor factus, jam ipsam oblivionem deposuit. Nam qui, oblivione deposita, denuo meminit, Manasses est, hoc est oblivionem D abjicit et renuit qua Dei bonorum immemor fuerat. — Fructus multos ferendo fideles gentes, velamen et susceptio Salvatoris factæ sunt. Nam quemadmodum Paulus ad eos quos beneficiis foverat, « Vos estis gaudium et corona mea, » scribit[84], ita Salvator susceptionem habet coronam suam, justitiam intexentes, et veritatem proferentes. — Judas quidem rex ejus, non quod ipsi imperet, sed quod iste rex cum ipso intime conjungatur : qualis David, et forsan quicunque Domini miracula confessus fuerit. Judas *confessio* interpretatur.

[82] Psal. CXVIII, 18. [83.83] Matth. XIII, 8. [84] Philipp. IV, 1.

(87) Vox hic quædam certe omissa est. Legendum Μανασσῆς δὲ *λήθη*, Ἐφραΐμ, etc. EDIT.

Digitized by Google

Vers. 10. Moab lebes spei psallenti, quia castigator eorum quæ ipsi a Domino tradita fuere: lebes autem ubique designat prophetarum castigationem. Cum igitur ad bonum promovendum pœnæ dentur, et spem bonam præbeant, lebes spes et exspectatio est bonorum. — Quæ si ex persona Christi prædicarentur, cum Idumæa terrena designet, diceret se ad terram et ad terrena descendere; nam calceamentum, occulti itineris symbolum. Jam olim aperte via incedebat Creator, de rebus curam gerens. Nunc autem carne indutus venit, quod calceamentum ejus declarat.

Vers. 11. Quæ cum audierit Propheta de vocatione gentium, ea præsertim quæ LIX psalmo de Judæorum gente dicta sunt, ac sciverit alienigenas et advenas cum Deo societate et amicitia esse conjungendos, iis gratulatur qui tanto munere sunt dignati, et unus eorum esse gloriatur. — Quando istam felicitatem civitas fuerit consecuta, et Deo cum calceamento illorum regionem accedere libuerit. — Et paulo post: Quis igitur me deducet ad gratiam gentibus concessam, nisi tu, Deus? Ita enim interpretatur hæc Symmachus, dicens: « Nisi tu, Deus, qui rejecisti nos? »

Vers. 12. Jam non clypeus noster tu, et propugnator; servos enim et omni robore ac libertate destitutos tradidisti nos inimicis tuis; nam te duce ac imperatore nunquam fuissemus victi.

Vers. 13. Nam neque armorum neque hominum tutela protegimur; Symmachus autem: « Spes nostra sis adversus nos invasuras tribulationes. »

Vers. 14. Nos profecto, quos calceamento petiturus es, et societate et amicitia denuo confoturus. His enim amissis, confitebamur nos repulsos esse, quod Deus jam non amplius « exiret in virtutibus suis. » — Ipse invisibili et occulta manu « ad nihilum deducet tribulantes nos. »

A Στ. ι'. Ὁ μὲν Μωὰβ διὰ τὸ κολαστικὸς εἶναι τῶν αὐτῷ παραδεδομένων ὑπὸ Κυρίου, τῆς ἐλπίδος τοῦ λέγοντος λέβης ἐστίν. Ὁ δὲ λέβης πολλαχοῦ τῶν προφητῶν σημαίνει κόλασιν. Ἐπεὶ οὖν χρηστῇ προθέσει αἱ κολάσεις ἐπάγονται, ἐλπίδα ἀγαθὴν διαδεχομένην ἔχουσαι, λέβης ἐλπὶς καὶ προσδοκία ἀγαθῶν ἐστιν. — Εἰ πρόσωπον εἴη τοῦ Σωτῆρος τὸ ταῦτα λέγον, ἐπεὶ μεταλαμβάνεται Ἰδουμαία εἰς τὸ « γηίνη, » ἐρεῖ ἐπὶ τὴν γῆν καὶ τὰ γήινα πορείαν ποιήσασθαι· σύμβολον γὰρ κεκαλυμμένης πορείας τὸ ὑπόδημα. Πάλαι μὲν οὖν γυμνῇ τῇ πορείᾳ ἐχρῆτο κτίζων, προνοούμενος· νῦν δὲ μετὰ σαρκὸς ἦλθε περίκειται, καὶ ὑπόδημα αὐτοῦ τυγχάνει.

B Στ. ια'. Ἀκούσας ὁ Προφήτης τὰ τοσαῦτα περὶ τῆς τῶν ἐθνῶν κλήσεως, ἀλλὰ καὶ μαθὼν τὰ διὰ τοῦ ν' ψαλμοῦ περὶ τοῦ τῶν Ἰουδαίων ἔθνους εἰρημένα, γνούς τε ὅτι οἱ ἀλλόφυλοι καὶ ἀλλογενεῖς ὑποταγήσονται καὶ φιλιάσουσι τῷ Θεῷ, μακαρίζει μὲν τοὺς τῆς τούτων πείρας καταξιωθησομένους, εὔχεται δὲ εἶναι καὶ αὐτὸς αὐτῶν. — Αὐτῆς ἐκείνης τῆς παμμακαρίας γενησομένης, ἐπειδὰν καταξιώσῃ ὁ Θεὸς ἐπιβῆναι αὐτοῦ τῷ ὑποδήματι τῆς αὐτῶν χώρας. — Καὶ μετ' ὀλίγα· Τίς τοίνυν ὁδηγήσει με ἐπὶ τὴν χάριν τὴν δοθησομένην τοῖς ἔθνεσιν, εἰ μὴ σὺ, ὁ Θεός; Οὕτω γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· « Εἰ μὴ σὺ, ὁ Θεὸς ὁ ἀποβαλόμενος ἡμᾶς; »

C Στ. ιβ'. Οὐ γὰρ ὑπερασπίζεις καὶ ὑπερμαχεῖς ἡμῶν, ἀλλὰ δούλους καὶ ὑποχειρίους παραδέδωκας ἡμᾶς τοῖς ἐχθροῖς σου οὐκέτι ἐλευθέρους· οὐ γὰρ ἡττήθημέν ποτε, σοῦ στρατηγοῦντος καὶ τῆς φάλαγγος ἡγουμένου.

Στ. ιγ'. Οὐ γὰρ διὰ παρατάξεως ὁπλιτικῆς, οὐδὲ δι' ἀνθρωπίνης· Σύμμαχος δὲ, « Ἐλπὶς ἡμῶν στῆναι πρὸς τὰς μελλούσας ἐπανίστασθαι ἡμῖν θλίψεις. »

Στ. ιδ'. Ἡμεῖς οἷς ἐπηγγείλω ἐπιβῆναι τῷ σαυτοῦ ὑποδήματι, καὶ καταξιώσειν τῆς ἑαυτοῦ ὑποταγῆς τε καὶ φιλίας. Οἱ μὲν γὰρ τούτων ἀπόβλητοι γενόμενοι ὡμολόγησαν ἀπεῶσθαι, διὰ τὸ μηκέτι « ἐξιέναι τὸν Θεὸν ἐν ταῖς δυνάμεσιν αὐτῶν. » — Καὶ αὐτὸς ἀοράτῳ καὶ κρυφαίᾳ χειρὶ « ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς. »

PSALMUS CVIII.

Vers. 6. Non omnibus eadem dextera, sed justo spiritualia et virtus, malo autem sensibilia et malitia. A dextris quidem sancti stat Deus, et a dextris peccatoris diabolus.

Vers. 7. Quando petit quæ non decet, et quæ accipienti nocerent, nec alia de causa damnatur a Deo, nisi quod ea rogat, quæ nec Deo dare conveniret, nec ipsi accipere prodesset.

Vers. 8. Veritatem prodenti pauci fiunt dies, quos vero lumine illuminatos habebat antequam veritatem proderet. — Hujus etiam episcopatum

D Στ. ς'. Οὐ πᾶσι τὰ αὐτὰ δεξιά, ἀλλὰ τῷ μὲν σπουδαίῳ τὰ νοητὰ καὶ τὰ τῆς ἀρετῆς· τῷ δὲ φαύλῳ, τὰ αἰσθητὰ καὶ τὰ τῆς κακίας. Ἐν μὲν τοῖς δεξιοῖς τοῦ ἁγίου Θεὸς ἵσταται, ἐν δὲ τοῖς τοῦ ἁμαρτωλοῦ διάβολος.

Στ. ζ'. Ὅταν μὴ ἃ δεῖ, ἀλλὰ (88) μὴ συμφέρει αὐτῷ ἀξιοῖ λαβεῖν παρὰ τοῦ Θεοῦ· καὶ διὰ τοῦτο κρίναντος αὐτὸν, ἐπεὶ μηδὲ ἃ πρέπει Θεὸν διδόναι, μηδὲ αὐτῷ λυσιτελεῖ, ἠτήσατο.

Στ. η'. Παντὸς γὰρ τοῦ προδότου τῆς ἀληθείας γίνονται αἱ ἡμέραι ὀλίγαι, ἃς εἶχε φωτιζόμενος πρὶν προδῷ τὴν ἀλήθειαν, ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς φωτι-

(88) Lege ἀλλ' ἃ. Edit.

Digitized by Google

ζόμενος.— Λαμβάνει δὲ καὶ τούτου τὴν ἐπισκοπὴν, αὐτὸς αὐτοῦ διδάσκαλος γινόμενος, ὁ καὶ ἐμμείνας καὶ προκόψας ἐν τῇ ἀληθείᾳ.

Στ. ιδ'. Πατέρες δὲ Ἰούδα οἱ παρὰ προδοσίαν γεννήσαντες αὐτὸν εἶναι δύνανται, οἵ τε διὰ τῆς δόσεως τῶν ἀργυρίων εἰς τοῦτο αὐτὸν παρορμήσαντες, καὶ ἔτι ὁ βαλὼν εἰς τὴν καρδίαν αὐτοῦ Σατανᾶς προδοῦναι τὸν Κύριον, καὶ οἱ ἔχοντες σοφίαν τούτου τοῦ αἰῶνος ἄρχοντες, περὶ ὧν ὁ Παῦλος· « Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. »

Στ. κα'. Εὐεργετικὸν δν καὶ μεστὸν ἀγαθότητος. Λέγοις δ' ἂν καρδίαν καὶ ἰσοψύχους αὐτοῦ τοὺς ἀποστόλους, τῶν ὑποδεεστέρων πεπιστευκότων τυγχανόντων αὐτοῦ σῶμα. Ἐπεὶ οὖν ἐσκορπίσθησαν οἱ μαθηταὶ σκανδαλισθέντες ἐν τῇ νυκτὶ ἐκείνῃ, ὅτε ἐπέστησαν ἐπὶ τῷ κρατῆσαι αὐτὸν καὶ ὁ τῶν Φαρισαίων ὄχλος, τεταράχθαι αὐτοὺς καρδίαν αὐτοῦ τυγχάνοντας συνέβη. Πλὴν εἰ καὶ ἐταράχθη ἡ καρδία αὐτοῦ, ἀλλ' οὖν οὐκ ἀπέστη αὐτοῦ περιεχομένη αὐτοῦ καὶ ἔνδον οὖσα τῶν μαθητῶν αὐτοῦ.

Στ. κγ'. Τοῦτο ἐρεῖ περὶ τῆς ἀνθρωπίνης ζωῆς ὁ Κύριος, οὐ μονίμου οὐδ' ἐστηκυίας οὔσης.—Αἱ ἀκρίδες δι' ἀσθένειαν φύσεως θᾶττον ἐκτινάσσονται σοβούμεναι. Οὕτω κἀγὼ ἀσθενῆ ζωὴν δι' ἀνθρώπους ἀναλαβὼν, ἐπὶ τὸ σταυρωθῆναι ἐξ ἀσθενείας ἐξεδιώχθην, μετανάστασιν(89) ἀναληφθείς. Δύναται καὶ περὶ πάντων τῶν μαθητῶν τὸ περὶ αὐτοῦ λέγειν τό· « Ἐξετινάχθην ὡσεὶ ἀκρίδες. » Ἐπείπερ διωκόμενοι καὶ ἐκτινασσόμενοι πρὸς τῶν κακοῦν ἐθελόντων, οὐ ταπεινοῦνται, ἀλλ' ἱπτάμενοι μετάρσιοι φέρονται. Καὶ πάντες οὖν οἱ μάρτυρες ἐκτιναχθέντες ὡσεὶ ἀκρίδες, ἐάσαντες τὰ κάτω, διώκουσι τὰ βραβεῖα τῆς ἄνω κλήσεως.

Στ. λα'. Ἐμοῦ δηλονότι τοῦ ὑπὲρ πάντων πτωχεύσαντος, ὅπως τῇ ἐμῇ πτωχείᾳ πλουτήσωσιν. Παρίσταται δὲ ἐκ δεξιῶν τοῦ πάντα δεξιῶς πράττοντός τε καὶ φρονοῦντος. Πάλιν δὲ τοῦ ἐκ δεξιῶν αὐτοῦ παρεστάναι τὸν Θεὸν, τὴν πρόφασιν τιθεὶς λέγει « τοῦ σῶσαι τὴν ψυχήν μου. »

accipit, ipse illius magister factus, qui veritati instat et inservit.

Vers. 14. Patres Judæ, quicunque proditionem quavis ratione fovere potuerunt. Illi qui pecuniam dando eum ad hoc propulerunt, et Satanas qui animum ejus prodendi Domini studio incendit; et principes qui sapientia hujus mundi sapiunt, de quibus Paulus : « Si enim cognovissent, nunquam Dominum gloriæ crucifixissent [88]. »

Vers. 21. Quia benignus et bonitatis plenus. — Cor dices qui eadem sentiebant apostoli, constituentibus corpus cæteris fidelibus. Cum igitur discipuli dissipati sint, scandalizati illa nocte, qua Christum aggressa est Pharisæorum turba, illos cor scilicet conturbatos habuit suum. Licet autem turbatum fuerit cor ejus, non defecit tamen ab eo ipsi adhærens, et intra discipulos ejus remanens.

Vers. 23. Hoc dicit de humana vita Dominus, quæ nec firma nec stabilis. — Locustæ propter naturæ imbecillitatem facillime expulsæ, excutiuntur : ita ipse ego infirmam vitam propter homines adeptus, et ex infirmitate cruci affixus sum, et morte interii. Ad omnes discipulos referri potest quod de ipso dicit : « Excussus sum sicut locustæ. » Nam licet a malignis agitentur et excutiantur, non humiliantur tamen, sed evolantes ad sublimia feruntur. Omnes igitur martyres sicut locustæ excussi, humilia despiciunt, et cœlestis vocationis præmia insequuntur.

Vers. 31. Ego sane pro omnibus « pauper » factus sum, ut paupertate mea ditescant. Adstat Dominus a dextris cujusque recta agentis et sentientis. Rursus autem ait qua de causa Deus a dextris astet, nempe « ut salvet animam meam. »

PSALMUS CIX.

Στ. α'. Πληρώσαντι τὴν οἰκονομίαν, καὶ ἐκ νεκρῶν ἀναστάντι, καὶ εἰς οὐρανὸν ἀναληφθέντι τῷ Υἱῷ Κυρίῳ ὄντι, εἶπεν ὁ Κύριος, « Κάθου ἐκ δεξιῶν μου, » καὶ τὰ ἑξῆς, τουτέστιν ὁ Πατήρ. Παῦλος γοῦν οἶδεν μετὰ τὴν ἀνάληψιν ταύτην εἰρῆσθαι τὴν φωνὴν διὰ τοῦ φάναι, « Καθαρισμὸν τῶν ἁμαρτωλῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, » καὶ τὰ ἑξῆς. Καὶ πάλιν, « Τίνι γὰρ ἀγγέλων εἴρηκέν ποτε, Κάθου ἐκ δεξιῶν μου; » Κύριος τοίνυν ὢν ὁ Πατὴρ τῶν πρὸς αὐτοῦ γεγενημένων ἁπάντων, λέγει τῷ Κυρίῳ τῆς κτίσεως· « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. » Λέγει δὲ ὁ Πατὴρ τῷ Υἱῷ, ὡς ἂν εἴποι πατὴρ υἱῷ καὶ υἱὸς πατρί. Οὐ γὰρ προφορᾷ χρώμενος διαλέγεται τῷ Υἱῷ. Αὐτὸς γὰρ αὐτοῦ νόησις, ἀλήθειά τε καὶ σοφία καὶ Λόγος. Κάθηται δὲ ἐν τοῖς δεξιοῖς ὁ Κύριος τοῦ Κυρίου, εἰ γὰρ σῶμα ἦν, οὐ

Vers. 1. Redemptione hominum perfecta, resurgenti ex mortuis, et in cœlum ascendenti Domino Filio dicit Dominus, Pater scilicet : « Sede a dextris meis. » Quæ verba post ascensionem perfecta fuisse declarat Paulus asserendo de Jesu : « Purgationem peccatorum faciens, sedet ad dexteram majestatis in excelsis [86], » et cætera. Et rursus : « Ad quem autem angelorum dixit aliquando : Sede a dextris meis [87]? » Dominus igitur, omnium ipsius nomine factorum Pater, dicit Domino creationis : « Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. » Alloquitur autem Pater Filium, quo modo filius cum patre, aut pater cum filio conversari solent. Pater autem non verbis ad hoc usus est : nam Filius mens ejus, et sapientia, et veritas et Verbum. Sedet autem a dextris Domini Dominus, non locum occupando, licet cor-

[88] I Cor. II, 8. [86] Hebr. I, 3. [87] ibid. 13.

(89) Forsitan legendum μετ' ἀνάστασιν. Edit.

Digitized by Google

pus sit, alioquin non diceret : Et in loco dexteram quærebamus. Dextræ igitur Dei, qui divinæ sanctitatis et bonitatis participes facti sunt; quibus non aliter imperat quam cum Patre una regnando. Nam illud, « Sede a dextris, » indicat Filium cum Patre simul regnare.

VERS. 3. Vox principium hic regnum significat quo Salvator « in die virtutis suæ » potitus est, aut post resurrectionem, cum ex mortuis resurrexisset; nam si ex infirmitate crucifixus est, ex virtute Dei vivit [88]. Aut indicat imperium ipsi natura competere quo regnat et dominatur. — (In splendoribus) quibus eos lux vera illuminat et illustrat. Unde etiam dictum est : « Sit splendor Domini Dei nostri super nos [88*]. » — Omnes ecclesiastici, non hodie primum sed semper etiam, existimaverunt verba ista a Patre fuisse prolata, et cum psalmi exordio ita esse conjungenda : « Dixit Dominus Domino meo : Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum; ex utero enim ante luciferum genui te. » Quibus puto cæteros versus fuisse interpositos. Nec videtur Apostolus ab hac opinione abhorrere dicendo : « Ad quem autem angelorum dixit aliquando : Sede a dextris meis? » Hoc idem sonat ac si diceret : Nulli creaturæ, sed unigenito Filio tantum ait : « Sede a dextris meis. » Cum ipse solus Unigenitus sit, « in sinu Patris [89]. » — Quando de legitima prole agitur, uterum memoramus; nam alii proprie filii sunt, alii ficte per adoptionem : quotiescunque non adoptivos, sed veros indicamus, dicimus eos parentum genimina uteri. Deus igitur proprium et unigenitum Filium suum commendans, uterum memorat. — Et paulo post : Non ignaro dicit hæc Pater Filio, sed ut ipsi sciremus qua societate Pater cum Filio et Filius cum Patre conjunguntur, scripta sunt hæc. — Et paulo post : Lucifer non sensibilis tantum, sed et spiritualis lux. Quod si autem ante spiritualia, manifestum est etiam eum ante creaturam genitum fuisse, juxta illud : « Ipse est ante omnes [90]. »

VERS. 4. Quemadmodum Deus dicit nos jurare dicendo : « Est, est, » aut, « Non, non [91], » ita multo magis jurare videtur vera asserendo, licet nullam imprecationem nullumque jusjurandum adhibuerit. « Juravit » igitur « Dominus et non pœnitebit eum, » quia eum nunquam pœnitebit nec donorum suorum, nec vocationis omnium maximæ, qua Salvator ad sacerdotium vocatus est. Profecto manebit in æternum donum ejus, et sacerdotium « juxta ordinem » non Aaronis, sed « Melchisedech » in sæcula.

VERS. 5. Cum prius Pater dixisset, « Sede a dextris meis, » dicitur nunc Filio : « Dominus a dextris tuis, » ut appareat Filium non ratione loci a dextris esse Patris : alioquin simul foret Pater a dextris

A τοπικῶς, ἢ εἶχεν οὐ ταῦτα λέγων· Καὶ ἐν τόπῳ τὸ δεξιὸν ἐζητοῦμεν. Δεξιοὶ τοιγαροῦν τοῦ Θεοῦ οἱ μετέχοντες αὐτοῦ, καθ' ὃ Θεὸς καὶ ἅγιος καὶ ἀγαθός ἐστιν, ὃν οὐκ ἄλλως ἡγήσεται ἢ ὁ ἅμα τῷ Πατρὶ βασιλεύων· τὸ γὰρ, « Κάθου ἐκ δεξιῶν, » συμβασίλευσιν τοῦ Υἱοῦ δηλοῖ πρὸς τὸν Πατέρα.

Στ. γ'. Τὸ τῆς ἀρχῆς ὄνομα βασιλείαν ἐνταῦθα σημαίνει οὖσαν μετὰ τοῦ Σωτῆρος « ἐν τῇ ἡμέρᾳ τῆς δυνάμεως αὐτοῦ, » ἢ μετὰ ἀνάστασιν, ἣν ἀνέστη ἐκ νεκρῶν· εἰ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ. Ἢ σημαίνων τὴν προσοῦσαν αὐτῷ σύμφυτον ἀρχήν, καθ' ἣν κρατεῖ καὶ δυναστεύει. — Καθ' ἃς ἔξουσιν ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς φωτιζόμενοι καὶ λαμπρυνόμενοι. Ὥστε ἂν εἰπεῖν· « Ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. » — Πάν-
B τες οἱ ἐκκλησιαστικοὶ οὐ νῦν πρότερον, ἀλλὰ καὶ ἀεὶ, πρὸς τοῦ Πατρὸς τὴν προκειμένην λέγουσιν φωνὴν εἰρῆσθαι συναπτομένην τῇ ἀρχῇ τοῦ ψαλμοῦ, οὕτως· « Εἶπεν Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. » Τῶν ἄλλων οἶμαι στιχίων διὰ μέσου εἰρημένων. Καὶ ἔοικέ γε καὶ ὁ Ἀπόστολος ταύτῃ τῇ διανοίᾳ ἠκολουθηκὼς εἰρηκέναι· « Τίνι γὰρ τῶν ἀγγέλων εἰρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου; » Μονονουχὶ λέγων, Οὐδενὶ τῶν γεννητῶν, ἀλλὰ τῷ μονογενεῖ Υἱῷ ἑαυτοῦ μόνῳ εἶπεν, « Κάθου ἐκ δεξιῶν μου. » Ἐπεὶ καὶ μόνος αὐτὸς Μονογενής ἐστιν, « ὢν ἐν κόλποις τοῦ Πατρός. »
— Γνησίας γονῆς ὅταν λόγον ποιώμεθα, γαστέρα ὀνομάζομεν, ἐπεὶ γάρ εἰσι κυρίως τινῶν υἱοὶ, ἄλλοι
C δὲ εἰσποιητοὶ καὶ θετοί· ὅταν μὴ τοὺς θετοὺς, ἀλλὰ τοὺς κυρίους σημαίνομεν, λέγομεν γεννήματα γαστρὸς αὐτοὺς τῶν τεκόντων. Καὶ Θεὸς οὖν γνήσιον Υἱὸν καὶ ἐξ ἑαυτοῦ τὸν Μονογενῆ παραστῆσαι θέλων, γαστρὸς μνημονεύει. — Καὶ μετ' ὀλίγα· Ἀλλ' οὐκ ἀγνοοῦντι τῷ Υἱῷ τοῦθ' ὁ Πατὴρ λέγει, ἀλλ' ἵν' ἡμεῖς γνῶμεν τὴν οἰκειότητα τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν, καὶ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ἀνεγράφη ταῦτα. — Καὶ μετ' ὀλίγα· Ἑωσφόρου δὲ φωτὸς οὐκ αἰσθητοῦ μόνου, ἀλλὰ καὶ νοητοῦ. Εἰ δὲ καὶ τῶν νοητῶν, πρόδηλον ὅτι καὶ πάσης κτίσεως, κατὰ τὸ εἰρημένον· « Καὶ αὐτός ἐστι πρὸ πάντων. »

Στ. δ'. Ὥσπερ ἡμῖν ὁ Σωτὴρ ὅρκον ὁρίζει εἶναι τὸ « Ναὶ ναὶ, » καὶ τὸ « Οὒ οὔ· » οὕτω, μᾶλλον δὲ πολ-
D λῷ πλέον, Θεὸς ἀληθεύων ὀμνύναι λέγεται, οὐκ ἀπομοτικῷ ἢ κατομοτικῷ χρησάμενος. « Ὤμοσε » τοίνυν « Κύριος, καὶ οὐ μεταμεληθήσεται· » ἐπείπερ ἀμεταμέλητα τὰ χαρίσματα, καὶ ἡ κλῆσις δὲ μεγίστη εἰς ἱερωσύνην ἡ τοῦ Σωτῆρος. Καὶ ἀμεταμέλητον χάρισμα, ἡ ἱερωσύνη οὐ « κατὰ τὴν τάξιν » Ἀαρὼν, ἀλλὰ « τοῦ Μελχισεδὲκ » εἰς τὸν αἰῶνα.

Στ. ε'. Τοῦ Πατρὸς εἰπόντος, « Κάθου ἐκ δεξιῶν μου, » τῷ Υἱῷ νῦν λέγεται, « Κύριος ἐκ δεξιῶν σου, » ὡς φανεροῦσθαι μὴ τοπικῶς ἐκ δεξιῶν τοῦ Πατρὸς εἶναι τὸν Υἱόν· ἰδοὺ γὰρ ἅμα καὶ αὐτὸς ἐκ

[88]. II Cor. XIII, 4. [88*]. Ps. LXXXIX, 17. [89] Joan. I, 18. [90] Col. I, 17. [91] Matth. V, 37.

Digitized by Google

δεξιῶν ἐστιν, καὶ ὁ Πατὴρ αὐτοῦ ἐκ δεξιῶν· ὅπερ ἀδύνατον, εἰ τοπικῶς τὸ « ἐκ δεξιῶν » νοοῖτο. Ὡς οὖν ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, οὕτως ὁ Υἱὸς τοῦ Πατρὸς δεξιὸς, καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ ἐκ δεξιῶν αὐτοῦ. — Τοὺς νοητοὺς βασιλεῖς οὐκ ἄλλους τυγχάνοντας, ἀρχῶν καὶ ἐξουσιῶν καὶ κοσμοκρατόρων τοῦ σκότους. Οἱ αὐτοὶ δέ εἰσιν οὗτοι, οἱ ὑπὸ πόδας τοῦ Σωτῆρος τιθέμενοι ὄντες διὰ τὴν κακίαν καὶ πονηρίαν, ἣν εἵλαντο ἐχθροὶ αὐτοῦ. Πλὴν συνθλασθέντες, παύσονται τοῦ εἶναι πολέμιοι, καταργουμένης ὑπὸ Κυρίου πάσης ἀρχῆς καὶ πάσης ἐξουσίας τοιαύτης. Ἡμέρα δὲ ὀργῆς, ὁ καιρὸς τῆς ἅμα πάντων κρίσεως ἐν ταῖς Γραφαῖς λέγεται.

A Filii, et ipse Filius a dextris Patris. Quod absurdum, nisi hæc spiritualiter intelligantur. Quemadmodum igitur Pater in Filio et Filius in Patre, ita Filius dextera Patris et Pater a dextris Filii. — Reges hi non alii præter diabolos, tenebrarum regno et imperio et dominatione instructos. Qui iidem Salvatoris pedibus calcandi sunt propter malitiam et nequitiam, qua ipsius inimici exstiterunt. Qui conterendi sunt et de regno ejiciendi, quando Dominus istorum imperium ac virtutem confringet. Dies iræ vocatur in Scripturis tempus quo omnia judicanda sunt.

Στ. ς'. Οὐδένα κενὸν ἐῶν καὶ ἀμέτοχον τῆς ἀπ' αὐτοῦ πληρότητος, τῶν ἐπὶ σωτηρίᾳ πεσόντων, ἵν' ἀναστῶσιν εἰς αἰωνίαν ζωήν. — Τῶν κεχυδεῶσθαι (90) διὰ τὴν κακίαν καλουμένων πολλῶν.

B

Vers. 6. Nullum nisi plenitudine sua refertum et repletum dimittet, ex eis qui ad salutem referuntur, ut ad vitam æternam resurgant.—Reluctantibus propter malitiam multis eorum qui vocantur.

Στ. ζ'. Ὁ χείμαρρος πανταχοῦ ὥσπερ καὶ ἐνταῦθα πειρασμὸν σημαίνει· πιεῖν δὲ ἐξ αὐτοῦ, ἐστὶν τὸ ἀναδέξασθαι αὐτόν. Πεπείραται δὲ Ἰησοῦς ὑπὲρ σωτηρίας, γενόμενος ἐν τῇ τῶν ἀνθρώπων ὁδῷ, ὡς φησιν ὁ Ἀπόστολος γράφων ὧδε· « Ἐν ᾧ γὰρ αὐτὸς πέπονθεν πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. » Ὢν καὶ βασιλεὺς ἀναδειχθεὶς, δοθείσης αὐτῷ ἐξουσίας ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ὕψωσεν κεφαλὴν, ἄρχων οὐ μόνον τῶν ἐπὶ γῆς, ἀλλὰ καὶ τῶν ἐν οὐρανοῖς χειροτονηθεὶς ὑπὸ τοῦ Πατρὸς, «ἐπὶ τὸ πᾶν γόνυ κάμψαι ὑπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πάσης γλώσσης ἐξομολογουμένης, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός· » ταύτης τῆς ὑψώσεως σύμβολον ὁ σταυρὸς φέρει.

Vers. 7. Torrens hic uti et alias tentationem significat : bibere de torrente nil aliud præter tentationem subire. Tentatus est autem Jesus pro salute, hominum viam ingressus, uti testatur Apostolus scribens : « In eo enim, in quo passus est ipse et tentatus, potens est et eis qui tentantur, auxiliari [92]. » Rex probatus omnium, imperio in cœlum donatus et in terram, omnibus a Patre præpositus tum iis quæ in cœlis quam iis quæ in terris sunt, exaltavit caput, ita « ut omne genu flecteretur cœlestium, terrestrium et infernorum, et omnis lingua confiteretur quia Dominus Jesus Christus in gloria est Dei Patris [93] : » cujus exaltationis symbolum crux.

C

PSALMUS CX.

Στ. ε'. Τροφὴν ἐξαιρέτως δίδωσι τοῖς φοβουμένοις αὐτὸν, μετά τινος παραδοξοποιίας. Ὡς τῷ Δανιὴλ τὸ ἄριστον τυγχάνοντι ἐν λάκκῳ τῶν λεόντων ἐν τῇ Βαβυλῶνι, ἐκ τῆς Ἱερουσαλὴμ τὸν Ἀμβακοὺμ, μετάρσιον ἅρας ἤγαγεν εἰς Βαβυλῶνα, κομίζοντα τὴν τροφὴν αὐτῷ τῷ Δανιήλ. Ἀλλὰ καὶ κόραξιν ἐντειλάμενος, ἄρτους τῷ πρωῒ καὶ κρέας τῇ δείλῃ φέρειν τῷ Ἠλίᾳ, λιμοῦ μεγάλης τυγχανούσης, ἔθρεψεν αὐτὸν φοβούμενον τὸν Κύριον. Τῆς δὲ παλαιᾶς διαθήκης αὐτοῦ, ἕως καιροῦ διορθώσεως δοθείσης τέλος ἀπολαβούσης «μνησθήσεται εἰς τὸν αἰῶνα » τῆς κατὰ τὸ Εὐαγγέλιον τῆς καινῆς διαθήκης ἀδιαδόχου διαμενούσης. — Ὅτε πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσελθεῖν εἰς τὴν ἀκήρατον καὶ δεδοξασμένην κληρονομίαν, μιμνήσκεται εἰς τὸν αἰῶνα τῆς πρὸς τοὺς υἱοὺς τοῦ Ἰσραὴλ διὰ τοὺς πατέρας αὐτῶν διαθήκης.

Vers. 5. Mirabili ratione dat Deus escam timentibus se. Ita prandium dedit Danieli in lacu leonum Babylone esurienti ; nam Ambachum de Jerusalem per aera in Babylonem portavit, ut Danieli escam afferret [94]. Ita etiam corvis mandavit [95], ut Eliæ panes mane, et carnes vesperi deferrent ; fame tota regione enecta, timentem se enutrivit. Vetus testamentum, cum adventante Christo solvendum erat, « memor erit in sæculum testamenti » novi juxta Evangelium instituti, et absque ulla intermissione semper duraturi. —Cum obcæcato ex parte Israel, plenitudo gentium incorruptam et glorificatam hæreditatem sortita est, meminit in sæculum testamenti cum filiis Israel propter eorum patres compositi.

D

Στ. ς'. Φανερῶν αὐτοῖς οἵας δυνάμεως ἐστιν ἕκαστον, ὧν προσέταξεν ἐργάζεσθαι τὸν λαὸν, καὶ τοὺς λόγους τῶν γεγονότων. — Τῷ Ἰσραηλιτικῷ, ἵνα τῆς οἰκονομίας τὴν δύναμιν θεωρήσαντες σωθῶσι καὶ αὐτοὶ μετὰ τὸ εἰσελθεῖν τὸ πλήρωμα τῶν ἐθνῶν, λαμβάνοντες θεόθεν τὴν προσοικειωθεῖσαν τοῖς ἔθνεσι κληρονομίαν.

Vers. 6. Revelans eis quam vim habeant opera, quæ populo perficienda erant, et quam rationem de factis reddituri sint. — Populo Israelitico, ut virtutem redemptionis considerantes salventur et ipsi, plenitudine gentium hæreditatem adepta, divinitus edocti de concessa gentibus hæreditate.

[92] Hebr. II, 18. [93] Philipp. II, 10, 11. [94] Dan. XI, 32. [95] III Reg. XVII, 4.

(90) Ita cod.

Digitized by Google

Vers. 7. Quæ etiam novo testamento propria, et institutioni constitutionique evangelicæ disciplinæ aptissime conveniunt. Cur autem hæc? Ut discamus et sciamus opera novi testamenti non esse in figuris et umbris et symbolis, uti opera Moysis, sed veritas erant opera Christi. Quamobrem dictum est : « Gratia et veritas per Jesum Christum facta est[96]. » Imo non veritas modo, sed et judicium erant opera Salvatoris, uti Isaias de ipso fuerat professus : « Et erit justitia cinctus lumbum suum, et veritate involutus costas[97]. » — Cum Evangelii discipuli non ex operibus legis salutem consequantur, juxta doctrinam divi Apostoli, sed ex auditu fidei[98]. — Nam mandata Moysis ad tempus data fuerant; mandata autem Evangelii non hoc ævo tantum duratura, sed in æternum permanebunt. — Quemadmodum enim opera manuum ejus, veritas et judicium, ita etiam mandata ejus ab ipsius discipulis « in veritate et æquitate » perficientur.

Στ. ζ'. Καὶ ταῦτα τῆς καινῆς διαθήκης οἰκεῖα τυγχάνει, ἁρμόζοντα τῇ εἰσαγωγῇ καὶ τῇ στοιχειώσει τῆς εὐαγγελικῆς διδασκαλίας· τίνα δὲ ταῦτα ; ἀλλ' ἢ τὸ γνῶναι ἡμᾶς καὶ μαθεῖν ὅτι τὰ καινῆς διαθήκης ἔργα οὐκ ἦσαν ἐν τύποις καὶ σκιαῖς καὶ συμβόλοις, οἷα τὰ παρὰ Μωϋσεῖ, ἀλλ' ἀλήθεια ἦν τὰ ἔργα αὐτοῦ. Διʼ ὃ καὶ λέλεκται· « Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. » Πρὸς δὲ τῇ ἀληθείᾳ, καὶ κρίσις ἦν τὰ ἔργα τοῦ Σωτῆρος ἡμῶν· διὸ εἴρηται ἐν Ἡσαΐᾳ περὶ αὐτοῦ· « Καὶ ἔσται δικαιοσύνη ἐζωσμένος τὴν ὀσφύν, καὶ ἀληθείᾳ εἰλυμένος τὰς πλευράς. » — Ἐπειδὴ οὐκ ἐξ ἔργων νόμου οἱ τοῦ Εὐαγγελίου μαθηταὶ, ἀλλ' ἐξ ἀκοῆς πίστεως τῆς σωτηρίας καταξιοῦνται, κατὰ τὸν ἱερὸν Ἀπόστολον. — Αἱ γὰρ Μωϋσέως ἐντολαὶ πρόσκαιροι γεγόνασιν· αἱ δὲ τοῦ Εὐαγγελίου, διαρκεῖς οὐκ εἰς τὸν παρόντα μόνον αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα διαμένουσαι. — Ὡς γὰρ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ ἀλήθεια ἦν καὶ κρίσις, οὕτω καὶ αἱ ἐντολαὶ αὐτοῦ ὑπὸ τῶν αὐτοῦ μαθητῶν « ἐν ἀληθείᾳ καὶ εὐθύτητι » ἐπιτελοῦνται.

Vers. 9. Idem sonant hæc atque illa : « Venit dare animam suam redemptionem pro multis[99]. » Pretio igitur illius sanguinis, gratia Dei pro omnibus mortem subeuntis, liberati sumus a labe nobis a patribus tradita. — Ut testamento constanti et perfecto studio inservientes, æternam hæreditatem assequantur, juxta immotas et æternas promissiones. — Nomen ipsius, ait, sanctis « sanctum, » et peccatoribus « terribile. »

Στ. θ'. Οὐχ ἑτερά ἐστιν τοῦ εἰπόντος· « Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. » Τῷ αὐτῷ γοῦν τιμίῳ αἵματι, χάριτι Θεοῦ ὑπὲρ παντὸς γευσαμένου θανάτου, ἐλυτρώθημεν ἐκ τῆς πατροπαραδότου ἀναστροφῆς ἡμῶν. — Ὅπως συντόνως καὶ τελείᾳ προθυμίᾳ ἐχόμενοι αὐτῆς, ἀθάνατον κληρονομίαν ἀπολάβωσιν κατὰ τὰς αἰωνίους καὶ ἀφθάρτους ἐπαγγελίας. — Τὸ ὄνομα αὐτοῦ, φησὶν, τοῖς μὲν ἁγίοις « ἅγιον, » τοῖς δὲ μὴ ἁγίοις « φοβερόν. »

Vers. 10. Uti viæ bonæ, quæ nil aliud præter veritatis meditationem, initium est facere justa[1], ita initium sapientiæ (quæ rursus meditatio veritatis), timor Domini, justitia scilicet virtutem operibus perficiens. Qua igitur ratione se habet justa facere cum bona ira, eadem se habet timor Domini cum sapientia. — « Intellectus bonus, » non iis qui eum sentiunt ac non perficiunt, sed iis qui faciunt eum. Facientibus enim intellectum, qui non alius a virtute, prodest ipse; atque ita discunt quam bonus sit. — Sensus exprimere finis conveniens Deum celebrantibus; « laudatio ejus, » celebrantis Deum videlicet, manet in æternum. Cum enim qui celebratur, æternus, et laudatio æterna sit oportet, ut per omnia sæcula duret.

Στ. ι'. Ὥσπερ τῆς ὁδοῦ τῆς ἀγαθῆς (αὕτη δέ ἐστιν ἡ θεωρία τῆς ἀληθείας) ἀρχὴ τὸ ποιεῖν τὰ δίκαια ὑπάρχει, οὕτως ἀρχὴ εἰσαγωγῆς εἰς τὴν Θεοῦ σοφίαν, οὐκ ἄλλην οὖσαν τῆς θεωρίας τῆς ἀληθείας, ὁ θεῖός ἐστι φόβος ὁ αὐτὸς ὢν τοῖς πρακτικοῖς δικαίοις ὀνομαζόμενος. Ὅνπερ οὖν ἔχει λόγον τὸ ποιεῖν τὰ δίκαια πρὸς τὴν ἀγαθὴν ὁδὸν, τοῦτον ὁ τοῦ Θεοῦ φόβος πρὸς τὴν σοφίαν. — Οὐ τοῖς ἄνευ τοῦ ποιεῖν νενοηκόσιν, ἀλλὰ τοῖς ποιοῦσιν αὐτὴν τυγχάνει. Τοῖς γὰρ ποιοῦσι τὴν σύνεσιν, οὐχ ἑτέραν οὖσαν τῆς ἀρετῆς, ὠφέλεια ἔσται· ἐξ ἧς ὠφελείας μανθάνουσι τὸ ἀγαθὸν αὐτῆς. — Τοῦτο γὰρ κατάλληλον πέρας τοῖς θεολογοῦσι τὸ λέγειν, « Ἡ αἴνεσις αὐτοῦ, » τοῦ θεολογηθέντος δηλονότι, μένει ἐπ' ἄπειρον. Ἐπεὶ γὰρ ὑμνούμενος ἀθάνατος, ἀνάγκη καὶ τὴν αἴνεσιν αὐτοῦ ἀτελεύτητον εἶναι, ὡς διαρκεῖν εἰς πάντας τοὺς αἰῶνας.

PSALMUS CXI.

Vers. 1. Qui mandata Domini ipsorum gratia, non alia de causa perficit, ab illis abhorrens qui humanæ inserviunt gloriæ, aut pœnas fugiunt peccatori imminentes, aut mercedem quamlibet appetunt. Ast bonum ipsum diligit et operatur; hic enim vere beatus.

Στ. α'. Ὁ μὴ ἄλλου τοῦ χάριν, ἢ αὐτῶν ἕνεκα ἐνεργῶν αὐτὰς, οἷον διὰ δόξαν ἀνθρωπίνην, ἢ διὰ τὸ μὴ περιπεσεῖν τῇ τοῖς ἁμαρτάνουσιν ἐπαγομένῃ κολάσει, ἢ διὰ μισθὸν, ἀλλ' αὐτὸ τὸ ἀγαθὸν αἱρούμενος καὶ ἐνεργῶν. Οὕτω γὰρ ἔσται ἀληθῶς ὁ τοιοῦτος μακάριος.

Vers. 2. Quod si beati semen obvio et Judaico sensu interpretari velles, mendax esset hoc effatum. Innumeri enim exstiterunt sancti et pii viri

Στ. β'. Εἰ μὲν προχείρως τις καὶ Ἰουδαϊκῶς ἐθέλοι τὸ σπέρμα ἐκλαβεῖν τοῦ μακαριζομένου, ἀσύστατος γένοιτʼ ἂν αὐτῷ ὁ λόγος. Μυρίων γὰρ ἁγίων καὶ

[96] Joan. I, 17. [97] Isa. XI, 5. [98] Rom. III, 22. [99] Matth. XX, 28. [1] Prov. XVI, 5.

Digitized by Google

θεοφιλῶν ἀνδρῶν καὶ προφητῶν οὐκ ἐφάνη δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα. Οὐ γάρ τις δύναται δεῖξαι, φέρε τοῦ Μελχισεδέκ, ἢ τοῦ Ἰησοῦ τοῦ Ναυῆ, ἢ τοῦ Ἠλία, ἢ τοῦ Ἱερεμία, ἢ τῶν λοιπῶν προφητῶν σπέρμα, τουτέστιν υἱοὺς, καὶ διαδοχὰς υἱῶν, καὶ σπέρμα δυνατὸν ἐν τῇ γῇ γεγενημένον. Κατὰ δὲ διάνοιαν νοήσεις τοῦ λόγου τὸ ἀποτέλεσμα· ἐπιστήσας ἑκάστῳ τῶν ἀποστόλων, ὧν τὸ λογικὸν σπέρμα δσης μετέσχε δυνάμεως, καταβληθὲν ὥσπερ εἰς χώρας εὐγείους καὶ καρποφόρους τὰς τῶν ἀνθρώπων ψυχάς. Οὐκ ἔστιν εἰπεῖν, οἷον Παῦλος ὁ ἀπόστολος, ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ συστησάμενος τῷ Θεῷ μυριάνδρους Ἐκκλησίας, δυνατὸν ἐν τῇ γῇ ἐκτήσατο σπέρμα. Ὁμοίως καὶ τῶν λοιπῶν μαθητῶν ἕκαστος. — Καὶ μετ' ὀλίγα· Τοῦτο δὲ τὸ σπέρμα τῶν ἁγίων, σὺν αὐτοῖς τοῖς τὰ τοιαῦτα κατασπείρουσιν, εὐλογεῖται, οὐκ ἐν τῇ τυχούσῃ γενεᾷ, ἀλλ' ἐν τῇ τῶν εὐθέων.

A ac prophetæ, quorum semen nulla ratione potens in terra apparuit. Quis enim Melchisedech, aut Jesu Nave, aut Eliæ, aut Jeremiæ, aut cæterorum prophetarum semen indicare poterit, hoc est filios et filiorum prolem, et hoc quidem semen in terra potens factum? Verba ista spiritualiter intelligenda; ita apostolus quisque semen suum pro viribus suis in solo fertili et fructifero, animis videlicet hominum, seminavit. Nec verbis exprimere possis, quam potens in terra semen Paulo fuerit a Jerusalem usque ad Illyriam innumeras Ecclesias Deo condenti. Eadem de cæteris quoque discipulis valent. — Et paulo post: Quod semen sanctorum, cum ipsis seminantibus illud benedicetur, non in qualibet generatione, sed in generatione rectorum.

Στ. γ'. Τοῦτο νοήσεις ἀκούσας Παύλου λέγοντος· « Ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες, καὶ ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. » Τίς δ' ἂν γένοιτο πλουσιώτερος τοῦ κληρονόμου Θεοῦ, συγκληρονόμου δὲ Χριστοῦ ἀποφανθέντος; — Ὁ τοὺς Ἰησοῦ λόγους, οὓς ἤκουσεν, [εἰς] ἔργα μεταβαλὼν οἰκοδομεῖ ἐπὶ τὴν πέτραν τὴν ἑαυτοῦ οἰκίαν, ἐπὶ τὸν ἀῤῥαγῆ τοῦ Θεοῦ λόγον, τὰς κρηπῖδας τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ βίου ἑαυτοῦ μεταβαλλόμενος. Ταύτην οὖν ἣν ᾠκοδόμησεν οἰκίαν ἕκαστος τῶν φοβουμένων τὸν Κύριον, ἐπὶ τὸ ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου τεθεληκέναι, τουτέστι τοῖς Ἰησοῦ λόγοις σφόδρα τεθεληκέναι, πληροῖ δόξης νοημάτων τῆς ἀληθείας, καὶ πλούτου συγκειμένου ἐκ παντὸς λόγου καὶ πάσης γνώσεως καὶ ἔργων ἀγαθῶν. — Νοήσεις δὲ καὶ τοῦτο, ἐπιστήσας ὅτι « Ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ, » κατὰ τὸν Ἀπόστολον, ἀλλ' « Ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς· ἐκ δὲ ἀκοῆς πίστεως. » Πρῶτος μὲν « ἐπίστευσε τῷ Θεῷ Ἀβραὰμ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. » Ἔπειτα δὲ καὶ οἱ ὁμοίως αὐτῷ τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον διὰ πίστεως κατορθοῦντες.

B Vers. 3. Hæc interpretaberis, dicente Paulo: « Sicut egentes, multos autem locupletantes; tanquam nihil habentes, et omnia possidentes[a]. » Quis enim fuerit ditior quam qui Dei hæres, et Christi cohæres factus est? — Qui sermones Jesu, quos audivit, opere perficit, ædificat domum suam supra petram, supra inconcussum Dei verbum, vita et mente prorsus mutatis. Domum igitur hanc quam ædificat quicunque Dominum timuerit, in mandatis Domini, in sermonibus videlicet Jesu, nimis cupiendo, replet gloria veræ disciplinæ, et divitiis quæ ex omni sermone, et ex omni scientia et ex bonis operibus. — Hoc etiam interpretaberis ita: Recordare « quia ex operibus legis non justificabitur omnis caro coram Deo, » testante Apostolo[b], C sed, « Qui facit ea vivet in eis. Ex fidei autem auditu justificatur, » nam: Primus « credidit Abraham Deo, et reputatum est illi ad justitiam[c]; » et deinde ii qui pariter Christi Evangelium fide adepti sunt.

Στ. θ'. Κέρας τὸν Θεόν φησιν. Πάντες γὰρ οἱ δίκαιοι τούτῳ θαῤῥοῦντές φασιν· « Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. » Καὶ ὁ μακαριζόμενος τοίνυν τοὺς ἐχθροὺς ἑαυτοῦ ἐν Κυρίῳ κερατίσας, τὸ κέρας ᾧ αὐτοὺς καθεῖλεν ἐν δόξῃ ὑψούμενον ἔχει.

Vers. 9. Cornu vocat Deum. Nam omnes justi Deo confidentes dicunt: « In te inimicos nostros cornu dejiciemus. » Cum igitur beatus inimicos suos in Domino cornu superaverit, in gloria exaltetur cornu, quo eos vicit, necesse est.

Στ. ι'. Ἐν τῷ μετὰ ταῦτα βίῳ τυγχανόντων τῶν ἐπαγγελιῶν τῶν εὖ βεβιωκότων, τῶν ἁμαρτωλῶν ἕκαστος περιτυχὼν κολάσει ὄψεται ὃν ἐπόρθησε δίκαιον, καὶ ὀργισθήσεται, καθ' ἑαυτοῦ ἐν μεταμελείᾳ σφοδροτάτῃ γινόμενος. Ὅτε καὶ βρύξει τοὺς ὀδόντας αὐτοῦ, καὶ κατατακήσεται ἀποβαλὼν τὸν ὄγκον καὶ τὸ οἴδημα τῆς ὑλικῆς καὶ σαρκικῆς ἕξεώς τε καὶ προαιρέσεως, τῆς τῶν ἁμαρτωλῶν ἐπιθυμίας ἀπολλυμένης.

Vers. 10. In ventura post hæc vita dum promissa justi consequentur, pœnis afflicti peccatores videbunt quem lacessiverunt justum, et irascentur, D vehementissima pœnitentia commoti. Tunc etiam frement dentibus et tabescent, a tumore et pondere carnalis humilisque vitæ et mentis nudati, pereunte peccatorum desiderio.

PSALMUS CXII.

Στ. α'. Ἀπολύτως εἰρημένον τὸ παῖδες, οὐκ ἐπιτρέπει νομίσαι ἀντὶ δούλων εἰρῆσθαι τοὺς παῖδας· ἁπλῶς γὰρ καὶ χωρὶς προσθήκης οἱ νέοι παῖδες καλοῦνται· οἱ δὲ δοῦλοι, παῖδές τινων. Ὡς γὰρ δοῦλος,

Vers. 1. Non servos designari voce *pueri*, manifestum ex eo quod absolute occurrat; nam absolute et simpliciter vocantur pueri qui natu minores; servi autem pueri hujus vel illius dicuntur.

[a] II Cor. VI, 10. [b] Rom. III, 20. [c] Gen. XV, 6; Rom. IV, 3.

Digitized by Google

Nam uti servus, ita et *puer* ad dominum referendum.

A οὕτω καὶ τὸ *παῖς* πρὸς δεσπότην ἔχει τὴν ἀναφοράν.

Vers. 3. Suus forsan justitiæ soli ortus; qui non dissimilis, aut etiam non alius ab oriente ad quem paradisus plantatus est[5]. Cui ortui respondebit fortasse occasus hic, cum oriente seu occidente sole, semper laudandum nomen Domini; nam ubi occidit Israel, ortus est gentibus fidem præstantibus.

Στ. γ'. Καὶ τοῦ τάχα τῆς δικαιοσύνης ἡλίου εἶεν ἀνατολαί τινες, καθ' ἃς ἀνέτελλεν· αὗται δὲ συγγένειαν ἔχουσι, ἣ αὐταὶ αὐταῖς τυγχάνουσιν πρὸς τὰς ἀνατολὰς ἐν αἷς ὁ παράδεισος πεφύτευται. Εἶεν δ' ἂν ταύταις ταῖς ἀνατολαῖς καταλλήλως ἔχουσαι καὶ δύσεις, καθ' ἃς ἀνατολὰς καὶ δυσμὰς, αἰνεῖν τὸ ὄνομα Κυρίου προσήκει· ἔδυνε γὰρ τῷ Ἰσραὴλ, ἀνέτειλε δὲ τοῖς πιστεύσασιν ἔθνεσιν.

Vers. 5. Quibus verbis Deum omnia curare docemur. Quem cum creaturis non esse conferendum prædicat sanctus dicens: « Quis sicut Deus noster? » Nemo est similis Deo, cum solus sit omnium creator et rector. Hoc autem dicto non dividit Filium a Patre, aut Patrem a Filio; nam una divinitas: nec B alius Deus Filius, nec alius Pater ac Filius; et Pater Filii Pater est.

Στ. ε'. Καὶ διὰ τῶν προκειμένων λέξεων προνοοῦντα τὸν πάντων Θεὸν μανθάνομεν. Περὶ οὗ ἀσυγκρίτως πρὸς ταῦτα τὰ γενητὰ ἔχοντος ὁ ἅγιός φησι· « Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; » Οὐδεὶς γάρ ἐστι κατ' αὐτὸν, ἐπείπερ μόνος αὐτὸς καὶ ποιητὴς καὶ προνοητὴς ἁπάντων ἐστίν. Ταῦτα δέ φησιν οὐκ ἀπομερίζων τοῦ Πατρὸς τὸν Υἱὸν, ἢ τοῦ Υἱοῦ τὸν Πατέρα· μία γὰρ ἡ θεότης· καὶ οὐκ ἄλλος Θεὸς Υἱὸς, καὶ ἄλλος ὁ Πατήρ ἐστιν, ἢ καὶ Υἱός· καὶ ὁ Πατὴρ Υἱοῦ Πατήρ ἐστιν (91).

Vers. 9. In domo eam inhabitare faciet, quæ propter sterilitatem prius liberis carebat, nunc autem mater facta est filiis abundantissima, et lætans. — Et paulo post: Sterilem de gentibus Ecclesiam, liberis carentem primum, ut lætaretur hortatus est propheta dicens: « Lætare, sterilis, quæ non paris: erumpe et clama quæ non parturis, quia multi etiam filii desertæ magis quam ejus quæ habet virum[6]. » Profecto Ecclesiæ de gentibus liberi plures ac pulchriores, quam Judæorum synagogæ virum legem habenti. Anima quæque, propter sterilitatem liberis carens, collocatur a Deo in domo, in Ecclesia videlicet Dei vivi; mater fit operum, doctrinarum, opinionum et sermonum, ut lætetur cum genitiminibus suis per habitantem cum ea Deum Verbum. Præbet etiam Scripturæ historia plura hujusce rei documenta. Anna, mater Samuelis, in domo habitavit, et mater facta est puerorum lætata, sex liberorum mater facta. Similia referuntur de Sara, de Rebecca, de Elisabeth, et antea de matre Samsonis. De quavis earum optime dices: « Inhabitare fecit eam matrem filiorum lætantem. »

Στ. ϛ'. Τὴν πρότερον διὰ στειρότητα ἀτεκνοῦσαν ἐν οἴκῳ κατοικήσει, μητέρα γεγενημένην ἐπὶ πολυπαιδίᾳ, καὶ εὐφραινομένην. — Καὶ μετ' ὀλίγα· Στεῖραν δὲ τὴν ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίαν, ἄτεκνον οὖσαν τὸ πρῶτον εἰς εὐφροσύνην καλεῖ λέγων· « Εὐφράνθητι, στεῖρα, ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ καὶ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. » Ἀληθῶς γὰρ πολύπαις καὶ καλλίπαις ἡ ἀπὸ τῶν ἐθνῶν Ἐκκλησία γεγένηται, ὑπὲρ τὴν ἔχουσαν ἄνδρα νόμον Ἰουδαίων C συναγωγήν. Ἑκάστη δὲ ψυχὴ διὰ στειρότητα ἄπαις οὖσα, κατοικίζεται ὑπὸ τοῦ Θεοῦ ἐν οἴκῳ, τῇ τοῦ ζῶντος Θεοῦ Ἐκκλησίᾳ· μήτηρ ἔργων, μαθημάτων, νοημάτων τε καὶ λόγων, ἐπὶ τῷ εὐφραίνεσθαι ἅμα οἷς ἔσχεν γεννήμασιν, ὑπὸ τοῦ συνοικοῦντος αὐτῇ Θεοῦ Λόγου. Συνέβη δὲ ταῦτα καὶ κατὰ τὴν τῆς Γραφῆς ἱστορίαν. Ἄννα γοῦν ἡ μήτηρ Σαμουὴλ κατῳκίσθη ἐν οἴκῳ, μήτηρ λέγεται τέκνων εὐφραινομένη, ὅλων ἓξ τέκνων γενομένη μήτηρ· καὶ περὶ τῆς Σάῤῥας, καὶ Ῥεβέκκας, Ἐλισάβετ τε καὶ πρὸ ταύτης τῆς μητρὸς γενομένης τοῦ Σαμψών. Λέγοι τις εὐλόγως περὶ ἑκάστης αὐτῶν, ὅτι « Κατῴκισεν αὐτὴν μητέρα τέκνων εὐφραινομένην. »

PSALMUS CXIII.

Vers. 1. Dum tu nos beneficiis foves, Domine, D non erit gentibus cur dicant: « Ubi est Deus eorum? » Cum deos habent locales et regioni certæ affixos, similia de te cogitantes conclamant: « Ubi est Deus eorum? » Proferunt etiam forte ista ad deridendos nos, putantes nobis Deum non esse. Licet autem errantes talia dicant, nos certa fide persuasum habemus Deum nostrum esse sursum in cœlis. — Totum piorum genus, cum mente sapiat et Deum perspiciat, domus Israel vocatur, quia Ecclesia est Dei vivi.

Στ. α'. Σοῦ, Δέσποτα, ἡμᾶς εὐεργετοῦντος, οὐχ ἕξει χώραν τὰ ἔθνη λέγειν, « Ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν; » Ἐπεὶ γὰρ αὐτοὶ τοπικοὺς θεοὺς ἔχουσιν καὶ ἱδρυμένους που, καὶ περὶ σοῦ τοῦτο τοπάζουσι λέγοντες, « Ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν, » ἤτάχα χλευαστικῶς τοῦτό φασιν, οἰόμενοι μὴ ἔχειν ἡμᾶς Θεόν. Ἀλλ' εἰ κἀκεῖνοι πλανώμενοι τοῦτο λέγουσιν, ἀλλ' οὖν γε ἡμεῖς ἠκριβωμένῃ ὑπολήψει ἴσμεν, ὅτι Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ ἄνω ἐστίν. — Τὸ πᾶν διορατικὸν γένος, διὰ τὸ νοῦν ἔχειν ὁρῶντα Θεοῦ, οἶκος Ἰσραὴλ χρηματίζει διὰ τοῦ τυγχάνειν Ἐκκλησία Θεοῦ ζῶντος

Vers. 10. Domus quoque colentium Deum, cum

Στ. ι'. Καὶ ὁ οἶκος δὲ τῶν θεραπευόντων τὸ Θεῖον,

[5] Gen. II, 8. [6] Isa. LIV, 1.

(91) En præclarum testimonium de Filii divinitate a Didymo Arii cive. Et quidem passim ab eo id factitatum videmus.

Digitized by Google

τῷ τυγχάνειν ἱερεῖς, « ἤλπισεν ἐπὶ Κύριον, » μείζονι καὶ τεθεωρημένῃ παρὰ τὸν Ἰσραὴλ ἐλπίδι. Τῶν γὰρ ὑπεραναβεβηκότων θεωρίᾳ καὶ πράξει μείζων ἡ ἐλπὶς, μειζόνως αἰτούντων βοηθὸν καὶ ὑπερασπιστὴν αὐτοῦ ἔχειν. — Οὗτοι δέ εἰσιν οἱ προσήλυτοι, οἱ προστιθέντες τῷ νόμῳ ἀπὸ τῶν ἐθνῶν, ἐλπίσαντες καὶ αὐτοὶ ἐπὶ Κύριον, βοηθὸν ὑπερασπιστὴν αὐτὸν ἔχειν ἐπικαλοῦνται. Καὶ ταῦτα λέγειν παιδεύονται οἱ κατὰ Θεὸν παῖδες, ὡς ἂν εἰδεῖεν ὅτι καὶ « αὐτοὶ συμπολῖται γεγόνασι τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. » Καὶ ὡς ἂν εἰδεῖεν, ὅτι ὥσπερ οἱ παλαιοὶ ἤλπισαν ἐπὶ Κύριον, καὶ εἶχον αὐτὸν βοηθὸν ὅτε καλῶς ἔπραττον, οὕτω καὶ νῦν οἱ νέοι ἡμεῖς οἱ παῖδες οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ τὸν φόβον ἀνειληφότες τοῦ αὐτοῦ Κυρίου.— Ἐν μὲν τῇ πρὸς πολεμίους μάχῃ τὸν Κύριον ἔχομεν, ἡμεῖς οἱ φοβούμενοι τὸν Κύριον, ὑπερασπιστὴν καὶ βοηθόν. Ἐν δὲ τοῖς οἰκείοις πράγμασι τοῖς τε κατὰ ψυχὴν καὶ κατὰ σῶμα, πάλιν αὐτὸν ἔχομεν εὐλογοῦντα ἡμᾶς. Ὡς ἀπαρκεῖν ἡμῖν ἀντὶ τοῦ παντὸς καλοῦ καὶ ἀγαθοῦ, καὶ ἀντὶ παντὸς θησαυροῦ καὶ μεγάλου κτήματος, μόνον αὐτὸν τὸν Κύριον καὶ πρὸς τὰ ἐκτὸς καὶ πρὸς τὰ ἔνδον. Οὕτω δὴ ἡμᾶς εὐλογεῖ νῦν, ὡς πάλαι πρότερον εὐλόγει τὸν πρότερον λαόν· μεταδέδηκε γὰρ ἐξ ἐκείνων εἰς ἡμᾶς ἡ χάρις. Εἷς γὰρ ὢν καὶ ὁ αὐτὸς Κύριος, καὶ τῶν παλαιῶν ὁμοίως προῖστατο, ὥσπερ οὖν καὶ τῶν νέων. Καὶ πάλιν τοὺς νέους ὁμοίως εὐλογεῖ ὥσπερ οὖν καὶ τοὺς παλαιούς· ὥστε εἶναι μίαν κλῆσιν, καὶ μίαν χάριν, καὶ ἕνα λαὸν τὸν ἐξ ἀμφοτέρων ταγμάτων τῷ Θεῷ συνιστάμενον.

A sacerdotes sint, « speravit in Domino, » spe majori ac magis spectata quam Israel. Qui enim doctrina et virtute præstant, spe etiam præstent necesse est, adjutoremque et protectorem vehementius expetant. — Quales sunt proselytæ, de gentibus legi adscripti, qui et ipsi in Domino sperantes, adjutorem eum et protectorem habere exoptant. Hæc profiteri docentur qui juxta Deum pueri, ut sciant quod ipsi quoque « sanctorum cives facti sunt, domestici Dei, superædificati super fundamentum apostolorum et prophetarum [7]. » Ita discent, quemadmodum veteribus bene agentibus adjutor et protector Deus fuit, sic et nobis futurum recens natis, modo de gentibus conversis, et timore Domini timentibus.— Adversus inimicos pugnantes Dominum adjutorem et protectorem habemus, quicunque Dominum timemus. In rebus autem, quæ ad corpus aut animam pertinent, rursus habemus eum benedicentem nobis. Sufficit igitur nobis pro omni bono, pro omni thesauro et re pretiosissima solus Dominus, quæ corpori quæque animæ necessaria præbens. Ita sane nobis benedicet, sicut olim priori populo suo benedixit : transivit enim gratia ab illis ad nos. Nam unus atque idem Dominus est, et veteribus eadem ratione præfuit, qua nunc recentioribus. Et rursus eadem ratione nunc recentioribus benedicet, qua olim veteribus, ita ut sit una vocatio, et una gratia, et unus populus ex utroque ordine Deo adhærens.

B

C

Στ. κγ'. Αὐτὸς γάρ ἐστιν οὗ τοὺς νόμους φυλάττομεν· ἵνα γὰρ μὴ νομίσῃ τις ἄλλου τινὸς τοὺς χρησμοὺς εἶναι, οὓς Μωϋσῆς διηκονήσατο, ἀκολούθως ὁ ἱεροφάντης πρὸ τῆς τῶν νόμων δόσεως, τὰ περὶ τῆς κοσμοποιίας παραδέδωκε, δι' ἧς διδάσκει ἕνα Θεὸν εἶναι, πάντα δὲ τὰ τοῦ κόσμου μέρη.

Vers. 23. Ipse enim est, cujus leges servamus : nam ne quis putaret ab alio quovis proferri mandata, quæ Moyses prædicabat, optime creationem mundi narravit, antequam leges traderet; docens nos ita, unum esse Deum, cætera autem mundi partes esse.

PSALMUS CXIV.

Στ. β'. « Ἔκλινε » δὲ, εἶπεν, « τὸ οὖς αὐτοῦ ἐμοὶ, » οὐχ ἵνα τινὰ σωμάτων λάβοις ἔννοιαν περὶ Θεοῦ ὥτα ἔχοντος, καὶ αὐτὰ πρὸς τὸ εἰρημένον τῆς φωνῆς ὑποκλίναντος, ὅπερ ἡμεῖς ποιοῦμεν πρὸς τοὺς μικρὸν φθεγγομένους, ἵν' ἐκ τοῦ σύνεγγυς τὴν νόησιν παραδεξώμεθα τῶν λαλουμένων, ἀλλ' « ἔκλινεν » εἶπεν, ἵνα τὸ ἑαυτοῦ ἀσθενὲς ἐπιδέξηται. Ὅτι χαμαὶ κειμένῳ μοι συγκατέβη διὰ φιλανθρωπίαν· ἡ γὰρ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν. Οἶδεν γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπικείμενα. — Καὶ μετ' ὀλίγα· Τὴν ἀκουστικὴν αὐτοῦ δύναμιν (92). — Τουτέστι παντὶ τῷ χρόνῳ τῆς ζωῆς μου ἐπεκαλεσάμην, ἐν ταῖς ἡμέραις μου ταῖς ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης γενομέναις, ἀεὶ πεφωτισμένος ὢν ἐπεκαλεσάμην.

Vers. 2. « Inclinavit, » ait, « aurem suam mihi ; » hoc autem non proprie interpretaberis veluti ac si Deus aures habeat, illasque ad verba orantis inclinet, quod ipsi nos facere solemus, quo propiores facti summissa voce loquentium mentem facilius assequamur. Dicit autem Deum aurem inclinasse, ut infirmitatem suam profiteatur; nam humi jacentem adiit Deus propter benignitatem suam. Audienti Deo non est cur mentem vocibus explices, cum ipse vel abscondita cordis perspiciat.— Et paulo post : « Aurem » facultatem scilicet qua audit. — Omni scilicet tempore vitæ meæ invocavi, in diebus meis a justitiæ sole definitis, semper illuminatus invocavi.

D

Στ. γ'. Τοσοῦτον, φησὶν, ἀπέσχον τοῖς πειρασμοῖς τούτοις ὑποπεσεῖν ὡς ἀκουσίοις, ὅτι καὶ πολλῷ τούτων πλείοσι κατὰ τὸ ἑκούσιον πειρασμοῖς ἐμαυτὸν

Vers. 3. Multo plures tentationes libenter subii, ait, nedum necessariis tentationibus vinci me paterer. —« Dolores mortis » quibus mens offenditur.— « Peri-

[7] Eph. II, 20.

(92) Appositio exegetica ad illud, τὸ οὖς αὐτοῦ. Mox paraphrastice exponit illud, ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι, ubi legisse videtur Didymus ἐπεκαλεσάμην. EDIT.

Digitized by Google

cula » autem « inferni, » forte nil aliud præter peccata. Hæc etiam de scelestis potestatibus dici possunt, vel insequentibus nos ut peccato animam occidant, vel jam ad pericula ruentem propellentibus.

A προσεθέμην. — Τὰ ἐν λογισμοῖς πταιόμενα « ὠδῖνες θανάτου εἰσίν. » — « Κίνδυνοι » δὲ « ᾅδου » τὰ πρακτικὰ τῶν ἁμαρτημάτων εἶναι δύνανται. Οὐκ ἀπογνωστέον δὲ καὶ περὶ πονηρῶν δυνάμεων ταῦτ' εἰρῆσθαι, τῆς μὲν ὠδινώσης ἐπὶ τῷ νεκρῶσαι δι' ἁμαρτίας τὴν ψυχὴν, τῆς δὲ ὑποδεχομένης εἰς τὴν τοῖς κινδύνοις ἤδη ὁμόσε χωρήσασαν.

Vers. 4. Certus me nomine Dei confirmatum prædicta mala superaturum. — Tribulationem et dolorem quæ mihi sponte inveni. Prius enim dixerat : « Pericula inferni invenerunt me ; » hic autem : « Tribulationem et dolorem inveni. » Quando igitur infracto animo mala a tentante illata pertuli, ut ostenderem quanto studio Deum prosequar, adjeci tribulationes super tribulationem, et dolorem super dolorem, tentationes quasque superans non B mea quidem virtute, sed nomeu Domini invocando.

Στ. δ'. Θαρσῶν, ὅτι δυναμούμενος ὑπὸ τοῦ αὐτοῦ ὀνόματος, ὑποστήσομαι πάντα τὰ προειρημένα. — Θλῖψιν καὶ ὀδύνην ἅσπερ ἐκὼν ἐμαυτῷ προσεξεῦρον. Ἐν μὲν γὰρ τοῖς κατόπιν « Κίνδυνοι ᾅδου εὗρόσάν με· » ἐνταῦθα δὲ « Θλῖψιν καὶ ὀδύνην εὗρον. » Ἐπειδὴ γὰρ ἐκεῖ ἀνενδότως ἔχων εὑρέθην πρὸς τὰ παρὰ τοῦ πειράζοντος ἐπαχθέντα, ἵνα δείξω τὴν περιουσίαν τῆς πρὸς Θεὸν ἀγάπης, προσέθηκα θλίψεις ἐπὶ τῇ θλίψει, καὶ ὀδύνην ἐπὶ τῇ ὀδύνῃ, οὐ τῇ ἐμαυτοῦ δυνάμει τῶν ἀλγεινῶν κατεπανιστάμενος, ἀλλὰ διότι τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Vers. 5. Ubique misericordiam Dei cum justitia consociat Scriptura, docens nos neque Dei misericordiam indiscretam esse, neque justitiam ejus immisericordem. — Misericordia est affectus quo indigna ferentium miserias dolemus. Ita miseret nos hominis qui de summa prosperitate in summam penuriam dejicitur, aut qui de perfectissima sanitate in gravissimos morbos incidit. Cum igitur et nos olim illustres eramus, postea autem propter peccatum e paradiso expulsi, inglorii et humiles facti sumus, miseret Deum nostri, cernentem quantum ab illis mutati simus, qui fueramus.

Στ. ε'. Πανταχοῦ συνάπτει ἡ Γραφὴ τοῖς οἰκτειρμοῖς τοῦ Θεοῦ τὴν δικαιοσύνην, διδάσκουσα ἡμᾶς ὅτι οὔτε ὁ ἔλεος τοῦ Θεοῦ ἄκριτος, οὔτε ἡ κρίσις ἀνελεήμων. — Ἔλεος ἐστὶ πάθος ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους, παρὰ τῶν συμπαθῶς διατεθειμένων γινόμενον. Ἐλεοῦμεν τὸν ἐκ μεγάλου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν μεταπεσόντα, τὸν ἐκ τῆς ἄκρας εὐεξίας τοῦ σώματος εἰς τὴν ἐσχάτην ἀσθένειαν καταβληθέντα. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἡμέν ποτε ἔνδοξοι, ἐγενόμεθα δὲ ἄδοξοι καὶ ταπεινοὶ, ἐκπεσόντες τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς διὰ τὴν ἔκπτωσιν, ὁ Θεὸς ἐλεεῖ ὁρῶν ἡμᾶς οἷοι ἀνθ' οἵων γεγόναμεν.

Vers. 6. Quod si corpus respicias, senties humanam naturam subsistere non posse, nisi parvulos prorsus et infantes Deus servet. Qui enim possent in utero gestari aut enutriri, aut moveri, in tam arcto tamque stricto, imo tam obscuro et humido carcere degentes, vel non spirare valentes, nisi eos Deus custodia foveret? Qui alienum hunc in locum projecti, et ex calidissimo utero in frigidissimum aerem, vel paulisper viverent, nisi a Deo servarentur? « Custodiens enim Dominus parvulos. » — Quando humiliatus sum, et sicut parvulus factus sum, et tanquam parvulus regnum cœlorum adeptus sum, custodiens parvulos Dominus salvum me fecit a doloribus mortis et periculis inferni.

C Στ. ς'. Εἴ τε κατὰ τὸν φυσικὸν λόγον, οὐκ ἂν συνέστη ἡ ἀνθρωπίνη φύσις, μὴ τῶν κομιδῇ νηπίων καὶ ἔτι βρεφῶν ὑπὸ τοῦ Κυρίου φυλασσομένων. Πῶς γὰρ τὰ ἐν τῇ μήτρᾳ κυοφορούμενα ἠδύναντο τρέφεσθαι ἢ κινεῖσθαι, ἐν οὕτω στενοῖς χωρίοις, καὶ μηδεμίαν ἔχουσιν ἀναστροφὴν, ἀλλ' ἐν σκοτεινοῖς τόποις καὶ ἐνύγροις τὴν ζωὴν ἔχοντα, καὶ οὔτε ἀναπνεῖν δυνάμενα, εἰ μὴ παρὰ Θεοῦ φυλακὴ διεκρατεῖτο; Πῶς δ' ἂν εἰς τὸν ἀήθη τοῦτον ἐκπεσόντα τόπον, καὶ ἀπὸ τῆς ἐν τῇ μήτρᾳ θερμότητος τῷ ἀέρι περιψυχόμενα, κἂν πρὸς τὸ βραχύτατον διήρκεσεν, εἰ μὴ παρὰ Θεοῦ διεσώζετο; « Φυλάσσων τὰ νήπια Κύριος. » — Ἐπειδὴ ἐταπεινώθην καὶ γέγονα ὡς τὸ νήπιον, καὶ ἐδεξάμην τὴν βασιλείαν τῶν οὐρανῶν ὡς παιδίον, φυλάσσων τὰ νήπια, ὁ Κύριος ἔσωσέν με ἐκ τῶν ὠδίνων τοῦ θανάτου καὶ ἐκ τῶν κινδύνων τοῦ ᾅδου.

Vers. 7. Suam ipse animam hortatur bonus athleta, Paulo prope consentiens dicenti : « Bonum certamen certavi, cursum consummavi, fidem servavi ; in reliquo reposita est mihi corona justitiæ [a], » etc.—Et paulo post : Manet enim æterna requies eos qui hic legitime vitam certaverint, non quidem operum meritis debita, sed gratia munifici Dei sperantibus in eum concessa.

Στ. ζ'. Ἑαυτῷ προσάγει τοὺς παρακλητικοὺς λόγους ὁ καλὸς ἀγωνιστὴς, παραπλησίως τῷ Παύλῳ λέγων (93)· « Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, » καὶ τὰ ἑξῆς. — Καὶ μετ' ὀλίγα· Πρόκειται γὰρ ἀνάπαυσις αἰωνία τοῖς νομίμως τὸν ἐνταῦθα διαθλήσασι βίον, οὐ κατὰ ὀφλημάτων (94) ἔργων ἀποδιδομένη, ἀλλὰ κατὰ χάριν τοῦ μεγαλοδώρου Θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένην (95).

[a] II Tim. IV, 7, 8.

(93) Malim λέγοντι. Edit.

(94) Vix dubito quin legendum sit, οὐ κατὰ ὄφλημα τῶν. Idem.

(95) Vides Didymi testimonium de gratia Dei remunerante.

Digitized by Google

Στ. η'. Συγκρίσει τῶν ὧδε τὴν μέλλουσαν ἀνάπαυσιν διαγράφει. Ἐνταῦθα γάρ, φησὶν, περιέσχον με ὠδῖνες θανάτου, ἐκεῖ δὲ « ἐξείλατο τὴν ψυχήν μου ἐκ θανάτου, » ἐνταῦθα οἱ ὀφθαλμοὶ τὸ ἐκ θλίψεως ἐπιχέουσι δάκρυον, ἐκεῖ δὲ οὐκ ἔστι δάκρυον ἐπισκοτοῦν ταῖς κόραις τῶν εὐφραινομένων τῇ θεωρίᾳ τοῦ κάλλους τοῦ Θεοῦ. « Ἀφεῖλε » γὰρ « ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. » Ἐνταῦθα πολὺς ὁ κίνδυνος τοῦ ὀλισθήματος, δι' ὃν καὶ Παῦλος ἔλεγεν· « Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· » ἐκεῖ δὲ πάγιοι αἱ βάσεις, ἀπερίτρεπτος ἡ ζωή.

A VERS. 8. Venturam requiem describit, eam cum præsenti hac vita conferendo. Hic enim, inquit, circumdederunt me dolores mortis, illic « eripuit animam meam ex morte ; » hic profundunt lacrymas tribulatorum oculi, illic non sunt lacrymæ quæ obscurent pupillas sanctorum de pulcherrimi Dei contemplatione lætantium. « Abstulit enim Deus lacrymas a facie sua. » Hic frequens cadendi periculum, unde etiam Paulus dixit : « Qui stat, videat ne cadat [9] ; » illic autem firma fundamenta, immutabilis vita.

PSALMUS CXV.

Στ. α'. « Ἐπίστευσα. » Ταύτης τῆς λέξεως τὴν διάνοιαν ὁ Ἀπόστολος Κορινθίοις, « Ἔχοντες, » ἔφη, « τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. » Πνεῦμα πίστεως λέγων, ἤτοι τὴν ἀπ' αὐτῆς ἐγγινομένην (96)· ἢ τὸ ἐπιχωρηγούμενον ἐκ Θεοῦ τῷ πίστιν ἔχοντι πνεῦμα, τὸ « Ἐπίστευσα, διὸ ἐλάλησα, » συνάδων. « Καρδίᾳ » γὰρ « πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. » — Οὐ κατὰ ἀφαίρεσιν ὕψους τοῦτο πέπονθεν, ἀλλ' ἐκ τοῦ μείζονα καὶ ὑπὲρ ἑαυτὸν τεθεᾶσθαι.

B VERS. 1. « Credidi. » Hujus vocis sensum explicat Apostolus scribens ad Corinthios : « Habentes, » inquit, « eumdem spiritum fidei, sicut scriptum est : Credidi, propter quod locutus sum ; et nos credimus, propter quod et loquimur [10]. » Spiritum fidei vocat aut ipsam fidem, aut spiritum a Deo fidem habentibus concessum, et illud, « Credidi, propter quod locutus sum, » concelebrantem. « Corde enim creditur ad justitiam : ore autem confessio fit ad salutem [11]. » — Humiliatus est, non quod altitudo ejus fuerit minuta, sed quod majorem et altiorem se Deum vidit.

Στ. β'. Οὐχ ἑαυτῷ περιπίπτει κατὰ τὸν λόγον ὁ προφήτης, ὥσπερ τινὲς τῶν σοφιστῶν ἐπιχειροῦσιν αὐτὸν διελέγχειν τῷ κατ' ἐπιτροπὴν ἐλέγχῳ, ἐκπεπτωκέναι λέγοντες τὸν προφήτην. Εἰ γὰρ πᾶς ἄνθρωπος ψεύστης, ἄνθρωπος δὲ καὶ ὁ Δαυΐδ, ψεύστης ἦν, καὶ οὐ πιστευτέον αὐτῷ περὶ ὧν ἀποφαίνεται. Μὴ ὄντος δὲ ἀληθοῦς τοῦ λόγου τούτου, μηδὲ ὄντος παντὸς ἀνθρώπου ψεύστου, ἀφήσομεν καὶ τὸν Δαυΐδ τῆς τοῦ ψεύδους αἰτίας. Εἰ δὲ οὐ ψεύδεται, πιστεύσομεν αὐτῷ περὶ ὧν ἀποφαίνεται· πιστεύοντες δὲ, πάλιν εἰς τὴν τοῦ ἀπιστεῖν ἀνάγκην περιεκτισώμεθα. Ὥστε εἰ μὲν ἀληθεύει Δαυΐδ, λύει τὸν λόγον αὐτοῦ, καὶ ἄνθρωπος ὢν καὶ μὴ ψευδόμενος· εἰ δὲ ψεύδεται, αὐτόθεν ἔχει τὸ μὴ πιστεύεσθαι. Τίς γὰρ προσέξει ψευδολογοῦντι; Ὥστε ἐπειδὴ ἅπαξ ἀπεφήνατο πάντα ἄνθρωπον εἶναι ψεύστην, ψευδέσθω Δαυΐδ, ἵνα τὸν λόγον πιστώσηται· ἢ ἀληθεύων αὐτὸς παρέλυσε τὴν ἀπόφασιν. Ἀλλὰ ταῦτα μὲν παιζόντων ἐστὶν, καὶ ταῖς τῶν λόγων στροφαῖς ἐπαγγελλομένων πρὸς τοὺς ἀπείρους· τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἄνθρωποι γὰρ λέγονται οἱ τοῖς ἀνθρωπίνοις ἔτι κατεχόμενοι παθήμασιν. Ὁ δὲ ὑψηλότερος ἤδη τῶν σαρκικῶν παθημάτων γινόμενος, καὶ διὰ τὴν τοῦ νοῦ τελείωσιν πρὸς τὴν τῶν ἀγγέλων κατάστασιν μετελθὼν, οὗτος ὅταν περὶ τῶν ἀνθρωπίνων διαλέγηται, ἑαυτὸν ὑφεξαιρεῖται τῶν λοιπῶν δηλονότι. Ἀψευδὴς γὰρ ὁ εἰπὼν, « Ἐγὼ εἶπα, Θεοί ἐστε. » Πάντως καὶ εἴ τινι ἄλλῳ καὶ τῷ Δαυΐδ ἡ τοιαύτη προσηγορία πρέπουσα· καὶ γὰρ καὶ « ὁ Υἱὸς Ὑψίστου, » ὁ διὰ τῆς ἀρετῆς οἰκειωμένος Θεῷ, καὶ οὐκ ἀποθνήσκων ὡς ἄνθρωπος, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Θεόν.

C Etenim, aiunt, si omnis homo mendax, David autem homo, ipse mendax erit, nec ulla fides ejus verbis adhibenda. Quod si vero sermo ejus falsus, non omnis homo mendax, et ipse David a mendacii crimine liberatur. At si non mentitur, verbis ejus credendum ; et verbis credentes rursus fidem denegemus oportet. Si igitur David vera habet, sibimet pugnat, cum simul et homo et verax ; si autem mentitur, nullam sibi fidem postulat. Quis enim mendaci crediderit ? Quando igitur omnem hominem mendacem esse contendit, mentiatur David ut effatum hoc confirmet ; aut si verax, ipse doctrinam suam evertit. Sed hæc ludentium sophistarum, et indoctos disputationum laqueis irretientium ; sic enim se habet veritas. Homines hic vocantur qui adhuc hominis cupiditatibus inserviunt. Qui autem supra carnales cupiditates elevatus, et propter mentis perfectionem, angelicam naturam prope consecutus est, hic quotiescunque de cæteris hominibus loquitur, se velut ab illis alium distinguit. Verax enim qui dicit : « Ego dixi : Dii estis [12]. » Licet et aliis ac Davidi nomen istud conveniat ; nam « Filius Altissimi » qui virtute cum Deo conjunctissimus, et non moritur sicut homo, sed Deum habet in se viventem.

Στ. γ'. Εἰς αἴσθησιν ἐλθὼν τῶν μυρίων παρὰ Θεοῦ δωρεῶν, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη·

D VERS. 2. Innumera dona recordatus quibus a Deo ornatus est ; qui enim a Deo factus, cum prius non es-

[9] I Cor. x, 12. [10] II Cor. iv, 13. [11] Rom. x, 10. [12] Psal. LXXXI, 6.

(96) An ἤτοι τὸ ἀπ' αὐτῆς ἐγγινόμενον (scilicet πνεῦμα) ? EDIT.

Digitized by Google

set, et de terra cum esset formatus, ratione donatus est qua cœlestis imaginem referret ; deinde secum reputans quam optime Christus humani generis saluti consuluerit, semetipsum tradens redemptionem pro multis [13], quærit et scrutatur quid dignum Domino de suis offerre possit, non sacrificia, non holocausta, sed totam ipsius vitam.

Vers. 4. Calicem vocat patientiam in pugnis pro pietate commissis, qua usque ad mortem peccato repugnamus. Hoc docet ipse Salvator in Evangeliis : « Pater mi, si possibile est, transeat a me calix iste [14]; » et rursus ait discipulis : « Potestis bibere calicem quem ego bibiturus sum [15] ? » Mortem intendebat quæ ipsi pro mundi salute subeunda. — Nolite gloriosum certamen reformidare, inquit, o homines, nec mortem timere ; mors enim non vitæ finis, sed initium. Morte non omnino tollimur, sed ad gloriam transimus. Quod si hic mors sanctorum indicatur, qua cum Christo commoriuntur, et mortificationem Jesu in corpore nostro circumferimus [16], condignas me grates acturum non ignoro, calicem accipiendo hujus salutaris mortis. Quem, qui acceperit, pie bibet, si nomen Domini invocavit, ut eum digne bibat.

Ὅτι ἀπὸ γῆς διαπλασθεὶς λόγῳ τετίμηται, ἐν ᾧ καὶ τὴν εἰκόνα φορεῖν δύναται τοῦ ἐπουρανίου. Ἔπειτα καὶ πρὸς τὴν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων οἰκονομίαν ἀπιδὼν, ὅτι ἑαυτὸν ὁ Κύριος ἔδωκεν λύτρον ἀντὶ πολλῶν ἡμῶν, ἐπαπορεῖ καὶ ζητεῖ ἐν πᾶσι τούτοις τοῖς ὑπάρχουσιν αὐτῷ, τί ἄξιον ἐξεύροι δῶρον τῷ Δεσπότῃ, οὐ θυσίας οὐδὲ ὁλοκαυτώσεις, ἀλλ' αὐτὴν πᾶσαν τὴν ἐμαυτοῦ ζωήν.

Στ. δ'. Τὸ ἐν τοῖς ἀγῶσι τοῖς ὑπὲρ εὐσεβείας, τὸ μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστῆναι, τὸ ποτήριον λέγων· ὅπερ αὐτὸς ὁ Σωτὴρ ἐδίδαξεν ἐν τοῖς Εὐαγγελίοις· « Πάτερ, εἰ δυνατὸν, παρελθάτω τὸ ποτήριον τοῦτο· » καὶ πάλιν τοῖς μαθηταῖς· « Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω ; » Ἐδήλου δὲ τὸν θάνατον ὃν κατεδέχετο ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. — Μὴ ὀκνήσητε, φησὶν, πρὸς τὸν ἀγῶνα τὸν καλὸν, ὦ ἄνθρωποι, μὴ ἀποδειλιάσητε πρὸς τὸν θάνατον· οὐ γὰρ φθορά ἐστιν, ἀλλὰ ζωῆς ἀφορμή. Οὐκ ἀφανισμός ἐστι παντελὴς, ἀλλὰ μετάβασις πρὸς τιμήν. Ἐὰν δὲ καὶ θάνατον ὁσίων Θεοῦ σημαίνηται, καθ' ὃν συναποθνήσκουσι Χριστῷ, καὶ τὴν νέκρωσιν αὐτοῦ ἐν τῇ σαρκὶ περιφέρουσιν, καὶ οὕτω καλῶς ἂν εὐχαριστεῖν διέγνω, ληψόμενος τοῦ τοιούτου θανάτου σωτηρίου ποτήριον, ὃ καὶ ἀμέμπτως πίεται ὁ ληψόμενος αὐτὸ, εἰ ἐπικαλοῖτο τὸ ὄνομα Κυρίου ἐπὶ τῷ γενναίως αὐτὸ πιεῖν.

PSALMUS CXVII.

Vers. 1. Quando Deus, utpote bonus, peccatoris pœnitentiam magis vult quam mortem ejus, confitemini Domino contrito corde, quicunque peccato inservitis, et dimittet vobis quæ fueritis confessi ; nam misericordia ejus, quia ab eo disjungi nequit, in sæculum manet. Quandoquidem semper Dominus miseretur, non nunc primum, sed olim quoque ab antiquo confitentur ei quicunque expertam habent misericordiam ejus.

Στ. α'. Ἐπεὶ ἀγαθὸς ὢν ὁ Θεὸς βούλεται τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ, ἢ τὸν θάνατον αὐτοῦ, ὅσοι ὑπεύθυνοι ἁμαρτίας ἐστὲ, τὴν ἐκ μετανοίας ἐξομολόγησιν ἐπ' αὐτῷ ποιούμενοι, ἔξετε αὐτὸν ἀφιέντα τὰ ὑπὲρ ὧν ἐξομολογεῖσθε· ὁ γὰρ ἔλεος αὐτοῦ ἀχώριστον αὐτοῦ τυγχάνων, εἰς τὸν αἰῶνα εἴη· ἐπείπερ καὶ ἀεὶ ἐλεῶντος (97) αὐτοῦ, οὐ νῦν πρότερον, ἀλλὰ καὶ πάλαι ἄνωθεν ἐξομολογουμένων αὐτῷ πάντων τῶν πεῖραν ἐχόντων τῆς ἀγαθότητος αὐτοῦ.

Vers. 5. Ubi turmas antea definitas Deus congregavisset, et unum corpus effecisset unumque populum, docuit hunc tribulationes ei perferendas esse, persuasum habenti quod « Tribulatio patientiam operatur, patientia autem probationem, probatio vero spem, spes autem non confundit [17]. » Quamobrem profiteri docetur populus Christi : « De tribulatione invocavi Dominum. » Orationibus invenit Dominum, latitudinem ipsi factum. Sic igitur ex una parte, juxta humanam suam vitam, incedit per viam arctam et tribulationibus refertam, ideoque dicit : « De tribulatione invocavi Dominum. » Ex altera autem parte Dominum habet latitudinem et amplitudinem. Unde etiam Symmachus habet : « Et exaudivit me in amplitudinem. »—Tribulatione oppressus justus Dominum invocat, non ut a tribulatione liberetur, sed potius ut eam generoso et læto animo perferat. Ita qui in stadio cum adversariis colluctaturus, quam libentissime certamen instaurat, nedum illud recuset ; sed a palæ-

Στ. ε'. Συναγαγὼν τὰ προδηλωθέντα τάγματα, καὶ ἓν σῶμα ἀπεργασάμενος καὶ λαὸν ἕνα, διδάσκει τοῦτον παρασκευάζεσθαι εἰς θλίψεις, μετὰ τοῦ ἀκριβῶς εἰδέναι, ὅτι « Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Διόπερ λέγειν διδάσκεται ὁ Χριστοῦ λαὸς, « Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον. » Εὑρὼν αὐτὸν εὗρε τὸν Κύριον, πλατυσμὸν αὐτῷ γενόμενον· ὡς ἐξ ἑτέρου μὲν μέρους, τοῦ κατὰ τὸ ἀνθρώπινον αὐτοῦ βίου τὴν στενὴν αὐτὸν ὁδεύειν καὶ τεθλιμμένην· καὶ διὰ τοῦτο λέγειν, « Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον· » ἐκ δὲ θατέρου μέρους πλατυσμὸν ἔχειν καὶ εὐρυχωρίαν αὐτὸν τὸν Κύριον. Διό φησιν ὁ Σύμμαχος, « Καὶ ἐπήκουσέ μου εἰς εὐρυχωρίαν. » — Ὁ ἐν θλίψει γενόμενος δίκαιος οὐ τοσοῦτον παρακαλεῖ περὶ τοῦ ἐκτὸς αὐτῆς γενέσθαι, ἀλλ' ὅπως γενναίως καὶ ἱλαρῶς αὐτὴν ἐνέγκῃ. Καὶ γὰρ ὁ ἐν σταδίῳ πρὸς ἀντιπάλους ἀποδυόμενος, αὐτὸν ἀγῶνα εὔχεται αὐτῷ παρελθεῖν, ἵνα μὴ ἐξαγώνιος γένηται· ἀλλὰ παρακαλεῖ τὸν παιδοτριβῆ

[13] Matth. xx, 28. [14] Matt. xxvi, 39. [15] Matth. xx, 22. [16] II Cor. iv, 10. [17] Rom. v, 3-5.

(97) Ἐλεοῦντος ; lege nisi malis id referre ad dialectum Alexandrinam, ut et multa alia id genus. Edit.

Digitized by Google

συνεργεῖν αὐτῷ, ὅπως ἐγκαρτερῶν τοῖς ἐπιφερομένοις πρὸς τοῦ ἀντιπάλου, ἐλπίδι νίκης καὶ στεφάνου προσηνῆ δόξῃ εἶναι τὰ δι' ὧν ἀποδίδοται ὁ στέφανος· περὶ δὲ ἀοράτων πολεμίων οἵτινες ἐχθροὶ, καὶ τοὺς ἀνθρώπους ἐπεγείρουσι καθ' ἡμῶν ἐκπολεμοῦντες αὐτοὺς πρὸς ἡμᾶς, καὶ φονικῶς διατιθέντες καθ' ἡμῶν, εἰρήσεται καὶ τοῦτο.

A stræ magistro juvari exoptat, quo adversarii conatus superans, spe victoriæ et coronæ, coronam sibi facilius promereri videatur. Porro qui sint invisibiles illi hostes, qui cæteros quoque homines, suo iis odio communicato, concitant in nos, et cædere nos gestiunt, hoc etiam dicetur.

Στ. ς'. Ἔτι διδάσκεται ὁ Χριστοῦ λαὸς προσδοκᾷν μὲν ἐπιβουλὰς ἀνθρώπων, μὴ πτήσσειν δὲ αὐτὰς, μηδ' ἀγωνιᾷν, ἀλλὰ λέγειν· « Κύριος ἐμοὶ βοηθὸς, » καὶ τὰ ἑξῆς. — Τοὺς δι' οὐδὲν ἕτερον ἐχθροὺς γενομένους τῷ λαῷ τοῦ Θεοῦ, ἢ διὰ τὴν εὐσεβῆ γνῶσιν, καὶ τὴν κατὰ Θεὸν πολιτείαν. Ἐχθροὺς δὲ λεκτέον ἀνθρώπους αἰσθητούς τε καὶ νοητοὺς, ἀσεβεῖς τε καὶ δαίμονας πονηρούς.

Vers. 6. Jubet etiam Christi populum hominum impetus sustinere, illosque non reformidare, nec ægritudini animum tradere, sed dicere : « Dominus mihi adjutor, » et reliqua. — Qui non alia de causa Dei populo invident, nisi quod huic pia doctrina, et mores juxta Deum informati. Inimici autem vocantur, tam qui sensibus instruuntur, quam qui illis carent, impii et scelesti dæmones.

Στ. η'. Οὐ καθάπαξ τοῦ πεποιθέναι καὶ ἐλπίζειν ἐπὶ Κύριον, συγκρινομένου τῷ πεποιθέναι ἐπ' ἄνθρωπον, καὶ ἐλπίζειν ἐπ' ἄρχοντας, ἀγαθόν ἐστιν. Ἁπλῶς γὰρ καὶ κυρίως ἀγαθὸν τοῦτο. Τὸ δὲ ἐπ' ἄνθρωπον καὶ ἄρχοντα πεποιθέναι καὶ ἐλπίζειν, οὐκ ἀγαθόν. Ἀλλὰ πρὸς τοὺς ἐπ' ἀνθρώπῳ πεποιθέναι, καὶ ἐν ἄρχοντι ἐλπίζειν σπουδάζοντας ἡ τοιαύτη προσάγεται παίδευσις, ὅπως μάθωσιν ἐπὶ τὸν ἀεὶ μένοντα καὶ ἰσχυρὸν ὄντα καὶ παντοδύναμον Θεὸν πεποιθέναι, καὶ μὴ ἐπ' ἄνθρωπον θνητὸν καὶ ῥᾷστα φθειρόμενον.

B Vers. 8. Non una eademque ratione bonum confidere et sperare in Domino, ac confidere in hominibus et sperare in principibus. Illud enim simpliciter et absolute bonum. Confidere autem et sperare in homine aut in principe non bonum. Hortatur igitur eos qui confidere in homine et in principe sperare non dubitant, ut in semper manente et valido et omnipotenti Deo confidere, non autem in mortali et tam caduco homine sperare discant.

Στ. ι'. Εἰ μὴ ὑπερβολικῶς εἴρηται, ἀδύνατον τὸ ἐπαγγελλόμενον. Πῶς γὰρ ἕνα ἄνδρα ἐν τῇ Ἰουδαίᾳ διατρίβοντα, « Πάντα τὰ ἔθνη ἐκύκλωσάν με; » καὶ κυκλοῦντες ἐκύκλωσαν αὐτὸν πολεμοῦντες, καὶ τῷ ὀνόματι Κυρίου ἠμύνατο αὐτούς. Αὐτὸ γὰρ ὅπλον καὶ ἀσπὶς καὶ φρούριον τοῦ φοροῦντος αὐτὸ γίνεται. Ἐπίστησον δὲ εἰ μὴ παραπλησίως τό· « Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, » δυνατὸν νοῆσαι τὰ προκείμενα, τῷ κυκλοῦσθαι τὸν σπουδαῖον ὑπὸ πνευμάτων πονηρῶν ὑποβαλλόντων τοὺς σαρκὸς γαργαλισμοὺς, καὶ τὰ ἄλλα πάθη μετὰ πάντων τῶν τῆς σαρκὸς ἔργων, ἔτι μὴν λόγους ἀθέους, ἀνασκευάζοντας σοφιστικῇ δυνάμει τὰ τῆς ἀληθείας δόγματα. Ἀλλ' εὐτόνως καὶ ἰσχυρῶς, καὶ τῇ τοῦ Θεοῦ καθωπλισμένος προσηγορίᾳ, ἀνατρέψει τὰ ἔθνη πάντα, εἰς φυγὴν τρέπων, ἔσθ' ὅτε δὲ καὶ ἀναιρῶν αὐτά.

C Vers. 10. Impossibile hoc, nisi per exaggerationem dicatur. Qui enim diceret homo unus in Judæa commorans : « Omnes gentes circumdederunt me ? » circumdantes circumdederunt eum bellum agentes, et nomine Domini ultus est eos. Illud enim nomen arma et scutum et præsidium hominis qui eo instructus est. Vide autem an non liceat hæc interpretari juxta illud : « In matutinis interficiebam omnes peccatores terræ[18], » dicendo justum a spiritibus nequam circumdari, quippe qui eum titillationibus carnis sollicitant, cæterarumque cupiditatum incitamentis, imo et impiis sermonibus veritatis doctrinam subtiliter et captiose evertentibus. Ipse autem fortiter et strenue, Dei nomine armatus, gentes omnes repellet et in fugam vertet, interdum etiam omnino tollet.

Στ. ιβ'. Προσδοκᾷν δὲ δὴ μὴ ἅπαξ πολεμηθέντας παύσασθαι, καὶ λοιπὸν ἀνάπαυσιν κτήσασθαι κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ δεύτερον διωχθήσεσθαι. Μὴ ἀπονάρκᾷν δὲ, μηδὲ ἐξατονεῖν, ἀλλ' ἐπιμένειν τῇ πεποιθήσει τοῦ ὀνόματός σου, ἕνεκεν οὗ τοὺς διωγμοὺς ὑπομένουσι. — Ὁμοιότητα φέρει πρὸς τὰς μελίσσας κηφήνων τὸ γένος· αὗται γὰρ εἰ καὶ μείζους τῶν μελισσῶν τῷ ὄγκῳ τυγχάνουσιν, ἀλλ' οὖν γε ἀπατῶσιν ἀνιστορήτους ὡς οὖσαι μέλισσαι. Οὐδὲ μελισσουργοῦσιν, ἢ πλάττουσι κηρίον, οὐδ' ἂν ἔχουσι τὸ ἀλεξοῦν τὰ βλάπτειν ἐπιχειροῦντα τὸν κηρόν. Ἐκ τοῦ ἐναντίου δὲ ἐσθίοντες τὸ μέλι, ἐκπολεμοῦσι κατ' αὐτὸν τὰς μελίσσας, ὡς χρησαμένας κατ' αὐτῶν τῷ ἰδίῳ κέντρῳ, σωρηδὸν ἀναιρεῖν τοὺς κηφῆ-

D Vers. 12. Noli existimare semel victori quietem tibi futuram, et vitam deinceps tranquille peragendam, sed nova te manent prælia. Ne torpeat igitur animus, nec deficiat, sed nomini Domini confidenter adhæreat, quo inimicorum impetus sustinebit. — Apibus simillimum fucorum genus : quippe qui licet apes magnitudine superent, ab indoctis facillime pro apibus habentur. At non mellificant, nec favum fingunt, nec habent quo ceræ nocere tentantes repellere possint. E contra mel comedunt, apes singulatim aggrediuntur, ita ut aculeis suis illæ in eos usæ, fucos acervatim enecent, velut fructibus suis nocivos. Per allegoriam autem apis mel et ceram fingens, nil aliud præter Ecclesiam Dei sa-

[18] Psal. c, 8.

Digitized by Google

pientia ornatam. Ipsa enim operatur, desiderabilis facta et illustris, regibus civibusque ad salutem labores perferentibus, licet infirma virtute sit, quia prædicatio ejus non in persuasibilibus humanæ sapientiæ sermonibus. Habet etiam aculeum in demonstratione spiritus et virtutis Dei fidem suam probans, ita ut fucorum instar pereant hæreses, veritatis argumento victæ. Unam Dei sapientiam reverita Ecclesia permanet, uti dictum est, potestate Dei exercituum circumdata. Qui ipsi adversantur, non apes, sed « sicut apes » (quos haud inepte fucos diceres, velut favum circumdantes ad mel diripiendum). Iidem ardent etiam « sicut ignis in spinis. » Accendunt enim hæretici turpium rerum et cupiditatum ignem, juxta illud Pauli : « Quæ enim in occulto fiunt ab ipsis, turpe est et dicere[19]. » Spinas autem interpretatur Evangelium voluptates[20]. — Non solum autem nulla mulcta notatus est ipse, sed illorum consilia etiam destruxit et omnem altitudinem extollentem se adversus scientiam Dei[21]; quia arma ejus non carnalia, sed potentia Deo[22], nomen scilicet Dei, ultum est eos.

νας, ὡς λυμαινομένους τῷ καρπῷ αὐτῶν. Ἔστι δ' οὖν πρὸς ἀλληγορίαν μελισσουργοῦσα καὶ κηροπλαστοῦσα μέλιττα, ἡ τιμήσασα τὴν Θεοῦ σοφίαν Ἐκκλησία. Ἧς ἐργάτιδος οὔσης, ποθεινῆς τυγχανούσης καὶ ἐπιδόξου, τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, καίπερ οὔσης τῇ ῥώμῃ ἀσθενοῦς, τῷ τὸ κήρυγμα αὐτῆς μὴ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις εἶναι. Ὅμως δὲ ἔχει τὸ κέντρον, ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως Θεοῦ τῆς πίστεως τὸν λόγον ἔχουσα, ὡς καὶ ἀναιρεῖν κηφήνων δίκην τὰς αἱρέσεις, διχοτομοῦσα αὐτὰς ἐλέγχῳ τῆς ἀληθείας. Καὶ μίαν μένει τιμήσασα τὴν σοφίαν τοῦ Θεοῦ Ἐκκλησία, ὡς εἴρηται, ὑπὸ δυνάμει Θεοῦ τῶν πολεμούντων περιγενομένη. Αἱ δὲ ἀντικείμεναι, οὐ μέλισσαι, ἀλλ' « ὡς μέλισσαι » τυγχάνουσαι (ἃς εἶναι κηφῆνας λέγων, οὐχ ἁμαρτήσεις, κυκλούσας ὡς κηρίον ἐπὶ τὸ περὶ αὐτῷ μέλι)· καὶ ἐκκαυθεῖσαι « ὡσεὶ πῦρ ἐν ἀκάνθαις. » Ἐξάπτουσι γὰρ αἱ ἀπὸ τῶν αἱρέσεων καὶ τὸ τῶν αἰσχρῶν καὶ ἐπιθυμιῶν πῦρ, ᾗ φησιν ὁ Παῦλος· « Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. » Ἀκάνθας δὲ τὰς ἡδονὰς ἡρμήνευσε τὸ Εὐαγγέλιον. — Οὐ γὰρ ἀζήμιος μόνον ἔμεινεν, ἀλλὰ καὶ καθεῖλεν αὐτῶν πάντα σοφιστικὸν λογισμὸν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, ἐπείπερ τὰ ὅπλα αὐτοῦ οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ, οὐχ ἕτερα ὄντα τῆς τοῦ Θεοῦ προσηγορίας, ἠμύναντο αὐτούς.

Vers. 13. Hæc simul ad Judæos et ad fideles ex gentibus referri possunt. Illi quoque enim prorsus periissent, nisi Deus eos gratia fovisset; hi autem altius etiam impietate fuissent submersi, nisi eos Deus exinde eruisset.

Στ. ιγ'. Ταῦτα καὶ Ἰουδαίοις ἁρμόττει, καὶ τοῖς ἐξ ἐθνῶν πιστοῖς· κἀκεῖνοι γὰρ ὅλεθρον ὑπέμειναν παντελῆ, εἰ μὴ τῆς θείας ἀπήλαυσαν χάριτος· καὶ οὗτοι ἂν ἐξεπέτασαν εἰς ἀσέβειαν, μὴ τῆς θείας αὐτοὺς ὑπερεισάσης ῥοπῆς.

Vers. 14. Ipsum igitur habemus virtutem, et victoriam et materiam canticorum; nam donantem nos omnibus bonis læto animo celebramus. — « Factus in salutem » Dominus, non tunc primum exsistit, nam perpetuus et æternus. Fit autem in salutem, quando nos salvandos suscipit, eaque ratione interpretanda quæcunque de Christo fieri dicuntur. Non enim factus est Deus Verbum, nec veritas, nec sapientia, nec Filius, sed factus est nobis justitia, et sanctificatio, et redemptio[23]. Nam cum simplex est et æternus, illud, nostri habita ratione, fieri videtur. Ita et Christum et Dominum fecit eum Deus[24]: Christum quidem, hoc est regem et sacerdotem hominibus imperio subjectis iisque pro quibus sacrificia obtulit; Dominum vero ipsi inservire non dubitantibus. Eodem modo si ea explices quæ de Christo « relative » prædicantur, non errabis.

Στ. ιδ'. Αὐτὸν τοίνυν ἔχομεν καὶ δύναμιν καὶ νίκην καὶ πηγὴν ὑμνῳδίας· παρ' αὐτοῦ γὰρ τῶν ἀγαθῶν ἀπολαύσαντες μετ' εὐθυμίας τὸν ὕμνον προσφέρομεν. — « Γινόμενος εἰς σωτηρίαν » ὁ Κύριος, οὐκ ἀρχὴν οὐσιώσεως δέχεται, ἀΐδιος γὰρ καὶ αἰώνιός ἐστι. Γίνεται δὲ εἰς σωτηρίαν κατὰ τὸ ἀναλαμβάνειν σχέσιν τὴν πρὸς τοὺς σωζομένους, ὅθεν πάντα τὰ γεγονέναι εἰς Χριστὸν λεγόμενα, ταῦτα ὑποβάλλεται τῇ διανοίᾳ. Οὐ γὰρ γέγονε Θεὸς Λόγος, οὐκ ἀλήθεια, οὐ σοφία, οὐχ Υἱὸς, ἀλλὰ γέγονεν ἡμῖν καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. Ὢν γὰρ ἁπλοῦς καὶ ἀΐδιος, ταῦτα ἡμῖν γεγονέναι κατ' ἀναφορὰν τὴν πρὸς ἡμᾶς λέγεται. Οὕτω καὶ Χριστὸν καὶ Κύριον πεποίηκεν αὐτὸν ὁ Θεός. Χριστὸν μὲν, τουτέστιν βασιλέα καὶ ἱερέα τοῖς βασιλευομένοις καὶ τοῖς ὑπὲρ ὧν προσάγει τὰς θυσίας, ἀλλὰ καὶ τοῖς δουλεύειν ἐθέλουσιν αὐτῷ Κύριον. Καὶ καθόλου τὰ σχετικῶς περὶ αὐτοῦ λεγόμενα οὕτω διανοούμενος οὐκ ἀσεβήσεις.

Vers. 15. « Tabernacula justorum » illa quæ apud Patrem, juxta doctrinam Evangelii. De quibus Salvator ait : « Cum dereliquerit vos, » mammona scilicet, « recipiant vos in æterna tabernacula[25]. » Quibus in tabernaculis omnes justi exsultant; consecuti sunt enim quæ optaverant bona. Unde egregie dictum est : « Vox exsultationis et

Στ. ιε'. « Σκηνὰς δὲ δικαίων » νοήσεις τὰς παρὰ τῷ Πατρὶ μονὰς, κατὰ τὴν ἀπόδοσιν τῶν ἐπαγγελιῶν. Περὶ ὧν ὁ Σωτὴρ φησιν· « Ὅταν ἐκλείπῃ, » δηλονότι ὁ μαμωνᾶς, « δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. » Ἐν ταύταις σκηναῖς πάντες οἱ δίκαιοί εἰσιν ἀγαλλιώμενοι· τετύχασι γὰρ τῶν προσδοκωμένων ἀγαθῶν. Ὅθεν καλῶς εἴρηται· « Φωνὴ ἀγαλλιάσεως

[19] Eph. v, 12. [20] Matth. xiii, 22; Luc. viii, 14. [21] II Cor. x, 5. [22] ibid. 4. [23] I Cor. i, 30. [24] Act. ii, 36. [25] Luc xvi, 9.

Digitized by Google

καὶ ἐξομολογήσεως ἐν σκηναῖς δικαίων, » ἀποδρασάσης λύπης καὶ στεναγμοῦ. — Ἀπολωλότων τῶν ἐχθρῶν, εἰρήνης τε λοιπὸν διαλαβούσης, καὶ τῶν σκηνῶν τοῦ Θεοῦ, τουτέστι τῶν Ἐκκλησιῶν αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης ἐγηγερμένων, φωνὴ, φησὶν, ἔνδον ἀκούεται ἐν ταῖς Ἐκκλησίαις τῶν σεσωσμένων ἀγαλλιωμένων.

A confessionis in tabernaculis justorum, » ibi nec luctus nec gemitus erit ultra. — Devictis inimicis, stabilita in futurum pace, tabernaculis Dei, Ecclesiis scilicet ejus, ubique terrarum constitutis, audietur, inquit, in Ecclesiis vox eorum qui salutem adepti exsultant.

Στ. ις'. Καὶ μετ' ὀλίγα· Αὕτη γὰρ ἡ δεξιὰ, καὶ ἐνεδυνάμωσε τὸν ἑαυτῆς λαὸν, κατὰ τὸν τῶν διωγμῶν καιρόν· αὕτη καὶ τοὺς ἐχθροὺς τοῦ Κυρίου ταπεινώσασα, αὐτὸν ὕψωσε τὸν λαόν. Αὕτη καὶ δύναμιν περιεποιήσατο τοῖς πρότερον πολεμουμένοις, ὥστε μὴ ὑποπεσεῖν τῷ κατὰ ψυχὴν θανάτῳ, ἀλλὰ ζῆσαι τῷ Θεῷ. — Ὡς ἕκαστον φάναι· « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Αὕτη τὸν μετέχοντα ὑψοῖ καὶ μετεωρίζει ὡς φαιδρότερον καὶ μειζόνως ὑπὸ τῆς B δεξιᾶς Κυρίου δυναμωθέντα, καὶ δεύτερον εἰπεῖν, « Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. » — Ποιεῖ δὲ δύναμιν ἡ δεξιὰ αὐτοῦ ἐν παντὶ τῷ δεξιὰ φρονοῦντι καὶ πράττοντι· ἀλλὰ καὶ ὑψοῖ αὐτὸν, ὡς καὶ δεύτερον γενέσθαι ἐν αὐτῷ τῆς προτέρας δυνάμεως δύναμιν· ἐφ' ᾗ ἀθανασίαν κεκτημένος ἐρεῖ τὸ, « Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι. »

Vers. 16. Et paulo post : Hæc enim dextera populum suum confirmavit tentationibus agitatum, eumdemque exaltavit, humiliatis Dei inimicis. Et præstitit ut qui prius impugnabantur jam non incidant in mortem animæ, sed Deo vivant. — Ita ut quisque dicat : « Omnia possum in eo qui me confortat Christo [26]. » Fidelem exaltat et ad sublimia extollit, ut magis ac validius dextera Dei confirmatus, denuo dicat : « Dextera Domini fecit virtutem. » — Facit virtutem dextera ejus omnibus qui recta sentiunt et agunt ; exaltat autem eos ut augeatur iterum in eis prior virtus, et ideo immortalitatem consecuti dicent : « Non moriar, sed vivam. »

Στ. ιζ'. Οὐκέτι τεθνήξομαι τὸν ἐπόμενον τῇ κακίᾳ θάνατον, ἀλλὰ ζήσομαι μετασχὼν τῆς ἐναντίας τοῦ πονηροῦ θανάτου ζωῆς, ἐπὶ τῷ διηγήσασθαι τὰ Θεοῦ εἰς ἐμὲ γενόμενα θαυμαστὰ ἔργα.

Vers. 17. Non amplius moriar morte quæ peccantes manet, sed e contra sancta vita vivam, ut enarrem mirabilia quæ Deus pro me operatus est.

Στ. ιθ'. Τοῦ δὲ ὀνόματος τῆς δικαιοσύνης κατηγορουμένου, καὶ πάσης τῆς ἠθικῆς ἀρετῆς, τὰς πύλας αὐτῆς τὰς ἰδικὰς ἀρετῆς λεκτέον, εἰς ἃς εἰσέρχονται οἱ δι' ἀσκήσεως καὶ ἐπιμελείας τῆς περὶ αὐτῶν C κρούοντες αὐτάς. Εἰσέρχονται δὲ ἐπὶ τῷ ἐξομολογήσασθαι ὑπὲρ ὧν ἔπραξαν, ἔξω τῶν πυλῶν τῆς δικαιοσύνης ὄντες. Εἰσέρχεσθαι δὲ οὐ δι' αὐτῶν, ἀλλ' « εἰς αὐτὰς, » φησίν. Οὐδὲ γὰρ ὑπερβατέον τὰς ἐνεργείας τῶν ἀρετῶν, ἀλλὰ προσδιατριπτέον αὐταῖς. —Πύλαι πάλαι ὁ νόμος καὶ οἱ προφῆται, δι' ὧν εἰσῄει πρὸς Θεὸν ὁ Ἰσραήλ· πύλαι δὲ νῦν ἡ πίστις, δι' ἧς οἰκειότερον νῦν προσαγόμεθα, μαρτυρούμενοι ὑπὸ νόμου καὶ προφητῶν.

Vers. 19. Cum hic justitiæ vox occurrat, illaque virtutes morales designet, dicendum erit hic de ipsis virtutis portis agi, in quas ingrediemur ubi eas nos ad bonum studiose exercendo pulsaverimus. Ingrediuntur autem in eas, ut ea confiteantur quæ antea extra justitiæ portas peccaverunt. Ingredi vero dicit non per portas, sed, « in portas. » Non enim prætergrediendum est nobis virtutum operationes, sed in eis commorandum. — Portæ olim lex et prophetæ, per quos Israel ad Deum accederet ; nunc autem portæ fides, qua Deum propius adimus, testimonio legis et prophetarum confirmati.

Στ. κα'. Ὑμνώσω τοιγαροῦν ἀνοίξαντά μοι τῆς δικαιοσύνης τὰς πύλας, καὶ εὐχαριστῶ ὅτι εἰσήκουσάς μου, καὶ προσεδέξω τὴν δέησιν, καὶ παρέσχες τὴν σωτηρίαν.

Vers. 21. Cantabo igitur aperientem mihi justitiæ portas, et gratias tibi agam exaudienti me, et orationem meam suscipienti, et salutem præstanti.

Στ. κβ'. Ὃ δι' ἡμᾶς γεγονὼς λίθος ἀποδεδοκιμασμένος, ἀλλ' « ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, » μετὰ τὴν ἐκείνων ἀποβολὴν, ἑτέρας « γωνίας κεφαλὴ γέγονεν. » — Καὶ μετ' ὀλίγα· « Ἀκρογωνιαῖον » αὐτὸν ὠνόμασεν Ἡσαΐας, καὶ « ἐκλεκτὸν » καὶ « ἔντιμον » λίθον, διὰ τὸ συνάπτειν ὑπὸ μίαν γωνίαν δύο οἰκοδομάς. Ζῶν δ' ἂν εἴη ὡς ἀληθῶς καὶ ἐκλεκτὸς λίθος ὁ τοῦ Θεοῦ Υἱὸς, ὅπως ἂν τὴν κατὰ Θεὸν οἰκοδομὴν συνδέων, καὶ τὰς δύο γωνίας τῆς τε παλαιᾶς οἰκοδομῆς τῆς ἐκ περιτομῆς, καὶ τῆς νέας τῆς ἐξ ἐθνῶν, ὑπὸ μίαν συνάπτων γωνίαν. Τοῦτον μὲν οὖν τὸν λίθον οἱ ἐκ περιτομῆς πάλαι πρότερον οἰκοδομοῦντες καὶ νομοδιδάσκαλοι καὶ ἀρχιερεῖς ἐξ αὐτῶν ἀπέβαλαν καὶ

Vers. 22. Lapis propter nos reprobatus, « quem reprobaverunt ædificantes, » iisdem vicissim rejectis, alterius « anguli factus est caput. » — Et paulo post : Quem lapidem vocavit Isaias [27] « angularem, electum » et « pretiosum, » quia duo ædificia uno angulo continet. Vere autem Dei Filius lapis vivus et electus, ut Dei ædificium una vinciens, et utrumque angulum veteris ædificii eorum qui ex circumcisione, et novi ædificii quod ex gentibus, uno angulo retineat. Hunc igitur lapidem legis doctores et principes sacerdotum ex circumcisione olim ædificantes procul a se repulerunt et reprobaverunt ; ipse vero factus est fundamentum

[26] Philipp. IV, 13. [27] Isa. XXVIII, 16.

Digitized by Google

et caput alterius anguli, Ecclesiæ videlicet quæ ex gentibus; nec aliud nobis majus donum Christus largitus est.

Vers. 23. Symmachus autem : « A Domino, » inquit, « factum est hoc; et illud incredibile nobis. » Vere quidem illud incredibile et omni admiratione dignum. Quis enim unquam potuisset credere Filium Dei a principibus pristini sui populi rejiciendum fore, et ab hominibus apud eos ædificantibus reprobandum, ipsum autem ducem futurum et caput alienigenarum et externarum gentium, tandiu dæmonicis erroribus deceptarum? — Et paulo post : « Et mirabilis est in oculis nostris, » nempe angulus ille. — Et paulo post : Hunc lapidem novit etiam beatus Daniel [28] sine manibus abscissum, et didicit eum incommunicabilem esse Virginis filium.

Vers. 26. Hanc quoque vocem de Christo prædicari contenderunt evangelistæ. Ipse enim vere est qui cum auctoritate et in nomine Domini venit; omnes autem sancti viri et angeli qui antea venerunt, servos Dei se esse profitebantur. Profecto, « Hæc dicit Dominus, » aiebat quisque, et hisce verbis alioquuntur angeli quem accedunt : « Dominus misit me. » Ille vero : « Benedictus qui venit in nomine Domini [29]. »—Et rursus : Recte dicitur « qui venit » et non « qui jam venit. » Semper enim venit et accedit ad hominum genus, licet hoc non carne fiat. Non movetur Dominus veniendo, nec de loco in alium transit, nam immobilis ipse et immutabilis, et cœlum terramque divina sua præsentia replet; nos autem illi appropinquamus habitu atque dispositione, vel ab illo elongamur. — « De domo Domini, » de sinu Patris egreditur qui venit.

Vers. 27. Venit enim non de loco in locum transeundo, sed illucendo, cum prius non appareret : quippe qui invisibilis cum esset, invisibilis imago Dei, formam servi accepit, et Verbum caro factum est ut videretur, et ita apparens hoc conspectu nos ad gloriam ejus contemplandam perduceret, « Gloriam quasi Unigeniti a Patre, plenus gratiæ et veritatis [30]. »

Vers. 28. Glorificabo te, celebrabo te, narrando mirabilia quæ mihi fecisti; nam exaltasti me, et virtutem fecisti, ita ut non morerer, sed viverem ad annuntianda opera tua.

Vers. 29. Mire igitur cum expertum habeo quanta sit misericordia tua et quanta bonitas tua, cæteros exhortans dico : « Confitemini Domino, quia in sæculum misericordia ejus. »

ἀπεδοκίμασαν· ὁ δὲ γέγονεν ἀρχὴ καὶ κεφαλὴ γωνίας ἑτέρας τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, καὶ γέγονε παρὰ Χριστοῦ δῶρον αὔτη μέγιστον κεχαρισμένον.

Στ. κγ'. Ὁ δὲ Σύμμαχος, « Παρὰ Κυρίου, » φησὶν, « ἐγένετο τοῦτο, καὶ αὐτὸ παράδοξον ἡμῖν. » Παράδοξον γὰρ ἀληθῶς καὶ ἐπέκεινα παντὸς θαύματος ἦν. Οὐδεὶς μηδεπώποτε τὸν τοῦ Θεοῦ Υἱὸν ἀποβληθῆναι μὲν ὑπὸ τῶν ἀρχόντων τοῦ προτέρου λαοῦ, καὶ ὑπὸ τῶν παρ' αὐτοῖς οἰκοδόμων ἀποδοκιμασθῆναι, ἀρχηγὸν δὲ γενέσθαι καὶ κεφαλὴν τῶν ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν, τῶν πάλαι πλάναις δαιμονικαῖς οἰκειωμένων. — Καὶ μετ' ὀλίγα· « Καὶ αὕτη ἐστὶ θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν, » δηλαδὴ προλεχθεῖσα γωνία. — Καὶ μετ' ὀλίγα· Τοῦτον εἶδεν τὸν λίθον καὶ ὁ μακάριος Δανιὴλ τμηθέντα ἄνευ χειρῶν, τὸν ἀκοινώνητον τῆς Παρθένου διδασκόμενος τόκον.

Στ. κς'. Καὶ ταύτην τὴν φωνὴν οἱ εὐαγγελισταὶ περὶ Χριστοῦ προφητείαν εἶναι ἐξειλήφασιν. Αὐτὸς γὰρ ἀληθῶς ἐστιν ὁ αὐθεντικῶς καὶ ἐν ὀνόματι Κυρίου ἐρχόμενος, πάντων τῶν πρὸ αὐτοῦ ἀνδρῶν ὁμοῦ καὶ ἀγγέλων ἐληλυθότων, ὡς Κυρίου δούλων. Ἀμέλει, « Τάδε λέγει Κύριος, » ἕκαστος ἔφη· καὶ ἕκαστος τῶν ἀγγέλων φησὶν, πρὸς ὃν ἔρχεται· « Ὁ Κύριος ἀπέστειλέ με. » Ἀλλ' αὐτὸς « Ὁ ἐν ὀνόματι Κυρίου ἐρχόμενος, εὐλογημένος » ἐστί. — Καὶ πάλιν· Εὖ δὲ καὶ τὸ εἰπεῖν « ὁ ἐρχόμενος, » ἀλλ' οὐχ « ὁ ἐλθών. » Ἀεὶ γὰρ ἔρχεται καὶ ἐπιδημεῖ τῷ τῶν ἀνθρώπων γένει, εἰ καὶ μὴ διὰ σαρκός. Οὐ κινούμενος, οὐ μεταβαίνων αὐτὸς (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος καὶ πληρῶν τὸν οὐρανὸν καὶ τὴν γῆν θείᾳ παρουσίᾳ), ἡμῶν δὲ σχέσει καὶ διαθέσει ἐγγιζόντων αὐτῷ, ἢ μακρυνομένων αὐτοῦ. — « Ἐξ οἴκου Κυρίου, » τῶν κόλπων τῶν πατρικῶν ἐστιν ὁ ἐρχόμενος.

Στ. κζ'. Τὸ γὰρ ἐλθεῖν αὐτὸν, οὐ τόπον ἐστὶν ἀμεῖψαι, ἀλλ' ἐπιφανῆναι, πρότερον οὐχ ὁρώμενον· ὑπάρχων γὰρ ἀόρατος τὸ εἶναι (98), εἰκὼν Θεοῦ ἀοράτου, μορφὴν δούλου λαβὼν καὶ γενόμενος Λόγος σὰρξ ὤφθη, ἵν' οὕτω φανεὶς χειραγωγήσῃ διὰ ταύτης τῆς κατανοήσεως εἰς τὸ καὶ τὴν δόξαν αὐτοῦ καταθεάσασθαι, « Δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. »

Στ. κη'. Δοξολογῶν, θεολογῶν σε λέγω, ἃ εἰς ἐμὲ πεποίηκας θαυμάσια· ὕψωσας γάρ με, καὶ πεποίηκας δύναμιν, ὡς μὴ ἀποθανεῖν, ἀλλὰ ζήσαντά με διηγήσασθαι τὰ ἔργα σου.

Στ. κθ'. Πέρα (99) τοιγαροῦν μαθών σου τὸ πολὺ ἔλεος καὶ τὴν ἀγαθότητα, καὶ ἄλλους προτρεπόμενος λέγω, « Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. »

PSALMUS CXVIII.

Vers. 1. Qui, exstincto omni malo studio, per bona opera et rectam mentem Deo appropinquant. Recte autem beatos declarat « qui ambulant, » non vero qui ambulaverunt.

Στ. α'. Πάσης σπουδῆς ἀποστάντες, καὶ δι' ἔργων ἀγαθῶν καὶ φρονήματος ὀρθοῦ ἐγγίζοντες αὐτῷ· εὖ δὲ τὸ μακαρίζειν οὐ τοὺς πορευθέντας, ἀλλὰ « τοὺς πορευομένους. »

[28] Dan. II, 45. [29] Matth. XXI, 9. [30] Joan. I, 14.

(98) Legendum, ut videtur, ἀόρατος τῷ εἶναι εἰκὼν Θεοῦ ἀοράτου. Edit.

(99) Lege πείρᾳ. Id.

Digitized by Google

Στ. γ'. Ἐμφαίνει τὸ μηδεπώποτε αὐτοὺς πεπειράσθαι τοῦ θείου νόμου, ὡς περὶ αὐτῶν εἶναι τό· « Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. » Οὗτοι δέ εἰσιν οἱ μηδέποτε θείας διδασκαλίας ἀκηκοότες. Οἱ γὰρ μετὰ τὸ ταύτης μνησθῆναι πταίσαντες ἐν νόμῳ ἡμαρτηκέναι, καὶ παραβάται αὐτοῦ λέγονται.

Στ. δ'. Ὁ μετὰ πάσης εὐτονίας καὶ σφοδρότητος ἐργαζόμενος τὰ προστεταγμένα ὑπὸ τοῦ Κυρίου, οὗτος νενόηκε τὸν προκείμενον στίχον.

Στ. ε'. Οὐ γὰρ ἄλλως τὰ δικαιώματά σου φυλάξω, ἐὰν μὴ κατευθυνθείησαν ὑπὸ σοῦ αἱ ὁδοί μου. Τίνα οὖν τὰ δικαιώματα ταῦτα; « Ἃ παραθήσεις ἐνώπιον τῶν υἱῶν Ἰσραήλ; Ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι, τῷ δὲ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον, » καὶ τὰ ἑξῆς. — Καὶ μετ' ὀλίγα· Ὤφελον οὖν, φησὶν, κατευθυνθείησαν αἱ ὁδοί μου, ἵνα ὅσα ἐδικαίωσας, ταῦτα ἑκάστῳ κατὰ τὸ πρέπον ἀποδῶ.

Στ. ια'. Ὁ μὴ ἐξ ἐπιπολῆς τὰ λόγια τοῦ Θεοῦ δεχόμενος, κρύπτει αὐτὰ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἵνα τὴν γνώμην καὶ τὴν πρόθεσιν αὐτοῦ κατὰ ταῦτα ποιωθείς, ἀναμάρτητος εἴη Θεῷ τῷ τὸ κρυπτὸν ὁρῶντι· μὴ μόνον μὴ μοιχεύων, ἀλλὰ μηδὲ αἰσχρὰν ὄρεξιν ἔχων. — Ὁ αἰσθόμενος τῆς αὐτοῦ προκοπῆς ἀπὸ τοῦ « ἐν ὅλῃ καρδίᾳ ἐκζητῆσαι τὸν Θεὸν, » εὐλογεῖ αὐτὸν εὐχαριστῶν ἤδη, ἐφ' οἷς ἠξιώθη· ἔχων γὰρ λόγια ἀπόῤῥητα καὶ κρύψεως ἄξια, εὐλογεῖ ἐπὶ τούτοις τὸν Κύριον.

Στ. ιγ'. Ὅσα γὰρ ἔμελλε ποιεῖν τοὺς ἀκροατὰς μανθάνοντας περὶ τῶν κριμάτων τοῦ Θεοῦ, τούτοις εἰς φανερὸν ἔφερον.

Στ. ιδ'. Ὡς γὰρ τὸν αἰσθητὸν ἀποδεχόμενος πλοῦτον, τέρπεται ἐπ' αὐτῷ, οὐχ ὅτ' ἂν μερικὸν ἀλλ' ὅτ' ἂν πάντα αὐτὸν ἔχει συμπληρούμενον, ἐξ ἀκινήτων καὶ κινητῶν ὑπαρχόντων· οὕτω καὶ ὁ τὸν πνευματικὸν πόθον πλουτῶν ἀπαρτιζόμενον, χαίρει ἐπ' αὐτῷ κτησάμενος αὐτὸν ἐν τῷ προκόπτειν ἐν τοῖς τοῦ Θεοῦ μαρτυρίοις, καὶ ἐνεργεῖν τὰς ἀρετὰς, λέγων· Ἀντὶ πάντων ἐμοὶ τὰ μαρτύριά σου, εὐφροσύνη καὶ πλοῦτος εἴη.

Στ. ιζ'. Ὅπως μὴ ἀμισθῇ δόξω πεπραχέναι τὰ δικαιώματά σου, ἀνταπόδος μοι τὴν θείαν καὶ μακαρίαν ζωὴν, ἵνα ζώσας κατ' αὐτὴν « φυλάξω τοὺς λόγους σου· » μετὰ γὰρ τὸ μνημονεῦσαι αὐτῶν, ἀκόλουθον φυλάξαι.

Στ. ιη'. Ἔρχεται ὁ Λόγος καὶ ἀποκαλύπτει τοὺς ὀφθαλμοὺς, περιαίρων τὸ κάλυμμα· ἡνίκα γὰρ ἐπιστρέψῃ τις πρὸς Κύριον, περιαίρεται τὸ κάλυμμα. Ἤδει ὁ προφήτης ὅτι σκιὰν ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν· ἐζήτει νοῆσαι τὰ ἀγαθὰ, ὧν περιεῖχε σκιὰν ὁ νόμος· καὶ μὴ Ἰουδαϊκῶς, ἀλλὰ μεγαλοφρόνως καὶ προφητικῶς εὐχόμενος, παρεκάλει λέγων· « Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου, » ἵνα ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζηται, τὴν εἰκόνα μεταμορφούμενος, καὶ θεωρῶν τὰ θαυμάσια τοῦ Θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ.

A Vers. 3. Indicat eos nunquam divinæ legis præcepta cognovisse, quasi de illis haberetur illud : « Quicunque sine lege peccaverunt, sine lege peribunt [31]. » Hi autem sunt qui divinas disciplinas nunquam audivere. Illi autem qui ea instructi labuntur, in lege peccant, et legis transgressores vocantur [32].

Vers. 4. Qui mandata Domini studio et diligenter perficit, poterit hunc versum usurpare.

Vers. 5. Non enim aliter custodivissem justificationes tuas, nisi viæ meæ a te fuissent directæ. Quæ autem justificationes illæ? « Eædem quas apponeS coram filiis Israel? Si acquisieris servum Hebræum, sex annos serviet tibi : septimo autem B anno dimittes eum liberum [33], » et cætera.—Et paulo post : Dirigendæ erant, inquit, viæ meæ, ut quæcunque mandasti convenienter perficerem.

Vers. 11. Qui non leviter eloquia Dei suscipit, abscondit ea in corde suo, ut mente et affectibus ad ea informatis, irreprehensibilis videatur Deo vel abscondita cordis perscrutanti; ideoque non solum non mœchetur, sed nec sensu quidem turpi moveatur. — Sentiens se profecisse, ex quo dixerat « in toto corde exquirere Deum, » benedicit ei jam gratias agens de bonis quæ consecutus est : eloquia enim adeptus ineffabilia et digna quæ absconderentur, benedicit propterea Domino.

C Vers. 13. Labiis enim prædicavi quid Deus cum auditoribus, judicia ejus inquirentibus, acturus esset.

Vers. 14. Quemadmodum qui divitias contigerit, non modicas quidem, sed innumeras, ex immobilibus et mobilibus constantes, delectatur in eis, ita qui spiritualia desideria perfecit, lætatur in eis; et proficiendo in testimoniis Dei virtutesque operando bona quæque consequitur, dicens : Pro multis mihi testimonia tua, lætitia et divitiæ sunt.

Vers. 17. Ne videar justificationes tuas gratis perfecisse, retribue mihi divinam et beatam vitam, ut ea vivens « custodiam sermones tuos; » nam D cum sermones tuos non obliviscar, eos quoque perficiam oportet.

Vers. 18. Venit Verbum et aperit oculos, velamen tollendo : quando enim ad Dominum te convertis, aufertur velamen. Non ignorabat propheta legi umbram inesse futurorum bonorum; optabat igitur bona considerare, quorum umbram lex præbebat; et animo minime Judaico, sed generoso et prophetico precatus, clamat ad Dominum : « Aperi oculos meos, et considerabo mirabilia de lege tua, » ut revelata facie gloriam Domini intueatur, imaginem transformans, et contemplans mirabilia Dei de lege ejus.

[31] Rom. II, 12. [32] Jac. II, 11. [33] Exod. XXI, 1, 2.

Digitized by Google

Vers. 20. Non de judiciis, sed de justificationibus cogitans, existimabat judicia Domini commodum, quasi omnino bona essent. Desiderium igitur eorum habens in omni tempore concupivit, nolens ea ex dolore et ex necessitate facere, eorum instar qui illa pœnarum metu operantur, sed cum studio et cum desiderio. Unde fiet ut prudenter et generose omnia sufferat, non grata tantum, sed et laboriosa et ingrata, et opus quodvis bonum ardenti animo perficiat. — Quare autem non dixit : Concupivit anima mea judicia tua, sed « Concupivit desiderare judicia Dei? » Uti de illo, « Retribue servo tuo, » existimavimus, non omnium esse orare, « Retribue servo tuo, » sed eorum modo qui pura conscientia Deo inserviunt: ita non omnium est « desiderare judicia in omni tempore, » sed eorum modo qui non peccant. Tempore enim quo peccavi, si judicia desideravero, ut pœnis affligar desiderabo. Cum igitur non nisi perfecti sit desiderare judicia Dei in omni tempore, ea de causa hoc locutus est Propheta.

Vers. 21. Non cessat nos lacessere infesta (diaboli) potestas. Nunc enim palam nos aggreditur, nunc autem vel virtute et meritis nos præstantes appetit, ut superbos et tumidos efficiat. At « Deus superbis resistit, humilibus autem dat gratiam [34]. » Quanto igitur major eris, tanto humilior esto, et coram Domino invenies gratiam. Diximus jam nos declinare non solum a via recta, sed etiam a mandatis. Ubi enim mandatum, ibi et inclinatio fieri potest: nam mandatum Dei rectitudo est.

Vers. 22. Delapsus est ergo a mandato non exsecrabilis tantum, sed et qui vel paulisper a mandato Dei declinavit. — Cum quidam me contumeliis et contemptu insequuntur, « quia mandata tua exquisivi, opprobrium et contemptum aufer a me. » Hæc autem forte auferentur, si ad agnitionem veritatis perveniant, qui prius me opprobriis et contemptu lacessebant. Quo facto mecum exquirent ipsi mandata tua.

Vers. 25. Habet hæc sanctus nomine peccatoris pœnitentiam agentis.

Vers. 26. Alia Scriptura : « Vias meas, » inquit, « enuntiavi, » vias scilicet quæ ducunt ad te, quæ non aliæ a virtutis viis, Domine, vita mea, bona scilicet mente et bonis operibus, enuntiavi et exaudisti me. Quamobrem exaudienti Deo dicit : « Doce me justificationes tuas. »

Vers. 27. Quod si viam mysteriorum quæ in justificationibus tuis sunt, te docente, intelligam, considerabo eam, ita ut eam perficere possim, et mirabilia intelligens quæ in justificationibus tuis,

[34] I Petr. v, 5.

Στ. κ'. Οὐ τὰ κρίματα, ἀλλὰ τὰ δικαιώματα εἰπών, οὕτως ἐξηγήσατο τὰ Θεοῦ κρίματα εἶναι, ἀεὶ ὠφέλημα, ἀγαθὰ κυρίως ὄντα. Ἐπιθυμίαν οὖν αὐτῶν ἔχων ἐν παντὶ καιρῷ ἐπεπόθησεν, οὐ θέλων αὐτὰ ἐκ λύπης ἢ ἐξ ἀνάγκης ποιεῖν, ὡς ποιοῦσιν οἱ ἐνεργοῦντες αὐτὰ φόβῳ τοῦ περιπεσεῖν κολάσει, ἀλλὰ σὺν ὀρέξει καὶ ἐπιθυμίᾳ. Συμβήσεται γὰρ ἐκ τούτου σωφρόνως καὶ γενναίως πάντα φέρειν οὐ μόνον τὰ ἡδέα, ἀλλὰ καὶ τὰ ἐπίπονα καὶ ἀηδῆ, καὶ πρὸς πᾶσαν πρᾶξιν σπουδαίαν σὺν πόθῳ ἴέναι. — Τί δήποτε οὐκ εἶπεν, Ἐπεπόθησεν ἡ ψυχή μου τὰ κρίματά σου, ἀλλ', « Ἐπεπόθησε τοῦ ἐπιθυμῆσαι τὰ κρίματα Θεοῦ; » Ὡς ἐπὶ τοῦ, « Ἀνταπόδος τῷ δούλῳ σου » διηγησάμεθα, ὅτι οὐ πάντων ἐστὶν εὔξασθαι τὸ « Ἀνταπόδος τῷ δούλῳ σου, » ἀλλὰ τῶν καθαρᾷ τῇ συνειδήσει λατρευόντων τῷ Θεῷ· οὕτως οὐ πάντων ἐστὶ τὸ « ἐπιθυμῆσαι τὰ κρίματα ἐν παντὶ καιρῷ, » ἀλλὰ μόνων τῶν μὴ ἁμαρτανόντων. Ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ ἐν ᾧ ἁμαρτάνω, ἐὰν ἐπιθυμήσω κρίματα, ἵνα κολασθῶ ἐπιθυμῶ. Ἐπεὶ τοίνυν τελείου ἐστὶ τὸ ἐπιθυμῆσαι τὰ κρίματα τοῦ Θεοῦ ἐν παντὶ καιρῷ, διὰ τοῦτο ταῦτά φησιν ὁ Προφήτης.

Στ. κα'. Πότε γὰρ ἡμῖν ἡ ἀντικειμένη ἐνέργεια οὐ (1) παλαίει; Οὐ μόνον ὅτ' ἂν ὁμολογουμένως ἀνταγωνίζηται ἡμῖν, ἀλλὰ κἂν γενώμεθα ἐν τοῖς καλοῖς καὶ διαφέρουσιν, ἀγωνίζεται πῶς ἡμᾶς φυσιώσαι καὶ ὑψηλόφρονας ποιήσαι· « Ὁ Θεὸς » δὲ « ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. » Διὰ τοῦτο ὅσῳ μέγας εἶ, ταπείνου σεαυτὸν, καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν. Εἰρήκαμεν δὲ ἤδη ὡς δυνατόν ἐστιν ἐκκλίνειν, οὐ μόνον ἀπὸ τῆς ἐνικῶς λεγομένης, ἀλλὰ καὶ ἀπὸ τῶν ἐντολῶν. Ὅπου γὰρ ἐντολή, δύναται ἔγκλισις γενέσθαι· ἡ ἐντολὴ Θεοῦ εὐθεῖά ἐστιν.

Στ. κβ'. Οὐκέτι οὖν ἀποπέπτωκε μόνον τῆς ἐντολῆς ἐπικατάρατος, ἀλλὰ καὶ ὃς κἂν βραχὺ ἐξέκλινεν ἀπὸ τῆς ἐντολῆς τοῦ Θεοῦ. — Ἐπεὶ ὀνειδίζουσιν καὶ ἐξουδενώσουσί (2) μέ τινες ἐπὶ τῷ ἐκζητεῖν τὰ μαρτύριά σου, « περίελε τὸ ὄνειδος καὶ τὴν ἐξουδένωσίν μου. » Πῶς δ' ἂν περιαιρεθείη ταῦτα; εἰς ἐπίγνωσιν ἐρχομένων ἀληθείας τῶν τέως ὀνειδιζόντων καὶ ἐξευτελιζόντων με. Ὑπάρξαντος δὲ τούτου, ἅμα ἐμοὶ ἐκζητήσουσι καὶ αὐτοὶ τὰ μαρτύριά σου.

Στ. κε'. Λέγει ταῦτα ὁ ἅγιος προσωποποιῶν τὸν μετανοοῦντα.

Στ. κς'. Ἑτέρα Γραφή, « Τὰς ὁδούς μου, » φησὶν, « ἐξήγγειλα, » ἵνα εἴπῃ· Τὰς φερούσας περὶ σὲ (3), οὐχ ἑτέρας οὔσας τῶν ἀρετῶν ὁδούς, ὦ Δέσποτα, πραγματικῶς ἐξήγγειλα σπουδαίᾳ προθέσει, καὶ καταλλήλοις αὐτῇ ἔργοις, καὶ ἐπήκουσάς μου. Διὸ πρὸς ὑπακούσαντά φησιν· « Δίδαξόν με τὰ δικαιώματά σου. »

Στ. κζ'. Ἐὰν γὰρ τὴν ὁδὸν τῶν ἐν τοῖς δικαιώμασι μυστηρίων ὑπὸ σοῦ σύνεσιν λαβὼν νοήσω, ὡς καὶ ὁδεῦσαι αὐτὴν, δυνήσομαι, τὰ δηλούμενα ἐν τοῖς δικαιώμασί σου θαυμάσια συνιείς, ἀδολεσχεῖν ἐν αὐ-

(1) Particulam negativam ut expungas postulat sensus. Edit.

(2) Legendum videtur ἐξουδενοῦσιν. Id.

(3) Legendum ἐπὶ σέ. Id.

Digitized by Google

τοῖς, καὶ τὴν ὁμιλίαν ἐν τῷ περὶ τούτου ποιεῖσθαι λόγῳ.

Στ. κθ'. Ὁ προαιρέσει ἀποστὰς τῆς ὁδοῦ τῆς ἀδικίας, καὶ τῷ νόμῳ τοῦ Θεοῦ προσελθεῖν, τελειωθῆναι ταῦτα βούλεται πρὸς Θεοῦ, τοῦ τὰ τέλη τῶν ἀγαθῶν ἐπιφέροντος. Ὡς γὰρ μισήσας ἣν εἶχεν ἄγνοιαν, τῷ πόθον ἐσχηκέναι τῆς ἀντικειμένης ἐπιστήμης, οὐχ οἷός τε ὢν τῆς ἀγνοίας ἀποστῆσαι, καὶ τῇ πίστει πρὸς αἰρῆσαι (4), τὸν διδάσκαλον παρακαλεῖ· Τὴν ἄγνοιαν ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῇ ἐπιστήμῃ σου ἐλέησόν με.

Στ. λβ'. Ὁδὸς μὲν στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καρδία δὲ πλατεῖα καὶ εὐρύχωρος ὑπὸ τοῦ Λόγου εὐρυνομένη, ἡ ἁγία καὶ Θεὸν ὀψομένη, καὶ τὸν καλὸν δρόμον τρέχουσα τῆς ὁδοῦ τῶν ἐντολῶν τοῦ Θεοῦ. Οὕτω μὲν καὶ ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει ἐπὶ τὴν ἀπώλειαν· ἡ δὲ στενὴ καρδία καὶ μὴ χωροῦσα ἐν ἑαυτῇ μονὴν Πατρὸς καὶ Υἱοῦ, χωρίζει ἀπὸ Θεοῦ διὰ τὴν στενοχωρίαν τὸν τοιαύτην τῇ ἑαυτοῦ κακίᾳ περιπεποιηκότα.

Στ. μ'. « Ἐπεὶ ἐπεθύμησα, » φησὶν, « τὰς ἐντολάς σου, διὰ τοῦτο ζωοποίησόν με, κατὰ τὴν σὴν δικαιοσύνην, » καὶ ἄμειψαί με μὴ μόνον ποιήσαντά σου τὰς ἐντολὰς, ἀλλὰ καὶ αἱρετικῶς πρὸς αὐτὰς διατεθέντα. Διὸ οὐκ ἄλλου χάριν, ἀλλ' αὐτῶν ἕνεκα ἐπιτελῶν αὐτός φημι, « Ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με, » ὅπερ ἐστὶ ζῆσαι κατὰ ἀρετήν. Καὶ ἐπεὶ δικαιοσύνη τοῦ Πατρὸς ὁ Υἱὸς, ὁ ἐν Υἱῷ ζῆσαι βουλόμενος τοῦτό φησιν.

Στ. μγ'. Εἰ καὶ ποτὲ πρὸς ἐμπιπτούσας ἀπορίας περὶ προνοίας, ὁμοιοτρόπων ζητημάτων μὴ ἔχοιμι λόγον ἀποδοῦναι, λύοντα τὰς ἀντιῤῥήσεις τῶν ἐπαπορούντων, ἀλλὰ σὺ τῇ αὐτοῦ ἀγαθότητι, ἀνοίξαντί μοι τὸ στόμα, τῷ σῷ λόγῳ δὸς ἑρμηνευτικὸν τῆς ἀληθείας, ἵνα μὴ παντελῶς περιαίρεσις τοῦ λόγου τῆς ἀληθείας ἐκ τοῦ στόματός μου γένηται, ἀλλὰ δυνηθῶ περὶ τῶν δυσαποδότων ἀμωσγέπως λέγειν, ὅτι Ἤλπισα ἐπὶ τὰ κρίματά σου (5), τοῖς κεχριμένοις καὶ ἐξετασμένοις λόγοις καὶ τοῖς κρίμασι καθ' ἃ διοικεῖς καὶ προνοεῖς τῶν ἀνθρώπων.

Στ. να'. Τῶν ἑτεροδόξων ἀλαζονευομένων κατὰ τοῦ νόμου τῷ διαβάλλειν αὐτὸν, ἐγὼ σφόδρα τῆς φυλακῆς αὐτοῦ περιειχόμην· καὶ κατὰ ποσὸν κλονῆσαι τὴν πρὸς αὐτὸν συγκατάθεσιν μὴ ἀνεχόμενος.

Στ. νβ'. Ἔτι τὴν διάθεσιν κατανοήσομεν τοῦ δικαίου. Μιμνησκόμενος, φησὶ, τῶν κριμάτων τοῦ Θεοῦ τῶν ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος ἀποθησομένων (6) ἑκάστῳ, παρακαλεῖται καὶ ἄλυπος μένει καὶ ἀτάραχος. Καὶ λέγει οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Στ. ξγ'. Μέτοχον νοήσομεν τὸν φίλον καὶ κοινωνὸν, ὃ φησιν ὁ Ἐκκλησιαστὴς, « Ἐὰν πέσῃ (7) ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ. » Μήποτ' οὖν τοῦτο βούλεται λέγειν, ὅτι φίλος καὶ κοινωνὸς, εἰ μὴ πάντων τῶν φο-

A exerceri in eis, et in eis narrandis conversari liceat.

Vers. 29. Qui ab iniquitatis via recedere, et Dei legem accedere decrevit, optat hæc a Deo perfici, perfectionem omnium bonorum præstante. Ita qui pristinam suam ignorantiam odio habet, et divina scientia illuminari cupit, cum ipse sua virtute ignorantiam depellere nequit, et in sanctis doctrinis erudiri, clamat ad magistrum : Ignorantiam amove a me, et scientia tua miserere mei.

Vers. 32. Via quidem quæ ducit ad vitam arcta et tribulationibus referta ; cor autem latum et amplum a verbo dilatatum, sancta quæque et Deum contemplatura, et nobilem cursum viæ mandatorum B Dei currens. Pariter lata et spatiosa via quæ ducit ad perditionem, cor vero angustum et non capiens in se mansionem Patris et Filii, avertit a Deo per angustiam suam eos qui malitia sua tale cor adepti sunt.

Vers. 40. « Quia mandata tua, » inquit, « concupivi, vivifica me secundum justitiam tuam, » et retribue mihi non solum mandata tua perficienti, sed studio etiam ea prosequenti. Ideo cum non alia de causa, sed ipsorum gratia ea observem, oro, « In justitia tua vivifica me, » hoc est ut secundum virtutem vivam. Præterea quando Filius est justitia Patris, qui in Filio vivere voluerit, eadem profitebitur.

Vers. 43. Licet nonnunquam multa providentia C tua fiant, multæque quæstiones occurrant, quas probare, aut de quibus dubitantium difficultates solvere non valeam, tu tamen bonitate tua, aperienti os sermonem tuum ad explicandam veritatem ne deneges ; præsta ne omnino auferatur verbum veritatis de ore meo, sed vel in calamitatibus profiteri possim, quia Speravi in judicia tua, in sermonibus justis et probatis, et in judiciis quibus homines dirigis et gubernas.

Vers. 51. Heterodoxi gloriati sunt adversus legem, eam impugnando ; ego vero usque in custodienda ea versatus sum ; nec deflexit ab ea vel minime mens mea.

Vers. 52. Rursus justi affectus meditabimur. D Memor, inquit, judiciorum Dei, a sæculo usque in sæculum cuique definitorum, consolatur, et dolorum expers imperturbatusque remanet. Dicit non conferendas esse passiones fluxæ hujus vitæ cum gloria in futura vita nobis revelanda.

Vers. 63. Idem sonat particeps ac socius et amicus, uti indicat Ecclesiastes : « Si ceciderit unus alter eriget participem [38]. » Hoc igitur declarat se nunquam amicum sociumve futurum, nisi eorum

[38] Eccle. IV, 10.

(4) An τῇ πίστει προσερεῖσαι? Ex duobus enim vocabulis πρὸς αἰρῆσαι nullum sensum elicere possis. Edit.

(5) Lege ἐπὶ τοῖς κρίμασί σου. Id.

(6) Forsitan corrigendum ἀποδοθησομένων. Id.

(7) LXX πέσωσι. Id.

Digitized by Google

qui timent Dominum, et mandata ejus custodiunt.

VERS. 65. Cum apud Deum bonitas et severitas simul sint, testante Apostolo [36], bonitate in fide permanentes fovet, et severitate ab ea deflectentes insequitur. Sanctus igitur, utpote in fide confirmatus : « Bonitatem, » inquit, « fecisti cum servo tuo. » Tuo dicit, declarans non sortitione quadam bonitatem Dei cum hoc vel illo fore, sed cum servo suo, quisquis ille sit. Illud autem, « secundum verbum tuum, » indicat bonitatem Dei cum nemine futuram sine ratione et causa rationali.

VERS. 66. Disciplinam quidem vocat moralem virtutem, scientiam intellectualem. — Quia recte et prudenter mandatis tuis credidi, ita ut ea perficerem, da mihi sapientiam, docens me bonitatem et disciplinam et scientiam. Cum his consentit illud : « Desideravi sapientiam, custodi mandata, et Dominus tibi largietur eam. »

VERS. 72. Duplex quidem lex, alia ad spiritum et ad sensum, alia ad litteram et ad umbram per angelos in manu Mediatoris descripta [37]. Propheta igitur bonam ait esse sibi legem divini oris super omnia mundi bona, quod per « millia auri et argenti » designat. Rem consideranti argentum pro sermone, aurum pro mente haberi videbitur.

VERS. 74. Timentes Deum cum nulla re carent, perfecti sunt; itidem et boni quia recte timent. Ideo etiam lætantur de iis qui Deo placent.

VERS. 75. Perficiuntur omnia judicia Dei. Justitiam esse judicia Dei credit fidelis, non cognovisset autem nisi suscepisset verbum scientiæ. Infidelis autem ne credit quidem, sed Providentiam incusat. De his igitur judiciis alii credunt, alii vero non credunt; melior autem qui non tantum credit sed etiam cognoscit quæ justitia Dei in istis. Scientiam hanc de illis intelligit propheta quæ hominibus eveniunt.—Et paulo post : Sæpius notavi illud, « humiliasti me, » ubique, præsertim vero in Psalmis, idem sonare ac « tentationibus circumdedisti me. » Nisi enim multis calamitatibus exerceretur et contra spem a Deo adjuvaretur, non liceret homini in virtute confirmari.

VERS. 76. Propheta, velut generosus athleta, et ferendis tentationibus assuetus, orat non ut a tribulantibus eum liberetur, sed ut tribulationum tempore confortanti verbo consoletur, ideoque animo tranquillo et læto quidquid acciderit sustinere valeat. In hoc enim, inquit, miserere mei, ut contingam exhortationes et consolationes.

[36] Rom. xi, 22. [37] Gal. iii, 19.

A δουμένων τὸν Κύριον, καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ;

Στ. ξε'. Οὕσης περὶ τὸν Θεὸν χρηστότητος καὶ ἀποτομίας κατὰ τὸν Ἀπόστολον, ἡ μὲν χρηστότης γίνεται ἐπὶ τοὺς ἑστηκότας τῇ πίστει, ἡ δὲ ἀποτομία ἐστὶν ἐπὶ τοὺς ἀφεστηκότας αὐτῆς. Ἐπεὶ οὖν ὁ ἅγιος ἐβεβαίωτο ἐν τῇ πίστει, « Χρηστότητα » εἶπεν, « ἐποίησας μετὰ τοῦ δούλου σου. » Σοῦ δὲ, ἔφη, παραστῆσαι βουλόμενος μὴ κατὰ ἀποκλήρωσιν γινομένην μετά τινος τὴν χρηστότητα τοῦ Θεοῦ, ἀλλὰ μετὰ τοῦ δουλεύοντος αὐτῷ, ὅστις ποτ' ἂν ᾖ οὗτος. Τὸ δὲ « κατὰ τὸ λόγιόν σου » προσκείμενον, δηλοῖ σὺν λόγῳ καὶ αἰτίᾳ λογικῇ γίνεσθαι μετά τινος τὴν τοῦ Κυρίου χρηστότητα (8).

B Στ. ξς'. Παιδείαν μὲν τὴν ἠθικήν· γνῶσιν δὲ τὴν διανοητικὴν ἀρετὴν καλῶν. — Ἐπεὶ ὀρθῶς καὶ φρονίμως ταῖς παρὰ σοῦ ἐντολαῖς προσελθὼν ἐπίστευσα αὐταῖς ὡς τηρῆσαι αὐτάς, δρεξόν μοι σοφίαν, διδάξας με χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν. Συνᾴδει τούτοις τὸ, « Ἐπεθύμησα σοφίαν, διατήρησον ἐντολὰς, καὶ Κύριος χορηγήσει σοι αὐτήν. »

Στ. οβ'. Διττοῦ ὄντος τοῦ νόμου, τοῦ μὲν πνευματικοῦ καὶ πρὸς διάνοιαν, τοῦ δὲ κατὰ τὸ γράμμα καὶ τὴν σκιὰν διαταγέντος δι' ἀγγέλων ἐν χειρὶ Μεσίτου, ὁ Προφήτης ἀγαθὸν αὐτῷ λέγει τὸν νόμον τοῦ θεϊκοῦ στόματος ὑπὲρ πάντα τοῦ κόσμου ἠδέα, ἃ διὰ « χιλιάδων χρυσίου καὶ ἀργυρίου » ἐδήλωσε. Πρὸς θεωρίαν δὲ λεκτέον τὸ ἀργύριον ἀντὶ λόγου, τὸ δὲ χρυσίον ἀντὶ νοῦ.

C Στ. οδ'. Οἱ Θεὸν φοβούμενοι τῷ μηδὲν αὐτοὺς ὑστερεῖν, τέλειοί εἰσιν· ὄντες δὲ τοιοῦτοι ἀγαθοὶ τυγχάνουσιν, κατὰ τὸν οὗ ἔχουσι φόβον· διὸ καὶ εὐφραίνονται ἐπὶ τοῖς εὐαρεστοῦσι Θεῷ.

Στ. οε'. Πάντα κρίματα τοῦ Θεοῦ γίνεται· καὶ ὅτι δικαιοσύνη ἐστὶ τὰ κρίματα τοῦ Θεοῦ, ὁ πιστὸς πιστεύει, ἀλλ' οὐκ ἂν ἔγνω εἰ μὴ λάβοι λόγον γνώσεως. Ὁ δὲ ἄπιστος οὐδὲ πεπίστευκεν, ἀλλ' ἐγκαλεῖ τῇ Προνοίᾳ. Περὶ τούτων οὖν τῶν κριμάτων, ὁ μέν τις πεπίστευκεν, ὁ δὲ ἀπιστεῖ· ὁ δὲ βελτίων οὐ πεπίστευκε μόνον, ἀλλὰ καὶ (9) τίς ἡ ἐν τούτοις κρίσις τοῦ Θεοῦ· καὶ κατὰ τὰ συμβαίνοντα ἀνθρώποις ταύτην τὴν γνῶσιν ἀνείληφεν ὁ προφήτης. — Καὶ μετ' ὀλίγα· Πολλάκις δὲ ἐτήρησα ὅτι τὸ « ἐταπείνωσάς με » λέγεται πολλαχοῦ, καὶ μάλιστα ἐν τοῖς Ψαλμοῖς, ἀντὶ D τοῦ « πειρασμοῖς περιέβαλές με. » Χωρὶς γὰρ τῆς ἐν πολλοῖς ὀδυνηροῖς γυμνασίας καὶ τῆς παρ' ἐλπίδα γινομένης Θεοῦ βοηθείας, οὐκ ἔστι βεβαίως ἄνθρωπον ἐν ἀρετῇ παγῆναι.

Στ. ος'. Ὁ προφήτης ὡς γενναῖος ἀθλητὴς καὶ μεμαθηκὼς φέρειν τὰ συμβαίνοντα, εὔχεται οὐκ ἀποστῆναι τὰ λυποῦντα αὐτὸν, ἀλλὰ δοθῆναι αὐτῷ ἐν τῷ καιρῷ τῶν λυπηρῶν λόγον ἰσχυρὸν παρακλήσεων, τὸν δυνάμενον αὐτῷ χαρίσασθαι μετὰ πάσης εὐθυμίας καὶ ἀταραξίας φέρειν τὸ συμβεβηκός. Ἐν τούτῳ γάρ με, φησὶν, ἐλέησον, ἵνα γένηταί μοι παράκλησις καὶ παραμυθία.

(8) Rursus animadvertamus Didymi sententiam circa divinam gratiam, veluti etiam in subsequente pagina.

(9) Supple ἔγνω. EDIT.

Digitized by Google

Στ. οθ'. Βούλεται ὡς προφήτης τοὺς φοβουμένους τὸν Θεὸν ἐπιστρέψαι πρὸς αὐτὸν καὶ οἰκεῖν, ἵν' αὐτεῖς μεταδῷ τοῦ χαρίσματος τοῦ ἐν αὐτῷ.

Στ. πγ'. Ὁ τοῦ Θεοῦ λόγος, πνευματικὴ ὢν πάχνη, ἐπεὶ καὶ δρόσος καὶ ὑετὸς πολλαχοῦ λέγεται, καταψύχει μου τὸν ἀπὸ παθῶν ἀκόλαστον φλεγμόν, καὶ ἀσθενῆ μου τὴν σάρκα ποιεῖ, ὡς τὴν νέκρωσιν Ἰησοῦ φέρειν ἐν αὐτῇ.

Στ. πδ'. Πᾶσαι αἱ ἀνθρώπιναι ἡμέραι ὀλίγαι εἰσίν. Ἐπεὶ οὖν ὀλίγον χρόνον ζῶ ἐπὶ γῆς, βούλομαι δὲ ἰδεῖν τοὺς καταδιώκοντάς με κρινομένους, παρακαλῶ σε μὴ ὑπερθέσθαι. Τίνες δέ εἰσιν οἱ περὶ ὧν εὔχεται ἵνα γένηται ἐπ' αὐτοὺς κρίσις; Οἱ καταδιώκοντες ἡμᾶς ὁ Σατανᾶς ἐστι καὶ τὰ πνευματικὰ τῆς πονηρίας. Ὅταν δὲ ἡμᾶς καὶ ἄνθρωπος δοκῇ καταδιώκειν, τῷ πρώτως καταδιώκων, οὐκ ἄνθρωπός ἐστιν, ἀλλ' ὡς παρέχειν ἑαυτὸν τόπον ἐκεῖνος ἄνθρωπος. — Ποιήσεις δὲ τοῦτο, συντρίβων τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας μου ἐν τάχει, καὶ τὰς ἀντικειμένας σοι δυνάμεις ὑποτάσσων τῇ ψυχῇ μου, καὶ ποιῶν αὐτὰς καταπατεῖσθαι ὑπὸ τοῦ σοῦ λόγου γινομένου ἐν τῇ προαιρέσει μου.

Στ. πε'. Πολλοὶ γὰρ ἑρμηνεύειν ἐπιχειροῦσι τὰς θείας Γραφὰς, καὶ τῶν τῆς Ἐκκλησίας, καὶ τῶν ἔξω ταύτης αἱρετικῶν τε καὶ Ἰουδαίων ἢ Σαμαρειτῶν· ἀλλ' οὐ πάντες λέγουσι καλῶς. Σπάνιος γὰρ ὁ ἔχων ἀπὸ τοῦ Θεοῦ εἰς τοῦτο χάριν, πολλῶν ἀδολεσχία καὶ φλυαρία· οὐ γὰρ δύναται λόγος εὔτονος καὶ ἐρρωμένος καὶ σωτήριος εἶναι ἐν ψυχῇ τοῦ παρανόμου (10).

Στ. πς'. Οὐ τύπος οὐδὲ σύμβολον αἱ ἐντολαί σου· « Ἀδίκως κατεδίωξάν με, βοήθησόν με. » Ἔστι δικαίως καταδιωχθῆναι, καὶ ἀδίκως. Δικαίως καταδιώκεται ὁ παρανόμως βιούς· ἀδίκως δὲ ὁ δίκαιος, ὁ φιλαλήθης, ἐχθρὸς ἀνθρώποις γινόμενος διὰ τὴν ἀλήθειαν. — Οἱ καταδιώκοντές με προσπεπολεμήκασιν, ἕως τε (11) μικροῦ δεῖν συντετελεκέναι με αὐτοὺς, μικροῦ δεῖν ἐκ τοῦ διωγμοῦ αὐτῶν ἐτελεύτησα· συντετέλεσταί μου ὁ χρόνος τῆς ζωῆς ἐπικειμένου μοι τοῦ δειλοῦ, καὶ ὅμως οὐκ ἐξέστην σου τῶν ἐντολῶν, οὐκ ἐξεκάκησα, οὐ παράνομόν τι ἐποίησα, ἀλλ' ἐπέμενον τῇ ἀγάπῃ τῶν ἐντολῶν σου. — Καὶ μετ' ὀλίγα· Συντελεσθῆναι δέ ἐστιν ἐν τῇ γῇ οὐ τὸ κοινῶς τεθνάναι, ἀλλὰ τὸ εἰς τὴν ὑλικὴν ἕξιν, ἣν ἐκάλεσε γῆν, ὡς εἰς τέλος ἐλθεῖν ἐπὶ τῷ κατ' αὐτὴν ποιωθῆναι. — Τὸ κατὰ τὸ λόγιον τοῦ Θεοῦ ζῆν, τὸ σὺν εὐσεβείᾳ ζῆν ἐστιν, οὐχ ἁπλῶς τὴν αἰσθητὴν ταύτην ζωήν. Τούτου γὰρ τυχὼν ἐν εὐζωΐᾳ ἔσται, ὃς ἐφύλασσεν τὰ μαρτύρια τοῦ στόματος τοῦ Θεοῦ μαρτυρηθέντα καὶ ἀποδειχθέντα ὑπὸ Λόγου τοῦ Θεοῦ, οὗ εἶπεν αὐτοῦ στόματος (12) εἶναι.

Στ. πη'. Ὁ μετὰ πάσης εὐτονίας καὶ σφοδρότητος ἐργαζόμενος τὰ προστεταγμένα ὑπὸ τοῦ Κυρίου, οὗτος νενόηκε τὸν προειρημένον στίχον.

Στ. ιϛ'. Ὡς τεταγμένως καὶ ὁμαλῶς περικυκλεῖν

VERS. 79. Optat, uti prophetam decet, timentes Deum ad se converti et secum conversari, ut eis gratiam largiatur qua ipse repletus est.

VERS. 83. Dei verbum spiritualis pruina; quando etiam ros et pluvia ubique dicitur, refrigerat ardentes cupiditatum mearum flammas, et carnem meam debilitat ut mortificationem Jesu in ipsa feram.

VERS. 84. Omnes humanæ vitæ dies pauci. Cum igitur paulisper in terris vivam, et eos judicio afflictos videre velim qui me persequuntur, oro te ne tardes. Qui autem sunt illi quos judicandos existimat? Qui nos persequuntur, Satanas et spiritualia nequitiæ. Nam quando homo nos persequi videtur, non homo est qui nos primarie persequitur, sed illis tantum persequendi occasionem præbet. — Hoc autem judicium facies, quam citissime Satanam sub pedibus meis conculcans, et subjiciens animæ meæ potestates tibi infensas, et tradens eas a verbo tuo proterendas, quod mente suscipiam.

VERS. 85. Multi quidem divinas Scripturas interpretari non dubitant, et Ecclesiæ libros necnon externa hæreticorum, Judæorumque et Samaritanorum scripta; sed non omnes illud egregie præstant. Pauci enim sunt quibus Deus ad hoc gratiam impertitur; multis autem confabulationes et nugæ. Non est enim quod sermo rectus et firmus et salutaris in animo iniqui reperiatur.

VERS. 86. Non figuræ aut symbola mandata tua: « Injuste persecuti sunt me, adjuva me. » Nunc enim juste persequuntur, nunc injuste. Juste persequuntur eum qui iniquam vitam agit; injuste autem pium virum, veritatis amatorem, qui veritatis causa hominibus odio factus est. — Qui persequebantur me ita me lacessiverunt, ut parum abfuerit quin consummarer ab eis: prope persecutionibus eorum interii; consummatum est tempus vitæ meæ instante diabolo; attamen a mandatis tuis non defeci, malo me non dedi, iniqua non egi, sed amore tui permansi in mandatis tuis. —Et paulo post: Consummari in terra non est communi morte perire, sed ad humilia delabi, quæ terram vocat, quasi ad finem, ut in iis deinceps vivatur. — Secundum eloquia Dei vivere, non est carnali hac vita vivere, sed piis moribus vivere. Quam vitam adeptus beatitudine fruetur qui testimonia oris Dei custodivit, a Verbo Dei prolata et prædicata, quod os ejus dicit esse.

VERS. 88. Versus hic illi usurpandus qui præcepta Domini accuratius et diligentius perficit.

VERS. 91. Statis et æqualibus temporibus com-

(10) Notabile Didymi dictum de heterodoxis sacræ Scripturæ interpretibus. Consonat fere S. Athanasius in fragmentis.

(11) Ὥστε vel ἕως τοῦ? EDIT.

(12) Nota duplicem genitivum *attractioni*, ut aiunt grammatici, tribuendum: οὗ... στόματος pro ὃν ... στόμα. IDEM.

Digitized by Google

pletur annuus orbis, nec deficit dies, nec unquam variatur constans dierum nunc longiorum nunc contractiorum series.

A κατὰ τοὺς ἐτησίους κύκλους, οὐκ ἐξισταμένης τῆς ἡμέρας, οὐδὲ πώποτε ἧς ἔχει πρὸς νύκτα διατάξεως κατά τε ἰσότητα καὶ ἀνισότητα.

VERS. 98. Inimici nostri invisibiles nihil intentatum relinquunt ut nos ad exquirendam voluptatem propellant; voluptas autem nos emollit, ut vel divinum mandatum cum sudore perficiendum repudiemus. Superat vero voluptatem et voluptatis doctores inimicos, qui mandatum Dei sapit, docente Deo, ita ut in æternum illud profiteri possit; voluptas contra fluxa et caduca. Quapropter Deo hymnis gratias agens, ait : Sapere me fecisti mandatum tuum, ex quo etiam super inimicos meos factus sum.

Στ. ιη'. Οἱ ἐπικείμενοι ἐχθροὶ ἀόρατοι πειρῶνται διὰ πάσης σπουδῆς εἰς τὸ προτιμᾶν ἡδονὴν ἀγαγεῖν με, δι' ἧς ἡδονῆς συμβαίνει πρὸς πάντα τρόπον δυσχερῶς ἔχειν, ὡς καὶ τὴν θείαν ἐντολὴν σὺν ἱδρῶτι κατορθουμένην παραιτεῖσθαι· κρείττων δὲ γίνεται τῆς ἡδονῆς, καὶ τῶν πρεσβευόντων αὐτὴν ἐχθρῶν, ὁ τὴν Θεοῦ ἐντολὴν σοφιζόμενος ὑπ' αὐτοῦ, ὥστε εἰς αἰῶνα αὐτὴν ἔχειν, ὁμολογήσας τῆς πρὸς ὀλίγον οὔσης καὶ προσκαίρου ἡδονῆς. Διὸ τῷ Θεῷ εὐχαριστικῶς ὑμνῶν ἐρεῖ· Ἐσόφισάς μοι τὴν ἐντολήν σου, ἐξ οὗ καὶ ὑπὲρ τοὺς ἐχθρούς μου γεγένημαι.

VERS. 105. Lucerna erat lex iis qui, nondum orto sole justitiæ, in nocte incedebant. Vera autem lux non lucerna est, sed sol illuminans eos quibus nox processit, appropinquante die quo honeste ambulent [38].

B

Στ. ρε'. Λύχνος ὁ νόμος ἐστὶ τοῖς πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου τῆς δικαιοσύνης ἐν νυκτὶ βαδίζουσι, τοῦ ἀληθινοῦ φωτὸς οὐ λύχνου ὄντος, ἀλλ' ἡλίου φωτίζοντος ἐκείνους, οἷς προέκοψεν ἡ νύξ· ἐγγισάσης τῆς ἡμέρας εὐσχημόνως περιπατεῖν ἔστιν.

VERS. 106. Quod sibi velit illud, « Juravi, » inquirendum. Statuit testamentum electis suis, et hoc testamentum a Deo statutum suscepit fidelis. Atqui velut sacramento obligatur in Deum fidelis qui traditum a Deo testamentum admisit. Nam testamentum suscipiendo, Deo velut pacto promisimus nos judicia justitiæ ejus custodituros et servaturos. Statuo ista in anima mea, et hoc facto, contingit mihi quod Salomon in Proverbiis dixit : « Cogitationes justorum, judicia [39]. » Hæc autem sunt justitiæ Dei judicia, quæ olim facta sunt cum illa in memetipso juravi et statui. Hic vero statuere, nil aliud est præter firmiter definire. Et « jurare, » non jurare Deum, sed hoc sibi immutabiliter proponere, et fideliter servare : opus jusjurandi possum facere.

C

Στ. ρς'. Τί ποιεῖ ἐνθάδε τὸ « Ὤμωσα (13), » ζητητέον. Διέθετο διαθήκην πρὸς τοὺς ἐκλεκτοὺς αὐτοῦ, καὶ ταύτην τὴν διαθήκην διαθεμένου τοῦ Θεοῦ ὁ πιστεύων παρεδέξατο. Καὶ οἱονεὶ ὅρκος ἐστὶν μεταξὺ τοῦ Θεοῦ καὶ τοῦ πιστεύοντος τῇ τῆς διαθήκης τοῦ Θεοῦ παραδοχῇ· συνθήκας γὰρ πρὸς τὸν Θεὸν ἐποιησάμεθα, παραδεξάμενοι αὐτοῦ τὴν διαθήκην, ὡς τηρῆσαι καὶ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ. Ἵστημι δὲ αὐτὰ ἐν τῇ ἐμῇ ψυχῇ· ὅταν αὐτὰ στήσω, γίνεταί μοι ἐκεῖνο τὸ εἰρημένον παρὰ τῷ Σολομῶντι ἐν Παροιμίαις, « Λογισμοὶ δικαίων, κρίματα. » Ἐκεῖνα τὰ κρίματά ἐστι τῆς δικαιοσύνης τοῦ Θεοῦ τότε γενόμενα, ὅτε ὤμωσα καὶ ἔστησα αὐτὰ ἐν ἐμαυτῷ· τὸ δὲ στῆσαι ἐνταῦθα, τὸ βεβαίως ὁρίσαι δηλοῖ. Καὶ τὸ « ὀμῶσαι » οὐ τὸ Θεὸν ὀμῶσαι, ἀλλὰ τὸ ἀμεταθέτως τοῦτο προθέσθαι καὶ ἀπαράβατον φυλάττειν· τὸ ἔργον τοῦ ὅρκου δύναμαι ποιεῖν.

VERS. 125. Nemo servus peccati servus Dei est. Qui enim Deo inservit, et opera affectusque suos juxta Dei verbum informat, hic merito dicet : « Servus tuus sum ego. » Talis cum sit propheta, præmium servitutis exposcit, « Da mihi intellectum. » Est enim intellectus quem Deus largitur, qui apud Deum velut in ærario deponitur; nam « Spiritus Dei, spiritus sapientiæ et intellectus [40] » et cætera bonorum dona.

D

Στ. ρκε'. Οὐδεὶς δοῦλος τῆς ἁμαρτίας; δοῦλός ἐστι τοῦ Θεοῦ. Ὁ γὰρ δουλεύων, ἐν πάσῃ πράξει καὶ διανοήσει ποιῶν πάντα κατὰ τὸν λόγον αὐτοῦ, οὗτος λεγέτω· « Δοῦλός σού εἰμι ἐγώ. » Τοιοῦτος ὢν ὁ προφήτης ἀξιοῖ μισθὸν λαβεῖν τῆς δουλείας, τὸ, « Συνέτισόν με. » Ἔστι γὰρ σύνεσις διδομένη ἀπὸ Θεοῦ, ἡ ἀπόκειται παρὰ τῷ Θεῷ, ὡς ἐν θησαυροφυλακίῳ. « Πνεῦμα » γάρ, φησὶ, « σοφίας καὶ συνέσεως, » καὶ τὰ ἑξῆς τῶν ἀγαθῶν τὰ χαρίσματα.

VERS. 126. « Tempus faciendi, » hoc est gentes ad Dominum convertendi. Dissipavit enim legem ille Israel. Nondum enim erat tempus, quo Dominus venturus erat, quandiu legem Dei non dissipavere Judæi; quod declarat hic propheta Spiritu edoctus, quod prædicit etiam Isaias, et idem explicat Apostolus. En verba Isaiæ : « Tempore accepto exaudivi te, et in die salutis auxiliatus sum tibi [41]. » Apostolus autem hunc locum proferens addit : « Ecce nunc tempus acce-

Στ. ρκς'. Ἀντὶ τοῦ « Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ » τοὺς ἀπὸ τῶν ἐθνῶν. Διεσκέδασε γὰρ τὸν νόμον ὁ Ἰσραὴλ ἐκεῖνος. Οὔπω γὰρ ἦν καιρὸς αὐτοῦ τῆς ἐπιδημίας, ὅσον ἐκεῖνοι οὐκ ἦσαν διασκεδάσαντες τὸν νόμον τοῦ Θεοῦ· ὡς προφήτης οὖν Πνεύματι ἅδων φησὶν περὶ τούτου τοῦ καιροῦ· καὶ Ἡσαΐας προφητεύει, καὶ ὁ Ἀπόστολος διηγεῖται. Ἡσαΐας μὲν οὕτω λέγει· « Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. » Καὶ ὁ Ἀπόστο-

[38] Rom. XIII, 12, 13. [39] Prov. XII, 5. [40] Isa. XI, 2. [41] Isa. XLIX, 8.

(13) Sic iterum infra et alibi. Frequens apud Alexandrinos mutatio o in ω. EDIT.

Digitized by Google

λος δὲ τὸ ῥητὸν ἐκθέμενος, ἐπιφέρει· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νύν ἡμέρα σωτηρίας. » Ὅτε καιρὸς γέγονε τοῦ ποιῆσαι τῷ Κυρίῳ, διασκεδασθέντος τοῦ νόμου ὑπὸ τῶν παραλαβόντων αὐτόν.

A ptabile, ecce nunc dies salutis [48]. » Venerat scilicet tempus faciendi Domino, cum dissipassent legem iniqui.

Στ. ρκζ'. Τελειοτέρου ἐστὶν τὸ ποιεῖν μετὰ τοῦ ἀγαπᾷν· ἀτελεστέρου δὲ ποιεῖν μὲν, οὐ μετὰ τοῦ ἀγαπᾷν δέ. Τῶν δὲ ἐν τῷ κόσμῳ τιμιώτατον δοκεῖ εἶναι χρυσός. Παρακειμένου γοῦν πλούτου παντὸς καὶ ἐντολῆς σου, οὐχ οὕτως ἐνορῶ τῷ πλούτῳ, ὡς τῇ ἐντολῇ σου. — Ταῦτα συνᾴδει τῷ· « Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου· » καὶ τῷ· « Λάβετε παιδείαν καὶ μὴ ἀργύριον· καὶ γνῶσιν ὑπὲρ χρυσίου δεδοκιμασμένου· κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιόν ἐστιν. »

Vers. 127. Viri est perfectioris, facere et diligere simul; minus perfecti viri, facere non diligendo. Nihil videtur in mundo pretiosius auro. Quodsi autem ex una parte divitias omnes, et ex altera mandata tua proponerent, in mandata tua irruerem potius quam in divitias. — Hæc consentiunt cum illo: « Bona mihi lex oris tui, super millia auri et argenti [49]; » et cum illo: « Accipite disciplinam et non argentum, et scientiam super aurum probatum; melior enim sapientia lapidibus pretiosis; omne autem B pretiosum non est ea dignum [50]. »

Στ. ρλζ'. Διὰ τοῦτο εὐθῆς ἐστιν ἡ κρίσις σου. Ἐπεὶ δίκαιος ὢν, κατὰ τοὺς τῆς δικαιοσύνης κανόνας, εὐθυτάτους ὄντας, κρινεῖς πάντας τοὺς δεξαμένους τὰ κρίματά σου.

Vers. 137. Qua de causa recta quoque judicia tua. Quia justus, juxta justitiæ leges rectissimus judicabis omnes quicunque judicia tua susceperint.

Στ. ρλη'. Αἱ γὰρ θεῖαί σου Γραφαὶ, ἃς ἀνθρώποις ἐνετείλω, οὐχ αἱ καιναὶ μόναι, ἀλλὰ καὶ παλαιαὶ, δικαιοσύναι κατὰ τὰ ἠθικὰ τυγχάνουσαι, τουτέστιν ἠκριβωμέναι· ἦν ἂν ἐνετείλω ἡμῖν ποιεῖν κρίματα, ὅπως κρινῶμεν κατὰ τὸν νόμον, καὶ τὸν μικρὸν κρῖμα δίκαιον κρίνειν ὑποτιθεῖσαι καὶ εἰς πᾶσαν εὐθύτητα ἐμβιβάζουσαι, ἀλήθεια καὶ δικαιοσύνη εἰσίν.

Vers. 138. Nam divinæ Scripturæ tuæ, quas hominibus mandasti, non novæ tantum sed et veteres, justitiæ sunt rectis moribus congruentes, hoc est probatæ: mandasti nobis judicia facere, ut judicemus juxta legem; nam ad vel minimum juste judicandum, et ad omnem æquitatem requiruntur veritas et justitia.

Στ. ρμδ'. Ἃ δέδωκάς μοι « μαρτύρια, » οὐ πρὸς ὀλίγον ὄντα ὠφέλιμα, « δικαιοσύνη εἰς τὸν αἰῶνα » τυγχάνουσιν, δικαιοῦντα τὸν διαθέσει συνεγγίζοντα αὐτοῖς. C

Vers. 144. « Testimonia, » quæ dedisti mihi, non parvi sunt momenti, sed « justitia in æternum, » justificantia eos qui ipsis affectu adhærent.

Στ. ρνβ'. Ἐθεμελιώθη τὰ μαρτύρια ἀπὸ τοῦ Θεοῦ ὡς μηδένα δύνασθαι ζῆσαι, εἰ ἀνατρέψεται αὐτά. Ὁ γὰρ σὸς Λόγος σοφία, καὶ Υἱός σου τυγχάνων, θεμέλιος αὐτῶν ὑπάρχων· διὸ καὶ παριστὰς τὸ ἀκαταμάχητον καὶ ἀκαθαίρετον αὐτῶν, ἔφη· Οἱ λόγοι μου οὐ μὴ παρελεύσονται, κἂν ὁ οὐρανὸς καὶ ἡ γῆ παρέρχονται.

Vers. 152. Deus fundavit testimonia sua, ita ut nemo vivere posset, si laberentur; nam Verbum tuum sapientia, et Filius tuus cum sit, fundamentum eorum. Qua de causa declarans quam inexpugnabilia et quam invicta illa sint, ait: Verba mea non transibunt, licet cœlum et terra transeant.

Στ. ρξα'. Διττή ἐστιν ἡ δειλία, ἡ μὲν ἄλογος περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς καταγινομένη, ἡ δὲ λογικὴ περὶ τὴν καρδίαν συνισταμένη καὶ τὴν νόησιν, οὐκ ἄνευ λόγου· καὶ τάχα ἡ αὐτὴ τῷ θείῳ φόβῳ τυγχάνει ἢ δύναται.

Vers. 161. Duplex est formido; alia quidem cæca affectus animæ vehementius permovet, alia autem rationi consentanea cor et mentem invadit; hæc forte a Dei timore non alia.

Στ. ρξγ'. Σχεδὸν ὃ λέγει τοιοῦτόν ἐστιν· Ἐκεῖνοι μὲν βδελύσσονται νῦν νεκρὸν καὶ σῶμα ἀνθρώπου νεκρὸν, ὡς καταλαβώτην καὶ γαλῆν· ἐγὼ δὲ τὸ ἄξιον τοῦ βδελυγμοῦ. Τίς ὄφελος ἐκ τοῦ ἐκεῖνα βδελύξασθαι; « Ἀδικίαν βδελυξάμην· » μεγάλην ὠφέλειαν παρέχει τῷ βδελυξαμένῳ. Ἐγὼ « τὸν νόμον σου ἠγάπησα, » οὐχ ὡς ἐκεῖνοι ἕλκοντες αὐτὸν ἐπὶ τὰ γήϊνα, καὶ κατασπῶντες αὐτὸν ἐπὶ τὰ κάτω πράγματα. Ἡμεῖς γὰρ ὡς συναγερθέντες (14-15) Χριστῷ, τὰ ἄνω ζητοῦμεν, οὐ τὰ ἐπὶ γῆς, καὶ πνευματικῶς τὸν νόμον νοοῦμεν. D

Vers. 163. Hæc fere dicere intendit: Illi quidem mortuum nunc abominantur, et corpus hominis mortui ut stellionem et mustelam respuunt, ego autem quod abominatione dignum. Quid autem prodest illa abominari? « Injustitiam abominatus sum; » multum prodest. Nam « Ego legem tuam dilexi, » dum illi eam ad terram deprimerent, et non nisi terrestria saperent. Nos autem cum Christo consurgentes cœlestia quærimus, non terrena; et spiritualiter legem cogitamus.

Στ. ρο'. Παρακαλεῖ τοιαύτην εἶναι « τὴν ἀξίωσιν, »

Vers. 170. Optat talem esse « postulationem, »

[48] II Cor. vi, 2. [49] *supra* vers. 72. [50] Prov. viii, 10.

(14-15) Legendum videtur συνεγερθέντες (conresuscitati). Edit.

Digitized by Google

probatam et acceptam et inexpugnabilem, ita ut intret in conspectum Domini. Cognoscam autem quod intravit in conspectum tuum postulatio mea, si eripiar a te secundum verbum tuum, et postulationem meam et sapientiam. Qui enim cupiditates quasque superavit, et quam longissime ab impiis sermonibus et operibus recessit, ereptus est a Deo secundum eloquium ejus. Loco illius « postulatio mea, » legitur apud Aquilam, « oratio mea, » et apud Symmachum « supplicatio mea. » Duo igitur poscit, ut divina eloquia intelligat, et e miseriis vitæ liberetur ac eximatur, quod et nobis necessarium.

A δόκιμον καὶ βέβαιον καὶ ἀκαταγώνιστον, ὥστε εἰσελθεῖν ἐνώπιον Κυρίου. Γνώσομαι δὲ εἰ εἰσέλθοι ἐνώπιόν σου τὸ ἀξίωμά μου, ῥυσθείην ὑπὸ σοῦ κατὰ τὸν λόγον καὶ τὸ ἀξίωμά μου καὶ τὴν σοφίαν. Ὁ γὰρ ἀνώτερος πάντων παθῶν γεγονὼς, καὶ μακρὰν ὅτι μάλιστα λόγων καὶ τῶν ἀπ' ἀλογίας ἐνεργουμένων κακιῶν χωρίσας, ἐῤῥύσθη ὑπὸ Θεοῦ, κατὰ τὸ λόγιον αὐτοῦ. Ἀντὶ δὲ τοῦ, « τὸ ἀξίωμά μου, » ὁ μὲν Ἀκύλας, « δέησίς μου· » ὁ δὲ Σύμμαχος, « ἱκεσία μου, » εἰρήκασιν. Δύο δὲ οὖν αἰτεῖ, τὴν σύνεσιν τῶν ἱερῶν λογίων, καὶ τὴν ἀπαλλαγὴν καὶ ἐλευθερίαν τῶν ἐν τῷ βίῳ κακῶν, ὃ δὴ καὶ ἡμῖν ἀναγκαῖον.

VERS. 171. Eructare solent qui satiati sunt. Nam cum repleti fuerimus, cibum eructamus quem cepimus. Loquitur igitur hic divinus sermo de B spirituali cibo; nam Verbum ait se panem esse : « Ego sum panis vivus, qui de cœlo descendi [46]. Qui manducat hunc panem vivet in æternum [46]. » Dicit etiam se carnes habere : « Qui manducat meam carnem habet vitam in se : caro enim mea vere est cibus [47]. » Quod si igitur hoc pane et hac carne fuerimus satiati, eructabimus hymnum. Aliquando etiam eructaverunt vota; eadem enim per vota fieri declaravit. « Cum docueris me justificationes tuas. » Nisi enim justificationes tuas ediscam, talem ructum eructare nequeo.— Cum justificationes tuas perficiam et clarius perspiciam, tunc labiis animæ meæ gratum tibi hymnum proferam. Ructus autem sane Dei laudes, animæ cibus factæ, plenissima Dei scientia. C

Στ. ροα'. Ἡ ἐρυγὴ ὡς ἐπίπαν γίνεται τοῖς κεχορεσμένοις. Πληρωθέντες γὰρ οὕτως ἐρευγόμεθα τὴν ποιότητα (16) τῆς τροφῆς ἣν εἰλήφαμεν. Οἶδεν οὖν ὁ θεῖος λόγος πνευματικὴν τροφήν· αὐτὸς γοῦν ὁ Λόγος φησὶν ἄρτος εἶναι· « Ἐγὼ » γάρ « εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐξ οὐρανοῦ καταβάς. Ὁ φαγὼν τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα. » Καὶ φησὶν ὁ Λόγος ἔχειν σάρκας, ἐν τῷ, « Ὁ τρώγων μου τὴν σάρκα, ἔχει ζωὴν ἐν ἑαυτῷ. Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις. » Ἐὰν οὖν κορεσθῶμεν τούτου τοῦ ἄρτου τοῦ Λόγου, ἐρευγώμεθα ὕμνον. Ποτὲ δὲ ἐξηρεύξαντο εὐχαί· τὸ γὰρ αὐτὸ γενέσθαι ἐπήγαγεν καὶ διὰ τῶν εὐχῶν. « Ὅταν διδάξῃς με τὰ δικαιώματά σου. » Ἐὰν μὴ διδαχθῶ τὰ δικαιώματά σου, τοιαύτην ἐρυγὴν ἐξερεύσασθαι οὐ δύναμαι. — Ἐκ τοῦ ἐνεργεῖσθαι καὶ τρανῶς ἐγγυᾶσθαί μοι αὐτὰ, εὐχάριστον προσγινόμενον ὕμνον σοι προσενέγκωμαι ἐκ χειλέων μου τοῦ ἔσω ἀνθρώπου. Ἡ δὲ ἐρυγὴ ὑμνῳδία Θεοῦ δηλονότι ἡ γινομένη ψυχῆς τροφὴ, πληρεστάτη θεολογία τυγχάνει.

VERS. 172. Varia mandata tua, de diversis virtutibus prolata, unum sunt omnia. Ita autem inter se variæ virtutes intima societate conjunguntur, ut unam perfecte habentem omnes habere profitear. Labia animæ meæ pronuntiabunt eloquium tuum : pronuntiant vero absolute de justitia eloquium, non voce tantum, sed operibus etiam et affectibus juxta rectum eloquium institutis.

Στ. ροβ'. Αἱ διάφοροι ἐντολαί σου, προστάξεις οὖσαι τῶν κατ' εἶδος ἀρετῶν, ἐν πᾶσαι τυγχάνουσιν. Ἢ καὶ καθόλου γενικὴ ἡ ἀρετὴ τῷ ἀντακολουθεῖν τὰς ἰδικὰς ἀρετὰς, ὡς τὸν μίαν τελείως ἔχοντα, πάσας ἔχειν φθέγγομαι. Τοῖς τοῦ ἔσω ἀνθρώπου χείλεσί μου τὸ λόγιόν σου· φθέγγεται δὲ κυρίως τὸν περὶ τῆς δικαιοσύνης λόγον, οὐχ ὁ φωνῇ μόνῃ αὐτὸ προφέρων, ἀλλὰ καὶ ἔργοις καὶ προθέσει πρακτικῇ τῇ κατὰ τὸν ὀρθὸν λόγον εὐθυνομένῃ.

VERS. 175. Quando judiciorum tuorum memor illisque adhærens mortem effugio peccato imminentem. Jam non peccans, sed opera perficiens D quibus anima vivit et grate te laudat, dicit : Præbe ei vitam æternam.

Στ. ροε'. Ἐπείπερ τῶν κριμάτων μνημονεύων καὶ ἐξεχόμενος κλινῶ τὸν ἐπόμενον τῇ ἁμαρτίᾳ θάνατον· οὐδὲ ἄλλως ἁμαρτάνων, ἀλλ' ἐνεργῶν ἐκεῖνα οἷς ἀκολουθεῖ τὸ ζήσεσθαι τὴν ψυχὴν, καὶ αἰνέσαι σε εὐχαριστοῦσαν, ἔφη, Παράσχες αὐτῇ ἀθανάτῳ ζωῇ (17).

PSALMUS CXIX.

VERS. 1. Notandum in Jerusalem templum quindenos gradus habuisse, et quoque in gradu, dum ascendebant, stantes canebant versum quibus cantandi munus demandatum erat. Unde factum est

Στ. α'. Ἰστέον δὲ ὡς ὁ ἐν τῇ Ἱερουσαλὴμ νεὼς ἀναβαθμοὺς εἶχεν δεκαπέντε, καὶ ἐφ' ἕκαστον αὐτῶν ἐν τῷ ἀναβαίνειν εἰς αὐτὸν ἑστηκότες οἱ εἰς τὸ ὑμνεῖν τεταγμένοι ᾠδὴν ἔλεγον. Διὸ καὶ συνέβη εἰσ-

[46] Joan. VI, 41. [46] ibid. 59. [47] ibid. 55, 56.

(16) An πλειότητα in sensu *nimietatis?* EDIT.

(17) Huc usque (post A. Vat. 1789, qui desinebat in ps. 50, v. 6, apud nos p. 236) codex B. Vat. 1682 cujus pars posterior est cod. 1683. Exin sumimus ex codice C, id est Vat. reg. 40, et ex cod. D, seu Vat. 754; denique ex cod. E, Vat. 1685, ut prædiximus. Ex aliis quoque codicibus sperari poterant Didymi reliquiæ; sed nos hactenus. MAI. — Legendum videtur ἀθάνατον ζωήν. EDIT.

Digitized by Google

ἀρίθμους (18) ὡδὶς τοῖς ἀναβαθμοῖς εἶναι· κεῖται δὲ ἡ περὶ τῶν ᾠδῶν καὶ τῶν λεγόντων αὐτὰς ἐφ' ἑκάστου τῶν ἀναβαθμῶν τοῦ ναοῦ διάταξις ἐν ταῖς Παραλειπομέναις. Νοήσεις δὲ ναὸν εἶναι Θεοῦ ἅγιον νοητὸν ἅμα καὶ πνευματικὸν, τὴν Θεοῦ οὐσίαν.

A ut carmina tot versus haberent, quot gradus templum : reperiuntur in Paralipomenon libris, quæ de canticis in quoque templi gradu decantandis constituta fuerant. Templum sanctum Dei puta spirituale et rationale, Dei subsistentiam.

PSALMUS CXXI.

Στ. δ'. Ἑρμηνεύει δὲ τὸ δι' αὐτῶν τῶν οἰκητόρων εἶναι τὴν ἕνωσιν, λέγων· « Ἐκεῖ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίου· » οὐχ ὅτι τείχη περιεβάλλοντο, διὰ τοῦτο ἡνώθησαν, ἀλλ' ὅτι αὐτοὶ δι' ἑαυτῶν « μαρτύριον μὲν (19) τῷ Ἰσραὴλ, » τὴν ἀλήθειαν δηλαδὴ τὴν θαυμασίαν ἐπαγγελίαν, ἐξομολόγησις χαρίτων ὀφείλεται παρὰ τῶν ἐνεργουμένων. Θρόνους τε τοῦ οἴκου Δαυὶδ ἱδρυνθῆναι ἐπ' αὐτῆς φησιν, ἐπεὶ καὶ βασιλείαν τῶν πάντων ὁ Δανιὴλ προφητεύει. Καὶ ἡ βασιλεία Δαυὶδ ἀνορθοῦται χάριτι τοῦ Χριστοῦ, ὃς τοῖς δώδεκα ἔδωκεν ἀποστόλοις τὸ ἐπὶ δώδεκα θρόνοις καθεζομένους κρίνειν τὸν Ἰσραήλ.

Vers. 4. Declarat ipsos incolas uniendos esse, dicens : « Illuc ascenderunt tribus, tribus Domini. » Uniti sunt, non quod mœnia haberent, sed quia ipsi « testimonium Israel » adepti sunt veritatem, scilicet mirabilem repromissionem ; gratiarum confessio sanctis exsolvenda. Sedes domus David dicit super ipsam fuisse fundatas, cum Daniel regnum omnium ipse prænuntiat. Regnum David restitutum est gratia Christi, qui constituit duodecim apostolos, ut super duodecim sedes sedentes, judicarent Israel.

Στ. ζ'. Τὸ δὲ « ἐν τῇ δυναστείᾳ σου, » διὰ τὸ δυνατῶς αὐτὴν βασιλεύειν καθελοῦσαν ἅπαντα δυσμενῆ. Οἱ μεγάλοι δὲ πύργοι λέγονται πυργοβάρεις ἐν τοῖς τείχεσι κατασκοπῆς χάριν τῶν ἐπιόντων γινόμενοι. Βάρεις ἐπιχωρίως λέγονται παρὰ Σύροις αἱ μεγάλαι οἰκίαι· δηλοῦνται δὲ διὰ τούτων, οἱ διὰ πολιτείας ὕψος καὶ θεωρίας μὴ μόνον σκοποῦντες τοὺς ἐπὶ πόλεμον ἐρχομένους ἐχθροὺς, ἀλλὰ καὶ βάλλειν ἐξ ὕψους τοῖς ἐλέγχοις δυνάμενοι.

Vers. 7. « In virtute tua, » quia fortiter regnet Jerusalem, hostibus omnibus devictis. Magnæ turres dicuntur « turres munitæ » in mœnibus ad speculandum constitutæ. Munitiones vocantur apud Syros magnæ domus. Indicantur autem his verbis qui vitæ altitudine et contemplationis non solum hostes ad bellum venientes considerant, sed etiam ex alto eos telis repellere possunt.

PSALMUS CXXIV.

Στ. α'. Ἀλλὰ καὶ τῶν τοῦ Θεοῦ λόγων ἀσειστόν τε καὶ ἀμετακίνητον ὄρος. Ἀσειστοι δὲ καὶ οἱ τούτου καθ' ὁμοιότητα μιμηταί. Κατὰ τὸν αἰσθητὸν, πᾶν ὄρος ἀκίνητον· περὶ ἐκείνου νῦν ὁ λόγος, περὶ οὗ τὸ Πνεῦμα τῷ προφήτῃ φησίν· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών. » Ἡ μὲν γὰρ σκοπευτικὴ τῶν ἀγαθῶν Ἐκκλησία Σιών· ἑρμηνεύεται γὰρ « σκοπευτήριον ὑψηλὸν » τῆς οὐρανίου Σιών· περὶ οὗ τὸ, « Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ. » Μακάριον τοίνυν ἐπὶ Θεὸν πεποιθέναι, κατὰ τὸ, « Πεποιθὼς ἔσῃ ἐπὶ Κύριον, καὶ ἀναβιβῆναι ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, » δηλαδὴ τῆς τῶν ζώντων καὶ πραέων. Ἀρχὴ γὰρ ἡ εἰς Θεὸν πεποίθησις τῆς ἐπ' αὐτὴν ἀναβάσεως. Λέγει δὲ τὴν Ἐκκλησίαν Ἱερουσαλὴμ ἡ Γραφὴ, ὡς τό· « Φωτίζου, ἡ νέα Ἱερουσαλὴμ οἰκοδομουμένη. » Ἣν λέγεται κατοικεῖν ὁ τὰ τῆς Ἐκκλησίας φρονῶν, εἰς τὸν αἰῶνα μὴ σαλευόμενος ἐκ τῆς τοιαύτης οἰκήσεως, ἃ δεῖ φρονῶν τε καὶ πράττων. Ἀλλ' οὐδὲ τεθνήξῃ τὸν εἰς Θεὸν ἔρωτα αὐτῶν (20), καὶ τὴν εἰς τὸ ἀγαθὸν πρόθυμον ἔχων, οὐ σαλευθήσεται, λαβὼν ἐκ ταύτης τὸν ἀῤῥαβῶνα τῆς αἰωνίου ζωῆς. Ὁ δὲ πρὸς τὸ ἀγαθὸν ἐνδεὴς πόθου καὶ τῆς προσοχῆς διὰ ῥᾳθυμίαν μετακινηθήσεται τῆς ἀσκήσεως. Διό φησιν ἐν Παροιμίαις, « Δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει. »

Vers. 1. Divinorum eloquiorum mons immotus et immutabilis ; immoti etiam qui hujus similitudinem imitatione referunt. Quodsi proprie hæc intelligeres, omnis mons immutabilis. De illo autem monte hic quæstio, de quo Spiritus prophetæ dixit : « Super montem excelsum ascende, qui evangelizas Sion [48]. » Nam speculatrix bonorum Ecclesia Sion. Interpretatur « specula excelsa » cœlestis Sion ; de qua : « Accessistis ad Sion montem et civitatem Dei viventis, Jerusalem cœlestem [49]. » Beatum igitur in Deo confidere, juxta illud : « Confides in Domino, et ascendes ad bona terræ, » terræ viventium profecto et mitium. Nam qui confidunt in Deo, cœperunt ad terram ascendere ; Jerusalem designat in Scriptura Ecclesiam, ut in illo : « Illuminare, nova Jerusalem ædificata. » In qua habitare dicitur qui Ecclesiæ doctrinas unice profitetur, in æternum ex hac sede non commovendus, dummodo pie sapiat et agat. Quin, non morietur qui amore in Deum, et ardenti in bonum studio incenditur, non commovebitur, ita pignus vitæ æternæ adeptus. Qui autem bonum nec desiderat nec affectat, hic propter desidiam disciplina destituetur. Unde ait in Proverbiis, « Justus in æternum non mutabit [50]. »

Στ. β'. Ὄρη τὰ ὑψηλὰ τῆς ἀληθείας δόγματα, θε-

Vers. 2. Montes sunt sublimes veritatis doctrinæ,

[48] Isa. XL, 9. [49] Hebr. XII, 22. [50] Prov. X, 30.

(18) Lege ἰσαρίθμους nisi mavis mutationem ι in ει ad Alexandrinam dialectum referre. Edit.

(19) Sic, nec ulla satis probabilis conjectura mihi suppetit. Certe verbum cum activa significatione desideratur loco μαρτύριον μέν. An μαρτυροῦμεν? Videant doctiores. Idem.

(20) Αὐτῶν. Sic. Infra τὴν ... πρόθυμον sine nomine ad quod hæc referas. Idem.

Digitized by Google

lex et canones ecclesiastici, et sancti omnes qui ante adventum Christi aut postea exstiterunt. His enim omnibus Ecclesia circummunitur : sancti quidem in circuitu timentium Dominum. Præ omnibus autem qui domum Jerusalem circumdat... vides, Domine, non ratione loci... in circuitu tuorum adstas, et cum illis conversaris nunc et in venturo sæculo.

A σμός τε καὶ κανόνες ἐκκλησιαστικοὶ, ἅγιοί τε πάντες οἱ πρὸ τῆς ἐπιδημίας καὶ μετὰ ταύτην. Τούτοις γὰρ πᾶσιν ἡ Ἐκκλησία περιστοιχίζεται· οἵ τε παρεμβάλλοντες ἅγιοι κύκλῳ τῶν φοβουμένων τὸν Κύριον. Μεῖζον δὲ πάντων ὁ κυκλῶν αὐτῆς τὸν οἶκον... ὁρᾷς, Κύριε, οὐ τοπικὸς μετὰ... ὁμένος συνών τε τούτοις νῦν τε καὶ ἐν αἰῶνι μέλλοντι.

Vers. 4. Qui natura bonus es, conserva iis qui disciplina boni facti sunt, mentem rectam et tibi constanter adhærentem. — Boni quidem qui virtutem colunt; recti autem corde, qui pia sentiunt. Hi non natura, sed cogitatione mentis distinguuntur : utrique enim in æternum in Jerusalem habitant. Quibus benefacit Deus, virtutem fidemque eorum augens, et gratiam suam eis largiens, ita ut eos quoque ad regnum cœlorum perducat. In cæteris etiam Scripturæ libris docet nos divina sapientia, talem semper in nos se gesturum Deum, quales et ipsi nos affectibus nostris ei inservire visi fuerimus. Testatur enim David illum cum bonis bonum esse [51]. Alius etiam propheta dicit eum ursum esse aut pardum hominibus efferatis vita [52]. Pariter dum evangelicam doctrinam per ænigmata explicat, alio qui a dextris astant, alio qui a sinistris sermone alloquitur, illos quidem acceptis et dulcibus verbis, hos autem formidandis et duris [53]. Magna Dei bonitas, magna autem servi crudelitas conservum suum in vincula conjicientis [54]. Malos vocat homines evangelicus sermo, eorum bonitatem cum divina benignitate conferens : « Si ergo vos cum sitis mali, nostis bona data dare filiis vestris [55]. » Scriptum est tamen : « Benefac, Domine, bonis. » Et, « Si bonus homo profert de thesauro suo bona [56], quanto magis Pater vester dabit bona petentibus se [57] ! »

Στ. δ'. Ὁ κατὰ φύσιν ὢν ἀγαθὸς, τοῖς ἐπιμελείᾳ γινομένοις ἀγαθοῖς συντήρησον τὴν πρὸς τὴν σὴν ἀγαθότητα αὐτῶν συνδιάθεσιν ἀδιάπτωτον. — Ἀγαθοὶ μὲν οἱ κεκτημένοι τὴν ἀρετήν· εὐθεῖς δὲ τῇ καρδίᾳ, οἱ φρονοῦντες εὐσεβῶς. Ἡ δὲ διαφορὰ, οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατ' ἐπίνοιαν· ἄμφω γὰρ ἔχουσιν οἱ κατοικοῦντες εἰς τὸν αἰῶνα τὴν Ἱερουσαλήμ. Οἷς ἀγαθύνει Θεὸς, προσθήκην διδοὺς ἀρετῆς τε καὶ πίστεως, μετουσίαν τε χαρισμάτων· ὡς ἂν αὐτοὺς καὶ ἐπὶ τὴν βασιλείαν εἰσαγάγοι τῶν οὐρανῶν. Ἐπειδὴ τοίνυν καὶ ἐν τοῖς ἄλλοις πᾶσι τοῦτο παρὰ τῆς θείας φιλοσοφίας δόγματα μανθάνομεν, ὅτι τοιοῦτον ἀεὶ γίνεται τὸ Θεῖον ἡμῖν, οἵους ἂν ἑαυτοὺς τῷ Θεῷ διὰ τῆς προαιρέσεως δείξωμεν. Ἀγαθὸν μὲν γὰρ αὐτὸν εἶναι τοῖς ἀγαθοῖς, ὁ Δαυὶδ μαρτύρεται. Τοῖς δὲ θηριωθεῖσι διὰ τοῦ βίου ἕτερός τις τῶν προφητῶν ἄρκτον αὐτὸν λέγει καὶ πάρδαλιν· δι' αἰνιγμάτων τὰ εὐαγγελικὰ προεκτιθέμενος δόγματα, ἐν οἷς ἄλλος τοῖς δεξιοῖς, καὶ ἕτερος τοῖς ἐξευνωνύμοις, ὁ τῶν λόγων τοῦ βασιλέως χαρακτὴρ καθορᾶται, τοῖς μὲν ἀγαθός τε καὶ μείλιχος, τοῖς δὲ φοβερός τε καὶ ἀμείλικτος. Μεγάλη τοῦ Θεοῦ ἡ ἀγαθότης τε καὶ τοῦ δούλου τοῦ εἰς δεσμωτήριον καθείρξαντος τὸν σύνδουλον ἡ ὠμότης. Πονηρίαν δὲ ἐκάλεσε τῇ θείᾳ χρηστότητι τὴν τῶν ἀνθρώπων ἀγαθότητα παραβάλλων ὁ εὐαγγελικὸς χρησμὸς λέγων· « Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν. » Γέγραπται δὲ, « Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς. » Καὶ, « Εἰ ὁ ἀγαθὸς ἄνθρωπος ἐκφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ τὰ ἀγαθὰ, πόσῳ » γὰρ « μᾶλλον ὁ Πατὴρ ὑμῶν δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν! »

PSALMUS CXXVI.

Vers. 1. Non est alius in Scriptura locus qui enucleatius his versibus declaret, quantum Deus de omnibus provideat; vana enim forent studia, nisi a Deo incœpta perficiendi facultatem acciperent. Quando igitur quid fecerimus, non omnia nobis ascribemus, sed perficienti Deo, nec otiantes omnia ei peragenda committemus. Aptissime enim definit uterque versus quid Deo, quid nobis conveniat : In vanum ædificat, aiunt, non adjuvante Deo; hic autem non nisi nobiscum operatur.

Vers. 5. Beatos declarat qui disciplina instruuntur ; manifeste adventum prædicatoris denuntiat.

Στ. α'. Οὐχ ἧττον τῶν ἄλλων Γραφῶν καὶ οἱ προκείμενοι στίχοι προνοητὴν ἁπάντων τὸν Κύριον τέθεινται· τῶν ἀνθρωπίνων σπουδῶν ματαίων γινομένων, εἰ μὴ τύχοιεν τὸ κατάλληλον τέλος ἐκ τοῦ Θεοῦ ἀπολαβοῦσαι. Ὅθεν τι ποιοῦντες, μὴ τὸ ὅλον ἑαυτοῖς δῶμεν, ἀλλὰ τῷ τελειοῦντι Θεῷ, μηδ' αὐτῷ τὸ πᾶν ἐάσαντες, ἄπρακτοι διατελῶμεν. Ἑκάτεραι γὰρ αἱ προκείμεναι διατελοῦσι λέξεις τὸ τε ἐξ ἡμῶν καὶ τοῦ Θεοῦ, ματαίως λέγουσαι τὸν οἰκοδομοῦντα ἄνευ Θεοῦ, τοῦτον μηδ' ὅλως ἐνεργοῦντα.

Στ. ε'. Ἐξ αὐτῶν μακαρίζει τοὺς ἐκ τῆς διδασκαλίας ὠφεληθησομένους· σαφῶς τὴν παρουσίαν τοῦ κηρύγματος δηλοῖ.

PSALMUS CXXVII.

Vers. 2. « Palmas » inquit manus ex parte designans, hoc est, Operationum tuarum labores manducabis. Timenti Dominum datur uxor non obvia

Στ. β'. Καρποὺς δέ φησι νῦν ὡς ἀπὸ μέρους τὰς χεῖρας, τουτέστι, Τῶν πρακτικῶν σου δυνάμεων φαγεσαι τοὺς πόνους. Τῷ φοβουμένῳ τὸν Κύριον δῶρον

[51] Psal. xvii, 26. [52] Dan. vii, 5, 6. [53] Matth. xxv, 33 et seq. [54] Matth. xviii, 30. [55] Matth. vii, 11. [56] Matth. xii, 35. [57] Matth. vii, 11.

Digitized by Google

δίδοται οὐχ ἡ τυχοῦσα γυνή, ἀλλ' ἡ καρποῖς ἀγαθοῖς κεκοσμημένη, ὅπως ἂν ῥηθείη περὶ αὐτῆς, Γυνὴ ἀγαθή, μερὶς ἀγαθή.

A quæque, sed quæ palmis bonis ornatur, ut de ea dici possit, Uxor bona, pars bona.

PSALMUS CXXVIII.

Στ. α'. Οἱ μιᾷ προσβολῇ πολεμίων ἁλισκόμενοι οὐ λέγοιεν τοῦτο, ἀλλὰ μόνος ὁ ἐκ νέου μέχρι γήρους εἰς φυγὴν τοὺς πολεμίους τρέπων, ἀεὶ νικητὴς καὶ τροπαιοῦχος αὐτῶν γινόμενος.

Vers. 1. Non usurpabit hæc qui semel ab hostibus fuerit lacessitus, sed is tantum qui a juventute usque ad senectam hostes fugaverit, victoria semper et tropæis ornatus.

Στ. ς'. Τοιοῦτοι καὶ οἱ τοῦ κόσμου σοφοὶ δοκοῦντες δι' ὧν φρονοῦσι καὶ πράττουσι, τὴν τῆς ἀνθρωπίνης οἰκησιν ὑπερβεβηκέναι ζωῆς. Διὸ καὶ θᾶττον ξηραίνονται, μήτε εἰς χέρσον τὰς αἰσθητὰς βάλλοντες ῥίζας, μήτε μὲν ἀντὶ χόρτου νοητὴ φυτεία σπεύσαντες εἶναι. Ὅθεν καὶ « πρὶν ἐκσπασθῆναι, ξηραίνονται » δι' ἀπιστίαν· « Οὐκ ἀναστήσονται » γὰρ « οἱ ἀσεβεῖς ἐν κρίσει· » καὶ, « Ὁ μὴ πιστεύων ἤδη κέκριται. » Οὔτε δὲ χεῖρα οὗτε κόλπον πληροῦσι, τῷ μὴ παραλαμβάνεσθαι, πρῶτον μὲν εἰς κόλπον Ἀβραάμ, εἶτ' εἰς κόλπους τοῦ θερίζοντος ἀγγέλου· τοὺς γὰρ θεριστὰς ἀγγέλους ἡρμήνευσεν ὁ Σωτήρ. Ἐν δὲ τῷ προφήτῃ φησίν· « Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν. » Αὐτὸς γὰρ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, τῇ μὲν ἀποθήκῃ τὸν σῖτον διδοὺς, τῷ δὲ πυρὶ τῷ ἀσβέστῳ τὸ ἄχυρον. Οἱ δὲ μισοῦντες Σιὼν, καὶ οὐδὲ χόρτος, ἀλλ' ὡσεὶ χόρτος ὄντες, εἰσὶ τὰ ὑπὸ τοῦ πονηροῦ ἐπισπαρέντα ζιζάνια τῷ καλῷ σπέρματι, ἅπερ ἐν καιρῷ θερισμοῦ πυρὶ παραδίδοται κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, σημαίνοντα τοὺς αἱρετικοὺς, πρὸς οὓς ὁ λόγος, τὴν ἀνθρωπίνην ὑπεραίρειν πολιτείαν δοκοῦντας, τὸ, « Ἵνα τί ἀνέβητε πάντες εἰς δόματα (21) μάταια; » Οἱ πολῖται δὲ τῆς Σιὼν ἐπὶ δόματος ὄντες, μὴ καταβήτωσαν ἆραι τὰ ἐκ τῆς οἰκίας. Ἀλλὰ καὶ ὅπερ ἠκουσαν εἰς τὸ οὖς, κηρυξάτωσαν ἐπὶ τῶν δομάτων, ἵνα σπέρμα καλὸν διαμείναντες, καρποφορήσαντες συναχθῶσιν εἰς τὴν ἅλωνα τῆς σωτηρίας. Οἱ δὲ αἱρετικοὶ ἐπεὶ μέχρι τῶν προσκαίρων τὴν ἐπαγγελίαν τοῦ τε βίου καὶ τοῦ φρονήματος ἔσχον, « παράγοντες » εἴρηνται, μόνους ἑαυτοὺς νομίζοντες εἶναι μεγάλους, καὶ μηδενὶ προσφωνοῦντες εὐλογίαν. Ἀλλ' ἡμεῖς οἱ τὸ ὄνομα Κυρίου εὐλογοῦντες, πρὸς πάντας ἔχοντες ἀγάπην, εὐλογίαν προσφωνοῦμεν τοῖς πρὸς οὓς ὁ λόγος ἡμῖν. Ἢ καὶ περὶ τῶν αὐτῶν ὁ λόγος· « Οὐ γὰρ εἶπαν οἱ παράγοντες, Εὐλογία ἐφ' ὑμᾶς, » ἀλλ' οὐδὲ εἶπαν, « Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. »

Vers. 6. Tales sunt mundi sapientes, qui mente et opere videntur humanæ vitæ fastigium superasse. Quapropter et citissime arescunt, nec altas in terram radices agentes, nec pro feno spiritualis plantatio fieri festinantes. Idcirco « priusquam evellantur exarescunt » propter incredulitatem; nam, « Non resurgent impii in judicio [58]; » et: « Qui non credit jam judicatus est [59]. » Nec manum nec sinum implent, quia non suscipiuntur primum in sinum Abrahæ, deinde in sinus metentis angeli: nam angelos messores esse declaravit Salvator [60]. Apud prophetam autem legitur: « Propterea occidi prophetas vestros [61]. » Ipse enim purgabit aream suam, triticum congregans in horreum suum, paleam autem comburens igni inexstinguibili [62]. Qui oderunt Sion, et non fenum, sed sicut fenum sunt, non alii a zizaniis in medio tritici ab inimico superseminatis, quæ tempore messis igni tradentur in æternum comburenda, hæreticosque designant. Quibus hominum mores superare affectantibus convenit ille locus: « Ad quid ascendistis omnes in tecta vana [63]? » Cives Sion qui fuerint in tectis, ne descendant tollere vasa de domo [64]. At quod in aure audierint prædicent super tecta [65], ut semen bonum servantes et fructus ferentes congregentur in area salutis. Hæretici autem quando ad tempus tantum Evangelium vitæ et animi retinuerunt, « prætereuntes » dicuntur; præter se neminem magnum reputant, nec ullum benedictione salutant. Nos autem nomen Domini benedicimus, omnes charitate fovemus, benedicimus omnes quibuscum conversamur. De iisdem forte hic quæstio: « Nam non dixerunt qui præteribant, Benedictio super vos, » sed nec dixerunt: « Benediximus vos in nomine Domini. »

PSALMUS CXXIX.

Στ. δ'. Ἐπεὶ παρὰ σοὶ ὁ ἱλασμός ἐστιν, ὁ ἱλασκόμενος καὶ ἀφεὶς τὰς ἁμαρτίας Σωτὴρ, μὴ παρατηρῶν ἐξετάζων ἀνομίας. Εἰ γὰρ τοῦτο ποιήσειας, οὐδεὶς ὑποστήσεται· πάντες γὰρ ἐξέκλιναν, πάντες ἥμαρτον. Διὸ μηδενὸς ὑφισταμένου τὴν παρὰ σοῦ κρίσιν, χρεία τοῦ παρὰ σοῦ ἱλασμοῦ ἱλασκομένου τῆς πάντων ἕνεκα σωτηρίας. Ὅτι δὲ ἱλασμὸς ὁ Σωτὴρ, Ἰωάννης γράφει· « Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Κύριον Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν

Vers. 4. Quia apud te propitiatio, Salvator, qui propitius fis et peccata tollis, noli iniquitates nostras observare. Nam si hoc feceris, nemo sustinebit; omnes enim declinaverunt, omnes peccaverunt. Cum igitur nemo judicium tuum sustineat, opus nobis propitiatione tua omnibus salutem largiente. Quod autem propitiatio Salvator, testatur Joannes: « Et si quis peccaverit, advocatum habemus apud Patrem, Jesum Christum justum: et ipse est propitiatio pro peccatis nostris: non pro nostris au-

[58] Psal. I, 5. [59] Joan. III, 18. [60] Matth. XIII, 39. [61] Luc. XVII, 31. [62] Matth. X, 27. [63] Osc. VI, 5. [64] Luc. III, 17. [65] Isa. XXII, 1.

(21) Sic, more forsan Alexandrino, pro δώματα. Edit.

Digitized by Google

tem tantum, sed etiam pro totius mundi [66]. » Ita clamat Paulus : « Omnes enim peccaverunt, et egent gloria Dei : justificati gratis per gratiam ipsius, per redemptionem, quæ est in Christo Jesu, quem proposuit Deus propitiationem per fidem in sanguine ipsius [67], » et cætera.

A ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνων, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. » Καθὼς καὶ Παῦλος βοᾷ· « Πάντες ἡμάρτομεν, καὶ ὑστερούμεθα τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι, » καὶ τὰ ἑξῆς.

Vers. 5. Sustinet in lege, qui ad legem mores informat; sicut etiam in scientia et in virtute est, qui secundum eas ita vivit, ut eas cogitet et operibus perficiat. Ideo bonorum Dei memor, exspectat ea et dicit se in Dominum sperare.

Στ. ε'. Ἐν νόμῳ δὲ ὑπομένει, ὁ καθ' ἕξιν αὐτὸν νομίμην ἐπιτελῶν· ὡς καὶ ἐν ἐπιστήμῃ καὶ ἀρετῇ γίνεται κατ' αὐτὰς διακείμενος, πρὸς τὸ πράττειν ἔχων καὶ τὸ νοεῖν. Διὸ καὶ διαλαβὼν περὶ τῶν ἀγαθῶν τοῦ Θεοῦ, προσδοκᾷ ταῦτα λέγων ἠλπικέναι ἐπὶ τὸν Κύριον.

Vers. 6. Semper et omni tempore in Dominum sperandum non solum quando prospera, sed etiam quando difficilia nos manent. « A custodia » igitur B « matutina, » omnibus lætis, « usque ad noctem, » omnibus deformatis et obscuratis ; a custodia matutina, oriente vera luce, et ortum afferente diei spirituali, *mens videns*, Hebræo sermone Israel vocata, speret in Dominum : bona scilicet ab ipso augenda confidit, mala autem depellenda, quia apud eum velut in fonte sunt. Est quoque apud ipsum misericordia, quam exspectant sperantes in eum. « Multa etiam apud eum redemptio, » quæ non alia a propitiatione. Unde ipse eum Dominus ex omnibus iniquitatibus redimet. Licet enim multæ sint iniquitates Israel, ab omnibus redimet eum.

Στ. ς'. Ἀεὶ καὶ κατὰ πάντα καιρὸν ἐλπίζειν ἐπὶ τὸν Κύριον δεῖ, οὐ μόνον ὅταν προσηνῆ, ἀλλὰ καὶ ὅτε σκυθρωπὰ περιεστηκότα. « Ἀπὸ φυλακῆς » γοῦν « πρωϊνῆς, » ὅτε λαμπρὰ τὰ παρόντα, καὶ « μέχρι νυκτὸς, » ὅτε ἀειδῆ καὶ ζοφώτερα τὰ περιεστηκότα, καὶ ἔτι ἀπὸ φυλακῆς πρωΐας ἀνατέλλοντος τοῦ ἀληθινοῦ φωτὸς, καὶ ἀρχὴν ἡμέρας νοητῆς ποιοῦντος, ὁ *διορατικὸς νοῦς*, Ἰσραὴλ καλούμενος Ἑβραίων φωνῇ, ἐλπισάτω ἐπὶ τὸν Κύριον· προσθήκην τῶν φαιδρῶν καὶ ἀπαλλαγὴν τῶν σκυθρωπῶν προσδοκῶν παρ' αὐτοῦ, ὅτι παρ' αὐτῷ ὡς ἐν πηγῇ. Καὶ παρ' αὐτοῦ τὸ ἔλεος, οὗ χρῄζουσιν οἱ ἐλπίζοντες ἐπ' αὐτόν. Ἀλλὰ καὶ πολλὴ παρ' αὐτοῦ λύτρωσις, τοῦ παρὰ τοῦ (22) ἱλασμοῦ οὐχ ἑτέρα οὖσα· ὅθεν αὐτὸς ἐκ πασῶν τῶν ἀνομιῶν λυτρώσεται αὐτὸν Κύριος. Εἰ γὰρ καὶ πολλαὶ αἱ τοῦ Ἰσραὴλ ἀνομίαι, ἀλλ' ἐκ πασῶν αὐτὸν λυτρώσεται.

PSALMUS CXXXI.

Vers. 1. « Horum memento, Domine, » ait, quando C ad homines venies, et te pro omnibus peccatoribus redemptionem præbebis, peccatorum remissionem largiens omnibus hominibus. Cum iis autem omnibus memento etiam, Domine, David et cruciatuum ejus, quibus semetipsum ipse propter peccata sua puniens eo tempore afflixit, cum ante faciem sanctificationis tuæ humi prostratus, cum jurejurando juravit se non prius e pavimento surrecturum, nec e loco recessurum in quo pie jacebat, quam didicerit et cognoverit, quis esset advenienti ad homines Deo locus definitus et præparatus, ubi foret tabernaculum Dei Jacob. Didicerat enim per sanctum Spiritum et propheticas disciplinas Dominum ad homines venturum esse, ut omnibus hominibus redemptionem priorum peccatorum faciat. Sperans D igitur se tunc salvandum fore, ardet studio cognoscendi et discendi quo tempore, quo in loco, et qua ratione Dominus ad homines venturus sit. Quo desiderio commotus, tanto confectus est mœrore, ut vel stratum respueret, et ad domum suam redire nollet, et ante Deum jaceret humi prostratus, et suppliciter rogaret ubi esset locus Domini tabernaculumque Dei Jacob. Ast orationibus instanti, humique jacenti, eamdemque petitionem constanter indesinenterque repetenti, et jurejurando suum confirmanti desiderium, annuit misericordia Deus, ita

Στ. α'. « Τούτων αὐτῶν, » φησὶ, « μνήσθητι, Κύριε, » κατὰ τὸν τῆς εἰς ἀνθρώπους σου παρουσίας καιρὸν, ἐν ᾧ λύτρον σαυτὸν ὑπὲρ πάντων τῶν ἁμαρτωλῶν παρέξεις, ἄφεσιν ἁμαρτιῶν προξενῶν ἅπασιν ἀνθρώποις. Μεθ' ὧν ἁπάντων μνήσθητι, ὦ Κύριε, καὶ τοῦ Δαυὶδ, καὶ τῆς κακώσεως αὐτοῦ, ἣν αὐτὸς ἑαυτὸν τιμωρούμενος, ἐφ' οἷς ἥμαρτεν ἐκάκωσε κατ' ἐκείνου καιροῦ, ὁπότε κατὰ πρόσωπον τοῦ σοῦ ἁγιάσματος χαμαὶ ῥίψας ἑαυτὸν, μεθ' ὅρκου ἐβεβαιώσατο οὐ πρότερον ἀναστήσεσθαι ἐκ τοῦ ἐδάφους, μηδὲ ἀναχωρήσειν τοῦ τόπου καθ' ὃν πεσὼν προσεκύνει, ἢ γνῶναι καὶ μαθεῖν τίς ποτε ἄρα ἔσται ὁ τόπος τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους παρουσίας προεγνωσμένος καὶ προητοιμασμένος αὐτῷ, ὁπόθεν ἔσται τὸ σκήνωμα τοῦ Θεοῦ Ἰακώβ. Μαθὼν γὰρ ἐξ ἁγίου Πνεύματος καὶ τῆς προφητικῆς διδασκαλίας, ὡς ἄρα ἔσται ποτὲ αὐτοῦ τοῦ Κυρίου εἰς ἀνθρώπους ἄφιξις, δι' ἧς ἄφεσις πᾶσιν ἀνθρώποις τῶν προτέρων ἁμαρτημάτων προξενηθήσεται· διὰ ταύτης καὶ αὐτὸς σωθήσεσθαι ἐλπίσας, σπεύδει γνῶναι καὶ μαθεῖν πότε ἔσται, ἢ ποῦ γενήσεται, καὶ τίνα τρόπον ἡ τοῦ Κυρίου εἰς ἀνθρώπους παρουσία. Ταῦτα δὲ γνῶναι ποθῶν, εἰς τοσαύτην ἑαυτὸν ὑπέβαλε κάκωσιν, ὡς πᾶσαν μὲν παραιτήσασθαι στρωμνὴν, ἀποτάξασθαι δὲ τῷ ἑαυτοῦ οἴκῳ, κεῖσθαι δὲ πρὸ τοῦ Θεοῦ ἐπὶ τοῦ ἐδάφους ἐῤῥιμμένον, καὶ ποτνιώμενον γνῶναι τὸν τόπον τοῦ Κυρίου καὶ τὸ σκήνωμα τοῦ Θεοῦ Ἰακώβ. Ἐπιμένοντι δὲ αὐτῷ

[66] I Joan. II, 1, 2. [67] Rom. III, 23 sqq.

(22) Lege παρ' αὐτοῦ. Edit.

Digitized by Google

τῇ προσευχῇ καὶ μὴ πρότερον ἀνισταμένῳ, εὐτόνως δὲ καὶ διαρκῶς ἐπὶ τοῦτο τὸ αἴτημα, καὶ μεθ' ὅρκου διαβεβαιώσεως αὐτὸν καταδήσαντι, ἐπινεύσει Θεὸς εἴκτον λαβὼν αὐτοῦ, ὡς ἂν μὴ ψεύσαιτο, ἅπαξ ὁμώσας μὴ ἀναστήσεσθαι ἢ τυχεῖν ὧν ἐπεπόθει. Διὸ τὴν γνῶσιν αὐτῷ δωρεῖται διὰ τοῦ προφητικοῦ Πνεύματος νομίαν αἰτεῖ τὴν τῶν πραέων γῆν.

A ut vere non prius ille exsurgeret quam voti sui fuerit compos factus. Ideoque desideratam scientiam spiritus prophetici dono adeptus est. — Dici etiam potest Davidem utpote mitem, hæreditatem suam repetere, terram videlicet mitium.

Στ. ζ'. Τὸ ὄρος τῶν Ἐλαιῶν φησιν, ἔνθα πᾶς προσερχόμενος προσκυνεῖ. Προσκυνοῦμεν τὴν σάρκα τοῦ Σωτῆρος, οὐ διὰ τὴν φύσιν, ἀλλ' ἐπειδὴ ὁ Χριστός ἐστιν ἐν αὐτῇ· καὶ ἡ μὲν σὰρξ προσκυνητὴ διὰ Χριστὸν, ὁ δὲ Χριστὸς διὰ τὸν Θεὸν Λόγον τὸν ἐν αὐτῷ (23). Χριστὸν δὲ ἐνταῦθά φημι τὴν λογικὴν καὶ ἁγίαν ψυχὴν, τὴν μετὰ τοῦ Θεοῦ Λόγου ἐπιδημήσασαν τῷ βίῳ τῶν ἀνθρώπων· μόνη σὰρξ οὐ πέφυκεν δέχεσθαι Θεὸν, διότι ὁ Θεὸς ἡμῶν σοφία ἐστί. « Ἐν καρδίᾳ ἀγαθῇ, » φησὶ Σολομών, « ἀναπαύσεται σοφία. » Οὐδὲν δὲ τῶν συνεστώτων τεσσάρων στοιχείων γνώσεώς ἐστι δεκτικὸν, γνωστὸς δὲ ἡμῶν ὁ Θεός.

VERS. 7. Montem Olivarum innuit, ubi omnes adorant quicunque locum illum accesserint. Carnem Salvatoris adoramus, non propter ejus naturam, sed quia Christus in ea : caro quidem adoratur propter Christum, Christus vero propter Deum Verbum, qui in illo inhabitat. Christum hic voco animam sanctam et ratione præditam quæ cum Deo B Verbo hominum vitam subiit : natura enim non ea erat caro quæ sola Deum susciperet, nam Deus noster sapientia : atqui, « In corde bono, » ait Salomon, « requiescet sapientia [68]. » Nullum etiam ex quatuor elementis est quod scientiam nobis præbere possit; Deus autem noster cognitus.

Στ. ιδ'. Ἢ καὶ τὰ μάλιστα οὐχ ἁρμόττει ἐπὶ γῆς τῆς (24) « εἰς αἰῶνα αἰῶνος, » ὅτ' ἂν παρέρχηται ὁ οὐρανὸς καὶ ἡ γῆ. Ὥστε περὶ τῆς Ἐκκλησίας ὁ λόγος, περὶ ἧς εἴρηται· « Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. »

VERS. 14. Minime convenit terræ illud « in sæculum sæculi, » siquidem cœlum et terra transibunt. Unde hæc ad Ecclesiam referenda, de qua dictum est : « Psallite Domino, qui habitat in Sion [69]. »

Στ. ιε'. Ὅρα πανταχόθεν εὐημερίαν, ἀπὸ τοῦ μηδὲν τῶν ἀναγκαίων ἐνδεῖν, ἀπὸ τοῦ τοὺς ἱερεῖς ἐν ἀσφαλείᾳ εἶναι, ἀπὸ τοῦ τὸν λαὸν ἐν εὐφροσύνῃ, ἀπὸ τοῦ τὸν βασιλέα ἐν ἰσχύϊ (τοῦτον γὰρ λύχνον φησὶν, ἢ τὴν ἀντίληψιν), τὸ μέγιστον, τὸ τοὺς ἐχθροὺς ἐγκαλύπτεσθαι.

VERS. 15. Vide omnimodam felicitatem, cujus argumenta hæc sunt : nulla rerum necessariarum indigentia, sacerdotes in tuto collocati, plebis exsultatio, regis fortitudo (quam fortitudinem lucernam, C id est præsidium, appellat), quodque est maximum, inimicorum confusio.

Στ. ις'. Τίς δὲ αἴτιος τοῦ ἐνδύσασθαι τοὺς ἱερεῖς δικαιοσύνην, καὶ ἀγαλλιάσει ἀγαλλιάσεσθαι τοὺς ὁσίους ἢ ὁ τῇ χειρὶ ἱκανὸς Δαυὶδ ἅγιος ὑπάρχων; ὅθεν ἐπενήνεκται τὸ, « Ἕνεκεν Δαυὶδ τοῦ δούλου » μορφὴν (25) ὅτε ἐκένωσεν ἑαυτόν.

VERS. 16. Quis autem auctor justitiæ qua induuntur sacerdotes, et exsultationis, qua sancti exsultant, nisi manu fortis et sanctus David ? Unde additur : « Propter David servum, » id est qui formam servi accepit seipsum exinaniens.

Στ. ιζ'. « Ἐκεῖ » ἐν τῇ Σιὼν « ἀνατελῶ κέρας τῷ Δαυὶδ. » Τοῦτο τὸ κέρας τῆς βασιλείας ὑπὸ Θεοῦ ἀνατέλλεται ἐν οἴκῳ Δαυὶδ, κατὰ τὸ λεχθὲν ὑπὸ τοῦ δικαίου· « Ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαυὶδ. » Ἡτοίμασε δὲ τούτῳ τῷ κέρατι, Χριστῷ τυγχάνοντι, λύχνον ὁ Πατὴρ προτρέχοντα τῆς ἐπιδημίας αὐτοῦ θεῖον νόμον, περὶ οὗ γέγραπται· « Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. » Ἢ καὶ ὁ Ἰωάννης μέχρις οὗ ὁ νόμος καὶ οἱ προφῆται, λύχνος ἐστὶν ἑτοιμαζόμενος τῷ Χριστῷ αὐτοῦ. Περὶ οὗ ὁ Σωτὴρ, « Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, οὗ ἠθελήσατε πρὸς ὥραν ἀγαλλιασθῆναι τῷ φωτὶ αὐτοῦ. » Τούτων θεολογουμένων περὶ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα, οἱ ἐχθροὶ αὐτοῦ αἰσχύνην ἐνδύσονται, θέλοντες εἰ ἐγένοντο πυρίκαυστοι, ὅτι « Παιδίον ἐγεννήθη, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· » αἰσχύνην πλείονα ὀφλισκάνοντες, ὅτι τὰ αὐτὰ τοῖς ἄλλοις ἀνθρώποις ἀσπαζόμενος, οὐκ ἔχει τὸν ὑπερ-

D

VERS. 17. « Ibi » in Sion « suscitabo cornu David. » Hoc cornu regni suscitabit Deus in domo David, juxta illud justi effatum : « Et erexit cornu salutis nobis in domo David [70]. » Cui cornu, Christo scilicet, paravit Pater lucernam divinam legem ante adventum ejus præcurrentem ; de qua scriptum est : « Lucerna pedibus meis lex tua, et lumen semitis meis [71]. » Fortasse lucerna illa Christo parata nil aliud præter Joannem, usque ad quem lex et prophetæ. De quo ipse Salvator dixit : « Ille erat lucerna ardens et lucens [72]. Vos autem voluistis ad horam exsultare in luce ejus. » His prædictis de Christo ex semine David secundum carnem oriundo, inimici ejus confusione induentur, cupientes si fiant igne combusti, quia « Parvulus natus est nobis, et filius datus est nobis, cujus principatus factus est super humerum ejus [73]. » Confundentur in primis, quod eadem ac alii homines professus, non supereminentem vitam habuerit. Ideo enim super

[68] Prov. xiv, 33. [69] Psal. ix, 12. [70] Luc. i, 69. [71] Psal. cxviii, 105. [72] Joan. v, 35. [73] Isa. ix, 5.

(23) Observanda est theologica Didymi doctrina de unica Christi adoratione.

(24) Forsan legendum τό. EDIT.

(25) Supple λαβόντος. ID.

Digitized by Google

ipsum « efflorebit sanctificatio ejus. » De qua dixit apud Isaiam : « Et flos de radice ascendet [74]. » Cui consentit illud : « Flores terræ visi sunt in terra nostra [75]. » Hi autem flores facti sunt, ex quo gratia Domini sanctificatio efflоruit. Hæc enim efflorens sanctificat appropinquantes ad se, cum ipsa sit sanctum Dei, simul et flos et lilium campi et convallium [76]. Profecto apparebunt flores in terra nostra, quando sanctificatio Dei orietur super eos qui illuminantur et juvenescunt ad beatum et spirituale festum.

A ἀναβεβηκότα βίον. Διὸ καὶ « ἐπ' αὐτὸν ἐξανθήσει τὸ ἁγίασμα » αὐτοῦ· περὶ οὗ φησιν ἐν Ἡσαΐᾳ· « Καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. » Ὃ ἀκολούθως, « Τὰ ἄνθη τῆς γῆς ὤφθη ἐν τῇ γῇ ἡμῶν. » Τὸ εἶναι ἄνθη τοιαῦτα εἰληφότα πρὸς τοῦ ἐξανθουμένου ὑπὸ Κυρίου ἁγιάσματος. Τοῦτο γὰρ τὸ ἐξανθοῦν ἁγιάζει τοὺς προσπελάζοντας αὐτῷ, αὐτὸ ὂν ἅγιον τοῦ Θεοῦ, ἅμα καὶ ἄνθος καὶ τὸ κρίνον τοῦ πεδίου καὶ τῶν κοιλάδων. Εἰκότως ὠφθήσεται τὰ ἄνθη ἐν τῇ γῇ ἡμῶν, ἐξανατείλαντος τοῦ Θεοῦ τὸ ἁγίασμα αὐτοῦ ἐπὶ τῷ πεφωτισμένους καὶ νεάζοντας εἶναι ἐπὶ τὴν μακαρίαν καὶ πνευματικὴν ἑορτήν.

PSALMUS CXXXIII.

Vers. 1. Benedicunt Dominum qui non procul ab eo, præsertim vero qui in domo ejus, qui appropinquant Domino divinas Scripturas et doctrinas veritatis meditando. Hæc enim atria ejus. Stant autem benedicentes Deum ; tunc enim non vincet somnus sanctorum cœtum, virtute incorruptibilium corporum.

B Στ. α'. Εἰ καὶ εὐλογοῦσι τὸν Κύριον οὐ μακρὰν αὐτοῦ βεβηκότες, ἀλλ' ἐν οἴκῳ αὐτοῦ, συνεγγίζοντες Κυρίῳ κατὰ τὸ φρόνημα τὸ ἐν Γραφαῖς θείαις εἶναι καὶ δόγμασιν ἀληθείας· αὗται γὰρ αὐτοῦ αἱ αὐλαί. Ἱστᾶσι δὲ καὶ εἰκότως εὐλογοῦντες Θεόν· ὕπνος γὰρ οὐ κατακρατήσει τότε τῆς τῶν ἁγίων συνόδου, δυνάμει τῶν ἀφθάρτων σωμάτων.

PSALMUS CXXXIV.

Vers. 1. Decantatis graduum canticis, in ipsum templum ingrediebantur et gratiarum laudibus celebrandum Deum suscipiebant, cujus templum est. Qua de causa psalmus « Alleluia » inscribitur, ut hoc significet, verum Deum extollendum esse.

Vers. 13. *In finem.*—Hoc memoriale a priori generatione Hebræorum usque ad generationem vocationis gentium. De qua illud : « Annuntiabitur Domino generatio ventura [77]. » Subsistunt autem hæc, licet Deus servorum suorum precibus commotus, populi misereatur : interrupit sermonis nexum collaudatio Dei. Ita enim Paulus ad Galatas scribens : « Gratia vobis et pax a Deo Patre et Domino, qui dedit semetipsum [78], » et cætera. Deinde addit : « Cui est gloria in sæcula ; » et alias : « Quorum adoptio est filiorum et gloria et obsequium et promissa ; ex quibus est Christus secundum carnem, qui est super omnia Deus benedictus in sæcula. Amen [79]. » Nunc autem Propheta considerans qua providentia Israelis fata omnino dirigat, Dei in homines studio permotus, celebrat eum quasi illud æterna gloria splenderet. De populo autem dicit, Deus ab eo pœnas repetet, et postea ab ira temperabit ; aut, Populum judicabit Deus, et super ipsum deprecabitur, et non pro meritis eorum. Ubi enim deprecatio, ibi et veniæ opus, et clementiæ tempus.

C Στ. ιγ'. *Εἰς τὸ τέλος.* — Τοῦτο τὸ μνημόσυνον ἀπὸ τῆς προτέρας γενεᾶς τῶν Ἑβραίων, ἕως γενεᾶς τῆς κλήσεως τῶν ἐθνῶν. Περὶ ἧς τὸ, « Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη. » Διαμένει δὲ ταῦτα εἴξαντος τοῦ Θεοῦ τῇ τῶν δούλων αὐτοῦ περὶ τοῦ λαοῦ παρακλήσει, δι' ἣν ὤκτειρε τοῦτον· τὸ συνεχὲς τοῦ λόγου τῇ δοξολογίᾳ διέκοψεν. Ὡς καὶ γράφων τοῖς Γαλάταις ὁ Παῦλος ἔλεγεν· « Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, τοῦ δόντος ἑαυτὸν, » καὶ τὰ ἑξῆς. Εἶτα ἐπήγαγεν, « Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας· » καὶ ἀλλαχοῦ· « Ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ λατρεία καὶ ἡ ἐπαγγελία, ἐξ ὧν Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν. » Καὶ νῦν ὁ Προφήτης ἐννοήσας τήν τε καθόλου πρόνοιαν καὶ τὰ συμβάντα τῷ Ἰσραὴλ, D πυρωθεὶς ἀπὸ τῆς φιλανθρωπίας, δοξολογεῖ τὸν Θεὸν ὡς ἄλαστον ἔχουσα δόξαν. Περὶ τοῦ λαοῦ δέ φησι, ἢ ὅτι δίκην αὐτὸς ἀπαιτήσει, καὶ παύσεται μετὰ ταῦτα, ἢ ὅτι ἐκδικήσει μὲν τὸν λαὸν, ἐπ' αὐτῷ δὲ παρακληθήσεται, οὐ διὰ τὴν ἐκείνων ἀξίαν. Ὅπου γὰρ παράκλησις, συγγνώμης χρεία, καὶ φιλανθρωπίας καιρός.

PSALMUS CXXXV.

Vers. 1. Hic psalmus etiam *Ad laudandum Deum* inscriptus, nos hortatur ut Domino confiteamur omnia multa cum bonitate facienti. Qua de causa singulis versibus adjiciuntur illa intercalaria verba : « Quoniam in sæcula misericordia ejus. » Cum enim non hoc vel illo tempore tantum, sed semper misereatur, haud immerito eamdem cantilenam usque resumunt dicentes : « Quoniam in sæculum misericordia ejus. »

Στ. α'. Καὶ ὁ παρὼν ψαλμὸς *Εἰς εὐχαριστίαν* προκαλούμενος προστάττει ἐξομολογεῖσθαι τῷ Κυρίῳ, χρηστότητι καὶ ἀγαθότητι πολλῇ πάντα ποιοῦντι. Διὸ καὶ ἐφ' ἑκάστου στίχου τρόπῳ ἐφυμνίου ἐπιλέγεται, « Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » Ἐπεὶ γὰρ οὐ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ ἐλεεῖ, εἰκότως οἱ ἐφυμνοῦντες λέγουσιν· « Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. »

[74] Isa. xi, 1. [75] Cant. ii, 12. [76] ibid. 1. [77] Psal. xxi, 32. [78] Galat. i, 3-5. [79] Rom. ix, 4. 5.

Digitized by Google

Στ. δ'. Μόνος γὰρ ποιεῖν θαυμάσια ἀνεγράφη· μένων γὰρ ὁ Πατὴρ ἐν τῷ Υἱῷ, ποιεῖ τὰ ἔργα. Ἀλλὰ καὶ ποιοῦντι τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ στερεοῦντι τὴν γῆν ἐπὶ τὸ ὕδωρ, πάλιν ἀνθομολογητέον αὐτῷ. Συνᾴδει δὲ τοῖς προκειμένοις τὸ, « Ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. » Σύνεσις δὲ καὶ φρόνησις δι' ἧς ἑτοιμάζονται καὶ στερεοῦνται οἱ οὐρανοί, τίς ἄλλη εἴη ἢ ἡ σοφία Θεοῦ δι' ἧς τὰ πάντα γεγένηται; περὶ ἧς ὁ θεολόγος φησί· « Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. » Ἀλλὰ γὰρ καὶ οἱ φοροῦντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, νοητῶς οὐρανοὶ ὄντες γίνονται. Ἑτοιμάζονται τοιοῦτοι ἐν τῇ προδεδηλωμένῃ συνέσει τε καὶ φρονήσει Θεοῦ. Καὶ ἡ γῆ στερεοῦται ἐπὶ τὸ ὕδωρ, ἡ τὸν ὑπὸ Ἰησοῦ βαλλόμενον σπόρον πρὸς τὸ καρποφορῆσαι δεξαμένη· ἐν τοῖς ῥευστοῖς γὰρ καὶ προσκαίροις τοῦ βίου πράγμασιν, ὕδασιν ἀλληγορικῶς, ἔτι διατρίβουσα στερέωσιν καὶ εὐτονίαν ἔσχεν ἐπὶ τῷ πληρέστατα καρποφορῆσαι· εἰκότως δὲ τοῖς ῥητοῖς ἅπασιν τὸν αἰώνιον ἔλεον ὁ μεγαλογράφος συνέζευξεν, ἐπειδὴ οὐ διὰ χρείαν οἰκείαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν ἐδημιούργησεν ὁ φιλάνθρωπος ἅπαντα. Καλῶς δὲ « τῷ ποιοῦντί » φησι « θαυμάσια (26), » καὶ οὐ « τῷ ποιήσαντι, » δεικνὺς αὐτὸν διηνεκῶς ἐνεργοῦντα καὶ θαυματοποιοῦντα. Ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ Χριστοῦ εἴρηται, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν δαιμόνων.

Στ. ζ'. Τὰ μεγάλα μόνος ποιήσας, διὰ τοῦ εἰπεῖν, « Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. » — « Εἰς ἐξουσίαν τῆς ἡμέρας τὸν ἥλιον, καὶ εἰς ἐξουσίαν τῆς νυκτὸς, τὴν σελήνην καὶ τοὺς ἀστέρας ἔταξεν. » Ὡς καὶ ἐν τῇ κοσμοποιΐᾳ εἴρηται, γεγονέναι τὸν ἥλιον εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας. Οὐ μικρὸν δὲ ἡμῖν εἰς εὐταξίαν ζωῆς καὶ εἰς αὐτὴν ζωὴν ταῦτα συντελεῖ τὰ στοιχεῖα, τρέφοντα καρποὺς, πεπαίνοντα, ὧν ἄνευ ζῆσαι οὐκ ἔνι. Καιροὺς ἡμῖν δεικνύντα, ὥρας χαρακτηρίζοντα, δρόμους ἡμέρας καὶ νυκτὸς εἰκάζοντα, ὁδοιπόρους γῆς καὶ θαλάττης ὁδηγοῦντα, μυρίαν ἑτέραν χρείαν παρεχόμενα. Ἴδε πῶς « εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. »

Στ. ι'. Ἀλλὰ πῶς ἐλέῳ τεκταίνεται θάνατος; Διότι περὶ τοὺς ἀδικουμένους ἔλεος, τοῖς ἀδικοῦσιν γίνεται κόλασις, καὶ τὸ δίκαιον ἀμφοτέροις ἁρμόττεται. Καλεῖ δὲ χεῖρα μὲν τὴν ἐνέργειαν, βραχίονα δὲ τὴν ἰσχὺν, ἔλεος δὲ καὶ τὸ δοῦναι δίκην ἁμαρτωλοῖς, καὶ τὴν κακίαν ἐκκόπτουσαν, καὶ μειοῦσαν τὴν μέλλουσαν κόλασιν. — Ὡς ἀγνώμοσι δὲ τὰ ἐν Αἰγύπτῳ συνεχῶς περιστρέφεται, τὴν τούτων λήθην ἐκκόπτοντα. Αἴγυπτος δὲ ἄλλως ὁ περὶ γῆν ὀνομάζεται τόπος· οὗτινος πρὸς εὐεργεσίαν Ἰσραὴλ, τὰ πρωτότοκα πατάσσει Θεός. Οὕτω γὰρ ὁ τὸν Θεὸν ὁρῶν νοῦς ἔξω τούτου γίνεται ὑπὸ Θεοῦ προσηγούμενος. Ἐξάγει δὲ τοῦτον ἐκ μέσου Αἰγυπτίων Λόγος ἑαυτοῦ καὶ Σο-

A Vers. 4. Solus dicitur mirabilia facere : nam manens in Filio agit Pater. Confitendum etiam illi qui fecit cœlos in intellectu, et firmavit terram super aquas. Quibus consentit illud [80] : « Deus sapientia fundavit terram, paravit autem cœlos prudentia. » Intellectus et prudentia quibus parantur et firmantur cœli, quid aliud fuerint nisi sapientia Dei per quam omnia facta sunt? De qua theologus ait : « Christum Dei virtutem et Dei sapientiam [81]. » Cœli facti sunt etiam spiritualiter, qui cœlestis imaginem referunt. Hi quoque prædicto intellectu et prudentia Dei parantur. Firmata est super aquas terra, quæ semen suscepit a Jesu seminatum, ut fructus ferret : nam inter fluxa et caduca vitæ negotia adhuc conversans, quæ per B allegoriam aquæ vocantur, firmam et constantem se præbuit ut quam plurimos fructus daret. Aptissime autem memoravit Propheta singulis de verbis æternam Dei misericordiam; non enim utilitate sua commotus est, sed misericordia, quando clementissimus cuncta condebat. Recte dicit « qui facit mirabilia, » non autem « qui fecit, » declarans Deum usque agere et mirabilia facere. Hæc autem non dicta sunt ad deprimendum Christum, sed ad confundendos dæmones.

Vers. 7. Magna quidem fecit solus, dicens : « Fiant luminaria in firmamento cœli [82]. » — « Solem constituit in potestatem diei, lunam et stellas in C potestatem noctis. » Ita dictum est in historia creationis soli competere principatum diei, lunæ et stellis principatum noctis [83]. Non parum conferunt ista elementa ad levandam juvandamque vitam, fructus alentia et maturantia; absque illis nec vivere liceret. Ipsa tempora distinguunt, horas definiunt, diei et noctis cursus ordinant, terra marique viatores dirigunt, innumerasque alias utilitates præbent. Vide qua de causa « in sæculum misericordia ejus. »

Vers. 10. Quomodo autem misericordia mors infertur? Quia misericordia in iniqua patientes, D iniqua facientium pœna, cum justitia autem utraque consentit. Operationem designat manus, brachium virtutem, misericordia pœnas quibus peccatores ad tollendam malitiam minuendaque futura supplicia affligit. — Velut ingratis quæ in Ægypto facta sunt in memoriam breviter revocat, ne ea obliviscantur. Ægyptus alias vocatur locus qui circa terram; cujus primogenitos Deus percutit juvandi Israel gratia. Ita enim quæ Deum videt mens ex Ægypto exit et a Deo dirigitur. Hanc autem educit de medio Ægyptiorum Verbum ejus et

[80] Prov. III, 19. [81] I Cor. I, 24. [82] Gen. I, 14. [83] ibid. 18.

(26) LXX habent ποιήσαντι. Cfr. ed. J. N. Jager. Edit.

Digitized by Google

Sapientia; nam hoc brachium ejus et manus potens. « Salvavit igitur Jesus populum de terra Ægypti, » juxta Epistolam Judæ[84] : cujus manus potens et brachium excelsum, non aliud præter virtutem, qua mirabilia operabatur.

VERS. 13. Non in unam sed in plures partes divisit Deus mare Rubrum, ut per medium ejus Israel velut per continens incedentem traduceret. Traditum est autem in duodecim partes mare divisum fuisse, ut duodecim viæ fierent, et suas cuique tribui transitus pateret.

VERS. 24. Quotiescunque nos modestia humiliaverimus, memor nostri Deus redemptionem nobis largitur.

A φία· τοῦτο γὰρ αὐτοῦ βραχίων καὶ χεὶρ κραταιά. « Ἐξήγαγεν δὲ καὶ ὁ Ἰησοῦς, » κατὰ τὴν Ἐπιστολὴν Ἰούδα· οὗ κραταιὰ χεὶρ καὶ βραχίων ὑψηλὸς, ἡ παραδοξοποιὸς αὐτοῦ ἐνέργεια καὶ δύναμις.

Στ. ιγ'. Οὐκ εἰς μίαν διαίρεσιν ἀλλ' εἰς πλείονας καταδιεῖλεν ὁ Θεὸς τὴν Ἐρυθρὰν θάλασσαν ἐπὶ τῷ τὸν Ἰσραὴλ ὡς ἐπὶ ξηρὰν βαδίζοντα ἐξαχθῆναι ἐκ μέσου αὐτῆς ὑπὸ Θεοῦ. Παραδέδοται δὲ ὅτι εἰς δώδεκα διαιρέσεις ἐπὶ τῷ δώδεκα διόδους εἶναι, ὅπως ἑκάστη τοῦ Ἰσραὴλ φυλὴ ἰδίαν διάβασιν ἔχουσα διέλθοι (27).

Στ. κδ'. Κἂν ταπεινώσωμεν δὲ δι' ἀτυφίας ἑαυτοὺς, ὁ Θεὸς ἡμῶν καὶ μνημονεύει καὶ λύτρωσιν δίδωσιν.

PSALMUS CXXXVIII.

VERS. 2. « Sessio » optimum animi habitum designat, quo ad malitiam quam difficillime deflecteret : « resurrectione » autem ab humilibus rebus ad sublimia transferimur.

B Στ. β'. « Καθέδρα » ἐστὶν ἕξις ἀρίστη λογικῆς φύσεως, καθ' ἣν δυσκίνητος γίνεται πρὸς κακίαν· « ἔγερσις » δὲ ἀπὸ τῶν αἰσθητῶν πραγμάτων ἐπὶ τὰ νοητὰ διάβασις.

VERS. 7. Postquam Deum rerum omnium providum celebravit, et omnium scientia et intellectu instructum, declarat eumdem ubique esse. Quando Spiritus tuus totum terrarum orbem complet, quo ab illo ire potero? Quando etiam facies tua cuncta perscrutatur et perspicit, quo ab ea fugere potero? Nam si ascendero in cœlum, illic astantem te video; si descendero in infernum, mecum ibi conversantem te sentio. Quodsi autem in cœlo et in terra adesse cognoscitur Deus, et media loca occupet necesse est. Ubique adest, non quasi locum compleat, sed cuncta componens et providentia dirigens.

Στ. ζ'. Θεολογήσας τὰ περὶ τοῦ προγνώστην εἶναι τὸν Θεὸν, καὶ πάντων ἐπιστήμην ἔχειν· καὶ σύνεσιν, μέτεισιν ἐπὶ τὸ πανταχοῦ εἶναι αὐτὸν τὸν θεολογούμενον. Εἰ Πνεῦμά σου πεπλήρωκε τὴν οἰκουμένην, ποῦ πορευθῆναι ἀπ' αὐτοῦ δυνήσομαι; ἀλλ' ἐπεὶ καὶ τὸ πρόσωπόν σου ἐπισκοπεῖ καὶ ἐφορᾷ τὰ ὅλα, ποῦ φυγεῖν ἀπ' αὐτοῦ δυνήσομαι; Ἀνελθὼν γὰρ εἰς οὐρανὸν, παρόντος σου λαμβάνω φαντασίαν· ἂν εἰς τὸν ᾅδην γένωμαι, συνόντα σε βλέπω. Εἰ δὲ ἐν οὐρανῷ καὶ ἐν ᾅδῃ ἡ παρουσία σου γνωρίζεται, καὶ ἐν τοῖς μεταξὺ χωρίοις δηλονότι τυγχάνεις. Παρίστησιν δὲ C πανταχοῦ, οὐ τοπικῶς διατρίβων, ἀλλὰ δημιουργικῶς καὶ προνοητικῶς τοῖς πᾶσιν ἐπιχωριάζων.

VERS. 9. Consideravi, inquit, num pennis cogitationum elatus, mare ipsumque oceanum prætergressus, in extremis positus, a Spiritu tuo ire potero, et a facie tua fugere. Ast illic etiam actuosam et providam tuam manum, et potentem tuam dexteram conspicio. Unde vel in extremis maris habitanti prædicto more omnia succedunt, deducente me manu tua, et tenente me dextera tua. Licet enim infinitus sit oceanus, numine tamen Domini diriguntur qui ultra sunt mundi : nam omnia quæ ab ipso facta sunt, ubicunque sint, providentiæ suæ imperio regit ac gubernat.

Στ. θ'. Ἐσκόπησα, φησὶ, μὴ ἄρα ταῖς πτέρυξι τῆς νοήσεως χρησάμενος, ὑπερβὰς τὴν θάλασσαν καὶ τὸν ὠκεανὸν αὐτὸν, ἐν τοῖς ἐσχάτοις γεγενημένος δυνήσομαι πορευθῆναι ἀπὸ τοῦ Πνεύματός σου, καὶ φυγεῖν σου τὸ πρόσωπον. Κἀκεῖ τὴν δραστήριον καὶ προνοητικήν σου χεῖρα, καὶ αὐτὴν τὴν ὑπερβάλλουσαν δεξιάν σου ἐνεργοῦσαν τεθέαμαι. Ὡς αὐτὸ τοῦτο τὸ κατεσκηνωκέναι τῇ προειρημένῃ ἀκολουθίᾳ ἐν τοῖς ἐσχάτοις τῆς θαλάσσης κατωρθῶσθαί με τῆς χειρός σου ὁδηγησάσης με, καὶ κατεχούσης τῆς δεξιᾶς σου. Εἰ γὰρ καὶ ὠκεανὸς ἀπέραντος, ἀλλ' οὖν καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς τοῦ Δεσπότου διατα- D γαῖς διῖθύνονται· πάντα γὰρ τὰ πρὸς αὐτοῦ γεγενημένα ὅποι ποτ' ἐστὶν ταγαῖς τῆς ἑαυτοῦ προνοίας διοικούμενα ἰθύνεται (28).

VERS. 11. Scientia Domini in matutinis illuminatus, velut ortum diei consecutus, cogitabam me spiritualibus pennis, quibus instruitur omnis natura substantialis, ita ad sublimia extolli posse, ut longe ultra oceanum prætergrederer. Ast hoc etiam cognovi me a Spiritu Dei non abiisse, et cætera. Aliam igitur viam excogitavi, quo a Spiritu Dei irem et a facie ejus fugerem. Quæsivi scilicet num tenebris velatus Deum latèrem. Dixi igitur : « Forsitan te-

Στ. ια'. Ἐπεὶ φωτισθεὶς ὑπὸ τῆς γνώσεως τοῦ Κυρίου ἐν ὄρθρῳ, ἐν ἀρχῇ τῆς ἡμέρας γεγονέναι δόξας, διενοήθην ταῖς πτέρυξι ταῖς νοηταῖς, καθ' ἃς ἐπτέρωται πᾶσα οὐσικὴ φύσις, μετεωρισθῆναι ὡς μακρὰν γενέσθαι καὶ περαιτέρω τοῦ ὠκεανοῦ. Ἔγνων δὲ καὶ αὐτὸ τοῦτο μὴ εἶναι πορευθῆναι ἀπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς. Μετῆλθον ἄλλην ὁδὸν ζητῆσαι, καθ' ἣν πορευθῆναι ἀπὸ τοῦ Πνεύματος καὶ φυγεῖν ἀπὸ τοῦ προσώπου τοῦ Θεοῦ οἰόντε ἐστὶν,

[84] Jud. 5.

(27) Judaica hæc popularis vel rabbinica traditio erat, quam non Didymus tantum, sed etiam Theodoretus refert.

(28) Ita cod.

Digitized by Google

μή πη ἄρα ὑπὸ σκότος γεγονὼς διαλαθεῖν τοῦτο δυ- A nebræ conculcabunt me, » hoc est, abscondent me? Quemadmodum enim conculcatum pavimentum latet, ita fortasse et ipse laterem, si tenebræ me conculcarent, undique et desuper circumfusæ. Deinde cum concupitum sortitus in deliciis me futurum putabam, agnovi ipsam noctem et densissimas tenebras illucescere, tenebris nullo modo obtenebratis, dum ea sicut et cætera omnia Deus illuminet. Nobis quidem oculorum acie res cernentibus, alia nox, alia dies; interdiu enim videmus et videmur, noctu autem nec cernimur nec cernimus. Apud Deum vero nox sicut dies illuminatur; ipsique apparent quæ in tenebris et in nocte, haud secus ac si in lumine et in die essent, quia nox sicut dies ab eo illuminatur. Hæc autem omnia, nomine suo profert justus, docens eos qui non recta de Deo sentiunt, Deum nunquam a nobis decipiendum esse. Nam abscondita mea novisti, renes meos possidens, et quacunque in terrarum parte fugiam, semper me velut præsentem pernoscis. Nam « suscepisti me de utero matris meæ, » in sinu formasti me, et posuisti super me manum tuam. Denique cum per omnia prædicta terribiliter mirificatus es (nam cum tremore omnia miratus sum quæ perspexi), agam tibi gratias dicens : « Confitebor tibi, quoniam terribiliter mirificatus es. »

δύνήσωμαι Διό φημι, « Ἄρα σκότος καταπατήσει με, » τουτέστιν, ἐπικρύψει με; Ὡς γὰρ τὸ ἔδαφος τὸ πατούμενον κρύπτεται, οὕτω κρυβείην κάτω, εἰ καταπατήσῃ με τὸ σκότος πολὺ περὶ ἐμὲ καὶ ἐπ' ἐμὲ γεγονός. Εἶτα ὅτε ἔδοξα τρυφᾷν ἐπὶ τῷ τετευχέναι τοῦ σπουδαζομένου, εὐθέως εἶδον, ὅτι καὶ αὕτη ἡ νὺξ καὶ τὸ κατακορὲς σκότος φωτισμός ἐστιν, οὐδὲν αὐτοῦ τοῦ σκότους σκοτιζομένου ὑπὸ τοῦ Θεοῦ καταλάμποντος αὐτὸ ὥσπερ καὶ τὰ ἄλλα πάντα. Παρ' ἡμῖν μὲν τοῖς ὄψει χρωμένοις, διαφορὰ νυκτὸς καὶ ἡμέρας, ὁρῶσι καὶ ὁρωμένοις ἐν τῇ ἡμέρᾳ, ἐν δὲ τῇ νυκτὶ μηδὲ βλεπομένοις μηδὲ βλέπουσιν. Παρὰ μέν τοι τῷ Θεῷ ἡ νὺξ ὡς ἡμέρα φωτίζεται, καταληπτῶν αὐτῷ τυγχανόντων τῶν ἐν σκότῳ καὶ νυκτὶ, ὡς τῶν ἐν φωτὶ καὶ ἡμέρᾳ, ἐπείπερ ἡ νὺξ ὡς ἡμέρα ὑπ' αὐτοῦ τοῦ Θεοῦ φωτίζεται. Ταῦτα δὲ πάντα τῷ ἑαυτοῦ προσώπῳ ὁ δίκαιος προσάπτει, διδάξαι προελόμενος τοὺς μὴ ὀρθὴν περὶ Θεοῦ διάληψιν ἔχοντας, ὅτι διαδρᾶναι Θεὸν οὐκ ἔστιν. Εἰ γὰρ τῶν κρυπτῶν μου γνώστης, ἅτε τοὺς νεφρούς μου κεκτημένος εἶεν (29), ὁποίῳ μέρει τοῦ κόσμου ἐὰν γένωμαι, ὡς παρόντος μου γνῶσιν ἔχεις, εἰ γὰρ καὶ « ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου, » πλάσας ἐν κοιλίᾳ με καὶ ἐπιθεὶς μοι τὴν χεῖρά σου. Εἶτα ἐπεὶ διὰ πάντων τῶν προειρημένων φοβερῶς ἐθαυμαστώθης, μετὰ φόβου γὰρ ἐθαύμασα πάντα ἃ περὶ σοῦ διεῖληφα, εἰς εὐχαριστίαν τρεπόμενός φημι· « Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης. »

Στ. ιγ'. Κέκτηται ὁ Θεὸς τοὺς νεφροὺς τοῦ κατορθώσαντος τὴν ἐν σωφροσύνῃ καθαρότητα. Ὁ τοίνυν ἀγαμίᾳ σχολάζων, τῷ Θεῷ τοὺς ἑαυτοῦ νεφροὺς καταγράψας ἐρεῖ· « Σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε. » Μεθ' ὃ κατόρθωμα, γνῶσιν ἔχων πάντων τῶν θαυμαστῶν ἔργων αὐτοῦ τῶν τῆς δημιουργίας καὶ προνοίας καὶ παραδοξοποιΐας, « θαυμάσια, ἔφη, τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. » Τὸ « σφόδρα » ἢ ἐπὶ τὴν γνῶσιν τῆς ψυχῆς, ἢ ἐπὶ τὰ θαυμάσια ἀναφέρεται. Καὶ « τὸ ὀστοῦν μου, φησὶν, ὃ ἐν κρυφῇ πεποίηκας, » ὡς οὐδένα τούτου τὴν σύμπηξιν εἰδέναι, ἀπὸ σοῦ οὐ κέκρυπται. Πῶς γὰρ καὶ οἱόντε σοῦ ποιητοῦ ὄντος ὥσπερ ὅλου τοῦ σώματος, οὕτω καὶ αὐτοῦ; Εἴρηται δὲ καὶ τοῖς περὶ φύσεως τῶν ζώων πραγματευσαμένοις, ἀόρατον εἶναι καὶ ἀκατάληπτον τὴν εἰς ὀστέον τοῦ αἵματος μεταβολὴν, καί τοι τῶν ἄλλων, σαρκῶν καὶ νεύρων λέγω, ὅπως ποτὲ ὡς ἔχουσι γενέσεως θεωρούντων (30)· οὐκ ἐκρύβη δὲ ἀπὸ σοῦ οὐδὲ ἡ ὑπόστασις μήτε ἐν τοῖς κατωτάτοις τῆς γῆς φθάσασα. Οὐδὲ γὰρ ἡ ψυχὴ ἐν ᾅδῃ γεγενημένη, οὐδ' αὐτὸ τὸ σῶμα κατωρυγμένον καὶ εἰς γῆν διαλυθὲν διαφεύγει τὴν θεωρίαν σου.

Στ. ιη'. Ἀφ' ἑαυτοῦ λέγει τὴν τοῖς δικαίοις ἀποκειμένην ἐλπίδα, ἥτις ἐστὶν ἐξ ἀναστάσεως αἰωνία ζωή. Ἀλλὰ καὶ σὺν τοῖς ἁγίοις ἐστὶν ὁ Κύριος ἀπεντεῦθεν. Ἀγγέλοις γὰρ αὐτοῦ, « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας. » Τότε δὲ δῆλον ὅτι ἔσται μετ' αὐτοῦ, ὅταν « ἀποκτείνῃς, » φησὶν, « ἁμαρ-

B

C

D

Vers. 13. Possidet Deus renes eorum qui prudentia castitatem custodiunt. Qui igitur a nuptiis abstinet, Deo renes suos ascribens, dicet : « Possedisti renes meos, Domine. » Quo perfecto, omnia mirabilia Dei scientia consecutus, creationem videlicet, et providentiam et vim prodigia operandi : « Mirabilia opera tua, ait, et anima mea cognoscit valde. » Vox « valde » ad scientiam animæ, aut ad mirabilia referri potest. « Os meum, » inquit, « quod fecisti in abscondito, » ut nemo sciat quo modo coagmentetur, a te non est absconditum. Quis enim te fallere posset, cum ipsius sicut et totius corporis creator sis? Dixerunt qui de natura animalium agunt, homines nec perspicere nec intelligere qua ratione sanguis in os mutetur, cæterasque carnes et nervos efficiat. Contendo autem qualicunque modo hæc fiant, a te non esse abscondita, sicut nec substantia vel in infimis terræ degens. Non fugit enim mentis tuæ oculos anima quæ descendit in infernum, aut corpus sepultum et in terram resolutum.

Vers. 18. De semetipso spem exprimit justis acceptissimam, quæ nil aliud nisi post resurrectionem vita sempiterna. Illic etiam cum sanctis Dominus. Dicentem enim audierunt : « Ecce ego vobiscum sum omnibus diebus[88]. » Tunc autem sane nobiscum erit quando « occideris, inquit, pec-

[88] Matth. xxviii, 20.

(29) *Εἶεν*. Legendum, ut sensus salvus sit : ἐν. Edit.

(30) An θεωρουμένων? Id.

Digitized by Google

catores, Deus: » diabolum videlicet et malignas potestates quæ ei inserviunt.

VERS. 21. Ejusdem est amicos Dei suscipere ac colere, et odio eos habere qui Deum oderunt, et inimici ejus dicuntur, quia impie et inique de Deo sentiunt. Quomodo enim inimici non sint Dei, qui cæteros decipiunt et a veritate avertunt, quando Deus omnes vult salvos fieri et ad agnitionem veritatis venire? Perfectum odium est in tales homines, quando eos non alia de causa oderimus, quam de illorum odio in Deum. Quemadmodum perfecta charitate bonum amplectimur, si illud ipsius non alterius gratia affectamus; ita qui inimicos odio habet, prout inimici Dei et quia inimici Dei sunt, non autem affectu quovis pravo, tabescit super eos juxta Prophetam dicentem: « Zelans zelavi Domino omnipotenti, quia dereliquerunt te filii Israel[86]. » Quodsi perfecte odit malum qui ab omni malo abstinet, qui qualicunque modo maligno consentiet, hunc non perfecto odio oderit.

τωλοὺς, ὁ Θεός· » τὸν διάβολον δηλονότι καὶ τὰς σὺν αὐτῷ πονηρὰς δυνάμεις ἁμαρτωλοὺς ὄντας.

Στ. κα'. Τοῦ αὐτοῦ ἂν εἴη καὶ τὸ ἀποδέχεσθαι καὶ τιμᾷν τοὺς φίλους τοῦ Θεοῦ, καὶ μισεῖν τοὺς μισοῦντας αὐτὸν, καὶ ἐχθροὺς λογίζεσθαι, τῷ ἀσεβῆ καὶ ἄθεα περὶ τοῦ Θεοῦ φρονεῖν· πῶς γὰρ οὐκ ἐχθροὶ Θεοῦ οἱ διαστρέφοντες ἀπὸ τῆς ἀληθείας τοὺς ἀπατωμένους, τοῦ Θεοῦ θέλοντος πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; Τέλειον δὲ μῖσός ἐστιν κατὰ τῶν τοιούτων, ὅτ' ἂν μὴ ἄλλου χάριν, ἀλλ' ἢ τῷ ἐχθροὺς αὐτοὺς εἶναι τοῦ Θεοῦ, μισεῖ τις αὐτούς· καὶ ὥσπερ τελείαν ἀγάπην τις ἔχει πρὸς τὸ ἀγαθὸν, μὴ ἄλλ' ὅτου χάριν, ἀλλ' αὐτοῦ ἕνεκα ποθῶν αὐτοῦ· οὕτως ὁ μισῶν τοὺς ἐχθροὺς, ὡς ἐχθροὺς Θεοῦ μόνον, ἀλλ' οὐ διά τι πάθος μισῶν, ἀλλ' ἢ ὅτι ἐχθροὶ τοῦ Θεοῦ εἰσιν, ἐκτηκόμενος ἐπ' αὐτοῖς κατὰ τὸν λέγοντα Προφήτην, « Ζηλῶν ἐζήλωσα τῷ Κυρίῳ παντοκράτορι, ἀνθ' ὧν κατέλειπόν σε υἱοὶ Ἰσραήλ. » Εἰ ὁ τέλειος (31) μισήσας τὸ πονηρὸν ἀπέχεται πάσης κακίας, ὁ μεταλαμβάνων εἴς τινος οὖν κακίας αὐτοῦ, τελείως οὐ μεμίσηκεν τὸν πονηρόν.

PSALMUS CXXXIX.

VERS. 2. Homo malignus qui perfidus et impostor; vir autem iniquus, qui ita in malitia profecit, ut callidis et scelestis moribus ad iniquitatem properet, et animum suum a virtute ad malitiam avertere conetur; Deum orat qui ista usurpat, ut ab utroque liberetur. Cogitaverant enim iniquitatem contra eum, abscondentes eam in corde suo, ut tales alii viderentur ac fuerant, et eum irretire possent. Per totum tempus vitæ suæ inimice et hostiliter egerunt in eum. Unde dictum est: « Tota die constituebant prælia, » ne momento quidem paci et quieti indulgentes. Pro gladio linguam acuerunt, ut verbis suis decipere et vulnerare possent, serpentem imitati qui nequitia sua Evam perdidit. Idcirco etiam sub labiis suis cogitationes habent veneni speciem referentes, a malignis potestatibus acceptas, quæ propter venenosam et nocivam vim aspides vocantur. Nec immerito hæc de diabolo intelliges et de cæteris invisibilibus inimicis: nam diabolus sæpius homo malignus et inimicus dicitur; sed eum quoque Antichristum vocabis qui diaboli consiliis inservit.

Στ. β'. Ἄνθρωπος πονηρὸς ὁ δολερὸς καὶ ἀπαταιών (32) ἐστιν· ἀνὴρ δὲ ἄδικος ὁ τούτων ὑπεραναβεβηκὼς ἐν κακίᾳ, ὡς διὰ τοῦ πανουργεύεσθαι καὶ ῥᾳδιουργεῖν, ἀδικεῖν σπεύδειν, τὴν λογικὴν φύσιν ἐξ ἀρετῆς εἰς κακίαν πανουργίᾳ τινὶ πειρώμενος μεταβιβάζειν· ἀπ' ἀμφοτέρων σωθῆναι βουλόμενος ὁ τὰ προκείμενα φάσκων, Θεὸν παρακαλεῖ. Ἐπείπερ ἀντ' αὐτοῦ ἀδικίαν ἐλογίσαντο, κρύπτοντες αὐτὴν ἐν καρδίᾳ ἑαυτῶν, ὅπως διὰ τοῦ λανθάνειν ὅτι εἰσὶν τοιοῦτοι, παγιδεῦσαι αὐτὸν δυνηθῶσιν, πολεμίως καὶ ἀντικειμένως πρὸς αὐτὸν ἱστάμενοι δι' ὅλου τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ. Διὸ εἴρηται, « Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους, » ὐδένα καιρὸν εἰρήνης καὶ ἀναπαύσεως ἔχοντες. Ἀντὶ δὲ ξίφους ἀκονήσαντες τὴν γλῶσσαν ἐπὶ τὸ ἀπατηλὸν καὶ τρῶσαι δυνάμενον λόγον προφέρειν, μιμήσει τῇ πρὸς τὸν ὄφιν τὸν φθείραντα τὴν Εὔαν ἐν τῇ πανουργίᾳ ἑαυτοῦ. Ὅθεν καὶ ὑπὸ τὰ χείλη ἑαυτῶν, τουτέστι τὴν προφορὰν δηλητηρίῳ εἰκότα, ἔχουσιν νοήματα ὑποβληθέντα αὐτοῖς ὑπὸ δυνάμεων πονηρῶν διὰ τὸ βλαπτικὸν καὶ ἰῶδες ἀσπίδων καλουμένων. Δυνατὸν δὲ καὶ περὶ διαβόλου καὶ τῶν ἄλλων ἀοράτων ἐχθρῶν ἐκλαβεῖν ταῦτα· ἄνθρωπος γὰρ πονηρὸς καὶ ἐχθρὸς ὁ διάβολος πολλάκις εἴρηται. Ἀλλὰ καὶ ὁ τῷ βουλήματι αὐτοῦ ὑπηρετούμενος, Ἀντίχριστος ἂν ῥηθείη.

VERS. 5. Manus peccatoris, actus malus, de quo Deo protegente, custodiri optat. Postulat insuper ut ab hominibus eruatur, qui mentem ad deteriora propellere vellent; nam sermonibus cogitaverunt et fallacibus consiliis eorum gressus supplantare, qui ad meliora unice tendunt et properant. Potest etiam diabolus peccatore designari, et hominibus injustis, aut maligni ejus angeli, aut homines quorum animas opere suo a virtute revocat. Hi autem fortasse non alii a superbis falsa sapien-

Στ. ε'. Χεὶρ ἁμαρτωλοῦ ἡ ἁμαρτικὴ πρᾶξις, ἀφ' ἧς φυλαχθῆναι, Θεοῦ φρουροῦντος, εὔχεται. Καὶ πρὸς τούτοις ἀξιοῖ, ἵνα καὶ ἀπὸ τῶν ἀδικεῖν αὐτὸν τῇ προαιρέσει βουλομένων ἀνθρώπων ῥυσθῇ· ἐπείπερ διελογίσαντο διὰ λόγων καὶ ἐνθυμημάτων ἀπατηλῶν ὑποσκελίσαι τὰ διαβήματα τῶν ἐν τῷ προκόπτειν διαβαινόντων ἐπὶ κρεῖττω. Δυνατὸν ἐν τούτοις ἐκλαμβάνειν ἁμαρτωλὸν τὸν διάβολον, ἀνθρώπους δὲ ἀδίκους ἤτοι τοὺς πονηροὺς ἀγγέλους αὐτοῦ, ἢ εἰς οὓς ἐνεργεῖ ἀνθρώπους, εἰς τὸ ψυχὰς ἀδικεῖν.

[86] III Reg. XIX, 10.

(31) Lege τελείως, et mox ni fallor, ἤστινος loco εἴς τινος. EDIT.

(32) Forma Alexandrina pro ἀπατεών. ID.

Digitized by Google

Οὗτοι δ' ἂν εἶεν καὶ ὑπερήφανοι σοφίαν ἔχοντες ἀπατηλὴν, ἣν οὐ προφανῶς προφέρουσιν, ἀλλὰ κρύπτουσιν αὐτὴν ὡς παγίδα, ὑπὸ τοὺς σοφιστικοὺς αὐτῶν λόγους· ἀλλὰ καὶ σχοινία, ἤτοι τὰς πολυπλόκους αὐτῶν πονηρίας, ἢ τοὺς συντιθεμένους καὶ περιπλεκομένους ὑπ' αὐτῶν σοφιστικοὺς λόγους διατείνουσιν ἐπὶ τῷ συλλαβεῖν τοὺς πόδας τῶν ὀρθῶς βαδιζόντων, λογιζόμενοι διὰ τούτων τῶν σχοινίων ὑποσκελίσαι τὰ διαβήματα τῶν ἀπροοράτως ἐχόντων, ἃ τιθέασιν καὶ ἐχόμενα ἧς τις ἔτριψεν ὁδοῦ προσκόμματα, ἃ καὶ σκάνδαλα εἶπεν. Λογισμοὶ δέ εἰσιν οὗτοι ὑποβαλλόμενοι τοῖς καλῶς καὶ κατ' ἀρετὴν ὁδεύειν προαιρουμένοις. Ἀλλ' ὁ γνοὺς ἑαυτὸν ὅτι οὐκ αὐτάρκης ἐστὶν πρὸς τὸ ἀβλαβὴς ἀπὸ τῶν τοσούτων διαμεῖναι, πρὸς Θεὸν καταφεύγων, δύναμιν ἀπαιτεῖ. Διὸ καὶ ἀπαγγέλλει τὰ περιεστηκότα αὐτόν.

A tia imbutis, quam non palam proferunt, sed velut laqueum abscondunt, captiosis eam argumentis velantes : quin etiam funes, implicitas videlicet iniquitates, et sermones callide compositos et contextos extendunt, ut pedes irretiant recte ambulantium. His funibus gressus imprudentium supplantare cogitant, illosque juxta viam cujusque disponunt : qui scandala hic et offendicula vocantur. Non alii autem sunt ab argumentis, quibus homines impugnant, ad virtutem egregie festinantes. Justus cum sciret se non eum esse qui tot ac tantis inimicis virtute sua resisteret, ad Deum se recipit auxiliumque flagitat. Ideo etiam eos denuntiat quibus impugnetur.

Στ. θ'. Ἵνα μὴ κατ' ἐμοῦ πολλὰ διαλογισάμενοι δυνηθῶσιν, μὴ ἐγκαταλείπῃς με, φύλαξόν με ἐν σκέπῃ τῶν πτερύγων σου, καὶ ὑπὸ τὴν χεῖρα τὴν κραταιάν σου, ἀφ' ἧς οὐδεὶς δύναται ἁρπάσαι, ἢ ἐπαρθῆναι ἀλαζονικῶς κατ' ἐμοῦ ὡς ἀλῶντος (33) ὑπ' αὐτοῦ.

B Vers. 9. Ne dominentur in me qui multa cogitaverunt, ne derelinquas me, custodi me in umbra alarum tuarum, et sub manu potenti tua, e qua nemo me eripiet ; nequando exaltentur gloriose de me, velut si ab eis captus fuissem.

Στ. ιβ'. Γλωσσώδη τὸν μάχιμον καὶ λοίδορον ἔοικε λέγειν. Οὐδεὶς γὰρ τῶν τοιούτων ὅσον ἐν τῇ γεώδει προαιρέσει, κατευθύναι (34) δύναται ἀεὶ στρεβλούμενος ἐκ τοῦ μάχιμος εἶναι· φιλαμαρτημένων γὰρ τὸ χαίρειν μάχαις καὶ ὕβρεσιν καὶ λοιδορίαις. Διὸ καὶ τὸ κατευθύνεσθαι ὑπὸ ἀρετῆς οὐ δυνατὸν ἔχειν τὸν τοιοῦτον.

Vers. 12. Linguosum profecto vocat pugnacem et maledicum. Nullus enim eorum, quandiu terrestria sentiet, dirigi potest semper agitatus quia pugnax ; peccatorum enim lætari de pugnis et conviciis et superbia. Unde qui ita disponuntur virtute dirigi nequeunt.

PSALMUS CXL.

Στ. ε'. Ἱκανὴ τυγχάνει αὐτῶν ἡ κακία, εἰ γενοίμην αὐτῶν κοινωνὸς, διασκορπίσαι μου τὴν προσευχὴν, καὶ εἶσω τῶν κακιῶν αὐτὴν ὑποβαλεῖν.

C Vers. 5. Ea foret eorum malitia, si cum eis communicarem, quæ orationem meam perderet, et calamitatibus me subjiceret.

Στ. ς'. Ὁ δὲ Σύμμαχος· « Ἔτι γὰρ καὶ ἡ προσευχή μου ἐντὸς τῶν κακῶν αὐτῶν· ἐκτιλήσονται ἐν χειρὶ πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται ῥήσεις μου ἡδίστας· ὥσπερ γεωργὸς ὅτ' ἂν ῥήσσῃ τὴν γῆν, ὡς ἐσκορπίσθη ἡμῶν τὰ ὀστᾶ παρὰ τὸν ᾅδην. »

Vers. 6. Symmachus autem : « Adhuc enim oratio mea in malis eorum. Evacuabuntur in manu petræ judices eorum. Audient verba mea dulcissima, sicut agricola quando terram scindit ; ita ut dissipentur ossa nostra secus infernum. »

Στ. η'. Πρὸς σὲ, ὦ Κύριε, ἦρα τοὺς ὀφθαλμούς μου, ἐλπίσας ἐπὶ σέ. Διὸ « μὴ ἀντανέλῃς τὴν ψυχήν μου, » ὡς τέλεον αὐτὴν ἐκπεσεῖν. Εἰ γὰρ καὶ διεσκορπίσθη τὰ ὀστᾶ ἑκάστου ἡμῶν παρὰ τὸν ᾅδην, ἀλλ' οὖν ἐλπίζω ὅτι συνάξας ἀποκαταστήσεις αὐτὰ τῇ οἰκείᾳ συμφωνίᾳ καὶ ἁρμονίᾳ. Οὗ γενομένου τῇ σῇ ἀγαθότητι, οὐ μόνον οὐκ ἀναιρεθήσεται, σοῦ φυλάττοντός με, « ἀφ' ἧς συνεστήσαντό μοι παγίδος. » Οὐκ ἐκ μόνης δὲ ταύτης, ἀλλὰ καὶ « ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν » φυλάξῃς με.

Vers. 8. Ad te, Domine, levavi oculos meos, sperans in te. « Ne auferas animam meam, » ne omnino cadat. Etiamsi secus infernum dissipata sint ossa cujusque nostrum, spero tamen te illa denuo coaptaturum et coagmentaturum. Quo facto per bonitatem tuam, non solum non capiar, te custodiente, « a laqueo quem statuerunt mihi ; » sed etiam « a scandalis operantium iniquitatem » custodies me.

PSALMUS CXLI.

Στ. η'. Εὐκαίρως οἷα δὴ ἀποκεκλεισμένος εἰς τὰ ἐσώτατα τοῦ σπηλαίου, προσεύχεται λέγων κατὰ τὸν Σύμμαχον· « Ἔξω ποίησον ἀπὸ συγκλεισμοῦ τὴν ψυχήν μου, » σαφῆ δὲ καὶ τὰ λοιπά. Κατὰ ἀναγωγὴν δὲ ἡ κακία καὶ ἡ δυσσέβεια πᾶσα, ὥσπερ φρουρά τις ἔνδον τὰς ψυχὰς περιλαβοῦσα κατεῖχεν, ἀφ' ἧς φυλακῆς ἑκάστη ἀναπέμπει τὴν προκει-

Vers. 8. Haud inepte velut in intima spelunca inclusus, precatur juxta Symmachum dicens : « Educ animam meam de claustro, » nota sunt et cætera. Versum mystice interpretantibus videbuntur malitia et omnis impietas animam velut caterva obsessam et interclusam tenere, a qua custodia liberari desiderans quisque ad Dominum istis votis

(33) Forsitan ἀλῶντος pro ἀλόντος, o in ω mutato. Edit.

(34) Lege κατευθύνθαι, vel potius κατευθύνεσθαι. Id.

Digitized by Google

clamat, ut orationi annuens, accedat et vinctos e vinculis, et sedentes in tenebris ex domo custodiæ educat. Non omnibus usurpanda hæc verba : « Educ de custodia animam meam, » sed iis tantum qui purificato corde et deposito hoc corpore, rerum contemplationi indulgere possunt. Aquilas autem : « Educ e claustro animam meam, » quasi arcto in carcere includeretur ; hostibus speluncæ portas obsidentibus. Promittit se, salute accepta, hymnis beneficia celebraturum.

μένην εὐχὴν, ὡς ἐπινεύσοντα τὸν Κύριον ἐληλυθέναι ἐπὶ τὸ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει· οὐ πάντων δὲ ἔστιν τοῦτο λέγειν, « Ἔκβαλε ἐκ φυλακῆς τὴν ψυχήν μου, » ἀλλ' ἢ τῶν δυναμένων διὰ καθαρότητα καρδίας, καὶ χωρὶς τοῦ σώματος τούτου ἐπιβαλεῖν τῇ θεωρίᾳ τῶν γεγονότων. Ὁ δὲ Ἀκύλας, « Ἐξάγαγε ἐξ ἀποκλεισμοῦ τὴν ψυχήν μου· » ὡς ἐν εἱρκτῇ γάρ τινι καὶ δεσμοτηρίῳ (35) κατείχετο, τῶν πολεμίων τῇ θύρᾳ τοῦ σπηλαίου προσκαθημένων· ὑπισχνεῖται δὲ τῆς σωτηρίας τυχὼν ὕμνοις τὰς εὐεργεσίας ἀμείβεσθαι.

PSALMUS CXLII.

Vers. 1. Tertius psalmus jam inscriptus est : « Ipsi David, cum fugeret a facie Absalom, filii sui. » Hic autem : « Quando eum filius persequebatur. » Minus periculum instat ei qui fugit, quam ei quem persequuntur. Fieri enim potest ut quis sola mala suspicione fugiat. Quando autem fugientem persequuntur, apparet persequentium crudelitas et feritas. Ait igitur : Multis cum egerem, ad te confugi, certus te mihi omnia largiturum quorum indigeo, ubi auribus precem meam perceperis. Addit, « in veritate, » seu quia Deus : « Ego sum veritas [87], » dixit, seu quia hoc innuere velit : Ego qui te nunc in imagine et umbra colo, oro ut et cætera consequar, ut cultum prætergressus qui per figuram fit, in nuda veritate ad te accedam, ideoque spiritu et veritate adorem. « Exaudi me in justitia tua. » Justificans me in ipsa ; nam justitia mea tanquam nihil coram te reputabitur. Quamobrem te oro, « ne intres in judicium mecum. » Ego enim servus tuus, et judicari coram te aut a te nolo ; nam scrutaris tu non sermones tantum et opera, sed etiam considera qua mente hæc perficiantur. Unde non est inter homines, vel perfectissima virtute instructos, qui coram te judicari possit. Omnes igitur justi, justitiam suam cum justitia tua conferentes, sincero corde dicunt, tanquam nihil esse coram te omnem nostram justitiam. Justificamur autem gratis gratia Dei per fidem Jesu Christi justitiam habentes quæ absque... apparuit, quam lex et prophetæ confirmant.

Στ. α'. Ὁ μὲν τρίτος ψαλμὸς ἐπιγέγραπται· « Ψαλμὸς τῷ Δαβὶδ ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ. » Ἐνταῦθα δὲ, « Ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκεν· » οὐχ οὕτω δὲ δεινὸν τὸ φυγεῖν ἀπό τινος ὡς ἐκεῖνον διώκειν. Ἐνδέχεται γὰρ καὶ ἐξ ὑπονοίας μόνης φεύγειν. Τὸ μέντοι τὸν διωκόμενον ἐλαύνεσθαι ἐμφαίνει τὴν ὠμότητα καὶ ἀγριότητα τοῦ διώκοντος. Φησὶν οὖν· Πολλῶν ἐπιδεὴς ὢν, κατέφυγον πρὸς σὲ, ἐπιστάμενος ἀκριβῶς ὅτι πληρώσῃς με πάντων ὧν ἐλλείπῆς εἰμι, ἐνωτισάμενός τὴν δέησίν μου, « ἐν τῇ ἀληθείᾳ » τῷ εἰπόντι· « Ἐγώ εἰμι ἡ ἀλήθεια. » Ἢ ἐπεὶ ἐν εἰκόνι καὶ σκιᾷ τέως λατρεύω, εὔχομαι καὶ τὸ λοιπόν μοι δοθῆναι, ἵστι δὲ τὸ ὑπερβῆναι τὴν τυπικὴν θεραπείαν ἐπὶ τῷ γυμνῇ τῇ ἀληθείᾳ του προσβαλεῖν, ἵνα πνεύματι καὶ ἀληθείᾳ σοι προσκυνήσω. « Ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, » δικαιώσας με ἐν αὐτῇ· ἡ γὰρ ἐμὴ δικαιοσύνη ὡς οὐδὲν ἐναντίον σου λογισθήσεται. Διὸ καὶ ἀξιῶ ὅλως, « μὴ εἰσέλθῃς εἰς κρίσιν » μετ' ἐμοῦ. Εἰμὶ γάρ σου δοῦλος, καὶ κριθῆναι πρὸς σὲ ἢ ἐπὶ σοῦ φοβοῦμαι· ἐξετάζεις γὰρ οὐ τοὺς λόγους, ἢ τὰ ἔργα μόνον, ἀλλὰ καὶ τὴν πρόθεσιν, ἀφ' ἧς ταῦτα. Ὅθεν τῶν ζώντων οὐδεὶς, κἂν ἀκροτάτην ἀρετὴν ἔχῃ, δικαιωθῆναι ἐνώπιόν σου δυνήσεται. Πάντες γοῦν οἱ δίκαιοι συγκρίνοντες τὴν σφῶν δικαιοσύνην τῇ σῇ, ἀπὸ διαθέσεως ἀληθευούσης φασὶν, « ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν ἐναντίον σου. » Δικαιούμεθα δὲ δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ πίστεως Ἰησοῦ Χριστοῦ, ἔχοντες τὴν δικαιοσύνην τὴν χωρὶς... φανερωθεῖσαν, μαρτυρουμένην ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν.

Vers. 3. Poteris etiam hæc anagogice interpretari de diabolo : non cessat enim ille nos persequi. Qui igitur a persecutionibus ejus liberabimur ? Quando locum invenerimus quem ille intrare nequit. At quis iste locus, nisi cœlum ? Et qua ratione ad cœlum ascendemus ? Audi nunc Paulum dicentem : « Quæ sursum sunt quærite, ubi Christus est in dextera Dei sedens [88] ; » et : « Conversatio nostra in cœlis [89]. » — « Humiliavit in terram vitam meam. » Permulta designat vox humiliatio : est enim virtutis humiliatio, ut in illo : « Cor contritum et humiliatum Deus non despiciet [90]. » Ca-

Στ. γ'. Ἔστι μὲν κατὰ ἀναγωγὴν καὶ τὸν διάβολον εἰπεῖν. Οὐ παύεται γὰρ ἐκεῖνος διώκων. Πῶς οὖν ἀπαλλαγείημεν τοῦ διώκεσθαι; Εἰ τόπον εὕροιμεν ἔνθα εἰσελθεῖν οὐ δύναται. Καὶ ποῖος οὗτός ἐστιν ἀλλ' ἢ ὁ οὐρανός; Καὶ πῶς δυνατὸν εἰς τὸν οὐρανὸν ἀναβῆναι; Νῦν ἄκουσον Παύλου λέγοντος· « Τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· » καὶ, « Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς. » — « Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. » Πολλὰ σημαίνει τῆς ταπεινώσεως τὸ ὄνομα· ἔστι γὰρ καὶ ἀρετῆς ταπείνωσις, ὡς ὅταν λέγει, « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ

[87] Joan. XIV, 6. [88] Coloss. III, 1. [89] Philipp. III, 20. [90] Psal. L, 19.

(35) Lege δεσμωτηρίῳ, nisi placeat formam Alexandrinam agnoscere. Edit.

Digitized by Google

ἐξουδενώσει. » Ἔστιν καὶ ἀπὸ συμφορῶν ταπείνωσις καὶ ἀπὸ ἁμαρτημάτων. Ἐνταῦθα μέν τοι τὴν ἀπὸ τῶν συμφορῶν λέγει· διὸ καὶ ἐπήγαγεν· « Ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωήν μου· ἐκάθισέν με ἐν σκοτεινοῖς, » καὶ ὅτι « ὡς νεκροὺς αἰῶνος. » Διπλῆν λέγει τὴν συμφορὰν, ὅτι καὶ ἐν σκοτεινοῖς, καὶ ὅτι ὡς νεκροὺς αἰῶνος, τὴν αἰχμαλωσίαν καὶ τὴν φυγὴν αἰνιττόμενος. Ἐπειδὴ γάρ ἐστιν καὶ ἐν σκοτεινοῖς, οἷδε τί πράττειν λύχνον ἅψαντα, μετὰ ἐπιτάσεως δεῖξαι βουλόμενος τὴν ὑπερβολὴν τῶν κακῶν, καὶ τῷ ὀνόματι τῶν νεκρῶν ὤγκωσε τὴν τραγῳδίαν. « Νεκροὶ δὲ αἰῶνος » εἶεν ἂν καὶ οἱ τῆς ἐν Θεῷ ζωῆς ἐστερημένοι· περὶ ὧν φησιν· « Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς. »

Στ. ϛ'. Ταύτην « τὴν ἄνυδρον γῆν » καὶ τὰς παραπλησίους ψυχὰς ἀνύδρους τόπους οὔσας διέρχεται τὸ πνεῦμα τὸ ἀκάθαρτον, οὐχ εὑρίσκον παρ' αὐταῖς μονὴν ἢ ἀνάπαυσιν. Πλὴν εἰ καὶ ἐν ἀνύδρῳ τυγχάνουσιν ἐστερημέναι τῶν φαύλων ὑδάτων, διώκουσι τὸν Κύριον ἐπὶ τὸ ὡς ὄρθρον ἕτοιμον εὑρεῖν αὐτὸν, ὅτε καὶ ἥξει αὐταῖς ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος. Διὸ καὶ ἔνυδροι γενήσονται, πηγὰς ἐν αὐταῖς ἔχουσαι ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

Στ. θ'. Ἀπὸ ἐνὸς ἐχθροῦ καταδιωχθείσης τῆς ψυχῆς αὐτοῦ, ὡς ἀρτίως εἶπεν, ἀπὸ πλήθους ἐχθρῶν ἐξαιρεθῆναι νῦν παρακαλεῖ. Ἀλλ' οὐ μάχονται αἱ οὕτω διάφοροι λέξεις· τὸν μὲν γὰρ ἀρχηγέτην τῆς κακίας ἐχθρὸν ἕνα εἶπεν· τὴν δὲ στρατιὰν αὐτοῦ πληθυντικῶς ἐκάλεσεν ἐχθρούς. Ἀπαιτεῖ δὲ τὸ ἐξαιρεθῆναι ἀπὸ τῶν ἐχθρῶν δικαιότατα, ἐπείπερ πρὸς οὐδένα ἢ πρὸς αὐτὸν μόνον κατέφυγεν.

Στ. ι'. « Δίδαξόν με, » φησὶ, μὴ εἰδέναι μόνον, ἀλλὰ καὶ « ποιεῖν τὸ θέλημά σου. » Οὐ γὰρ τὸ ἐπίστασθαι αὐτῷ, ἄνευ τοῦ ἐνεργεῖν, ἁγιαστικὸν καὶ μακαριοποιόν ἐστιν, ἀλλ' ἐνεργούμενον καὶ πραττόμενον. Διὸ καὶ ὁ Σωτὴρ φησιν· « Οὐ πᾶς ὁ λεγόμενος (36), Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. » Φανερῶν δὲ ὅτι ὁ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, καὶ ἐπίσταται αὐτὸ, οὐ πάντως τοῦ εἰδότος καὶ ποιοῦντος. Τούτῳ συνάδει καὶ τὸ, « Μάθετε καλὸν ποιεῖν. » Τίς δὲ αὕτη ἡ μάθησις τοῦ θείου θελήματος, ἡ ἐξῆς σημαίνει λέξις, ὅτι ὁδήγησις τοῦ ἁγίου Πνεύματός ἐστιν « εἰς τὴν εὐθεῖαν γῆν. » Ὁ γὰρ μαθὼν τὸ ἐν ἠθικαῖς ἀρεταῖς τοῦ Θεοῦ τὸ θέλημα, ὁδηγηθήσεται δωρεᾷ Θεοῦ ὑπὸ Πνεύματος ἁγίου τοῦ ἐνεργοῦντος ἐπὶ τὴν ἀλήθειαν πᾶσιν. Γῆ δὲ εὐθεῖα ἢ ἡ ἀγαθὴ καὶ καθαρὰ καρδία ἐστὶν, ἐν ᾗ ὁ Ἰησοῦ καρποφορήσει σπόρος, ἢ ἡ τῶν πραέων.

Στ. ια'. « Ἕνεκα τοῦ » ἐπικεκλημένου « ὀνόματός σου, » σὸς χρηματίζω· « ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου, » κατὰ ταύτην δικαιῶν με. Οὕτω γὰρ συμβήσεται τὸ ζήσεσθαί με ἐν αὐτῇ· εἰκότως δὲ εἰς μέλλοντα χρόνον ἐνέκλεινεν τὸ, « ζήσεις με, » ἐπείπερ ἐνταῦθα ὥσπερ τὰ ἄλλα ἀγαθὰ μερικῶς, οὕτω καὶ τὸ ζῆν ἔχομεν, ζησόμενοι τελείως τὸ τηνικαῦτα ὅταν φανε-

A lamitatibus etiam interdum et peccatis humiliamur. Hic de calamitatibus quæstio : unde ubi dixit : « Humiliavit in terram vitam meam, » addit : « collocavit me in tenebris : » et hoc quidem « sicut mortuos sæculi. » Duplici igitur calamitate premitur : nam in tenebrosis est et sicut mortui sæculi, captivitatem videlicet et fugam intendens. Quando in tenebrosis est, nihil agere potest, nisi accensa lucerna ; ut autem vehementius malorum suorum magnitudinem exprimat, non dubitat ad pingendam tragœdiam, vel nomen mortuorum usurpare. « Mortui sæculi » fortasse non alii ab iis qui vita in Deo destituuntur, de quibus ait : « Sine ut mortui sepeliant mortuos suos [91]. »

B Vers. 6. Hanc « terram sine aqua, » et animas similiter dispositas, loca scilicet arida, pertransit immundus spiritus, quærens requiem et non invenit [92]. Licet autem aridæ sint animæ, ab aquis destitutæ, persequuntur tamen Dominum, ut quasi mane paratum inveniant eum, et veniat eis quasi pluvia temporanea et serotina [93]. Ita enim irrigabuntur, et fient in eis fontes aquæ vivæ, salientis in vitam æternam [94].

Vers. 9. Modo dixit unum inimicum animam persequi, nunc autem orat, ut ab inimicorum turba liberetur. Varia tamen ista eloquia non inter se pugnant : nam inimicum vocavit malitiæ principem ; hic autem fautores ejus pluraliter inimicos dicit. Merito igitur orat, ut ab inimicis redimatur, C quando ad neminem nisi ad Deum solum confugit.

Vers. 10. « Doce me, » inquit, non ut cognoscam modo, sed « ut faciam voluntatem tuam. » Non enim scientia absque operibus sanctitatem et beatitudinem consequimur, sed virtutem operando et perficiendo. Unde etiam Salvator dicit : « Non omnis qui dicit mihi, Domine, intrabit in regnum cœlorum : sed qui facit voluntatem Patris mei, qui in cœlis est [95]. » Declarat enim eos cognoscere voluntatem Patris, qui eam faciunt ; non autem faciunt eam omnes qui eam cognoscunt. Quibus consentit etiam illud : « Discite bonum agere. » Quæ autem sit hæc voluntatis Dei scientia, indicant quæ sequuntur : « in rectam terram » videlicet a D Spiritu sancto deduci. Nam qui voluntatem Dei in virtutibus didicerit, ducetur gratia Dei a Spiritu sancto, qui omnes ad veritatem perducit. Terra autem recta vel terra mitium est, vel cor bonum et mundum, in quo Jesus fructus dabit.

Vers. 11. « Propter » invocatum « nomen tuum » tuus vocor ; « vivificabis me in justitia tua, » secundum illam me justificans. Hoc enim modo in ea vivificari licet. Haud inepte ad futurum tempus refert illud, « vivificabis me, » cum his in terris sicut cætera bona ita et vitam ex parte tantum habeamus ; perfecte autem tunc vivemus, quando re-

[91] Luc. IX, 60. [92] Matth. XII, 43. [93] Ose. VI, 3. [94] Joan. IV, 14. [95] Matth. VII, 21.

(36) Lege λέγων μοι, ut in Novo Testamento (*Matth.* VII, 21). Edit.

Digitized by Google

volabitur Christus, vita nostra. Ipse enim est justitia Dei, in qua vivificandus qui adhæret ei.

ρωθῇ ὁ Χριστὸς ἡ ζωὴ ἡμῶν. Αὐτὸς γάρ ἐστιν ἡ δικαιοσύνη τοῦ Θεοῦ, ἐν ᾗ ζήσεται ὁ προσβαλὼν αὐτῇ.

PSALMUS CXLIII.

Vers. 2. Usu compertum habet quod hic profitetur. Nam « tu, » inquit, « misericordia mea, » qui me misericordiæ fontibus irrigasti ; tu « refugium meum, » contempto enim hominum auxilio ad te confugi et servatus sum ; tu « susceptor meus, » nam calcari tuo incitatus hostes superavi ; tu « liberator meus et protector meus, » nam præsidio tuo lacessitum muniisti et obsessum eruisti. In te igitur spem firmam habebo.

Στ. β'. Ἀπὸ τῶν πραγμάτων τὰς προσηγορίας ἐποιήσατο. « Σὺ » γάρ, φησίν, « ἔλεός μου, » παρὰ σοῦ γὰρ ἐδεξάμην τὰς τοῦ ἐλέους πηγάς· σὺ « καταφυγή μου, » πρὸς σοῦ γὰρ πᾶσαν ἀνθρωπίνην βοήθειαν ὑπερβὰς καταφυγὼν διεσώθην· σὺ « ἀντιλήπτωρ μου, » τῆς γὰρ σῆς ἀπολαύσας ῥοπῆς κρείττων ἐγενόμην τῶν πολεμίων· σὺ « ῥύστης μου καὶ ὑπερασπιστής μου, » σὺ γάρ με καὶ περιέφραξας πολεμούμενον, καὶ ἐῤῥύσω πολιορκούμενον. Τὴν εἰς σὲ τοίνυν ἐλπίδα σχήσω βεβαίαν.

PSALMUS CXLIV.

Vers. 4. Quando quæ Deus fecit, Ecclesiaste testante [96], in æternum maneant, generatio quæque Dei opera contemplans laudat ea, licet omni laude majora videantur. Annuntiant quoque virtutem tuam qua in lucem prodierunt. Hæc autem nil aliud præter sapientiam juxta quam omnia fecisti. Virtus autem et sapientia tua unigenitus Filius tuus ; nam Christus Dei virtus et Dei sapientia [97].

Στ. δ'. Ἐπεὶ πάντα ἃ ἐποίησεν ὁ Θεὸς, μένει εἰς τὸν αἰῶνα κατὰ τὸν Ἐκκλησιαστὴν, ἑκάστη γενεὰ βλέπουσα αὐτοῦ τὰ ἔργα, ἐπαινεῖ αὐτὰ ὑπὲρ πάντα ἔπαινον τυγχάνοντα αὐτὰ ὁρῶσα. Καὶ ἀπαγγέλουσιν τὴν δύναμίν σου, καθ' ἣν εἰς ὕπαρξιν ἤγαγες αὐτά. Αὕτη δέ ἐστιν ἡ σοφία καθ' ἣν πάντα πεποίηκας. Δύναμις δὲ καὶ σοφία σου τὸ γέννημα τὸ Μονογενής σου· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

Vers. 5. Qui sanctitatem Dei susceperunt, simul et gloriam ejus adipiscuntur et magnifice eum celebrant cujus sanctitas et magnifica gloria ejus. Non voce tantum laudant Deum, sed et prius operibus et recta mente sancte et egregie, imo et magnifice sentiunt et agunt et loquuntur.

Στ. ε'. Ὅσοι μὲν εἰλήφασι τῆς ἁγιότητος τοῦ Θεοῦ, ἀλλὰ καὶ τῆς δόξης αὐτοῦ μεταποιοῦνται, καὶ μεγαλοπρεπῶς ὑμνοῦσι τὸν οὗ ἡ ἁγιότης καὶ ἡ μεγαλοπρεπὴς δόξα αὐτῆς. Οὐ ψιλὴ δὲ προφορὰ (37), ἀλλὰ πρὸ ταύτης ἔργοις καὶ ὀρθῇ διαθέσει ἁγίως καὶ ἐπιδόξως, ἀλλὰ καὶ μεγαλοπρεπῶς νοοῦντες, ἐνεργοῦντες καὶ λέγοντες.

Vers. 13. Dominatur Deus in omnes quos sapientia sua et Verbo suo condidit, et summo imperio utitur. Imo et sæcula fecit ; nam dictum est : « Per quem fecit et sæcula [98]. » Unde et in sæcula regnat, juxta illud Pauli : « Regi sæculorum immortali, invisibili, sapienti soli Deo [99]. »

Στ. ιγ'. Κρατεῖ Θεὸς πάντων ἃ διὰ τῆς σοφίας αὐτοῦ καὶ τοῦ Λόγου πεποίηκεν, καὶ παντοκράτωρ ἐστίν. Εἰ δὲ καὶ τῶν αἰώνων ἐστὶ ποιητὴς (εἴρηται γάρ, « Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν »), καὶ αὐτῶν ἄρα βασιλεύει· λέγει δὲ καὶ Παῦλος· « Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ. »

Quod si igitur Pater rex sæculorum est, regnum quoque Filii regnum omnium sæculorum est. Ita regnum hujus principio et fine carebit, et ante sæcula et post sæcula regnantis. Nam « Dominus regnans sæculum et in sæculum, et ultra [1]. » Et alias : « Deus noster rex ante sæculum [2], » hoc est ante omne sæculum. Cum tale sit regnum ejus, et dominatio sese in omnes generationes extendat oportet. Dominatur quidem in eis qui tempore et generatione comprehenduntur ; regnat autem in eis, qui caduca prætergressi sunt, mirabilia et æterna meditando.

Εἰ οὖν ὁ Πατὴρ βασιλεὺς τῶν αἰώνων, καὶ τοῦ Υἱοῦ ἡ βασιλεία ἐστὶ πάντων τῶν αἰώνων. Εἴη οὕτως δὲ καὶ ἄναρχος, καὶ ἀτελεύτητος ὑπάρχει ἡ βασιλεία αὐτοῦ, καὶ πρὸ τῶν αἰώνων καὶ μετ' αὐτοὺς βασιλεύοντος αὐτοῦ. « Κύριος » γὰρ « βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνας καὶ ἔτι· » καὶ, « Ὁ Θεὸς ἡμῶν βασιλεὺς πρὸ αἰῶνος, » τουτέστι πρὸ παντὸς αἰῶνος. Ἀκολούθως δὲ τῇ βασιλείᾳ καὶ ἡ δεσποτεία αὐτοῦ παρατείνει εἰς πάσας τὰς γενεὰς, καὶ δεσπόζει μὲν τῶν ὑπὸ χρόνον καὶ γενεὰν ὄντων, βασιλεύει δὲ τῶν ὑπεραναβεβηκότων τὰ πρόσκαιρα διὰ τὸ σκοπεῖν τὰ μὴ βλεπόμενα καὶ αἰώνια.

Vers. 14. Ruunt fortasse, qui non opere quidem, sed desideriis et sermonibus pravis errant ; elisi autem sunt, qui operibus peccant. Attamen utrisque auxiliatur ; hos enim fulcit, mandans unicuique : « Non concupisces uxorem proximi tui [3], » et cætera ; illos autem exhortatur per sapientis eloquia : « Non te vincat formæ concupiscentia [4]. » Ruentes

Στ. ιδ'. Τάχα καταπίπτειν οἴοίτε εἰσὶν οἱ ἐν ἐπιθυμίαις καὶ φαύλοις λογισμοῖς ἄνευ πράξεως ὄντες κατερῤῥαγμένοι δὲ, οἱ ἐνεργητικῶς ἁμαρτάνοντες. Πλὴν ἑκατέροιν βοηθῶν, τοὺς μὲν ὑποστηρίζει, ἐντελλόμενος ἑκάστῳ, « Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, » καὶ τὰ ἑξῆς· καὶ τὸ, « Μή σε νικήσει κάλλους ἐπιθυμία, » παραινῶν διὰ σοφοῦ ἀνδρός.

[96] Eccle. I, 4. [97] I Cor. I, 24. [98] Hebr. I, 2. [99] I Timoth. I, 17. [1] Exod. XV, 18. [2] Psal. LXXIII, 12. [3] Deut. V, 21. [4] Prov. VI, 25.

(37) Melius quadraret ψιλῇ προφορᾷ (scilicet ὑμνοῦσι). Edit.

Digitized by Google

Καταπίπτοντες δὲ εἶεν ἂν οἱ ἁμαρτάνοντες μὲν ἐν ἠθικοῖς, περιεχόμενοι δὲ τοῦ χριστιανισμοῦ· καταῤῥαχθέντες δὲ, οἱ ἀποστάντες αὐτοῦ.

Στ. ιζ'. Ἐν πάσαις ταῖς ὁδοῖς αἷς ἐπιπορεύεται προνοῶν, διοικῶν, κρίνων, εὐεργετῶν, χαριζόμενος, κολάζων, δίκαιος εὑρίσκεται· « Θεὸς γὰρ πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία. » Εἰ δὲ καὶ ὁδοὺς αὐτοῦ λέγοι τις τὰς ἀρετὰς (φέρουσι γὰρ πρὸς αὐτὸν τὸν πρακτικῶς καὶ διανοητικῶς ὁδεύοντα), καὶ ἐν ταύταις δίκαιος ἀναφαίνεται· οὐδεὶς γοῦν σπουδαῖος καὶ κατ' ἀρετὴν βιῶν αἰτιᾶται τὴν Πρόνοιαν, ἀλλ' εἴ τις φαῦλος καὶ ἔξω τῶν ὁδῶν αὐτοῦ βεβηκώς.

Στ. ιη'. Εἰσαγωγικώτερον δὲ τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ. Ὅθεν « ἐγγὺς » αὐτῶν εἴρηται, τελείων ὄντων « τῶν ἐπικαλουμένων αὐτόν. » Ὡς Μωϋσῆς καὶ Ἀαρὼν καὶ Σαμουὴλ καὶ Σαμψὼν ἐπεκαλοῦντο τὸν Κύριον. Ὁ δὲ τὸ ἀνθρώπινον ἀρνησάμενος θέλημα, τῷ Θεῷ λέγει· « Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι ὁ Θεός μου εἶ σύ. » Ὅπερ εἰς ἔργον καταβάλλει Θεός. Θελήματα μὲν οὖν αὐτῶν, αἱ κατ' εἶδος ἀρεταί· θέλημα δὲ, ἡ κοινῇ τε καὶ γενικῇ (38). Φυλασσομένου δὲ τοῦ ἀγαπωμένου ὑπὸ Θεοῦ, ὁ δὲ πονηρὸς κατ' οὐδὲν ἅψεται αὐτοῦ. Ἀπόκειται δὲ τῷ ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ ἰσχύος ἀγαπῶντι, « ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. »

etiam forte qui moribus peccant, veram autem doctrinam retinent, et elisi qui a veritate recedunt.

Vers. 17. In omnibus viis quibus incedit, seu providat, aut regat, aut judicet, aut benefaciat, aut gratias largiatur, aut puniat, semper justus reperitur Deus. Nam « Deus fidelis, et non est injustitia [5]. » Quodsi vias ejus vocaveris virtutes (nam deducunt ad Deum quicunque eis mente et opere adhæserit), et in his justus apparebit. Non est igitur inter sanctos et virtute præditos qui providentiam Dei insectetur ; sed ii tantum Deum increpant qui pravi et extra ejus vias ambulant.

Vers. 18. Nomen Domini invocando ad eum accedimus. Unde « prope » ipsis dicitur, quia perfecti « qui invocant eum. » Ita Moyses et Aaron et Samuel et Samson invocabant eum. Qui autem hominum voluntatem respuit, dicit Deo : « Doce me, ut faciam voluntatem tuam, quia Deus meus es tu [6]. » Quod votum Deus implet. Voluntates igitur dicuntur singulæ virtutes ; et voluntas generale et commune virtutis nomen. Custoditur, quem diligit Deus ; maligno autem nihil cum Deo. Eum qui diligit Deum ex tota anima, ex toto corde et ex tota virtute manent « quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascenderunt, quæ præparavit Deus iis qui diligunt illum. »

PSALMUS CXLV.

Στ. θ'. Ἐπὶ ἅμα τῶν δικαίων, μνημονεύει τῶν προσηλύτων ἡ προκειμένη λέξις, τοὺς μὲν ἀγαπωμένους ὑπὸ Κυρίου, « δικαίους » λεκτέον τοὺς κατὰ Παλαιὰν Γραφὴν εὐαρεστήσαντας αὐτῷ· προσηλύτους δὲ, τοὺς ἀπὸ τῶν ἐθνῶν κληθέντας ἐπὶ τὴν τοῦ Εὐαγγελίου διδασκαλίαν. Πρὸς τούτοις ἐπίστησον, μή ποτε οἱ ἄρτι τῇ θεοσεβείᾳ προσερχόμενοι προσήλυτοι· οἱ δὲ διαβεβηκότες καὶ τελειωθέντες ἐν αὐτῇ, δίκαιοι εἴρηνται. Ὅθεν τοὺς μὲν δικαίους ἀγαπᾷ, φυλάττει δὲ τοὺς προσηλύτους· οἱ γὰρ εὐθέως προσεληλυθότες τῷ λόγῳ τῆς ἀληθείας, ὡς μήπω ἰσχυροὶ καὶ βέβαιοι, δέονται τοῦ φυλάττοντος Κυρίου ἐπὶ τῷ ἀβλαβεῖς διαμεῖναι, τῶν δικαίων διὰ τελειότητος οἰκειουμένων αὐτῷ καὶ ἀγαπωμένων ὑπ' αὐτοῦ.

Στ. ι'. Ἡ « Σιὼν » ἡ σκοπευτικὴ καὶ ἐξεταστικὴ τῆς ἀληθείας, ἤτοι ψυχὴ τελεία, ἢ Ἐκκλησία Θεοῦ ζῶντος· « Βασιλεύσει σου ὁ Θεὸς εἰς τὸν αἰῶνα· » οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος, παρατεινούσης τῆς ἀρχῆς αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. Εἴρηται ἐν τῷ πρὸ τούτου ψαλμῷ περὶ τῆς ἀτελευτήτου βασιλείας αὐτοῦ διατεινούσης εἰς πάντας τοὺς αἰῶνας, καὶ ὡς δεσπόζει εἰς γενεὰν καὶ γενεάν. « Βασιλεύσει » γὰρ « Κύριος εἰς τὸν αἰῶνα· ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν. »

Vers. 9. Quando cum justis simul proselyti hic in versibus memorantur, dicendum erit « justos » a Deo dilectos, qui ipsi juxta Vetus Testamentum placuerunt ; proselytos autem qui de gentibus ad evangelicam disciplinam vocati sunt. Vocantur etiam forte proselyti, qui nuper ad pietatem venerunt, et justi, qui diutius in ea consenuerunt et profecerunt. Unde justos quidem diligit, proselytos vero custodit ; nam qui nuper veritatis sermonem adepti sunt, nondum validi et firmi cum sint, Dei custodia indigent, ut incolumes remaneant ; justi autem propter perfectionem suam cum Deo intima societate conjunguntur et ab eo diliguntur.

Vers. 10. « Sion » scilicet quæ veritatem meditatur et exquirit : anima justa aut Ecclesia Dei viventis. « Regnabit in sæculum Deus tuus : » cui regno non erit finis, cum imperio generationem et generationem complectatur. Præcedenti in psalmo dictum est de infinito Dei regno in omnia sæcula duraturo, et de dominatione ejus in generationem et generationem. Nam « regnabit Dominus in sæculum, Deus tuus, Sion, in generationem et generationem. »

PSALMUS CXLVI.

Στ. α'. « Ψάλατε, » φησὶν· « ἀγαθὸν » γάρ ἐστι καὶ ὠφέλιμον. Ὡς κατὰ τοῦτο, ψαλμὸν αἶνου διαφέρειν οὐδὲν, καὶ μᾶλλον ὅταν ψάλλει τις πνεύματι καὶ

Vers. 1. « Psallite, » inquit : psalmus enim « bonum » et utile. Unde psalmus a laude non differt, præsertim quando quis spiritu et mente psallit.

[5] Deut. xxxii, 4. [6] Psal. cxlii, 10.

(38) Quid si legeretur in recto casu κοινὴ et γενικὴ? Edit.

Digitized by Google

Quodsi autem psallere etiam operari opera iubet, hortetur eos qui bonum hunc psalmum perficiunt, ut Deum quoque laudibus celebrent, et ideo mente simul et opere perfecti Deum lætificent; nam « Sacrificium laudis, » ait, « honorificabit me[7], » et illi qui hoc offerre poterit præcipit Spiritus : « Sacrifica Deo sacrificium laudis. »

A τῷ νῷ. Εἰ δὲ ψάλλειν ἔτι τὸ πρακτικῶς ἐνεργεῖν, τοῖς τὸν ἀγαθὸν τοῦτον ψαλμὸν κατορθώσασι παραινεῖ καὶ διὰ θεολόγίας αἰνεῖν τὸν Θεὸν, ὡς ἂν πράξει καὶ νοήσει τελειωθέντες εὐφραίνωσι τὸν Θεόν· « Θυσία » γὰρ, φησὶν, « αἰνέσεως δοξάσει με· » καὶ τῷ δυναμένῳ προσάγειν αὐτὴν προστάττει τὸ Πνεῦμα· « Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. »

VERS. 5. Spiritualibus his fasciis sanavit Deus vulnera et plagas quibus a Jerusalem ad Jericho itinerans afflictus est.

Στ. γ'. Τοιούτοις δὲ λογικοῖς δεσμοῖς ἰάσατο τὸν τραυματισθέντα καὶ συντριβέντα ἐν τῷ καταβαίνειν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχώ.

PSALMUS CXLVII.

VERS. 4. Quemadmodum Dei sapientia nec terrestris est, nec animalis, nec dæmoniaca, sed desursum, ex Deo profecta; ita et eloquium ejus non terrenum, sed terræ immissum est ad unumquemque eorum qui ipsi ministrare possunt, nec differt ab illo verbo quod Deus hominibus tribuit evangelizantibus cum virtute multa. Quod eloquium pluribus animis concessum et distributum, usque in velocitatem currit, quia verbum Domini. Ita perficitur illud : « In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum[8]. » Vix enim facta Christi ascensione, statim transiit evangelicum verbum in omnem terram quæ sub cœlo est. Videntur hic nobis omnia quasi per parabolam dici. Similitudinem enim quamdam cum Ecclesiæ constitutione videntur habere opera quæ in rerum natura perficiuntur. Nam uti nivis in locum quemdam descendit, et postea pruina solvitur, et aqua profluit, ita divinum verbum in Judæos primum ingruit, et deinde in omnes diffusum est. Verbi igitur emissio, et Spiritus spiratio egregie talibus operibus designatur. Ingresso autem ad homines Verbo, et misso Spiritu, exiit ex Jerusalem in omnem terram sermo sanctæ et salutaris disciplinæ. Per allegoriam indicant nivis et crystallus et nebula tentationes ad probandos sanctos immissas. Quæ autem ab inimicis potestatibus immittuntur, sanctorum charitatem congelare conantur. Nam uti lacus congelatur, ita congelat malitia charitatem. « Ante faciem frigoris hujus quis sustinebit? » Nisi forte hæc ad mentem Petri et Pauli interpretaberis, et Job et Jacob dicentis : « Factus sum diei combustus æstu, et glacie noctis[9]. » Confer etiam cum his, quæ a Moyse dicta sunt : « Exspectetur ut pluvia eloquium meum, et descendant sicut ros verba mea, tanquam imber super herbam, et tanquam stilla super gramen[10]. » Qua enim ratione verba Moysis istis similia, eadem emissum terræ Dei eloquium in omnia prædicta dividitur.

Στ. δ'. Ὥσπερ ἡ ἐκ Θεοῦ σοφία οὐκ ἔστιν ἐπίγειος, οὐ ψυχικὴ, οὐ δαιμονιώδης, ἀλλ' ἄνωθεν ἐξ αὐτοῦ κατερχομένη, οὕτω καὶ τὸ λόγιον αὐτοῦ οὐκ ἐκ γῆς B ὑπάρχον ἀποστέλλεται ἐν τῇ γῇ γινόμενον πρὸς ἕκαστον τῶν διακονεῖν αὐτῷ δυναμένων, τυγχάνον τὸ αὐτὸ τῷ διδομένῳ ὑπὸ Κυρίου ῥήματι τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Εἶτα δοθὲν τοῦτο νεμόμενον πλείονας ψυχὰς, ἕως τάχους δραμεῖται λόγος ὢν Θεοῦ, πληρουμένου τοῦ, « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Ἅμα οὖν γέγονεν ἡ ἀνάληψις αὐτοῦ, καὶ εὐθέως διέδη ὁ εὐαγγελικὸς λόγος ἐν πάσῃ τῇ γῇ, ἥτις ἐστὶν ὑπὸ τὸν οὐρανόν. Πρὸς τὰ εἰρημένα φαίνεται ἡμῖν οἱονεὶ ἐν παραβολῆς τρόπῳ ταῦτα ἐπῆχθαι, τῶν τῆς κοσμικῆς δημιουργίας ἔργων παρατιθεμένων καθ' ὁμοίωσιν τῇ περὶ τὴν Ἐκκλησίαν οἰκονομίᾳ. Ὥσπερ γὰρ χιὼν εἴς τινα καταῤῥυεῖσθαι (39) τόπον, καὶ πάχνη μετὰ ταῦτα λύεται, καὶ ὕδατα προχεῖ, οὕτως ὁ θεῖος Λόγος εἰς Ἰουδαίους C κατασκήψας τὰ πρῶτα, μετὰ τοῦτο ἐπὶ πάντας διακέχυται. Διὸ καὶ ἡ τοῦ λόγου ἀποστολὴ, καὶ ἡ τοῦ Πνεύματος πνεῦσις καλῶς διὰ τῶν κοσμικῶν ἔργων ὑποδηλοῦται. Ὅτι δὴ Λόγου παραγενομένου εἰς κόσμον, καὶ τοῦ Πνεύματος πνεύσαντος, ἐξῆλθεν ἐξ Ἱερουσαλὴμ ἐπὶ πᾶσαν τὴν οἰκουμένην ὁ λόγος τῆς ἱερᾶς καὶ σωτηρίου διδασκαλίας. Κατ' ἀλληγορίαν νοήσῃς τὴν χιόνα καὶ τὸν κρύσταλλον καὶ τὴν ὁμίχλην πειρασμοὺς ἐπαγομένους τοῖς ἁγίοις πρὸς δοκιμήν. Οὗτοι γὰρ ἀπὸ τῶν ἀντικειμένων δυνάμεων ἐπαγόμενοι ψύχειν πειρῶνται τὴν ἐν αὐτοῖς ἀγάπην· ἐπείπερ ὡς ψύχει λάκκος, οὕτως ψύχει κακία αὐτῆς (40). « Κατὰ πρόσωπον τοῦ ψύχους τούτου τίς ὑποστήσεται; » Εἰ μὴ ὁ κατὰ Πέτρον καὶ Παῦλον καὶ τὸν Ἰὼβ καὶ τὸν D Ἰακὼβ τὸν εἰπόντα, « Ἐγενόμην συγκαιόμενος τῷ καυστικῷ τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός. » Πρὸς ταῦτα λήψῃ καὶ τὰ ὑπὸ Μωϋσέως εἰρημένα· « Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡσεὶ ὄμβρος ἐπ' ἀγρόστην (41), καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον. » ὯΙ γὰρ λόγῳ τὰ ῥήματα Μωϋσέως τούτοις ὁμοιοῦται, τούτῳ τῷ λόγῳ τὸ ἀποσταλὲν τῇ γῇ τοῦ Θεοῦ λόγιον, διαιρεῖται εἰς πάντα τὰ εἰρημένα.

VERS. 7. Prudens Dei verbum emissum de cœlo nivem liquefaciet et quæ ejusdem naturæ; præser-

Στ. ζ'. Ὁ προνοητικὸς τοῦ Θεοῦ λόγος ἀποστελλόμενος τήξει τὴν χιόνα καὶ τὰ συναριθμούμενα αὐτῇ.

[7] Psal. XLIX, 23. [8] Psal. XVII, 5. [9] Gen. XXXI, 40. [10] Deut. XXXII, 2.

(39) Legendum videtur καταῤῥεῖ. EDIT.

(40) Forsan legendum αὐτήν, scilicet ἀγάπην. ID.

(41) LXX ἄγρωστιν. Sed verbum mutare nobis religio fuit, ne forte Alexandrinorum more fuerit scriptum, mutato nempe, quod sæpe illis usu venit, ω in ο et ι in η. ID.

Digitized by Google

ἀλλὰ καὶ « πνεύσαντος αὐτοῦ τὸ πνεῦμα, ῥυήσεται· » πνεῦμα δὲ τὸν Νότον φασὶν, εἰς ταῦτα μεταβαλλόντων τῶν προωνομασμένων τῆς χιόνος καὶ τῶν παραπλησίων· εἰ δὲ καὶ πνευματικῶς καὶ τούτων ἀκοῦσαι δεῖ, ὁ σαφηνιστὴς τοῦ Θεοῦ λόγος τῶν λελαλημένων μετ' ἐπικρύψεως ἀποσταλεὶς, τήξει τὴν ὁμίχλην, τὸν κρύσταλλον, τὴν χιόνα, ἐπὶ τῷ πότιμα αὐτὰ ποιῆσαι ἅμα τοῦ πνεύματος αὐτοῦ τοῦ Θεοῦ πνεύσαντος· ἀλλὰ καὶ ὁ λόγος τοῦ Θεοῦ ἀποστελλόμενος εἰς τὴν καρδίαν τῶν αὐτὸν παραδεχομένων, τοὺς αὐτοὺς πειρασμοὺς καὶ ἀφανεῖς καταστήσει. Οἵ τε τῷ πνεύματι ζέοντες, γενναίως τοὺς τοιούτους ὑπομένοντες πειρασμοὺς, διαλύσουσιν αὐτούς.

A tim vero « spirabit spiritus ejus et fluent aquæ. » Spiritum autem dicunt quidam Notum esse, similique ratione nivem et cætera interpretantur. Quodsi vero hæc spiritualiter intelliges, verbum Dei ad illustranda quæ obscure dicta fuerant missum, liquefaciet nebulam et crystallum et nivem, ut, spiritum spirante Deo, potui inservire possint. Verbum Dei in corde eorum missum qui illud suscipiunt, easdem tentationes vel occultas reprimet, et qui spiritu fervent, generose illas perferendo, tentationes solvent.

PSALMUS CXLVIII.

Στ. β'. Ἄγγελοι μὲν ἂν εἶεν οἱ ἐν οὐρανοῖς, δυνάμεις δὲ καὶ τούτων ὑπεράνω τοῖς ὑψίστοις προσήκουσαι, ὑπὲρ τὸ διαγγέλλειν ἀνθρώποις οὖσαι. Ἐν δὲ μόνῃ τῇ παρὰ Θεῷ βεβαιότητι διηνεκεῖ τὸ μακάριον ἔχουσαι, ὁποῖαι καὶ αἱ καλούμεναι παρὰ τῷ Ἀποστόλῳ θρόνοι, ἐνδεικνυμένου τοῦ ὀνόματος τὸ ἐφίδρύσθαι αὐταῖς τὸν Θεόν. Τὰς δὲ ὑποκεῖσθαι τῇ θείᾳ καὶ ὑπὲρ κτίσιν μεγαλειότητι· ἐν τούτῳ δὲ καθεστηκυίας αἰεὶ, καὶ τὸ στάσιμον καὶ πεπηγὸς ἐχούσας ἐν τῇ τῆς θείας δόξης ὑποδοχῇ.

B Vers. 2. Angeli forte sunt in cœlis; virtutes autem superius in excelsis, supra munus hominibus nuntios ferentium exaltatæ. In sola constanti firmitate, quæ apud Deum, beatitudine fruantur, sicut illi qui ab Apostolo throni dicuntur. Indicat quidem nomen his insidere Deum; illas autem divinæ magnitudini subjacere et supra creaturam esse, ita semper constitutas; et divinæ gloriæ traditione stabilitas ac confirmatas.

PSALMUS CXLIX.

Στ. α'. Οἱ τὸν νέον ἄνθρωπον ἐνδυσάμενοι, ᾄδειν δύνανται μόνοι τὸ καινὸν ᾆσμα, τῷ φρονεῖν καὶ πράττειν τὰ τῆς Καινῆς Διαθήκης, δουλεύοντες καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Οἵ καὶ συμπληροῦσιν Ἐκκλησίαν ὁσίων, κατορθοῦντες τὰ ὅσια Δαυὶδ τὰ πιστὰ, καὶ ὁσιωτάτην ἔχοντες δικαιοσύνην πρὸς τὸν Θεόν· δι' ὧν κατορθουμένων αἰνοῦσι τὸν Κύριον (42).

C Vers. 1. Præter eos qui novum hominem induerunt, non est qui novum canticum cantare possit. Quippe qui doctrinam Novi Testamenti sapiunt, inservientes novitati spiritus, et vetustatem litteræ respuentes. Qui etiam Ecclesiam sanctorum complent, sancta David fidelia perficientes, et sanctitatem habent justitiam coram Deo: quæ perficiendo Deum laudant.

PSALMUS CL.

Στ. γ'. Ὁ μὴ ἐπαισχυνόμενος Ἰησοῦν καὶ τοὺς λόγους αὐτοῦ, μετὰ παῤῥησίας σαφῶς καὶ μεγαλοφώνως τὰ τῆς θεολογίας προφέρων, αἰνεῖ αὐτὸν καὶ τὸν Πατέρα αὐτοῦ « ἐν ἤχῳ σάλπιγγος. » Ὅθεν καὶ οἱ τῆς ἀληθείας κήρυκες ἐπὶ τῷ παῤῥησιέστερόν καὶ σαφῶς ἀπαγγέλλειν τὴν διδασκαλίαν, ἐντολὴν ἔχουσιν ὡς σάλπιγγι ἑαυτῶν ὑψοῦν τὴν φωνήν. Εἴρηται γοῦν πρὸς αὐτούς· « Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου. » Ἀλλὰ καὶ ἡ τῶν νεκρῶν ἀνάστασις, ὅπως πᾶσι τοῖς ἀνισταμένοις φανερὰ καταστῇ, διὰ σάλπιγγος σημαίνεται· « Σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι. » Καὶ ἐν ἑτέρᾳ Ἐπιστολῇ· « Ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπὸ οὐρανοῦ ἐπὶ τῷ τοὺς κεκοιμημένους ἐν Χριστῷ ἀναστῆναι. » Ὡς οὖν τὸ πρόσταγμα τῆς ἀναστάσεως φανερούμενον πᾶσιν ἐπὶ τῷ δικαίους καὶ ἀδίκους ἀναστῆναι τῷ μεγαλοφώνῳ τῶν

D Vers. 3. Qui in Jesu et in sermonibus ejus non erubescit, sed palam clara et alta voce divinam doctrinam profitetur, laudat Dominum et Patrem ejus « in sono tubæ. » Ideo veritatis doctores, ut clarius et altius disciplinam suam prædicent, jubentur quasi tuba vocem suam exaltare [11]. Dictum est etiam ad eos: « Clangite tuba in Sion, prædicate in monte sancto meo [12]. » Mortuorum quoque resurrectio, ut resurgenti cuique denuntietur, tuba significanda: « Canet enim tuba, et mortui resurgent incorrupti [13]. » Et in alia Epistola: « In voce archangeli et in tuba Dei descendet de cœlo, ut resurgant qui in Christo mortui sunt [14]. » Quemadmodum igitur resurrectionis præceptum organorum sonitu revelatur, ut omnes justi et injusti resurgant, ita et Dei laus eodem organo proferenda. « Laudate eum in psalterio et cithara. » Quid sit psalterium

[11] Isa. LVIII, 1. [12] Joel. II, 15. [13] I Cor. XV, 52. [14] Thren. IV, 15.

(42) Ita adamussim S. Augustinus in sermone Vaticano XXIV, 2. Jam vero ibi nos animadvertimus, Augustinum sequi presse Origenem, cujus verba nomenque ipsum nos ibi protulimus. Nunc autem videmus Didymum quoque ab Origenis verbis vix discedere. Objiciet aliquis: Quomodo Augustinus, Græce prope ignarus, Origenem legebat? Nempe, inquam ego, in Latina Rufini interpretatione quæ jam exstabat; sicut apud eumdem Rufinum legebatur ab eodem Gregorius Nazianzenus, qui Latine inter Rufini scripta adhuc superest. Adhuc unum addam. Didymum scripsisse etiam *in Ecclesiasten* commentarios, constabat ex Damasceni *Parallelis* ubi laudantur, p. 685. Nunc in codice Vaticano pervetusto 750, 23 b, in catena ad Jobum perspicue legitur ΔΙΔΥΜΟΥ ΕΙΣ ΤΩ (dic τὸν) ΕΚΚ. Didymi autem verba ad Job II, 7, sunt: πονήρῳ παροξυτόνως ἀνάγνωθι, ἵνα σημαίνῃ τὸ ἀπεχθὲς καὶ ἐπίπονον; quæ quidem exstant in Junii catena, p. 77, sed perverse adjuncta Polychronio, erepta Didymo.

Digitized by Google

et cithara, et qua ratione sese invicem habeant, supra dictum est. Laudamus igitur Deum in mente et in spiritu psallentes; hoc enim psalterium; nam spiritus et mens desursum ex Deo propter sublimitatem doctrinarum consonant,

A ὀργάνων, γνωρίζεται ἀκόλουθον καὶ τοῦ Θεοῦ αἶνους ταυτῷ τῷ ὀργάνῳ προφέρεσθαι. « Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. » Ὅτι τὸ ψαλτήριον καὶ ἡ κιθάρα, καὶ ποίαν ἔχουσι πρὸς ἄλληλα διαφοράν, ἐν τοῖς προάγουσιν εἴρηται (43). Αἰνετέον οὖν Θεὸν

ψάλλοντες ἐν πνεύματι καὶ νῷ· τοῦτο τὸ ψαλτήριον. Τὸ γὰρ πνεῦμα καὶ ὁ νοῦς ἄνωθεν ἐκ Θεοῦ δι' ὑψηλότητα δογμάτων συνηχεῖ.

Vers. 5. Indicat illud: « laudate eum in cymbalis benesonantibus, » meo quidem judicio, Dominum nobis voce distincta celebrandum esse. Hunc enim sensum confirmare videtur Apostolus, dicens: « Factus sum velut æs sonans, aut cymbalum tinniens [18]. » Nisi enim, inquit, mente simul et lingua loquar, et interpreter quæcunque lingua proferuntur, auditores inanes tantum voces percipient, ita ut eis barbaro sermone uti videar. Dum nil præter vocum sonitus percipiunt, fit eis æs sonans aut cymbalum tinniens, aures inaniter pulsans et circumstrepens. Laudemus igitur Deum distincta voce, sanctos viros imitati. De his enim dictum est: « Narratio justi semper sapientia. » Et alias: « Os justi meditabitur sapientiam, et lingua ejus loquetur judicium, lex Dei ejus in corde ipsius [19], » hoc est, mente et lingua et ore celebrat Deum. Cymbalum bene sonans vocat suavem et gratam vocem, præclare opera prædicantem, « cymbalum jubilationis » cantum dixit de superatis et devictis hostibus.

Στ. ε'. Δηλοῦσθαι νομίζω διὰ τὸ « αἰνεῖσθαι αὐτὸν ἐν κυμβάλοις εὐήχοις, » τὸ δεῖν καὶ φωνῇ τῇ κατὰ προφορὰν ὑμνεῖν διὰ θεολογίας τὸν Κύριον. Παρίσταται δέ μοι τοῦτο νοεῖν ἐκ τῆς τοῦ Ἀποστόλου λέξεως γράφοντος οὕτω· « Γέγονα χαλκὸς ἠχῶν καὶ κύμβαλον ἀλαλάζον. » Εἰ γάρ, φησι, μὴ νῷ καὶ γλώσσῃ λαλήσω, μηδὲ ἑρμηνεύων ἕκαστα τῶν ὑπὸ τῆς γλώτ-

B της εἰρημένων, ἀντιλήψει τοῦ ἀκροατοῦ μόνης φωνῆς ἄνευ διανοίας ἐχόντος, ὡς δοκεῖν αὐτῷ βάρβαρον εἶναι τὸν λαλοῦντα. Φωνῆς ἦχου μόνον αἴσθησιν ἔχοντος, γίνεται αὐτῷ χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον, κροῦον καὶ περιβομβοῦν μόνον τὴν ἀκοὴν αὐτοῦ. Δοξολογῶμεν τοίνυν Θεὸν, καὶ στη.. προφορᾷ μιμούμενοι τοὺς τελείους δικαίους ἄνδρας· εἴρηται γὰρ περὶ ἑκάστου τούτων τὸ, « Διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία· » ὁμοίως καὶ, « Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, » τουτέστιν νῷ καὶ γλώσσῃ καὶ στόματι ὑμνεῖ Θεόν· εὔηχον δὲ κύμβαλον εἶπεν τὴν ἐμμελῆ καὶ μεμουσωμένην φωνὴν, ἀριδήλως σημαίνουσαν τὰ πράγματα. Τὴν δὲ αὐτὴν « κύμβαλον ἀλαλαγμοῦ » φησι προφερόμενον ἐπινίκια κατὰ ἀλόντων καὶ ὑπὸ (χεῖρα) γενομένων τῶν ἐχθρῶν.

Vers. 6. Quando omnia in omnibus Deus erit, complebitur hoc effatum; nam succurrens infirmitati nostræ, dat nobis spiritus divini mentem, uti de primo homine scriptum est: « Et insufflavit in faciem ejus flatum vitæ, et factus est homo in animam viventem [17]. » Nam vita et fons vitæ is est qui dixit: « Ego sum vita [18]. » De qua vita dictum est Patri: « Apud te est fons vitæ [19]. » Cujus beatificantis et sanctificantis vitæ flatus, ubi ad hominem venerit, vivam efficit animam ejus, ita ut gratias agens qui tanta adeptus est, dicat: « Et anima mea ipsi vivet [20]. » Hoc dono non fruitur alius præter eum qui Jesu sermonem susceperit: « Qui credit in eum qui misit me, habet vitam æternam [21]. » Hunc flatum largietur iis qui terrena despiciunt et ea calcant quæ populo subjacent, uti propheta de ipso testatur: « Sic dicit Dominus Deus, qui fecit cœlum, et firmavit terram, et qui dat spirationem populo qui super eam, et spiritum calcantibus eam [22], » terram videlicet. Dictum est etiam a vetere quodam: « Spiratio autem omnipotentis est quæ me docet [23]. »

Στ. ς'. Ὅτε πάντα ἐν πᾶσιν ὁ Θεὸς γενήσεται, πληρωθήσεται ἡ προκειμένη λέξις· βοηθῶν γὰρ τῇ ἀσθενείᾳ ἡμῶν, νόησιν πνοῆς θείας ὑμῖν ἐνδίδωσιν, ὡς καὶ περὶ τοῦ πρώτου ἀνθρώπου ἀναγέγραπται τὸ, « Ἐνεφύσησεν. εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. » Ζωὴ γὰρ καὶ πηγὴ ζωῆς ὁ εἰπών, « Ἐγώ εἰμι ἡ ζωή. » Περὶ ἧς ζωῆς εἴρηται τῷ Πατρὶ, « Παρὰ σοὶ πηγὴ ζωῆς. » Ταύτης τῆς μακαριοποιοῦ καὶ ἁγιαστικῆς ζωῆς πνοὴ εἰς τὸν ἄνθρωπον ἐρχομένη, ζῶσαν τὴν ψυχὴν αὐτοῦ παρασκευάσει, ὥστ' ἂν εἰπεῖν εὐχαιρικῶς (44) τὸν τούτου τυχόντα, « Ἡ ψυχή μου αὐτῷ ζῇ. » Ταύτης τῆς δωρεᾶς μόνος ἀπολαύει ὁ τὸν Ἰησοῦ λόγον δεξάμενος, « Καὶ πιστεύσας τῷ ἀποστείλαντί με, ἔχει ζωὴν αἰώνιον. » Ταύτην τὴν πνοὴν ἀ.. ατω.. ὁρέγει..

D τοῖς ὑπεραναβεβηκόσιν τὰ αἰσθητὰ καὶ πατοῦσιν.. τὰ κα..μένοις λαῷ αὐτοῦ, ὡς εἶπεν ὁ προφήτης περὶ αὐτοῦ· « Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ στερεώσας τὴν γῆν, ὁ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· » φανερῶν δὲ ὅτι τὴν γῆν. Εἴρηται δὲ καὶ πρός τινος ἀρχαίου. « Πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσά με. »

[18] I Cor. XIII, 1. [19] Psal. XXXVI, 30. [17] Gen. II, 7. [18] Jos. XIV, 6. [19] Psal. XXXV, 10. [20] Psal. XXI, 31. [21] Jos. VI, 47. [22] Isa. XLII, 5. [23] Job XXXII, 8.

(43) Confer psal. IV, in titulo.

(44) *Εἰσχαιρικῶς*. Vox inaudita, quam tamen, ratione habita græcitatis Didymianæ, vix operarum errori tribuere ausim, qui ex alio quodam adverbio, v. c. εὐχαριστικῶς, barbaram hanc scripturam effinxerint. Edit.

Digitized by Google

DIDYMI FRAGMENTA ALIA IN PSALMOS.

EX CODICE NANIANO XXIII.

(*Græci codices mss. apud Nanios patricios Venetos asservati*, ed. Mingarelli, Bononiæ 1784, in-4°.)

Codex membraneus, in quarto, constans foliis 86, scriptus sæculo x, mutilus in fine. Quin etiam cum plurimis in paginis litterarum vestigia omnino interierint, non magni usus esse potest.

Continet collectanea, seu catenam in Psalmos, nempe a psalmo primo usque ad centesimum quartum : reliqua enim perierunt. Quinam sit auctor, ignoro. In prima pagina vix aliud verbum superest, præter hunc titulum : Βίβλος Ψαλμῶν. In mediis paginis scripti sunt psalmi, in marginibus vero catena, seu commentaria, vel scholia. Prima verba catenæ quæ supersunt, incipiunt in secunda pagina folii primi sic : ε' (id est vers. 5) : *Οὐχ οὕτως οἱ ἀσεβεῖς* · — (id est *Non sic impii.*) Τῷ διπλασιασμῷ τῆς ἀπαγορεύσεως σαφέστερον τὴν... ἰότητα δείκνυσιν· εἶτά φησιν· ἀλλ' ἡ ὁ χνοῦς καὶ τὰ ἑξῆς· ἐκεῖνοι γάρ, φησίν, ὑπὸ τῶν θείων ἀρδόμενοι λόγων, ἀεί, etc.

Patres, quorum verba passim afferuntur in hac catena, sunt Chrysostomus, Basilius, Hesychius, Theodoretus, Origenes, Athanasius, Arethas archiepiscopus, Eusebius, Didymus, Diodorus, Aquila, Maximus, Theologus (nempe Gregorius Nazianzenus), Isidorus, Theodotio, Gregorius Nyssenus, Theodotius (nam fol. 52 *b*, et 61 *a*, et 62 *b* legitur Θεοδωτίου), Cyrillus et Symmachus. Nonnulla placet modo hujus catenæ specimina exhibere. Ac primo quidem omnia, quæ ibi exstant Didymi Alexandrini, loca exscribam, hunc præ cæteris auctorem eligens, quod ejus libros *De Trinitate* olim ediderim.

I. Fol. 14 *a*. Ad versiculum 15 psalmi noni : A *Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ*, etc., hæc leguntur : Διδύμου· — Μετὰ ἄρθρου ῥηθεὶς ὁ ἁμαρτωλὸς τὸν διάβολον δηλοῖ· οὗ ὁ βραχίων ὑπὸ τοῦ Κυρίου συντρίβεται, καὶ ἡ ἁμαρτία αὐτοῦ ζητουμένη οὐχ εὑρίσκεται· ἔχουσα ἐν τῷ ἐπιτελεῖσθαί τὸ εἶναι καὶ πανομένη· τὸ γὰρ κακὸν ποιότης ἐστὶν, οὐκ οὐσία.

II. Fol. 27 *b*. Ad versiculum quartum psalmi XX : *Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου*, hæc leguntur : Διδύμου· — Ἐξ ὧν ἐπιτηδεύει τις στεφανοῦται· ὅ τε γὰρ δίκαιος τὸ δίκαιον διώξας ἀπολήψεται τὸν τῆς δικαιοσύνης στέφανον· ὅ τε περὶ Τριάδος δοξάζων ὀρθῶς· κομιεῖται τὸν ἀμαράντινον τῆς δόξης στέφανον κατατρυφήσας B δέ τις τοῦ Κυρίου, στεφάνῳ τρυφῆς ὑπερασπίζεται· καὶ ὁ χάριτι σωθεὶς, στέφανον χαρίτων δέχεται.

III. Fol. 28 *a*. Ad versiculum nonum ejusdem psalmi : *Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε*, hæc habentur : Διδύμου· — Ἡ τοι τιμωρουμένη ἢ πολεμοῦσα τοὺς ἀντιτεταγμένους τῷ θείῳ νόμῳ κατὰ τό· Πολεμεῖ Κύριος χειρὶ κρυφαίᾳ ἐπὶ Ἀμαλήκ· λέγοι δ' ἂν ἐχθροὺς, καὶ τοὺς ἀθέους· ὥστε δι' ὧν πάσχουσιν γνῶναι τὸν ἐπιστατοῦντα τοῖς ὅλοις Θεόν. — (Quæ sequuntur, nescio an sint Didymi.) Ἄλλο· — Τὰς μετὰ τὸν σταυρὸν τιμωρίας αἰνίττεται τῶν Ἰουδαίων. — Οἱ μὲν ἐχθροὶ τοῦ Θεοῦ εὑρίσκουσιν αὐτόν· οἱ δὲ μισοῦντες αὐτὸν εὑρίσκονται ὑπ' αὐτοῦ· καὶ διὰ μὲν τοῦ νόμου εὑρίσκομεν Θεόν· C διὰ δὲ τῶν Εὐαγγελίων εὑρισκόμεθα ὑπ' αὐτοῦ· ἢ διὰ πρακτικῆς μὲν εὑρίσκομεν αὐτόν· διὰ δὲ γνώσεως εὑρισκόμεθα ὑπ' αὐτοῦ, ἐχθροὶ ὄντες τὸ πρότερον καὶ ξένοι τῶν διαθηκῶν τοῦ Θεοῦ· ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ.

IV. Fol. 28 *b*. Ad versiculum 12 ejusdem psalmi : *Ὅτι ἔκλιναν εἰς σὲ κακά· διελογίσαντο βουλὰς* (ita codex) *ἃς οὐ μὴ δύνωνται στῆσαι*· hæc habentur : *Ὅτι ἔκλιναν εἰς σὲ κακά*· — ἐπειδὴ κατὰ σοῦ τὴν γλῶσσαν ἐκίνησαν καὶ βλασφήμοις λόγοις ἐχρήσαντο. — In margine vero scriptum est Διδύμου· sed puto Didymi esse non hæc, sed quæ sequuntur, nempe : Ὅτι κατ' ἔκκλισιν ἐπιτελεῖται τὰ κακὰ καὶ οὐ κατ' εὐθήτητα ὥσπερ τὰ ἀγαθά. Διὰ πάντων δὲ οἱ φαῦλοι διαστραφέντες· καὶ ἀδυνάτοις ἐπιχειροῦσιν· διαλογίζονται γὰρ ἐπιβουλευτικῶς κατὰ τοῦ βλάβην μὴ ὑπομένοντος.

V. Fol. 47 *b*. Ad versiculum 2 psalmi LVI : *Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία*, hæc habentur : Διδύμου· — Σκιὰν πτερύγων, τὴν θείαν κηδεμονίαν καλεῖ· εἰ δὲ προσδιαστέλλεται ἡ σκιὰ τῇ ἀληθείᾳ, τοῦτό φησιν· ὅτι ἐν τῷ βίῳ τούτῳ τυγχάνων· ἐν τῇ σκιᾷ τῶν πτερύγων εἰμὶ ἐλπίζων καὶ ἐπ' αὐτὰς τὰς πτέρυγας ἐλθεῖν ἐπτερωμένος τῇ ἀρετῇ, καὶ νοήσει τῇ πνευματικῇ· πτέρυγες γὰρ Θεοῦ· ωστ κ ... αστι ... καὶ τοῦ Θεοῦ δυνάμεις· καὶ αἱ ὑψιπετεῖς περὶ αὐτοῦ νοήσεις· καὶ μετ' ὀλίγα· ἐπεὶ δ' ἂν δὲ παρέλθῃ ἡ ἀνομία· καὶ ἡ κατ' ἐμοῦ ἐπιβουλὴ, καὶ ὁ ὠνομασμένος ἐπηρεαστὴς, οὐκέτι ἐν τῇ σκιᾷ· ἀλλ' ἐν αὐταῖς ταῖς σαῖς πτέρυξι· ὡς ἂν προσκόψας· καὶ ἠλευθερωμένος πάσης ἀνόμου πράξεως ἐλπιῶ.

VI. Fol. 49 *b*. Ad versiculum decimum psalmi LVII, ad ea verba : *Ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς*, hæc leguntur : *Ὡσεὶ ζῶντας ὡσεί*· — Διδύμου· — Οὐ γὰρ ζῶντες, ἀλλὰ ζῶσιν ὁμοιοι τυγχάνοντες ὑπὸ ὀργῆς συλληφθήσονται· τὸ γὰρ καταπιεῖν τὸ κρατῆσαι σημαίνει· ὡς τοῦ καταποθέντος ἤδη κεκρατημένου καὶ νενικημένου.

VII. Fol. 50 *b*. Ad versum nonum et decimum psalmi LVII : *Καὶ σὺ, Κύριε, ἐκγελάσεις αὐτούς*·

Digitized by Google

ἐξουδενώσεις πάντα τὰ ἔθνη. Τὸ κράτος μου πρὸς σὲ φυλάξω. Ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, hæc leguntur : *Καὶ σὺ, Κύριε, ἐκγελάσεις αὐτούς*· — Ἐκεῖνοι μὲν οὖν ἐκεῖνα τολμῶσιν· καὶ σὺ δὲ ἀκούεις καὶ βλέπεις καὶ γελᾷς αὐτῶν τὴν ἄνοιαν. — Τοῦ Χρυσοστόμου· — Ἔθνη ἐνταῦθα τὰς τῶν δαιμόνων λέγει φυλάς· — Τὸ κράτος μου πρὸς σὲ φυλάξω· — Ὁ Υἱός φησι τῷ Πατρὶ, *πρὸς σέ*· τουτέστιν παρὰ σοί. — Διδύμου· — Οὐ σφετερίσασθαι τὴν βασιλείαν προαιροῦμαι· ἀλλ' ἐκδέχομαι παρὰ σοῦ αὐτὴν λαβεῖν· θαῤῥῶ δὲ τῇ πείρᾳ γνοὺς πολλάκις, ὅτι καὶ Θεὸς καὶ ἀντιλήπτωρ μου τυγχάνεις· κἂν γὰρ μὴ ἐξ ἐμῆς δυνάμεως ἄξιός εἰμι λαβεῖν τὸ βασιλεύειν, ἀλλά γε τὸ σὸν ἔλεος προφθάσαν, ἐπιδείξει μοι ἐν τοῖς ἐχθροῖς μου· ὡς αὐτοὶ μὲν κολασθήσονται· ἐγὼ δὲ τὴν βασιλείαν λήψομαι παρὰ σοί.

VIII. Fol. 52 *a*. Ad versiculum tertium psalmi LIX : *Ὁ Θεὸς, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς· ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς*, hæc leguntur : *Ὁ Θεὸς, ἀπώσω ἡμᾶς καὶ καθεῖλες*· — Ἐνταῦθα τὴν αἰχμαλωσίαν προλέγει· εἶτα τοῦ Θεοῦ τὸ δίκαιον καὶ φιλάνθρωπον· — Ὠργίσθης καὶ ᾠκτείρησας· — Α (nempe Ἀθανασίου, ut puto)· Θυμωθεὶς μετέστρεψας ἡμᾶς· Σ'. Ὠργίσθης καὶ περιήγαγες ἡμᾶς. Διὰ μὲν γὰρ τὰς παρανομίας ὠργίσθης· μετὰ δὲ τὴν τιμωρίαν ἠλέησας. — Διδύμου· — Ἐλεγκτέον τοὺς ἀμυντικὸν φρονοῦντας εἶναι τὸν δημιουργόν· ὀργίζεται γὰρ ὁ Θεὸς, οὐχ ἵνα ἀπολέσῃ· ἀλλ' ἵνα οἰκτειρήσῃ· τούτῳ συνᾴδει τό· Εὐλογήσω σὲ, Κύριε· ὅτι ὠργίσθης μοι εἰς σωτηρίαν· εἰ γὰρ εἰς σωτηρίαν ὀργίζεται, οὐ πάθος ἡ ὀργή· ἀλλὰ χρησίμως παραλαμβάνεται.

IX. Fol. 52 *b*. Ad versiculum decimum ejusdem psalmi, ad ea verba : *Μωὰβ λέβης τῆς ἐλπίδος μου*, hæc leguntur· Διδύμου· — *Μωὰβ λέβης τῆς*· — Τὰ ἀπορῤῥαγέντα μέρη συνάπτει δι' ὁμοιότητος· Μωὰβ γὰρ λέβης λουτροῦ ἢ λέβης ἀμεριμνίας· ὁ γὰρ ἀπόβλητος Μωὰβ διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος ὃ ἄφεσιν ἔχει καὶ ἀμεριμνίας πρόξενον γίνεται· καὶ οἱ ἀλλόφυλοι πάντες ὑπετάγησαν· τῷ ζυγῷ τοῦ Χριστοῦ ὑποκύψαντες.

X. Fol. 53 *a*. Ad versiculum tertium psalmi LX : *Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα*, hæc habentur : *Ἀπὸ τῶν περάτων τῆς γῆς*· — Διδύμου· — Γῆν τὸ σῶμά φησι· πέρατα γῆς τὰ αἰσθητήρια· ἀφ' ὧν καλὸν κράζειν πρὸς τὸν Θεὸν καὶ προσεύχεσθαι· ἵνα μηδεμίαν αἴσθησιν ἀντιπράττουσαν ἔχωμεν. — Ὠριγένους· — Γῆν τὴν κακίαν· ἧς ὁ ἐξελθὼν κράζει πρὸς τὸν Θεόν.

XI. Fol. 59 *a*. Ad versiculum sextum psalmi LXV : — *Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ*, hæc leguntur : *Ἐκεῖ εὐφρανθησόμεθα*· — Διδύμου· — Ἐκεῖ ἀντὶ τοῦ ἐν τοῖς τοιούτοις θαύμασιν εὐφράνθημεν ἐν τῷ Θεῷ· ἐνήλλακται γὰρ ὁ χρόνος ὡς καὶ ἐν τῷ· *ὁ μετιστρέφων*, ἀντὶ γὰρ τοῦ, ὁ μεταστρέψας.

XII. Fol. 65 *a*. Ad versiculum quintum psalmi LXVIII, ad ea verba : *Ἃ οὐχ ἥρπαζον τότε ἀπεδίδουν*, hæc habentur : Διδύμου· — Εἰ καὶ ἀπέδωκεν ἃ μὴ ἥρπασεν· ἀλλ' οὖν ἡμᾶς ἐλυτρώσατο· καὶ τοῦτ' ἔστιν ἀποτινύναι, ἐξαλείφων τὸ καθ' ἡμῶν χειρόγραφον, ἃ ἠναγκάσμεθα ἀποτινύναι ἐπιφερόμενα καθ' ἡμῶν, ἐξήλειπται ταῦτα καὶ ἦρται ἐκ τοῦ μέσου ἀφέσεως ἁμαρτιῶν δοθείσης.

XIII. Fol. 66 *a*. Ad versiculum 14 ejusdem psalmi : *Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ, Κύριε· καιρὸς εὐδοκίας, ὁ Θεὸς, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου* (sic), etc., hæc habentur : Καιρὸς εὐδοκίας· — Ὁ Σύμμαχος οὕτως· καιρὸς διαλλαγῆς, ὁ Θεός· ἱκανή φησι..... ἐπενεχθεῖσά μοι τιμωρία καιρ..... την λυθῆναι, καὶ τὴν φιλανθρωπίαν τὴν σὴν ἀναφανῆναι· εὐδοκίαν γὰρ τὸ ἀγαθὸν καλεῖ θέλημα. — Διδύμου· — Ἵν' ἐμοῦ ζωοποιουμένου, σὺν ἐμοὶ ζωοποιηθῶσιν οἱ δι' ἁμαρτίας νεκροί.

XIV. Ibidem, ad versiculum 15 ejusdem psalmi, ad ea verba : *Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων*, hæc leguntur : *Ῥυσθείην ἐκ τῶν*· — Βάθος ὑδάτων..... ων ἐπαγομέν..... ἐκάλεσεν τιμωρία..... —— Διδύμου· — Βάθος ὑδάτων ἐστὶ..... εἰς ὃ γίνονται γενναίω..... τ'..... παρά..... α φέροντες· ἀφ' οὗ..... μένου, ῥύεσθ..... μένους εἰπεῖν ἐπ..... κραξάμενο..... βάθους δὲ τῶν ὑδάτων γράφει, οὐχὶ δὲ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

XV. Fol. 67 *a*. Ad versiculum 22 et 23 ejusdem psalmi : *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν· καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα*, etc., hæc leguntur : *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χο....* — Καὶ αὐτήν μοι, φησὶ, τὴν τροφὴν, πικρὰν καὶ ἀνιαρὰν κατεσκεύασαν. Ἀνήδονος γὰρ τοῖς μετ' ὀδύνης ἐσθίουσιν καὶ ἡ ἡδίστη τροφή· — *Γενηθήτω ἡ τράπεζα αὐτῶν*. — Τοῦ Χρυσοστόμου· — Τουτέστιν ἡ τρυφή· τὰ ἀγαθὰ πάντα μεταβαλλέσθω καὶ ἀπολλύσθω· καὶ γενέσθωσαν πᾶσιν εὐεπιχείρητοι· καὶ δηλῶν ὅτι ἁμαρτημάτων τίνουσι (sic) δίκην ταῦτα πάσχοντες, ἐπήγαγεν· καὶ εἰς ἀνταπόδοσιν· παγίδας δὲ τὰς τιμωρίας καλεῖ· ἐσκοτίσθησαν δὲ, τὸν τῆς δικαιοσύνης ἥλιον μὴ δεξάμενοι. — Διδύμου· — Τράπεζα, ἡ θεόπνευστος Γραφή· ἧς ἡ μὲν θεωρία καὶ ἡ νόησις ψυχῶν λογικῶν τροφὴν περιέχει· ἡ δὲ λέξις τραπέζης λόγον ἐπέχει.

XVI. Fol. 69 *a*. Ad versiculum 14 psalmi LXX : *Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπὶ σέ· καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου*, hæc leguntur : *Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ*· — Ταῦτα γὰρ ὁρῶν γινόμενα τῇ εἰς σὲ ἐλπίδι βεβαιωθήσομαι· καὶ πολλαπλασίαν προσοίσω τὴν ὑμνῳδίαν. — Διδύμου· — Προσθήκην ἐποιήσατο τοῖς τοῦ Πατρὸς ὕμνοις ὁ Υἱός· τὴν Καινὴν Διαθήκην πρὸς τῇ Παλαιᾷ παραδούς· οὐ γὰρ ἀνεῖλεν τὰ πρῶτα εἰσάγων τὰ δεύτερα· προσθήκην δὲ ἐποιήσατο.

XVII. Fol. 80 *b*. Ad versiculum 14 psalmi LXXIX : *Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ· καὶ μονὰς*

Digitized by Google

ἄγριος κατενεμήσατο αὐτήν, hæc leguntur : Ἐλυμήνατο αὐτὴν ὗς· — Τὰς διαφόρους τῶν Ἀσσυρίων ἐφόδους διὰ τούτων ἐδήλωσεν· ἐπειδὴ δὲ ἔμπελον τὸν Ἰσραὴλ προσηγόρευσεν, εἰκότως σῦν ἄγριον ὠνόμασεν τὸν τούτῳ πολέμιον· διαφερόντως γὰρ τόδε τὸ θηρίον, ἀμπέλων πολέμιον· μονιὸν δὲ ἄγριον καλεῖ, τὸν καθ' ἑαυτὸν διάγοντα· ὃς τῶν ἄλλων ἐστὶν ἀγριώτερος· ἐπειδὴ τοίνυν καὶ Ναβουχοδονόσορ τῶν ἄλλων βασιλέων θηριωδέστερος ἦν, εἰκότως αὐτὸν ὠνόμασεν μονιὸν ἄγριον. — Διδύμου· — Τὰ λυμαινόμενα αὐτὴν ἄγριά εἰσι πάθη καὶ αἱ πονηρόταται δυνάμεις· ὃς γὰρ αἰσχραὶ ἐπιθυμίαι καὶ ἀκόλαστοι ἡδοναί· ἃς διὰ τὸ ἀκάθαρτον ἐν δρυμῷ· τουτέστιν ἐν ἀκάρποις φυτοῖς εἰκότως λοχᾷν· περὶ γὰρ τὰς ἀλόγους ὁρμὰς τὰ πάθη ταῦτα ἐγκρύπτεται· θυμοὺς δὲ καὶ ὀργὰς ἀποσημαίνειν δύναται ἡ τοῦ μονιοῦ προσηγορία.

XVIII. Fol. 81 *a*. Ad versiculum 18 ejusdem psalmi : *Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου· καὶ ἐπὶ Υἱὸν* (ita codex) *ἀνθρώπου ὃν ἐκραταίωσας ἑαυτῷ*, etc., hæc habentur : Διδύμου· — Ἐκραταίωσεν ἑαυτὸν, οὐκ ἐάσας αὐτὸν ἐκ καταβολῆς σπέρματος ἀνδρὸς τὴν σύστασιν ἔχειν τοῦ σώματος· Πνεύματος γὰρ ἁγίου ἐπελθόντος τῇ Παρθένῳ, ὁ ἅγιος τόκος ὑπέστη· ὃς καὶ ἡτοιμάσατο τὴν ἄμπελον πρὸς καρποφορίαν.

Hactenus omnia Didymi loca, quæ supersunt, aut legi possunt in hacce catena, exscripsi. Fol. quidem 42a legebatur alius Didymi locus, sed nunc litteræ evanuerunt.

DIDYMI FRAGMENTA IN PROVERBIA.

(Angelo Mai. *Bibliotheca nova Patrum*, tom. VII, parte II, pag. 57.)

A Didymo Alexandrino Salomonis Proverbia commentariis fuisse explanata, evidenter testantur catenæ, Latinæ nempe Peltani, Græcæ autem codicum Vaticanorum 1802 (A); Vat. Ottob. 117 (B); *Vat. reg.* 77 (*C*); *ne alia ab extraneorum bibliothecarum codicibus testimonia frustra accersam. Habere se Didymi hoc opus, aiebat Cassiodorus* Inst. div. litt. *cap.* 5 : « *In quo libro* (*Proverbiorum*) *Didymum expositorem in Græca lingua reperimus, qui ab amico nostro, viro disertissimo Epiphanio, in Latinum sermonem diligentissime translatus est.* » *Cum jam nos volumine quarto Didymum in secundam ad Corinthios, et ad Joannis Evangelium, quantum licuit, collegerimus ; nunc haud inviti reliquias ejus ad divina Proverbia corrasimus, quæ quindecim ferme paginas nobis confecerunt.*

ΕΚ ΤΩΝ ΔΙΔΥΜΟΥ

ΕΙΣ

ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ ΕΞΗΓΗΣΕΩΝ

EX DIDYMI

IN PROVERBIA SALOMONIS COMMENTARIIS

CAPUT PRIMUM.

Παροιμία ἐστὶν οἷον, Γλυκὺς ἀπείρῳ πόλεμος, B καὶ, Ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν.

Ἡ παροιμία εἴρηται· Ἐν ἀρχῇ γὰρ ἔτι τῶν τρίβων οὐσῶν ἀσήμων, τὰ νῦν προσαγορευόμενα μίλια παρὰ Ῥωμαίοις, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐτίθεσαν, καὶ τούτοις ἐπέγραφόν τινα ζητήματα. Τοῦτο γὰρ ἐποίουν δυοῖν ἕνεκεν, τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τὸ ποσὸν τῆς ὁδοῦ, καὶ τοῦ, ἀναγινώσκοντα τὸ ἐπίγραμμα, καὶ περὶ τὴν τούτου σαφήνειαν γινόμενον, τοῦ καμάτου ἐπικουφίζεσθαι. Οἶμος γὰρ λέγεται ἡ ὁδός.

Proverbium est veluti si dicas : Dulce est inexperto bellum ; et, Gutta perpetua cavat lapidem.

Proverbii denominatio inde orta est, quod cum olim viæ nullis signis interstinctæ essent, illa nunc a Romanis appellata milliaria, antea vero dicta signa, prisci homines quibusdam in locis statuerunt, hisque inscripserunt aliquas quæstiones. Id porro duplici de causa factitabant, tum ut viæ quantitatem viatori indicarent, tum ut dum is legeret inscriptionem, et dum in hujus intelligentia occuparetur, labore levaretur. Namque οἶμος (hinc παροιμία) via dicitur.

Digitized by Google

Vers. 2. Cognoscere verba prudentiæ, officium præcipue virtutis est, quod et cæteri interpretes satis declarant, qui non scripserunt prudentiæ, sed intelligentiæ. Vel verba prudentiæ dicit illa quæ sunt sophistica et callide elaborata.

Vers. 3. Reprehendens sacer sermo illos qui justitiam simulant, et eam prout oportet se habere dicunt, ait : Si vere utique justitiam loquimini, recta judicate, filii hominum.

Vers. 6. Audio Theodotionis interpretationem, quam in editione sua posuit etiam Symmachus ; hi enim problema scripserunt. Quid est igitur tenebrosus sermo? Confusus scilicet sensu et phrasi ; velut ille apud Isaiam prophetam : « Væ terræ navium, trans flumina Æthiopiæ ! Qui mittit in mare obsides, et epistolas papyraceas super aquas [1]. » Nihil enim horum sive in ratione parabolæ dictionem perspicuam habet, sive alicujus historiæ manifestam narrationem. Jam vero ænigmatis quidem saltem dictum intelligi potest, tenebrosi vero sermonis ne dictum quidem. Tenebrosus sermo est generalis vox ; parabola, peculiaris. Tenebrosus haud ob lucis defectum, sed quia abtrusus est, ita ut tenebræ ignoranti oboriantur. Effata sunt venusta apophthegmata. Ænigma, oratio occulte significans rem veram ; velut illud : « Aperi, Libane, portas tuas, et devoret ignis cedros tuas. »

Vers. 7. Verus timor est in religione reverentia. Intellectus autem bonus. Hic interpungendum est. Non enim sufficit ad beatitudinem cognoscere bonum, nisi quisque id etiam opere exerceat. Pietas vero in Deum. initium intelligentiæ.

Vers. 8. Pater justorum Deus. Quisquis enim justitiam exercet, ex Deo natus est. Mater nostra Ecclesia, cujus sponsus Dominus noster Jesus Christus. Leges sunt apostolicæ constitutiones. — Etsi autem anagogen quoque habent supradicta, attamen accommodantur etiam naturalibus genitoribus, cum pro sua in Deum pietate liberos educant. Jam cum sit vir, magister ille qui gignit per Evangelium alumnos suos, conjux hujus, et natorum mater, Ecclesia est, imo potius ecclesiastica doctrina et vivendi ratio. Si ergo me, inquit, proverbiorum auctorem, modo ut patris enarratorem, modo ut sapientiæ et virtutis, id est matris, audies, cingeris gratiarum corona, et collum tuum torque ornabitur, ex intellectuali auro et ornamentis confecto. Materia enim coronæ, qua interioris hominis caput cingitur, est virtutum circulus, quæ gratiæ appellantur. Itaque consonanter coronæ intellectuali intelligendus est etiam torques aureus animæ collo injectus, id est obedientiæ ejus.

Vers. 9. Verticem collumque dicit mentem : torquem vero aureum scientiam et intellectualem animæ ornatum : vel torques aureus est subjectio Deo, et divinorum eloquiorum munimentum.

[1] Isa. xviii, 1, 2.

Στ. β'. Τὸ γνῶναι λόγους φρονήσεως, κυρίως ἐστὶ τῆς ἀρετῆς δηλονότι, ὥσπερ καὶ οἱ λοιποὶ ἑρμηνευταὶ σαφηνίζουσιν, ἐκδεδωκότες ὡς, οὐ φρονήσεως, ἀλλὰ συνέσεως λόγους. Ἢ λόγους φρονήσεώς φησι τοὺς σοφισματώδεις καὶ πανουργευμένους.

Στ. γ'. Ἐλέγχων ὁ λόγος τοὺς ἐπιμορφαζομένους τὴν δικαιοσύνην, καὶ λέγοντας ἔχειν αὐτὴν ὡς δεῖ, φησίν· Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθεῖας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων.

Στ. ς'. Ἀκούω τοῦ Θεοδοτίωνος ἑρμηνείαν, ἣν ἐξέδωκε καὶ Σύμμαχος, ὅτι πρόβλημα ἐκδεδώκασιν. Τί οὖν ἐστιν ὁ σκοτεινὸς λόγος; Ὁ συγκεχυμένος κατά τε λόγον καὶ διάνοιαν καὶ φράσιν· οἷον τὸ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ· « Οὐαὶ γῆς πλοίων, ἐπέκεινα ποταμῶν Αἰθιοπίας! Ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλίνους ἐπάνω τοῦ ὕδατος. » Οὐδὲν γὰρ τούτων οὔτε ἐν παραβολαῖς τὴν λέξιν σαφῆ ἔχει, οὔτε μὲν ἱστορίας διήγησιν φανεράν. Καὶ τοῦ μὲν αἰνίγματος ἔστι νοεῖν τὸ ῥητὸν, τοῦ δὲ σκοτεινοῦ λόγου οὐδὲ τὸ ῥητόν. Σκοτεινὸς μὲν λόγος γενικὴ ἐστι φωνή· ἡ δὲ παραβολὴ, ἰδική· σκοτεινὸς δὲ, οὐ τὸν κατὰ στέρησιν φωτὸς, ἀλλὰ τὸν κεκρυμμένον, ὡς σκοτίζεσθαι τὸν ἀγνοοῦντα. Ῥήσεις δὲ τὰ καλλιεπῆ ἀποφθέγματα· αἴνιγμα δὲ, λόγος μετ' ἐπικρύψεως σημαίνων τὸ ἀληθές· ὁποῖόν ἐστι τὸ, « Διάνοιξον, ὁ Λίβανος, τὰς πύλας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. »

Στ. ζ'. Ἀληθὴς γὰρ φόβος, ἡ κατὰ σεβασμὸν εὐλάβεια· σύνεσις δὲ, ἀγαθή. Εἰς τόδε ὑποστικτέον. Οὐκ ἀρκεῖ γὰρ εἰς μακαριότητα τὸ εἰδῆναι τὸ ἀγαθὸν, εἰ μὴ καὶ πράττοι τις αὐτό· εὐσέβεια δὲ εἰς Θεὸν, ἀρχὴ συνέσεως.

Στ. η'. Πατὴρ μὲν δικαίων, ὁ Θεός. Πᾶς γὰρ ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγέννηται. Μήτηρ δὲ ἡμῶν, ἡ Ἐκκλησία, ἧς νυμφίος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Θεσμοὶ δὲ, αἱ ἀποστολικαὶ διατάξεις (1).—Εἰ καὶ ἀναγωγὴν ἔχει τὰ προκείμενα, ἀλλ' ἐφαρμόζονται καὶ τοῖς κατὰ φύσιν γονεῦσιν, ὅταν θεοσεβεῖς ὄντες ἀνατρέφωσι τὰ τέκνα. Ὄντος δὲ ἀνδρὸς τοῦ διδασκάλου, τοῦ γεννήσαντος διὰ τοῦ Εὐαγγελίου τοὺς παιδευομένους, σύζυγος τούτῳ καὶ μήτηρ τῶν τεχθέντων ἐστὶν ἡ Ἐκκλησία, μᾶλλον δὲ ἡ ἐκκλησιαστικὴ γνώμη καὶ πολιτεία. Ἣν τίνυν ἐμοῦ, φησὶ, τοῦ παροιμιαστοῦ, νῦν ὡς καθηγητοῦ καὶ πατρὸς, νῦν δὲ σοφίας καὶ ἀρετῆς ἀντὶ μητρὸς κατακούσῃς, στεφθήσῃ χαρίτων στεφάνῳ, καὶ τὸν τράχηλον κοσμηθήσῃ κλοιῷ, ἐκ νοητοῦ χρυσοῦ καὶ κόσμου κατεσκευασμένῳ. Ὕλη γὰρ στεφάνου ὃν ἀναδεῖται ἡ τοῦ ἔσω ἀνθρώπου κεφαλὴ, ἡ τῶν ἀρετῶν περιοχὴ, χάριτες ὀνομαζόμεναι τυγχάνουσι. Συμφώνως τῷ στεφάνῳ, νοητῷ ὄντι, ἐκλεκτέον καὶ τὸν χρυσοῦν κλοιὸν ἐπιβαλλόμενον τῷ τῆς ψυχῆς τραχήλῳ, τουτέστι τῷ ὑποτακτικῷ αὐτῆς.

Στ. θ'. Κορυφὴν δὲ καὶ τράχηλον λέγει τὸν νοῦν· κλοιὸν δὲ χρύσεον, τὴν γνῶσιν καὶ τὸν νοητὸν τῆς ψυχῆς κόσμον· ἢ κλοιὸς χρύσεος, ἡ ὑποταγὴ τοῦ Θεοῦ, καὶ ἡ τῶν θείων λογίων περιοχή.

(1) Animadverte testimonium Didymi de *Apostolicis constitutionibus*.

Digitized by Google

Στ. ι'. Καὶ τὸ σὺν ἄλλοις μὲν ἁμαρτάνειν κόλασιν ἐπιφέρει· ἄνδρες γε μὴν ἀσεβεῖς, οἱ ἐν κακίᾳ τέλειοι. A

Vers. 10. Peccare quoque cum aliis non caret pœna. Viri impii sunt, in nequitia consummati.

Στ. ια'. Κρύπτουσιν εἰς γῆν, οὓς ἂν πείσωσι τὰ ἐπίγεια φρονεῖν· ἄνδρα δὲ δίκαιον νοήσεις τὸν οὐράνιον ἔχοντα φρόνημα. Δύναται δὲ ταῦτα νοεῖσθαι καὶ εἰς Χριστὸν, καὶ εἰς τὸν τῶν Ἰουδαίων λαόν.

Vers. 11. Obruunt eos sub terra, quibus suaserint terrena cogitare. Virum justum illum reputabis, qui cœlestem habet animi sensum. Possunt hæc etiam de Christo et de Judaico populo intelligi.

Τὸ ἱκανὸν ἡ Γραφὴ δηλοῖ διὰ τοῦ καταπιεῖν, ὡς ἐν τῷ· « Ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ τοιοῦτος. » Φασὶν οὖν, ὅτι Τὸν οὐράνιον ἔχοντα φρόνημα καθελόντες καὶ νικήσαντες, εἰς ἑαυτοὺς μεταστήσωμεν, ὥστε τὰ ἐπίγεια φρονεῖν. Ζῶν δὲ καταπίεται ὁ δόξαν ἔχων ὀρθὴν περὶ τῶν πρακτέων, καὶ ταύτην ἀποβαλών.

Quod multum est, Scriptura vocabulo deglutiendi denotat; ut illic: « Ne abundantiore tristitia deglutiatur qui hujusmodi est [1]. » Aiunt itaque hominem hunc cœlesti animi sensu præditum, devictum comprehendentes ad nos transferemus, ut terrena cogitet. Vivens autem deglutitur, qui rectam habens circa res agendas sententiam, hanc abjicit.

CAPUT II.

Στ. ια'. Βουλὴν δὲ λέγει τὴν προαίρεσιν, καθ' ἣν αἱρούμεθα τὰ πρακτέα ποιεῖν, ἢ καὶ μή· ἔννοιαν δὲ τὴν περὶ τὰ θεωρητά, ὥστε καταλιμπάνειν αὐτὰ, καὶ Θεῷ προσοικειοῦσθαι, τὰς ἐντολὰς αὐτοῦ ὅση δύναμις φυλάττεσθαι. B

Vers. 11. Consilium dicit, animi propositum, quo constituimus facere quæ debemus, vel secus. Cogitationem vero dicit quæ est circa visibilia, ut hæc omittamus, et ad Deum accedamus, et mandata ejus pro viribus observemus.

CAPUT III.

Στ. γ'. Ἐν ἕξει τὰς ἀρετὰς ἔχων, μὴ ἐπιπολαίως καταῤῥᾳθυμῶν αὐτῶν, οὗτος ἔχει αὐτὰς γεγραμμένας ἐπὶ πλακὸς τῆς ἑαυτοῦ καρδίας, ἐπὶ τοῦ βάθους δηλαδὴ τῆς ἑαυτοῦ ψυχῆς, ἤτοι τῆς διηνεκοῦς ἐπιθυμήσεως, ἵνα ὁ ἐξ ἐναντίας μὴ παρατρέπῃ σε.

Vers. 3. Qui virtutum consuetudinem habet, nec facile ad illarum exercitium torpet, hic habet eas inscriptas in tabula cordis sui, in penetrali videlicet animæ suæ seu perpetui affectus, ne unquam adversarius te subvertat.

Στ. η'. Σῶμα τὸ ἄθροισμα τῶν δυνάμεων τῆς ψυχῆς λέγω· ὀστᾶ, αἱ στερεαὶ δυνάμεις αὐτῆς· πάντα γὰρ τὰ ὀστᾶ ἡμῶν ἐροῦσι· Κύριε, Κύριε.

Vers. 8. Corpus esse aio animæ virium congeriem. Ossa sunt firmæ vires ejus, omnia enim ossa nostra dicent: Domine, Domine.

Στ. ις'. Δεξιὰ αὐτῆς, ἡ τῶν θείων ἐπιστήμη, ἐξ ὧν ἡ αἰώνιος ζωή· ἀριστερὰ δὲ, ἡ τῶν ἀνθρωπίνων γνῶσις. C

Vers. 16. Dextera ejus est divinarum rerum scientia, unde æterna vita: sinistra, est rerum humanarum cognitio.

Στ. ιη'. Ἐνταῦθα πάλιν ξύλον ζωῆς τὸν σταυρὸν ὀνομάζει. Τοῖς γὰρ εἰλικρινῶς ἐξηρτημένοις ἐν τῷ Χριστῷ ἡ διάφορος ἐκ τοῦ ξύλου ἀποστάζει ζωή· τοῖς δὲ ἐπερειδομένοις ταῖς κρηπῖσιν αὐτοῦ βεβαίωσις ὀχυρὰ πέπηγεν ἀκλινῶς, οἷα δὲ καὶ ἐπὶ Κύριον ἀσφαλῶς ἱδρυμένοις.— Εἰ δὲ ξύλον ζωῆς, ἡ σοφία τοῦ Θεοῦ· δικαίως κεκώλυται μεταλαβεῖν αὐτῆς ὁ Ἀδάμ. Εἰς γὰρ κακότεχνον ψυχὴν σοφία οὐκ εἰσελεύσεται· ἐπεὶπερ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδρον ζωῆς. Μὴ εὑρηκὼς δὲ τίνι ὁμοιώσει τὸν ἐλπίζοντα ἐπὶ Κύριον, εἰς ἑαυτὸν μεταστρέφει τὸν λόγον, λέγων ὡς ἐπὶ Κύριον· Ὁ γὰρ ἐπερειδόμενος ἐπ' αὐτῇ, ἅτε δὴ εἰς Θεὸν ἐλπίζων, ἐστὶν ἀσφαλής.

Vers. 18. Hic rursus vitæ lignum appellat crucem. Nam iis qui sincere Christo adhærent, multiplex ex ligno manat vita: et innitentibus basi ejus, munita firmitas stat indeclinabiliter, velut iis qui in Domino tute sunt fundati. — Quod si vitæ lignum sapientia Dei est, merito prohibitus est eam Adamus participare. Etenim in malitiosam animam sapientia non introibit, quoniam ex justitiæ fructibus pullulat arbor vitæ. Non inveniens autem cui comparet sperantem in Dominum, in se convertit sermonem quasi loquatur de Domino: nam qui in eam incumbit, tanquam in Dominum, securus est. D

Στ. κ'. Ἁρμόττει τοῦτο καὶ νῦν τῷ Υἱῷ τοῦ Θεοῦ, σοφίᾳ καὶ φρονήσει ὄντι Θεοῦ. Ἀλλὰ καὶ ἡ ψυχὴ ἡ πιστὴ γῆ ἐστιν, ἑκατονταπλασίονα καρποφοροῦσα· αὕτη δὲ ἐκ τῆς πιότητος τῆς σοφίας γίνεται σοφή, θεμελιοῦντος αὐτὴν ἐπ' αὐτῇ τοῦ Θεοῦ καὶ Πατρός. Ἐδράζει γὰρ αὐτῇ τὴν εἰσαγωγὴν τῆς διδασκαλίας, πῆξιν ἀπὸ σοφίας ποιούμενος ἐν αὐτῇ, καὶ ἀεὶ πρόκόπτουσαν αὐτὴν ἀποδεικνύς· οὐρανὸν δὲ ἐργάζεται καθαρώτατον κτίσμα, ἀγγέλων καὶ τῶν νοερῶν οὐσιῶν οἰκητήριον. Λαβοῦσα δὲ αἴσθησιν τοῦ ὄντος, καὶ κατανοοῦσα τὴν τῶν πραγμάτων ἀκρίβειαν, οἷον τὸ πο-

Vers. 20. Congruit hoc nunc quoque Filio Dei, qui sapientia et prudentia Dei est. Sed et fidelis anima, terra est fructum centuplicem reddens. Illa vero ex pinguedine sapientiæ fit sapiens, stabiliente eam in hac Deo Patre. Fundat enim in ea doctrinæ magisterium, eamque sapientia coagmentat, atque in melius semper provehens, cœlum veluti efficit, creaturam purissimam, angelorum et intellectualium substantiarum habitaculum. Illa autem sensu rerum exsistentium percepto, et illarum accuratam rationem considerans, quasi abyssum mul-

[1] II Cor. II, 7.

Digitized by Google

tam judiciorum Dei, nubes ea nominavit. Vel nubes prophetas appellavit; rorem, doctrinam.

A λύδυθον τῶν τοῦ Θεοῦ κριμάτων, νέφη ταῦτα προσεῖπεν· ἢ νέφη τοὺς προφήτας ἐκάλεσε, δρόσον τὴν διδασκαλίαν.

Ne longe abeas a potabili vitæ aqua. Consilium autem dicit, erga res agendas modum; meditationem, eam quæ fit circa theoretica. Collum dicit ipsam animam, quæ jugum Domini portat. Sicut autem collum pectoralibus præcingitur, sic anima dona Dei in regno gestabit sicut hic mandata ejus.

Μὴ ἐκτὸς γένῃ τοῦ ποτίμου τῆς ζωῆς ὕδατος. Βουλὴν δὲ λέγει τὴν περὶ πρακτέα κίνησιν· ἔννοταν, τὴν περὶ τὰ θεωρητικά· τράχηλον τὴν αὐτὴν ψυχὴν εἶπε, τὴν βαστάσασαν τὸν ζυγὸν τοῦ Κυρίου. Ὥσπερ δὲ ὁ τράχηλος τοὺς στηθοδέσμους περίκειται, οὕτως ἡ ψυχὴ τὰ τοῦ Θεοῦ γέρα κομιεῖται ἐν τῇ βασιλείᾳ, ὡς καὶ ἐν τῇδε τὰς ἐντολὰς αὐτοῦ.

Impiorum res etiam splendidæ maledictione feriuntur; at justorum etiam viles benedicuntur. Domum dicit, rationalis animæ facultates; tuguria, partem iracundam et concupiscibilem: ibi enim irrationales habitant passiones.

Τῶν ἀσεβῶν καὶ τὰ ἐπίδοξα κεκατήραται· τῶν δὲ δικαίων καὶ τὰ εὐτελέστερα ηὐλόγηται. Οἶκον δὲ λέγει τῆς λογικῆς ψυχῆς τὰς δυνάμεις· ἐπαύλεις δὲ, τὰς τοῦ θυμικοῦ καὶ τοῦ ἐπιθυμητικοῦ· ἐν αὐταῖς γὰρ τὰ ἄλογα διατρίβουσι πάθη.

CAPUT IV.

Vers. 8. Honor sapientiæ, mandatorum observantia. Sapientia Christus, cujus sponsa est, quæ eum virtutibus honorat anima, quam ille amplexabitur.

B Στ. η'. Τιμὴ σοφίας, ἡ τήρησις τῶν ἐντολῶν· σοφία δὲ ὁ Χριστὸς, οὗ νύμφη ἡ διὰ τῶν ἀρετῶν τιμῶσα αὐτὸν ψυχὴ, ἥτις ὑπ' αὐτοῦ περιληφθήσεται.

Vers. 20. Simplici veluti puerulo præmia semper proponit attentionibus ejus, erigitque extra aliquando prolapsum. Vitæ fontes, virtutes; unde aqua vivens, Christi agnitio. Proficienti sapientia multi fontes, non unus, sed pro virtutum numero. Iis qui observant has monitiones, vita fiunt: item præmia sunt.

Στ. κ'. Καθάπερ νηπίῳ τινὶ παιδίῳ ἔπαθλα ἀεὶ ταῖς προσοχαῖς τίθησι, καὶ διεγείρει ἔξω που διεπτοημένον. Πηγαὶ δὲ ζωῆς, αἱ ἀρεταὶ, ἀφ' ὧν τὸ ζῶν ὕδωρ, ἡ γνῶσις ἡ τοῦ Χριστοῦ. Τῷ κατὰ σοφίαν προκόπτοντι, πολλαὶ πηγαὶ, καὶ οὐ μία γίνεται· ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ἀρετῶν. Τοῖς τὰς παραινέσεις, φησὶ, φυλάττουσι ταύτας, ζωὴ γίνονται· αὗται τὸ ἄθλον.

Vers. 26. Vitæ iter recte persequere, inquit. Pedes sunt tralaticii hujus motus; nam virtus medium tenet.

Στ. κς'. Τὴν κατὰ τὸν βίον πορείαν ὀρθῶς βάδιζε, φησί. Πόδες εἰσὶ τῆς ψυχῆς αἱ μεταβατικαὶ ταύτης ὁρμαί· μεσότης γάρ ἐστιν ἡ ἀρετή.

CAPUT V.

Vers. 2. Cave attendas fraudulentæ doctrinæ, C quæ per dulces sermones inescat, id est hæresi et idololatriæ et vaniloquiis.

Στ. β'. Μὴ πρόσεχε ἀπατηλῇ διδασκαλίᾳ, διὰ τῆς χρηστολογίας δελεαζούσῃ, τουτέστιν αἱρέσει, καὶ τῇ εἰδωλολατρίᾳ, καὶ ματαίοις ῥήμασι.

Vers. 3. Auditus tenus, harum rerum bonitas. Talis est erroris natura, perniciem celare solet, jucunditatem præ se ferre, ut decipiat; aliter enim, statim homines recederent. Non ita Deus, qui dulce celat, laboriosum proponit. Neque dixit, Defluit, sed Destillat, ne satiatura videatur amaritudo; nam postea felle amarior sentietur. Non quanta est (vitii) dulcedo, tanta etiam amaritudo, sed multo major.

Στ. γ'. Μέχρι τῆς ἀκοῆς, αὐτῶν τὸ καλόν. Τοιαύτη γὰρ ἡ ἀπάτη· τὸ μὲν ὀλέθριον κρύπτειν εἴωθε, προβάλλεται δὲ τὸ ἡδὺ, ὥστε ἐλεῖν· ἢ γὰρ ἂν εὐθέως ἀπεπήδησαν. Ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλὰ τὸ ἡδὺ ἀποκρύπτει, τὸ δὲ ἐπίπονον προτίθησι. Καὶ οὐκ εἶπεν, Ἀποῤῥεῖ, ἀλλὰ, Ἀποστάζει ὡς μὴ προσκορῆ γενέσθαι τὴν πικρίαν, ὕστερον μέντοι πικρότερον χολῆς· οὐχ ὅσον τὸ ἡδὺ, τοσοῦτον τὸ πικρόν· ἀλλὰ πολλῷ πλέον.

Vers. 8. Viæ nomine mentem quæ ad virtutem tendit, hic denotavit: vel fortasse mandat virtuti ut nos a nequitia separet.

Στ. η'. Ὁδὸν εἶπεν ἐνταῦθα τὸν ἐπὶ τὴν ἀρετὴν ὁδεύοντα νοῦν· ἢ τάχα τὴν ἀρετὴν προστάσσει χωρίζειν ἡμᾶς ἀπὸ κακίας.

Vers. 11. Id est in senectute; vel carnium contritione denotat intemperantiam quæ est quædam corruptio.

D Στ. ια'. Τουτέστιν ἐν γήρᾳ· ἢ διὰ τοῦ κατατριβῆναι τὰς σάρκας, τὴν ἀκολασίαν δηλοῖ φθοράν τινα οὖσαν.

Vers. 12, 14. Introducit hominem corruptum, qui semet vituperat quia disciplinam oderit, aitque: Perii et contabui conterendo carnes meas in luxuriis, et vitam propemodum projeci. Ideo palam facta est punitio mea in medio Ecclesiæ ac Synagogæ. Est enim hæc pœnitentis vox, qui nondum est in ea extremitate cui proximus fuit. Par illud est: « Pene effusi sunt gressus mei [a]. » Namque evigilans, sen-

Στ. ιβ', ιδ. Εἰσάγει τὸν διαφθαρέντα κακίζοντα ἑαυτὸν, ὡς μισήσαντα παιδείαν, καί φησιν· Ἀπολοίμην ἂν καὶ διεφθάρην, κατατρίψας τὰς σάρκας μου ἐν ἀσωτίαις, καὶ τὴν ζωὴν αὐτὴν μικροῦ δεῖν προηκάμην. Διὸ φανερὸν ἐγένετο τὸ ἐπιτίμιόν μου ἐν μέσῳ Ἐκκλησίας καὶ Συναγωγῆς. Μετανενοηκότος γὰρ ἡ φωνὴ, καὶ μὴ γεγονότος ἐν ᾧ παρ' ὀλίγον γεγένηται. Ὅμοιον καὶ τὸ, « Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβή-

[a] Psal. LXXII. 2.

Digitized by Google

ματά μου.» Ἀνανήψας γὰρ καὶ αἰσθηθεὶς, Ποῦ ἐστι, λέγει, τὸ παρὰ μικρόν; Πῶς οὖν ἔνι τὴν ἐκ τῆς φύσεως μανίαν παραμυθήσασθαι;

tiensque, ubinam, inquit, prope fui? Quomodo igitur possumus ex natura orienti insaniæ mederi.

Στ. ιε'. Ἡ γνῶσις καὶ φρέαρ ἐστὶ, καὶ πηγή· τοῖς μὲν προσερχομένοις ταῖς ἀρεταῖς φρέαρ ἔστι· τοῖς δὲ κατ' αὐτὰς τελειωθεῖσι, πηγή. Λέγεται δὲ ἡ γνῶσις καὶ μήτηρ, καὶ γυνὴ, καὶ ἀδελφή· μήτηρ, ὅτι δι' αὐτῆς ὑπὸ τοῦ διδασκάλου γεγεννήμεθα· γυνὴ, ὅτι συνοῦσα τίκτει ἀρετὰς καὶ ὀρθὰ δόγματα· ἀδελφὴ, ὅτι ἐξ ἑνὸς Θεοῦ γεγόναμεν. Καὶ εἶπα τὴν σοφίαν ἀδελφήν.

Vers. 15. Scientia simul est puteus ac fons: his qui ad virtutes accedunt, puteus; illis qui in eis sunt perfecti, fons. Scientiæ dicitur etiam mater, uxor, soror: mater, quia per eam a magistro gignimur; uxor, quia copulata parit virtutes et recta dogmata; soror, quia ex uno Deo exsistimus. Et dixi sapientiæ: Soror mea es.

Στ. ις', ιζ'. Ὅρα ὡς οὐ μόνον τῇ ἀφθονίᾳ τὴν εὐκολίαν ἐνδείκνυται, ἀλλὰ καὶ τῷ μηδένα κοινωνὸν ἔχειν τῆς ἀπολαύσεως· διπλασιάζει δὲ αὐτὸ καὶ κτῆσιν ἀποκαλεῖ· οἶδε γὰρ τὴν τοῦ πράγματος ἡδονήν.

Vers. 16, 17. Videsis quomodo non modo abundantia facilitatem ostendit, sed et neminem habendo gaudii participem. Duplicat autem eam rem, et possessionem appellat; novit enim ejusdem rei voluptatem.

CAPUT VI.

Στ. η'. Κἂν τὴν φυσικὴν τῶν ἀλόγων ἐργασίαν μίμησαι· ἢ *ἴσθι*, τουτέστι: *πορεύου*. Πολλοὶ γὰρ ἀγαθοεργοῦσιν ἀπὸ θεωρίας ἢ ἀκοῆς, καὶ οὐκ ἐξ ἐπιστήμης. Μελίσσας λέγει προφήτας καὶ ἀποστόλους, ὧν οἱ πόνοι χρήσιμοι τοῖς τε μεγάλοις τὴν ἕξιν καὶ τοῖς βραχέσι· κηρὸν μὲν οὖν λέγει τὰ πράγματα· μέλι δὲ, τὴν τούτων θεωρίαν. Ὥσπερ ὁδηγεῖ τὰς αἶγας ὁ κτίλος, οὕτως ὁ ἐσσὴν τὰς μελίσσας. Καλὸν οὖν παρὰ πάντα τὸν βίον ἡ τάξις.

Vers. 8. Ipsam brutorum naturalem operam imitare; vel, *vade* dictum est pro *scias*. Multi enim theoriæ tenus et auditus bene agunt, non autem usque ad disciplinam. Apes dicit prophetas atque apostolos, quorum labores utiles sunt tum alta conditione præditis, tum etiam humilibus; favum dicit negotia; mel, horum theoriam. Sicut ducit capellas cicur animal, ita rex apes. Pulchra res itaque in omni vita ordo est.

Στ. ιθ'. Ἄφρων ὁ ἄθεος, ὁ τὸ θεωρητικὸν ἀπολέσας· παράνομος δὲ, ὁ τὸ πρακτικόν.

Vers. 12. Insipiens est atheus, qui theoreticam abolet; iniquus, qui practicam.

CAPUT VII.

Στ. α'. Κατὰ κοινοῦ φύλαξον, ἵν' ᾖ σοι, φησὶ, καὶ βιῶναι ζωὴν αἰώνιον, καὶ διορατικῷ γενέσθαι. Πολλῷ γὰρ τοῦ τῶν ὀμμάτων φωτὸς λαμπρότερον αἱ τῶν θείων ἐντολῶν τηρήσεις ἡμῖν ἀναλάμπουσιν.

Vers. 1. Lato sensu dicitur custodi; ut tibi contingat, inquit, vita æterna frui, et esse speculativo. Cæterum multo oculorum luce splendidius divinorum mandatorum observantia fulget.

Στ. γ'. Χεὶρ, ἡ ὁλοσχερὴς πρᾶξις· δάκτυλος δὲ, ἡ μερικωτέρα. Πειθόμενος δέ μοι πλατεῖαν ἕξεις τὴν καρδίαν εἰς ὑποδοχὴν τῶν ἀρετῶν.

Vers. 3. Manus est tota actio; digitus, pars ejus. Si mihi obediveris, latum cor habebis ad virtutum receptionem.

Στ. ιθ'. Συνοικεῖν ἀνδρὶ προσποιεῖται, ὡς κατὰ νόμον βιοῦσα· καὶ ἀναιρεῖ πάντα τὰ φοβερὰ καὶ κωλυτικὰ, τὴν ἀποδημίαν προβαλλομένη τοῦ συνοικοῦντος.

Vers. 19. Habitare cum marito simulat, quasi ad legis normam vivens; omnesque timores et impedimenta aufert, peregrinationem prætendens conjugis sui.

Στ. κζ'. Ὁ γὰρ οἶκος αὐτῆς ὁδοὶ ᾅδου, εἰς ταμεῖα θανάτου κατάγουσαι. Οἱ γὰρ πειθόμενοι αὐτῇ, χοϊκοὶ γινόμενοι παρ' αὐτῆς καὶ γήινοι, οὕτως ἀπολοῦνται. Τὸ δὲ, « Ἐπὶ πέταυρον ᾅδου, » οἱ λοιποὶ ἐν βάθεσιν εἶπον.

Vers. 27. Domus ejus viæ inferni, quæ ad mortis conclavia ducunt. Nam qui hujusmodi mulieri morem gesserint, lutei ab ipsa facti et terreni, sic peribunt. Quod autem hic dicitur « Ad petaurum inferni » cæteri interpretes scribunt profunditatem.

CAPUT VIII.

Στ. κϐ'. Πολλὰ σημαίνουσα, καθάπερ εἴπομεν, ἡ ἀρχὴ, νῦν τὸ ἀΐδιον δηλοῖ, καὶ τὸ αἴτιον, καὶ τὸ ποιητικόν. Ἡ δὲ ἀρχὴ τινῶν ἐστιν ἀρχὴ, καὶ σημαίνει σχέσιν, ἀλλ' οὐκ οὐσίωσιν. Τὰ γὰρ πρός τι, τοιαῦτα· ὡς τὸ δεξιὸν καὶ ἀριστερόν. Οὐσία τοίνυν οὖσα ἡ τοῦ Θεοῦ σοφία, οὐκ ἀρχὴ τινῶν ἐστι· καὶ πρὸ κτίσεως γὰρ ἔχει τὸ εἶναι σοφία (2). Ἡνίκα δὲ σχέσιν τὴν πρὸς τὰ γενητὰ δέξεται, τότε ἀρχὴ γίνεται τῶν ὁδῶν τοῦ Θεοῦ ποιητικῶν καὶ προνοητικῶν, εἰς τὰ ἔργα ἃ

Vers. 22. Cum initium multa, ut diximus, significet, nunc æternum significat, et causale, et creativum. Jam initium alicujus rei est initium; et relationem demonstrat, non substantiam. Hæc enim ratio est eorum quæ sunt ad aliquid, ut dextrum atque sinistrum. Substantia itaque cum sit Dei sapientia, non est alicujus rei initium; nam et ante creationem sapientia erat. Sed postquam relationem erga res creatas habere cœpit, tunc initium

(2) Valent hæc contra redivivos pantheistas.

Digitized by Google

facta est viarum Dei, agendi ac providendi, ad opera quæ exsistentiam a Creatore habent, quæ tamen nihil ei conferunt ut sit sapientia; sed relatio, ob quam initium dicitur et creatrix, tunc subsistentiam habuit quando etiam res creatæ : namque initium non exsistit ante illa quorum est initium; neque illa post hoc dicuntur esse; etsi creaturæ substantiam in tempore accipiunt. Jam sempiterna cum sit sapientia, tempori non subest. Socium est itaque initium creaturis. Sed enim qui ante creaturas exsistit, utpote sapientia, Filius Dei, etiamsi dicit : « Dominus creavit me[a], » id non de substantia intelligendum est, sed de relatione erga creaturas. Ad opera enim se conditam dicit, ut sit initium activarum et providentialium viarum Dei, id est causa, ut scholastico more loquamur. Dei Filius factus est homo, assumpta servi forma; isque licet sit ante sæcula æternus, quatenus Dei Verbum est, nihilominus creatus dicitur postquam nativitatem de Maria habuit, factus caro : ut qui voluerint secundum Deum ambulare, et ad Deum, hoc utantur magistro, exemplari optimæ vitæ, et doctrinam asseclis tradenti. Denique quod vocabulum « creavit » non ubique significet facere substantiam, testis David qui ait : « Cor mundum crea in me, Deus[b]. » Postulat enim, non quasi cor non habeat, sed quia id inquinaverat, recuperare mundatum cupit. Paulus quoque dum ait, duos creare in unum novum hominem[c], non substantiam collatam hominibus, sed unitatem ex concordia ostendit. Quod interpretes, « Creavit me » ediderunt.

Vers. 23. Dicit hoc pro, Causam protulit et fundamentum creaturarum. Secundum illud : « Omnia in se constituit, et ipse est ante omnia[d]. » Et ipse Dominus dicit : « Ego sum principium creaturæ Dei[e]. » Nam sicut fundamentum Ecclesiæ volens esse, homo fieri sustinuit, ut ea in ipso stabiliretur immobilis; ita etiam creaturæ volens exsistentiam dare, ad ejus normam se accommodavit, prædictam relationem inducens, factus futuris rebus initium et causa. Attamen quamvis secundum hæc fuerit creatus, ante omnia me Deus genuit, qui videlicet est Filius.

Vers. 27. Thronum pro suo regno, ventos autem pro intellectualibus spiritibus dicit. Vel quomodo David : « Qui ambulat super pennas ventorum[f]; » quibus verbis levem atque incorpoream substantiam Dei vult denotare.

Vers. 29. Specta distribuentes inter se opera, sapientiam atque Deum. Ille faciebat, inquit; ego disponebam. Cur autem valida? Quia nullo fundamento egent; nam sola Dei voluntate consistunt.

Vers. 35. Vel, quia statim ac oppareo, vitam præbeo, vel, quia per revelationem condescendens

A τὴν ὕπαρξιν ἐκ τοῦ Δημιουργοῦ ἔχει μηδὲν αὐτῇ συνενεγκόντα πρὸς τὸ εἶναι σοφίαν· ἀλλ' ἡ σχέσις καθ' ἣν ἀρχὴ καὶ δημιουργὸς λέγεται, τότε ὑπέστη, ὅτε καὶ τὰ γενόμενα. Ἀρχὴ γὰρ οὐ προϋπάρχει ὧν ἔστιν ἀρχή· οὔτε ταῦτα μετ' ἐκείνην ὑπάρχειν λέγεται, εἰ τὴν οὐσίαν ἔχουσιν ἐν χρόνῳ τὰ κτίσματα. Οὖσα γὰρ ἀΐδιος ἡ σοφία οὐχ ὑπόκειται χρόνῳ. Σύζυγος οὖν ἡ ἀρχὴ τοῖς κτίσμασι. Προὐπάρχων τῆς κτίσεως, σοφία ὤν, ὁ Υἱὸς τοῦ Θεοῦ, ἐὰν λέγει· « Κύριος ἔκτισέ με, » μὴ οὐσίωσιν τὴν νόησιν ἔχῃ, ἀλλ' εἰς σχέσιν τὴν πρὸς τὰ κτίσματα. Εἰς ἔργα γὰρ ἐκτίσθαι φησὶν, ἐπὶ τῷ ἀρχὴ εἶναι τῶν ποιητικῶν καὶ προνοητικῶν ὁδῶν τοῦ Θεοῦ, τουτέστιν αἰτία, εἰσαγωγικῶς γε μὴν ἔτι εἰπεῖν. Ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονεν, ἀναλαβὼν τὴν τοῦ δούλου μορφήν· B καὶ πρὸ αἰώνων ὢν καὶ ἀΐδιος, καθ' ὃ Θεὸς Λόγος ἐστὶν, ἐκτίσθαι λέγεται ὅτι γέννησιν τὴν ἐκ Μαρίας ἔσχε, γενόμενος σάρξ· ὡς ἂν οἱ θέλοντες κατὰ Θεὸν ὁδεύειν καὶ πρὸς Θεὸν, χρῶνται διδασκάλῳ, ὑπογραμμὸν ἀρίστου βίου καὶ διδασκαλίαν τοῖς ἑπομένοις παρέχοντα. Ὅτι δὲ τὸ, « ἔκτισεν, » οὐ δηλοῖ πάντως οὐσίωσιν, δηλοῖ λέγων ὁ Δαβίδ· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. » Αἰτεῖ γὰρ οὐχ ὡς μὴ ἔχων, λαβεῖν, ἀλλ' ὡς ῥιπώσας αὐτὴν, ἀναλαβεῖν αὖθις κεκαθαρμένην. Καὶ Παῦλος δὲ λέγων τοὺς δύο κτίζεσθαι εἰς ἕνα καινὸν ἄνθρωπον, οὐκ οὐσίωσιν ἀνθρώπων, ἀλλ' ἕνωσιν ἐξ ὁμονοίας δηλοῖ· ὥσπερ οἱ ἑρμηνεύσαντες « Ἔκτισάτό με » ἐξέδωκαν (3).

C

Στ. κγ'. Ἀντὶ τοῦ, Κατέβαλεν αἰτίαν τε καὶ κρηπῖδα τῶν κτισμάτων· κατὰ τὸ, « Πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστι πρὸ πάντων. » Καὶ αὐτὸς δέ φησιν ὁ Κύριος· « Ἐγώ εἰμι ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ. » Ὡς γὰρ θεμέλιος βουλόμενος εἶναι τῆς Ἐκκλησίας, ἄνθρωπος ὑπέμεινε γενέσθαι, ἵν' ἐπ' αὐτῷ ἱδρυνθῇ μὴ σαλευομένη· οὕτω καὶ τῇ κτίσει παρασχεῖν τὸ εἶναι βουλόμενος, κατ' αὐτὴν γέγονεν, τὴν προειρημένην σχέσιν εἰσάγων, γινόμενος τοῖς ἑσομένοις ἀρχὴ καὶ αἰτία· ἀλλ' εἰ καὶ κατὰ ταῦτα, φησὶν, ἐκτίσθην, ἀλλὰ πρὸ πάντων γεννᾷ με Θεὸς, ὅπερ ἐστὶν Υἱόν.

Στ. κζ'. Θρόνον τὴν ἑαυτοῦ βασιλείαν, ἀνέμους δὲ τὰ νοερὰ πνεύματα λέγει· ἢ καθὼς καὶ Δαυΐδ· « Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· » τὸ κουφότερον αὐτοῦ τῆς οὐσίας καὶ ἀσώματον παραστῆσαι βουλόμενος. D

Στ. κθ'. Ὅρα διαιρουμένους τὰ ἔργα, τὴν σοφίαν καὶ τὸν Θεόν. Ὁ μὲν ἐποίει, φησὶν· ἐγὼ δὲ ἥρμοζον. Ἰσχυρὰ δὲ, πῶς; Οὐ δεόμενά τινος ὑποβάθρας· βουλήσει γὰρ μόνῃ κατέχεται τοῦ Θεοῦ.

Στ. λε'. Ἢ ὅτι ἅμα τῷ φανῆναι παρέχω ζωὴν, ἢ ὅτι ἀποκαλύπτει τινὶ συγκαταβαίνων πρὸς τὴν ἐκεί-

[a] Prov. VIII, 22. [b] Psal. L, 12. [c] Ephes. II, 15. [d] Col. I, 16, 17. [e] Joan. VIII, 25. [f] Psal. CIII, 3.

(3) Citat hunc locum suum Didymus infra in commentario ad II Cor. cap. V, 17, quod est veri hujus operis testimonium.

Digitized by Google

νου ἀσθένειαν, τότε ἐξέρχεται· ζωὴ γὰρ ὤν, καὶ ἔξω γενόμενος τοῖς δυναμένοις ἰδεῖν αὐτόν, ζωὴν δίδωσι· θέλησιν δὲ ἢ ἀγάπην φησίν, ἢ ὅτι ἐποίησεν ἡμᾶς αὐτεξουσίους εἰς τὸ ἑτοίμους εἶναι πράττειν ἃ δεῖ.

A infirmitati ejus, tunc egreditur : nam cum vita sit, et extra hominum conspectum, vitam præbet. Voluntatem vel pro amore dicit; vel quia fecit nos liberi arbitrii compotes, ut ad agenda quæ oportet parati simus.

CAPUT IX.

Στ. β'. Ἐκκλινάτω, ἵνα φρόνησιν λάβῃ· ῥώννυται γὰρ ὁ ἀτελὴς ὑπὸ τῶν τῆς σοφίας λόγων καὶ μυστηρίων.

Στ. ε'. Ἡ αὐτὴ τροφὴ καὶ κρέα ὀνομάζεται καὶ ἄρτος καὶ γάλα καὶ οἶνος. Πλὴν οἱ ἄφρονες ὡς ἄρτου αὐτῶν μεταλαμβάνειν λέγονται καὶ ὡς οἴνου κεκερασμένου· εἰ δὲ τοῦτο, πῶς νοήσομεν· « Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος ; » Ἄρτον δέ μοι νόει τὰς στερεὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ οἶνον, τὴν ἐκ μελέτης τῶν θείων Γραφῶν ἐπίγνωσιν αὐτοῦ· ὡσαύτως δὲ καὶ τὸ θεῖον σῶμα καὶ τίμιον αἷμα αὐτοῦ.

Vers. 2. Declinet, inquam, ut prudentiam discat; nam roboratur imperfectus a sapientiæ verbis atque mysteriis.

Vers. 5. Eadem esca nominatur et caro, et panis, et lac, et vinum. Verumtamen insipientes tanquam panem se sumere dicunt et vinum mistum. Quod si ita se haberet, quomodo verba illa intelligemus : « Panem angelorum manducavit homo [10] ? » Nunc panem mecum intellige solida Dei mandata; et vinum, agnitionem Dei ex divinarum Scripturarum meditatione. Similiter divinum quoque corpus et pretiosum sanguinem ejus.

CAPUT X.

Στ. ε'. Ἀκούει ὁ φυσικὸς νοήμων, « Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. » Τὰς βιωτικὰς φροντίδας καῦμα καλεῖ· τοὺς ὑπ' αὐτοῦ δὲ ξηραινομένους καλεῖ χόρτον· ὁ δὲ Σωτὴρ διὰ τῆς παραβολῆς τὰς θλίψεις δηλοῖ· τὰς κατὰ τοῦ λόγου δὲ καὶ τοὺς διωγμοὺς ἐκάλεσε καῦμα.

Στ. ιγ'. Ὁ σοφὸς ἐπιτιμητικῷ λόγῳ εἰς αἴσθησιν ἄγει τὸν βαρυκάρδιον.

Vers. 5. Audit cordatus physicus : « Per diem sol non uret te, neque luna per noctem [11]. » Mundanas curas æstum vocat; et qui ab eo exuruntur, dicit fenum. At Salvator in parabola tribulationes esse ostendit [12]; et illas contra sacram doctrinam, necnon persecutiones, appellavit æstum.

Vers. 13. Sapiens increpatorio sermone ad sensum revocat hominem excordem.

CAPUT XI.

Στ. ζ'. Ὁρᾷς ὅτι οὐ τὸ ἐπιθυμεῖν πονηρὸν, ἀλλὰ τὸ τοιῶσδε ἐπιθυμεῖν, πονηρόν; Τῶν δὲ ἀσεβῶν καὶ ἐλπίδες πονηραί· πᾶν γὰρ ὃ ἐλπίσει, ἀπώλεια.

Vers. 7. Viden' quod non desiderium malum sit, sed quod tali modo desiderare, malum? Sed tamen impiorum spes ipsæ improbæ sunt. Nam quidquid impius optat, perditio est.

Στ. η'. Τὸ, « Ἀντ' αὐτοῦ, » οὐχ ὡς ὑποκειμένου τοῦ εὐσεβοῦς τῇ δίκῃ, ἀλλ' ἐπειδὴ ἡ παγὶς ἔστηκεν ἀπὸ τοῦ πονηροῦ κατὰ τοῦ δικαίου, ὁ μὲν εὐσεβὴς ῥύεται ἐξ αὐτῆς παρὰ τοῦ Θεοῦ, ὁ δὲ ἀσεβὴς ἐγκαταλειφθεὶς παρὰ τῆς θείας προνοίας πίπτει ἐν αὐτῇ· ἢ ὅτι ἐπειδὴ ὁ δίκαιος ὑπόκειταί τισιν ὡς ἄνθρωπος ἁμαρτίαις, ἐλθὼν δὲ ὁ ἀσεβὴς καὶ κακοποιήσας τὸν δίκαιον, τῶν μὲν ἁμαρτιῶν καὶ τῶν μελλουσῶν κολάσεων ἐῤῥύσατο αὐτὸν, εἰς ἑαυτὸν δὲ τὰς τιμωρίας ὑπεδέξατο, παραδίδοται δὲ οὐχ ὑπό τινος ἄλλου, ἀλλ' ὑπὸ τῆς ἰδίας κακίας, ὡς προπαραδοὺς ἑαυτὸν εἰς ἀδόκιμον νοῦν.

Vers. 8. Verba « Pro justo » non ita dicuntur quasi hic damnationi sit obnoxius; sed quia cum laqueus positus fuerit ab improbo adversus justum, pius quidem inde eripitur a Deo, impius vero a divina Providentia derelictus in illum cadit; vel quia cum etiam justus peccatis aliquibus, utpote homo, obnoxius sit; si impius supervenions affligat justum, a peccatis eum et futuris suppliciis eruit, sed in se pœnas illas derivat. Traditur autem non ab alio quam a sua propria malitia, quoniam antea jam se tradiderat in mentem reprobam.

Στ. κδ'. Οἱ συνάγοντες φθορὰν ἐλαττοῦνται τῶν ἀρετῶν· ἢ οἱ λόγους συνάγοντες, καὶ μὴ μεταδιδόντες.

Vers. 24. Qui corruptelam augent minuuntur virtutibus; vel intelliguntur ii qui litteraturam suam augentes, aliis non communicant.

Στ. κθ'. Ὁ ἐφ' ἑκάστῳ τῶν ἐλαττωμάτων τοῦ ἰδίου οἴκου δυσχεραίνων, ἄοικος ἔσται· δουλεύσει δὲ ἄφρων φρονίμῳ.

Vers. 29. Qui ad singulos familiæ suæ defectus stomachatur, sine familia erit, serviet autem insipiens prudenti.

Στ. λα'. Ἀσεβὴς τοίνυν, φησὶν, ὁ τὸν Θεὸν μισῶν· ἁμαρτωλὸς δὲ, ὁ περὶ τὰς πράξεις πονηρός· δίκαιον δὲ ἐνταῦθα τὸν πρακτικὸν μετὰ λόγου καὶ ἐπιστήμης λέγει· πολλὴ γάρ ἐστιν ἡ τῆς δικαιοσύνης ἀκρίβεια.

Vers. 31. Impius ille est, qui Deum odit; peccator, qui actibus nequam est. Justum hoc loco dicit virum actuosum tum verbis tum scientia; multus enim est justitiæ rigor.

[10] Psal. LXXVII, 25. [11] Psal. CXX, 6. [12] Matth. XIII, 6-21.

Digitized by Google

CAPUT XII.

Vers. 2. Hic melior non est comparativum, sed pro bono dicitur.

Vers. 9. Vir actuosus, etsi idiota, honorabilior est eo qui verbo pompaticus est et iners.

Vers. 12. Id est radices justorum non exstirpabuntur, bonæ scilicet consuetudines.

Vers. 17. Quidquid dixerit, operibus testatur, et si quid opere credibilius est: vel ita dicit, pro, perspicuam, probatam, irreprehensibilem, idoneam denique ipsam demonstrare. Rei vero iniquæ testem dicit eum, qui etiamsi injusta faciat, ea defendit; dolosum autem, qui nihil rectum habet.

Vers. 25. Sermo de punitionibus terret eum qui nuper ad practicam vitam accessit; recreat autem promissionum nuntius. Nam perfectus quidem justus non timebit ab auditione mala [13], Domini timorem habens qui omnibus superior est.

Vers. 26. Justus humanæ conscius infirmitatis ignoscit, etiamsi amicus peccaverit: vel quia sciens factum esse amicum ad imaginem Dei, consonat sibi modeste sentiens, seque cohibens; et nihil hostilis malitiæ retinens, tranquillas fovet cogitationes.

A Στ. β'. Τὸ κρεῖσσον, οὐ συγκριτικὸν, ἀλλ' ἀντὶ τοῦ ἀγαθοῦ (4).

Στ. θ'. Ὁ πρακτικὸς καὶ ἰδιώτης, τοῦ ἐν λόγῳ καὶ κομψοῦ καὶ ἀπράκτου, τιμιώτερος (5).

Στ. ιϐ'. Αἱ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται, τουτέστιν αἱ ἀγαθαὶ ἕξεις.

Στ. ιζ'. Ὃ ἐὰν λέγῃ, φησὶ, πιστοῦται τοῖς ἔργοις· καὶ εἰ ἔργου ἐστὶ πιστότερον· ἢ ἀντὶ τοῦ, φανερὰν, βεβασανισμένην, ἀνέλεγκτον, ἱκανὴν αὐτὴν ἐπιδεῖξαι· ἀδίκων δὲ μάρτυς, ὁ συνιστᾷν ἐπιχειρῶν ἃ δ.ν ἄδικα πράττῃ· δόλιος δὲ, ὡς οὐδὲν ἔχων εὐθές.

B Στ. κε'. Ὁ μὲν τῶν κολάσεων λόγος ταράσσει τὸν ἄρτι φοιτῶντα τῷ πρακτικῷ βίῳ· εὐφραίνει δὲ ὁ τῶν ἐπαγγελιῶν. Ὁ γὰρ τέλειος δίκαιος οὐ φοβηθήσεται ἀπὸ ἀκοῆς πονηρᾶς, φόβον ἔχων Κυρίου τὸν ὑπεραίροντα πάντα.

Στ. κς'. Ὁ μὲν δίκαιος, εἰδὼς τὴν ἀνθρωπίνην ἀσθένειαν, συγγινώσκει, κἂν ἁμάρτημα ᾖ τὸ παρὰ τοῦ φίλου· ἢ ὅτι ἐπιγινώσκων ὅτι κατ' εἰκόνα Θεοῦ ἐστιν ὁ φίλος, σύμφωνος ἑαυτοῦ ἐστι μετριοφρονῶν, καὶ φυλάσσων ἑαυτὸν, καὶ μηδὲν τῆς ἐχθρᾶς κακίας ἔχων, ἀστασιάστους ἔχει τοὺς λογισμούς.

CAPUT XIII.

Vers. 2. Justus finem virtutis suæ consequetur, sed injusti fructum non carpent maturum. Terrebit se ipsum iniquus, non inveniens defensionem peccato suo.

Στ. β'. Ὁ μὲν γὰρ ἕξει τὸ τέλος τῆς ἀρετῆς, οἱ δὲ καρπὸν οὐχ ἕξουσιν ὥριμον· πτοήσει δ' ἑαυτὸν, οὐχ εὑρίσκων συστῆναι τῇ ἑαυτοῦ ἁμαρτίᾳ.

Vers. 14. Lex naturalis, ex qua pullulat vitæ causa. Justo enim lex non est posita [14]; pœna ad mortem, irretito peccatis. Fons vitæ, mandatorum exsecutio. Justis gentilibus circumcisorum opes obtingent.

C Στ. ιδ'. Νόμος ὁ φυσικὸς, ἀφ' οὗ βρύει τὸ τῆς ζωῆς αἴτιον· δικαίῳ γὰρ νόμος οὐ κεῖται· τιμωρία δὲ ἐπὶ θάνατον τῷ παγιδευθέντι κακοῖς· ἡ πηγὴ ζωῆς, τὰ ἔργα τῶν ἐντολῶν. Δικαίοις τοῖς ἔθνεσιν ὁ τῶν ἐκ περιτομῆς πλοῦτος προσγενήσεται (6).

CAPUT XIV.

Vers. 10. Mens peccati conscia dolere facit animam; domus impiorum, animi habitus et consuetudines; tabernacula sunt animi proposita. Est via quæ videtur recta, ea quæ videntur exsistere, exsistentibus anteponens. Constanter quod agendum est deliberat. Partem tenebunt, vel inter se partientur; nam ferox non erit timidus.

Στ. ι'. Ὁ νοῦς αἰσθανόμενος ἁμαρτίας, ὀδυνᾷ τὴν ψυχήν· οἰκίαι δὲ τῶν ἀσεβῶν, ἕξεις καὶ διαθέσεις· σκηναὶ δέ εἰσιν αἱ προαιρέσεις· ἔστι δὲ ὁδὸς, ἡ δοκεῖ ὀρθὴ εἶναι, ἡ τῶν ὄντων τὰ δοκοῦντα προκρίνουσα. Καρτερικῶς τὸ πρακτέον λογίζεται. Μερίδα σχήσουσιν, ἢ συμμερίσονται· ὁ θρασὺς γὰρ οὐκ ἂν εἴη δειλός.

Vers. 20, 23. Hoc mihi videtur non adhortationis gratia dicere, sed quod contingere solet, narrare. Deinde correctionis rationem habent sequentia: « Qui despicit pauperem, peccat: » mala enim hinc consequentia patent. Nisi aliquis corrigat, quemnam horum pœniteat? Quis alios laudaverit? Qui virtutis studiosus est, abundat opere et scientia; nam de officio semper cogitans, magis proficiet. At mollis et indolens, id est laborum fugitans, virtutum egestate laborabit.

D Στ. κ', κγ'. Τοῦτο ἐμοὶ δοκεῖ ὡς οὐκ ἐν τάξει παραινέσεως τέθεικεν, ἀλλὰ τὰ συμβάντα ἀπαγγέλλει· εἶτα διορθωτικῶς τὸ ἐπαγόμενον· τό, « Ὁ ἀτιμάζων πένητα ἁμαρτάνει· » τὰ γὰρ αὐτόθι δῆλα κακά· οὐδὲ διορθοῦταί τις, οὐκ ἂν καταγνοίη τῶν τοιούτων· τίς δ' ἂν τοὺς ἄλλους ἐπαινέσειεν; Ὁ ὑπὲρ ἀρετῆς φροντίζων περιττεύει πράξει καὶ γνώσει. Καὶ γὰρ ὁ περὶ τῶν πρακτέων ἀεὶ σκοπῶν ἕξει τι πλέον· ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος, ἤγουν ὁ τοὺς πόνους ἐκτρεπόμενος, ἐν ἐνδείᾳ ἔσται τῶν ἀρετῶν.

CAPUT XVI.

Vers. 16. Nidus modo significat locum, modo

Στ. ις'. Τὸ, νοσσιὰ, ποτὲ τὸν τόπον σημαίνει, ποτὲ

[13] Pal. cxi, 7. [14] I Tim. i, 9.

(4) Sic fere etiam sanctus Cyrillus in commentario Epistolæ ad Hebr. i, 4, cujus nos commentarii deperditi reliquias edidimus in hac PP. nova bibliotheca t. III.

(5) Juxta vetus illud: *Odi hominem ignava opera, philosophica sententia.*

(6) Sicuti Jobo incircumciso (non tamen idolorum cultori) sua naturalis justitia profuit.

Digitized by Google

δὲ τὰ ἐνοσσεύοντα ζῶα. Ἢ τοίνυν ὁ τόπος τῆς σοφίας, τὰ θεωρήματα ἐν οἷς οἰκεῖ, αἱρετώτερά ἐστι τῆς ψευδωνύμου γνώσεως· ἢ τὰ κυήματα τῆς σοφίας. Ὥσπερ γὰρ χρυσὸς ἀργύρου κρείσσων, οὕτω καὶ σοφία φρονήσεως· ἡ μὲν γὰρ ἐν τῷ γινώσκειν ἐστίν, ἡ δὲ ἐν τῷ ἑρμηνεύειν τὰ γινωσκόμενα. Ἢ νοσσιὰς σοφίας, τὰς Ἐκκλησίας, ἢ τὰς τῶν ἁγίων ἐκεῖθεν μονάς· σοφία δὲ ὁ Χριστός.

A ipsa quæ sunt in nido animalia. Vel igitur locus sapientiæ, id est theoremata in quibus diversatur, præferenda sunt falsæ scientiæ; vel sapientiæ feturæ intelliguntur. Nam sicut aurum est argento melius, ita sapientia præstat prudentiæ; illa enim in cognoscendo versatur, hæc incognita interpretando. Vel nidos sapientiæ intellige Ecclesias, vel sanctorum in supernis mansiones. Sapientia autem Christus est.

Στ. ιζ'. Τὸ γὰρ ἀδιάστατον τῶν πράξεων ἔχουσαι, τὸ τῆς ζωῆς τῆς καταλλήλου μῆκος ἔχουσιν, ἀπὸ κακῶν ἐκκλίνουσαι, τουτέστι θανάτου.

Vers. 17. Actuum perpetuam seriem tenentes, consentaneæ vitæ diuturnitatem habent, a malis declinantes, id est a morte.

Στ. κθ'. Ἐνταῦθα ἄνδρα παράνομον διάβολον καλεῖ, ὃς ἀποπειρᾶται τῶν ἀνθρώπων, γνῶναι θέλων τίνες εἰσὶν ἐξ αὐτῶν ὅμοιοι αὐτῷ καὶ θέλοντες παρανομεῖν· καὶ ἀπάγων αὐτοὺς εἰς ὁδοὺς ἤτοι εἰς πράξεις οὐκ ἀγαθάς· ὁ αὐτὸς δέ ἐστιν ὁ στηρίζων τοὺς ὀφθαλμοὺς ἐφ' ἕκαστον τῶν ἀνθρώπων, καὶ νοῶν ἀκριβῶς πρὸς ποῖον πάθος ἐπιῤῥεπῶς τις ἔχει· καὶ γνοὺς ἐκ τῶν κινημάτων, ἱστᾷ αὐτοῦ παγίδας· καὶ συλλαβὼν ἀπάγει αὐτὸν εἰς πάντα τὰ κακά. Ὁρίζειν δὲ τοῖς χείλεσιν εἶπεν, διότι ταῖς πονηραῖς αὐτοῦ ὑποβολαῖς, ἔργοις τελειῶσαι σπουδάζει διὰ τῶν ἀνθρώπων πάντα τὰ αὐτῷ καταθύμια· οὗτος δέ ἐστιν ἡ κάμινος τῆς κακίας, ἡ φλέγουσα τὸν ὑποδεξάμενον τοῖς δελεάσμασιν αὐτοῦ εἰς πᾶσαν κακίαν.

Vers. 29. Hic virum iniquum dicit pro diabolo, qui homines tentat, scire volens quinam ei sint similes et peccare volentes; atque hos in vias, id est ad acta non bona impellit. Idem est, qui oculos obfirmat super unumquemque hominem, sedulo observans cuinam cupiditati sit proclivis; quod ubi ex commotionibus novit, laqueos suos intendit; illumque captum ad quævis mala transfert. Definire autem labiis dicit, quia pravis suis suggestionibus opere compleri curat per homines, quidquid ei libitum fuerit. Hæc est autem nequitiæ fornax, quæ captum inescationibus suis ad quamlibet iniquitatem inflammat.

Στ. λ'. Ὀφθαλμὸς θεωρῶν καλὰ, ἤτοι διακεκριμένος· τίνα δὲ τὰ καλὰ, ζητητέον· καὶ μὴ θεωρῶν χρυσὸν, λυπεῖται· εἴτε σῶμα λαμπρὸν, πάλιν κατατήκεται· ἀλλὰ τίνα ἐστὶ τὰ καλὰ, ἄκουσον· Τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν καὶ τὴν κτίσιν πᾶσαν· ὥστε τὰ τοιαῦτα βλέπετε, οἷον τὴν ψυχὴν εὐφραίνει· ἐπεὶ τί ὄφελος τερφθῆναι μὲν τὸν ὀφθαλμὸν, μηδὲν δὲ γενέσθαι πλέον, ἀλλὰ τὴν ψυχὴν διαφθαρῆναι;

Vers. 30. Oculus pulchra spectans, id est quænam pulchra sint discernens. Quænam vero sint bona, quærendum est: aurum non cernens, mœret; aut venustum corpus spectans enecatur. Atqui audi, quænam sint pulchra: Cœlum, terra, mare et universa possessio. Hæc spectate, quæ animam jucundant. Quid enim prodest delectari oculum, nihil vero capere utilitatis, imo animæ pernicicm pati?

Στ. λα'. Τὰ πολλὰ τῆς κακίας αὐτοῦ ἀνωτέρω εἰπόντες, τοῖς εἰρημένοις τὰ λείποντα προσθήσομεν. Μετὰ τῶν ὑπερβολῶν αὐτοῦ πάντων λέγει καὶ ταῦτα τοῖς πειθομένοις αὐτῷ· Τοῦτο τὸ πρᾶγμα κατ' ἀνάγκην ἐστὶ (τὸ διορατικὸν ἀκονήσας εἰς τὸ κακὸν), χρηστέον αὐτῷ. Ἡ ἡδονὴ φυσική ἐστι, χρηστέον αὐτῇ· ἐκ Θεοῦ τὰ χρήματα, ἀπολαυστέον αὐτῶν. Ὁπόταν δὲ εἰς πάντα καταπείσῃ τὸν ὑπήκοον αὐτοῦ, τότε ποιεῖ αὐτὸν ἐγκαυχᾶσθαι κατὰ διάνοιαν, ὡς δικαιοσύνας μεγάλας ποιῶν, καὶ ὅτι ἐν τοῖς γηραιοῖς ταῦτα ὑποτίθεται.

Vers. 31. Cum jam multas diaboli nequitias retro dixerimus, prædictis reliquas addemus. Præter omnes suas hyperbolas, ita quoque suis asseclis loquitur: Res hæc necessaria est (phantasiam ad malum acuens), ergo ea utendum. Voluptas naturalis est: fruendum illa. A Deo sunt opes: gaudendum illis. Quæ cum omnia asseclæ suo persuaserit, tunc facit illum in mente gloriari, quasi magnas justitias operetur, et in senectutis honoribus id reponit.

CAPUT XVII.

Στ. ς'. Ὁ πιστὸς μὴ σπεύδων περὶ τὰ αἰσθητὰ, ὡς πάντα ἔχων ἐστίν· ὁ δὲ περὶ ταῦτα σπεύδων, ὡς μηδὲν ἔχων ἐστίν· ἀγαπῶν γὰρ ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου· ἢ καὶ, Ὁ πιστὸς δύψεται τοὺς λόγους τοῦ κόσμου τούτου, ὡς χρήματα τοῦ νοῦ τροπικῶς εἰρημένους· ὁ δὲ ἄπιστος, οὐδὲ τοῦ τυχόντος ἅψεται πράγματος τῶν λόγων δι' ἀκαθαρσίαν ψυχῆς.

Vers. 6. Fidelis homo, qui sensibilibus non studet, cuncta habere videtur: secus, qui illis studet, nihil videtur habere. Nam qui amat pecuniam, non satiabitur ea. Vel, Fidelis spectabit quæcunque de hoc mundo dicuntur, tanquam mentis divitias tropice narratas. At infidelis nullius rei doctrinam attinget ob animæ impuritatem.

Στ. κη'. Ἐνεὸς, ὁ τῇ σιωπῇ τὴν ἑαυτοῦ ἀμαθίαν, ἢ τὸ πάθος κρύπτων παρ' ἑαυτῷ ἢ τοῖς πέλας, δοκεῖ.

Vers. 28. Ἐνεός videtur, vel qui silentio ignorantiam suam tegit, vel qui animi perturbationem aut apud se abdit, aut proximos celat.

Digitized by Google

CAPUT XIX.

Vers. 7. Non omnem perficit nequitiam (impossibile enim est), sed ea patrat quæ consistere queunt; sed a male faciendo non desinit. Vel cogitationem bonam dicit Christum; ipse enim eam præstat. Et quisquis bene agit, inveniet eum. Nam prudentem, quicunque opus bonum facit, appellat.

Στ. ζ'. Οὐ πᾶσαν ἐκτελεῖ τὴν κακίαν (ἀδύνατος γὰρ), ἀλλὰ πράττει τὰ συνυπάρχειν δυνάμενα· ἔτι δὲ κακοποιῶν οὐκ ἐπαύσατο. Ἣν ἔννοιαν ἀγαθὴν τὸν Χριστὸν λέγει· αὐτὸς γὰρ αὐτὴν ἐγγυᾷ· καὶ πᾶς δὲ ὁ ἀγαθὰ πράττων εὑρήσει αὐτόν· φρόνιμον γὰρ τὸν πᾶν ἔργον ἀγαθὸν ποιοῦντα λέγει.

Vers. 24. Qui non recte vivit, abscondit in anima sua manus injuste. Agrum suum nolens excolere, quomodo saturabitur panibus? Nam practicæ virtutes manuum locum tenent, panem nostrum ori admoventes, panem qui de cœlo descendit. Nequit igitur, qui ejusmodi est, ne ab initio quidem juvari, quia piger est.

Στ. κδ'. Ὁ μὴ ὀρθῶς βιοὺς κρύπτει ἐν τῇ ψυχῇ τὰς χεῖρας ἀδίκως· τὴν ἑαυτοῦ γῆν ἐργάσασθαι μὴ βουλόμενος, πῶς ἐμπλησθήσεται ἄρτων; Αἱ γὰρ πρακτικαὶ ἀρεταὶ χειρῶν ἐπέχουσι λόγον, τὸν ἄρτον ἡμῶν προσφέρουσαι τῷ στόματι τὸν ἀπ' οὐρανοῦ καταβάντα. Οὐ δύναται τοίνυν οὗτος οὐδὲ τὴν ἀρχὴν ὠφεληθῆναι, ὀκνηρὸς ὤν.

CAPUT XXI.

Vers. 21. Id est, judicium obruit impiorum defensionem. Superat enim Deus bene agentes remunerationibus suis.

Στ. κα'. Ἤγουν ἡ κρίσις καλύπτει τὴν ἀπολογίαν τῶν ἀσεβῶν. Ὑπερβάλλει γὰρ ὁ Θεὸς τοὺς εὖ ποιοῦντας ταῖς ἀμοιβαῖς.

CAPUT XXII.

Vers. 26. Ne tradas te ad differendam pœnitentiam, reverentia cujuslibet. Nam si moriaris, neque tempus pœnitendi habueris, nunquam requiem invenies.

Στ. κς'. Μὴ δίδου σεαυτὸν εἰς τὸ ὑπερτίθεσθαι μετανοεῖν, αἰσχυνόμενός τινα. Ἐὰν γὰρ ἀποθάνῃς, καὶ οὐκ ἔχῃς καιρὸν τοῦ μετανοῆσαι, οὐκέτι ἔξεις ἀνάπαυσιν.

CAPUT XXIII.

Vers. 23. Introducit ad se invidum diabolum, comeditque buccellam suam cum eo, is qui vanæ gloriæ causa, vel ut hominibus placeat, bonorum quidquam operum facit: nam homo hujusmodi habet mercedem suam. Nimirum diabolus talia opera hominibus facienda proponit, ut laudibus humanæ approbationis pessumdet, et æternis bonis spoliet.

Στ. κγ'. Εἰσάγει δὲ παρ' ἑαυτῷ τὸν βάσκανον διάβολον, καὶ τρώγει τὸν ψωμὸν αὐτοῦ μετ' αὐτοῦ, ὁ μετὰ κενοδοξίας, ἢ ἀνθρωπαρεσκείας ποιῶν τι τῶν ἀγαθῶν ἔργων· ὁ γὰρ τοιοῦτος ἀπέχει τὸν μισθὸν αὐτοῦ. Καὶ γὰρ ὁ διάβολος φανεροῖ αὐτὰ τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ ἐπαίνου τοῦ πρὸς τὸν ἀνθρωπάρεσκον λοιμανῆται καὶ ἀποστερήσῃ τῶν αἰωνίων ἀγαθῶν.

CAPUT XXIV.

Vers. 20. Haud gignent virtutes improbi neque recta dogmata (sunt enim hæ generationes animæ), quia Dominum non timent. Qui autem in timore Domini manent, progeniem quotidie ex se reddent, et spes eorum non recedet. Prædictis hæc subsequuntur. Inimici, inquit, improbi cum essent, aliorum lapsibus lætabantur; sed quod tu vituperas, cave imiteris. Nam mundanus eorum splendor atque illusio, hac vita tenus, et morte exstinguitur: sæpe etiam, viventibus adhuc reis evanescit.

Στ. κ'. Οὐ γεννήσουσι πονηροὶ ἀρετὰς καὶ δόγματα ὀρθὰ (ταῦτα γάρ ἐστι γεννήματα τῆς ψυχῆς), διὰ τὸ μὴ φοβεῖσθαι αὐτοὺς τὸν Κύριον· οἱ δὲ ὄντες ἐν φόβῳ Κυρίου ὅλην τὴν ἡμέραν ἔξουσιν ἔκγονα, καὶ ἡ ἐλπὶς αὐτῶν οὐκ ἀποστήσεται. Ἀκολουθεῖ δὲ ταῦτα τοῖς εἰρημένοις. Οἱ μὲν γὰρ ἐχθροὶ, φησὶ, πονηροὶ ὄντες, ἐτέρων ἐπέχαιρον πτώμασιν· ὁ δὲ μέμφῃ σὺ, μὴ ζηλώσῃς. Τὸ γὰρ λαμπρὸν δῆθεν αὐτῶν καὶ ἀπατηλὸν, μέχρι τούτου τοῦ βίου, καὶ σβέννυται τελευτῇ· πολλάκις δὲ καὶ ἔτι ζώντων διελεγχθέντων ἐσβέσθη.

CAPUT XXX.

Vers. 7. Hæc vel sapiens ipsi sapientiæ dicit, vel Christi servus Domino. At duo dicens, plura petit. Sed quæ videtur prima postulatio, ea exordium potius postulandi est; orat enim impetrare quod petit, dicens: Ne meis precibus aures obstruas, sed gratiam largire. Post quæ, primum subdit postulatum: Vanum sermonem falsumque sententiam procul me pelle, ne his satur, mendax fiam. Saturitas superbiam creat facitque ut homo superiorem se reprehensionibus putet, verbo et opere insontem. Nam verba, Quis me videt? dicit pro, Quis me reprehendet? Ne forte sapientia plenus, incomprehensibilis aliis videar: vel etiam mendax appaream, superiora horum captui loquens.

Στ. ζ'. Ὁ σοφὸς ταῦτα τῇ σοφίᾳ φησιν, ἢ ὁ τοῦ Χριστοῦ δοῦλος τῷ Κυρίῳ. Δύο δὲ φήσας, περὶ πλειόνων αἰτεῖ· ἀλλὰ τὸ δοκοῦν πρῶτον προαιτητικόν ἐστι τοῦ τυχεῖν ὧν αἰτεῖ λέγοντος· Μή μου παρακούσῃς, ἀλλὰ δίδου τὴν χάριν· ἐφ' ᾧ τὸ πρῶτον ἐπήγαγεν αἴτημα· Μάταιον λόγον, τὴν ψευδώνυμον μακράν μου ποίησον, ἵνα μὴ πλησθεὶς, ψευδὴς γένωμαι. Ὁ κόρος ὑπερηφανίαν ποιεῖ, καὶ τὸ δοκεῖν ὑπὲρ ἔλεγχον εἶναι· λόγῳ καὶ ἔργῳ ὡς ἀναμάρτητον. Τὸ γὰρ, Τίς με ὁρᾷ, ἀντὶ τοῦ, Ἐλέγχει, φησίν· ἵνα μὴ πλησθεὶς σοφίας, ἀκατάληπτος εἶναι δόξω τοῖς ἄλλοις, ἢ καὶ ψεύστης δόξω τὰ ὑπὲρ τούτους λαλῶν.

Vers. 15. Hirudo in dulcibus aquis nascitur, de

Στ. ιε'. Ἡ βδέλλα τίκτεται μὲν ἐν τοῖς γλυκέσι τῶν

Digitized by Google

ὑδάτων, σκωληκοειδὲς οὖσα τι ζῶον· λειοτάτη δέ ἐστι τῇ ἁφῇ, ἥτις τοῖς χανδὸν τοῦ ὕδατος μεταλαμβάνουσι, λεληθότως ὑπεισέρχεται τῇ λειότητι· εἶτα περιπλακεῖσα ἔνδον τινὶ τῶν μορίων, οὐ πρότερον ἀπορρήγνυται, ἕως ἂν τῇ ἐκπόσει τοῦ αἵματος ἀποκτείνῃ τὸν ἄνθρωπον· αἱμοπότης γάρ ἐστι, καὶ ἐντεῦθεν τρέφεται καὶ αὔξεται. Ταύτῃ νῦν εἵλκυσε τὸν διάβολον, ὅστις βίᾳ τῶν ἀνθρώπων κρατεῖν οὐ δυνάμενος· τριοὶ γὰρ κέχρηται μάλιστα κατ' αὐτῶν ὁρμητηρίοις, ἡδονῇ, θέλγοντι, ἀπατῶντι, καὶ διὰ τοῦτο κατὰ μικρὸν λεληθότως αὐτοὺς ἀναιρῶν· πρῶτον μὲν γὰρ αὐτοὺς ταῖς τῆς ψευδοδοξίας ὁδοῖς ἐνάγει πρὸς ἀπώλειαν, ὅπερ δὴ καὶ ᾅδην καλεῖ, τῷ τέλει τῆς δίκης δεικνὺς τῆς ἁμαρτίας τὸ μέγεθος· ἔπειτα περιβάλλων τῇ τῆς ἀκολασίας ἡδυπαθείᾳ, ὃ δὴ καὶ ἔρωτα καλεῖ γυναικῶν. Ἐπὶ τούτοις φιλαργυρίᾳ, ἤτοι πλεονεξίᾳ, ὅπερ δὴ καὶ γῆν οὐκ ἐμπιπλαμένην ὕδατος ἔφη· τοιαύτη γὰρ ἡ ψαμμώδης ἄπληστος. Ταῦτα τοίνυν εἰσὶ τὰ πάθη, ἅτινα ἐξεύρηται τῷ πονηρῷ πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν, ἅπερ οὕτως φιλεῖ καὶ στέργει, ὡς ἂν θυγατέρας ἰδίας. Τὸ τέταρτον δὲ καλεῖ τὴν τούτων τριβὴν καὶ συνήθειαν· οὐδὲ γὰρ ὁ πρὸς ἅπαξ ψευδοδοξήσας, ἢ πορνεύσας, ἢ ἐπιθυμήσας τοῦ πλείονος, εὐθὺς ὑπέπεσε τοῖς παθήμασιν, ἀλλ' ὁ τῇ συνηθείᾳ λοιπὸν καὶ τὴν αἴσθησιν ἡττηθείς· τοιούτους γὰρ ἂν εὕροις τοὺς ταῖς ψευδοδοξίαις ἐντεθαμμένους, οὐδέποτε κόρον λαμβάνοντας, ἀλλ' ἀεὶ προεπιτείνοντας τὰ πάθη, ὡς καὶ ἑτέρους ἐπὶ ταῦτα προτρέπεσθαι. Ὥσπερ οὖν καὶ ὕδωρ καὶ πῦρ τῇ χορηγίᾳ τῶν προσφόρων οὐ παύεται, οὐδὲ λέγει, Ἀρκεῖ, ἀλλὰ μᾶλλον ἐπαῦξον γίνεται· τό τε ὕδωρ τῇ ἐπιῤῥοῇ τοῦ ὕδατος οὐ λήγει, ἀλλ' αὔξεται· ἃ καὶ σὺ, φησὶν, ὦ παῖ, γινώσκων, ἀπέχου τούτων, ἵνα μὴ λάθῃς κατὰ βραχὺ, καθάπερ βδέλλῃ λειοτάτῃ, τῇ ἡδονῇ τὸν βίον ἀποσυλώμενος.

Στ. ιθ', κ'. Ἴχνη ἀετοῦ πετομένου, ἡ τοῦ σοφοῦ ψυχὴ, ἡ σοφὸς οὖσα, ἀδυνάτως ἔχει πρὸς τὸ γνῶναι ἀφ' ἑαυτῆς τὰ τοῦ νοητοῦ ἀετοῦ πετάσματα· περὶ οὗ γέγραπται· Ἀετὸς ὁ μέγας καὶ ὁ μακρὸς τῇ ἐκτάσει καὶ πλήρης ὀνύχων, οὐκ ἔχων ἴχνος τῆς παρουσίας τοῦ διαβόλου, εἰ καὶ προέπτη μοι πόθεν οὐκ οἶδα· ἐκκλίνοντος γὰρ ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον, τῷ μὴ ἔχειν με πρὸς αὐτὸν πόθον. Τοιαύτη ὁδὸς μοιχαλίδος, ἡ νενοθευμένη διδασκαλία.

Στ. κθ'. Ὁ ἐξ ἐθνῶν λαὸς, δοῦλος ὢν τῆς ἁμαρτίας καὶ τοῦ διαβόλου τὸ πρότερον· οὕτως· Ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς· καὶ, Ἄφρων πλησθῇ σιτίων τῆς ζωῆς· καὶ, Μισητὴ γυνὴ, ὅ ἐστι πόρνη· πόρνη γὰρ ἦν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ὀπίσω θεῶν ἀλλοτρίων πορευομένη· καὶ οἰκέτις ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, ἡ τῶν ἐθνῶν Ἐκκλησία τὴν Συναγωγὴν οὖσαν κυρίαν· ταύτης γὰρ ὁ νόμος καὶ οἱ προφῆται δέονται.—Τῆς διανοητικῆς ἐπισκέψεως δούλη ἡ κατὰ τὸ γράμμα, ἣν Ἰουδαῖοι μὲν ὡς δέσποιναν προετίμων· τὰ δὲ ἔθνη μεταλαμβάνοντα τὸ ῥητὸν εἰς τὸ πνευματικὸν, τὴν ὡς δέσποιναν παρ' ἐκείνοις ἐξέβαλον, τὴν σωματικὴν τοῦ νόμου παρατήρησιν.

Στ. κε'. Τὰ ἔθνη φησὶν, οἷς οὐκ ἔστιν ἰσχὺς, καὶ θησαυρίζουσιν ἑαυτοῖς δι' ἔργων ἀγαθῶν τὴν αἰώνιον

specie vermium animal, lævissima tactui, quæ iis qui aquam ore patulo ebibunt, latenter ob suam lævitatem subit : deinde parti alicui interiori insinuata, haud ante dirumpitur, quam sanguinem ebibendo hominem interemerit. Est enim sanguisuga, et inde alitur atque crescit. Huic nunc diabolum comparat, qui cum vi nequeat hominibus potiri, tribus potissimum utitur adversus eos incursionibus, voluptate, delenimento, dolo, atque ita pedetentim latenterque ipsos perimens, primo quidem per falsi dogmatis vias ducit ad perditionem, quam infernum vocat : ipso vindictæ fine, magnitudinem peccati demonstrans. Deinde luxuriæ dulcedine obruit, quem mulierum amorem appellat. Postea pecuniæ amore seu avaritia, quam etiam terram aqua nunquam saturatam dicit; namque arenosa certe, insatiabilis est. Hæ igitur passiones sunt, quas malignus ad hominum perniciem excogitavit; quasque ipse haud secus diligit fovetque quam proprias filias. Quartum dicit, horum actuum frequentiam et consuetudinem : neque enim qui semel pravam sententiam suscepit, aut scortatus est, aut plura concupivit, subito incidit in has passiones, sed consuetudine potius et sensu victus. Tales comperies qui falsis opinionibus sunt obruti, nunquam scilicet satietate earum capi, sed passiones suas latius semper proferre, in tantum ut alios quoque ad easdem hortentur. Velut aqua et ignis suppeditata materia congrua non desinunt, neque dicunt, Sufficit, sed incrementum potius accipiunt; itemque aqua influxu aquæ non subsidet, sed augetur. Quæ tu cognoscens, o puer, ab his abstine, ne inscius, paulatim tanquam mollissimæ hirudini, voluptati prædaflas.

Vers. 19, 20. Vestigia aquilæ volantis sapientis est anima, quæ, etsi sapiens, attamen haud potis est cognoscendis per se ipsam intellectualis aquilæ volatibus. De qua scriptum est: Aquila magna et prælonga, plena unguibus, non habens vestigium præsentiæ diaboli, utrum ad me alicunde advolaverit, nescio. Nam declinante a me maligno, non sensi, quia nullum ejus mihi desiderium inest. Talis est via adulteræ, nempe spuria doctrina.

Vers. 22. Populus nimirum ethnicus, qui antea peccati et diaboli servus erat. Sic illud : In gente insipiente irritabo vos; et : Stolidus saturabitur escis vitæ; et : Odibilis mulier, id est meretrix. Quæ enim nunc ex gentibus est Ecclesia, ea fuit olim meretrix, deorum alienorum sectatrix. Et ancilla ejiciet dominam suam; gentium Ecclesia, Synagogam quæ domina erat; huic enim obnoxii sunt lex et prophetæ. — Intellectualis doctrinæ serva erat illa quæ secundum litteram est, quamque Judæi ut dominam antea reverebantur. At ethnici materiale verbum in spiritale convertentes, illam quæ apud ipsos domina erat expulerunt, nempe corporalem legis observantiam.

Vers. 25. Gentes dicit, quibus non sunt vires, et tamen sibi thesaurizant bonis suis operibus vitam

Digitized by Google

æternam. Et chœrogryllii; piscis genus, vel lepores qui appellantur histrices, id est ethnici prius infirmi, ad Christum postea confugientes. Petra enim chœrogrylliis confugium est, in quibus degunt. Tu quoque igitur, inquit, quanquam infirmum es animal, confuge ad petram veræ fidei, ibique vitam emenda. Operibus fretus in regnum ingreditur. Itaque et tu, inquit, ne propter fidei infirmitatem, de cœlorum regno desperes; sed confidens promissionibus, opera aggredere quæ illud promerentur. Leo Christus; cuncta enim rationalia præ illo, jumenta sunt. Moyses enim ait: «Ego autem infans sum [16].» Propter naturalem alacritatem, libere incedere dicitur.

Vers. 31. Nempe ille pro peccatis hostia oblatus, et alte incedens, habet sequacem gregem. «Cum exaltatus fuero, inquit, omnes ad me trahan [16].» Gallus magistri personam gerit, qui doctrinam in animabus serens, voce valida diurnam lucem annuntiat: «Pœnitentiam agite, appropinquavit enim regnum cœlorum [17].» Hic ab initio corda hominum e somno suscitabat, et adventus sui in carne diem multis indiciis portendebat; tenebras pellebat, et æternam lucem cunctis aperte ostendebat; ambulans inter feminas alacriter, id est in Ecclesiis, alacriter fortiterque, ut ipse ait: «Ecce ego vobiscum sum omnibus diebus usque ad sæculi consummationem [18].»

Vers. 32. Vel si te in sensum Scripturarum immittas; vel, nisi habueris docilem aurem, sed contamax fueris, num audies? «Si quis autem videtur contentiosus esse, nos talem consuetudinem non habemus [19].»

Λ ζωήν. Καὶ οἱ χοιρογρύλλιοι· εἶδος ἰχθύος, ἤτοι οἱ λαγωοὶ οἱ καλούμενοι οἶστροι, τὰ πρώην ἀσθενῆ ἔθνη, καταφυγόντα πρὸς τὸν Χριστόν· πέτρα γὰρ κατεφυγὴ τοῖς χοιρογρυλλίοις, οἳ ἐποιήσαντο ἐν πέτραις Καὶ σὺ οὖν, φησὶ, κἂν ἀσθενὲς ᾖς ζῶον, ἐπιλαβοῦ τῆς πέτρας τῆς ἀληθοῦς πίστεως, καὶ πρὸς αὐτῆν τὸν βίον ἀπεύθυνε. Πράξεσιν ἐρειδόμενος εἰς τὴν βασιλείαν εἰσέρχεται. Οὐκοῦν καὶ σὺ, φησὶ, μὴ διὰ τὸ ἀσθενὲς τῆς πίστεως ἀπιστήσῃς τῇ τῶν οὐρανῶν βασιλείᾳ, ἀλλὰ πιστεύων τῇ περὶ αὐτῆς ὑποσχέσει, τὰ ταύτης ποιητικὰ μετέρχου προστάγματα. Λέων Χριστός· πάντα γὰρ τὰ λογικὰ πρὸς αὐτὸν κτίνη εἰσί· Μωϋσῆς γάρ φησιν· «Ἐγὼ δὲ ἄλογός (7) εἰμι.» Τὸ τὴν φυσικὴν ἐνέργειαν, ἀνεμποδίστως διαβαίνειν λέγεται.

Στ. λα'. Ὁ ὑπὲρ ἁμαρτιῶν προσενεχθεὶς, καὶ ἐν Β ὕψει βαίνων, ἔχει ἑψεπομένην αὐτῷ τὴν ἀγέλην. «Ὅταν γὰρ ὑψωθῶ, φησὶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.» Ὁ ἀλεκτριὼν διδασκάλου πρόσωπον φέρει, ὃς τὸν λόγον σπείρων ἐν ταῖς ψυχαῖς, ἰσχυρῶς ἐστι προσαγγέλλων τὸ φῶς. «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» Οὗτος ἦν ὁ ἀπ' ἀρχῆς διυπνίζων τὰς καρδίας τῶν ἀνθρώπων, καὶ τὴν ἡμέραν τῆς ἐνσάρκου αὐτοῦ παρουσίας διὰ πολλῶν προμηνύων· καὶ σκότος ἐκθλίβων, καὶ τὸ φῶς αἰώνιον πᾶσι φανερῶς ὑποδεικνύων. Ἐμπεριπατῶν ἐν θηλείαις εὐψύχως, τουτέστιν ἐν ταῖς Ἐκκλησίαις, εὐψύχως καὶ γενναίως, ὡς φησιν· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.»

Στ. λϐ'. Ἢ καὶ ἐὰν εἰς τὸν νοῦν τῶν Γραφῶν καθιῇς σεαυτόν· ἢ, ἐὰν μὴ ἔχῃς μαθητικὸν οὖς, ἀλλ' C ἀντιλογητικὸς εἶ, ἀκούσῃ; «Εἰ δέ τις φιλόνεικος εἶ. ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν.»

CAPUT XXXI.

Vers. 3. Voluptatibus aut doctrinis alienis cave des opes tuas. Prudenter vinum bibe; nempe veræ vitis vinum pota, Scripturarum scilicet interpretationem, et rerum contemplationem: multa cum discretione mentem exerce.

Στ. γ'. Ἡδοναῖς ἢ διδαχαῖς ἀλλοτρίαις τὸν σὸν πλοῦτον μὴ δώσεις. Μετὰ βουλῆς οἰνοπότει. Τὸν τῆς ἀληθινῆς ἀμπέλου πίνων οἶνον, τὴν τῶν Γραφῶν ἑρμηνείαν, καὶ τὴν τῶν ὄντων θεωρίαν, μετὰ πολλῆς προσέρχου διακρίσεως τῇ τῆς διανοίας ἐπισκέψει.

Vers. 6. Nunc mœrorem dicit pro labore. Qui ergo propter Deum laborant et dolent, postquam pinguedine domus Domini inebriati fuerint, dolorum obliviscentur.

Στ. ς'. Νῦν λύπην εἶπε τὸν πόνον. Οἱ οὖν διὰ Θεὸν κοπιῶντες καὶ ὀδυνώμενοι, ἐπ' ἂν μεθυσθῶσι τῆς πρὸς τοῦ οἴκου Κυρίου πιότητος, τῶν ὀδυνῶν ἐπιλανθάνονται.

Vers. 8. Propositum tuum ad verborum meorum observantiam obfirma, quæ Dei ipsius sunt.

Στ. η'. Τὴν προαίρεσίν σου ἔχε εἰς τὸ προσέχειν τοὺς λόγους μου, εἰρημένους ὑπὸ Θεοῦ.

CAPUT XX (in Græco).

Vers. 23. Ventus boreas diabolus est, qui incitat D atque tentat sanctos in excelsitate positos, quos nollet operari; vel, verba commovens contra sua dogmata.

Στ. κγ'. Ἄνεμος βορέας, ὁ διάβολος, διεγείρων καὶ πειράζων τοὺς ἁγίους ὑψηλοὺς αὐτοὺς ὄντας, καὶ μὴ θέλων ἐργάζεσθαι· ἢ ἐγείρων λόγους κατὰ τῶν ἑαυτοῦ δογμάτων.

CAPUT XXVI (in Græco).

Vers. 3. Ergo sicuti hæc ad officium animalia impellunt, ita virga, id est objurgatio, gentem iniquam corrigit.

Στ. γ'. Ὥσπερ οὖν ταῦτα μεταφέρει μᾶλλον ἐπὶ τὸ εὖ ἔχον τὰ ζῶα, οὕτως ἡ ῥάβδος, τουτέστιν ἐπιτιμία, τὸ παράνομον ἔθνος ῥυθμίζει.

Vers. 7. Horum, inquit, exstingue potius principatum, et neque practicum neque theoricum regimen iis concede.

Στ. ζ'. Τῶν τοιούτων, φησὶ, περιαίρει μᾶλλον τὴν δυναστείαν, καὶ μήτε πρακτικὴν ἀρχὴν μήτε λογικὴν τούτοις ἐγχείριζε.

[16] Exod. vi, 10. [16] Joan. xii, 32. [17] Matth. iii, 22. [18] Matth. xxviii, 20. [19] I Cor. xi, 16.

(7) Ἄλογος, infans. Sed nunc a Didymo intelligitur jumentum.

Digitized by Google

Στ. ιε'. Εἰ ἀπὸ καρπῶν δικαιοσύνης φύεται δένδροον ζωῆς, πᾶς ὁ κρύπτων τὴν δικαιοσύνην τῇ ἀδικίᾳ, ἥτις λέγεται χειρ, οὐ βρώσεται ἐκ τοῦ τῆς ζωῆς δένδρου. A

Vers. 15. Si ex justitiæ fructibus nascitur arbor vitæ, quisquis obruit iniquitate justitiam, quæ manus dicitur, non comedet de vitæ arbore.

CAPUT XXVII (in Græco).

Στ. κγ'. Τῶν μαθητῶν σου, ἵνα μὴ πρὸς τὴν ἕξιν ἐπάγῃς τὴν διδασκαλίαν.

Vers. 23. Discipulorum tuorum, ne ex consuetudine tantum magisterium exerceas.

CAPUT XXXI (in Vulg.).

Στ. κδ'. Τὴν θεωρίαν τῶν γεγονότων, καὶ τὴν θεωρίαν τῆς ἁγίας Τριάδος, ἔνδυμα εἶναι λέγει νοῦ καθαροῦ, ἐκ βύσσου καὶ πορφύρας.

Vers. 22. Actarum rerum meditationem, necnon sanctæ Trinitatis theoriam, indumentum esse ait hominis puri, ex bysso et purpura.

EJUSDEM DIDYMI

FRAGMENTA INEDITA COMMENTARII AD JOANNIS EVANGELIUM.

(Mai, *Bibl. nova Patrum*, IV, II, 147. Vide infra *Monitum ad Fragmenta in Epist. II ad Corinth.*, col. 1677.)

A'.

ΚΕΦ. Δ'. Στ. κδ'. *Πνεῦμα ὁ Θεός.*

Ἐπεὶ ἀόρατος ὁ Θεὸς, ἀκολουθεῖ δὲ τῶν ὁρατῶν τὸ ἀσώματον· ἀσώματος ἄρα ὁ Θεὸς ὤν, ἀόρατός ἐστιν· εἰ δὲ τοῦτο, λεγόμενος πνεῦμα, οὐ κεκινημένος ἀὴρ εἴη· οὐ γὰρ ὅτι παρὰ ἀνθρώποις ἄνεμον δηλοῖ τὸ πνεῦμα, ἀνάγκη καὶ ἐπὶ Θεοῦ τοῦτο σημαίνεσθαι. Ὥσπερ τοίνυν φῶς λεγόμενον, ἐπεὶ μὴ ὄψιν, ἀλλὰ νόησιν φωτίζει, οὐ σῶμα ἀλλὰ νοερόν ἐστι φῶς· ἀλλὰ καὶ ἀγάπη καλούμενον οὐ διάθεσις ὑπάρχει, ἀλλ' οὐσία ἀγαπῶσα ἃ δημιουργεῖ, καὶ ὧν προνοεῖται· οὕτως πνεῦμα προσαγορευόμενος οὐκ ἄνεμον ἀλλ' ἀσώματον καὶ ζωοποιὸν παρίστησιν οὐσίαν (8). Πᾶς δὲ ὁ μαθὼν ὅτι πνεῦμα ὁ Θεὸς, πνευματικῶς λατρεύων αὐτῷ, πνεύματι καὶ ἀληθείᾳ, οὐκέτι τυπικῶς, προσκυνεῖ τὸν τῶν ὅλων Θεόν. Πρὸς ἀντιδιαστολὴν δὲ τοῦ γράμματος τὸ, « ἐν πνεύματι, » φησί· τοῦ δὲ τύπου, τὸ καὶ, « ἀληθείᾳ. » Ταῦτα γὰρ, ἕως καιρὸς χρειώδης ἦν· τῆς ἀληθείας δὲ ἐλθούσης, ἤτοι τῆς Χριστοῦ παρουσίας, πάντα πέπαυται. B C

I.

CAP. IV. Vers. 24. *Spiritus est Deus.*

Quoniam invisibilis est Deus, sequitur autem invisibilitatem incorporalitas; cum sit incorporalis Deus, idem est etiam invisibilis. Quod si ita est, is qui hoc loco dicitur spiritus, non erit aer commotus. Neque enim quia apud homines ventum significat spiritus, necesse est ut in Deo quoque eodem significatu sit. Sicut itaque cum idem Deus dicitur lux [20], quoniam non oculum, sed mentem illuminat, non est corpus, sed intellectualis lux; quin etiam cum charitas appellatur [21], non est ille quidam affectus, sed substantia amans res illas quas creat et quibus consulit; sic spiritus vocatus Deus, non ventum sed incorpoream vivificamque substantiam denotat. Jam qui novit spiritum esse Deum, spiritaliter adorans, ipso jam spiritu et veritate non figurate, universalem Deum colit. Ob distinguendum autem a littera dicit « in spiritu : » item ut distinguat a figura, dicit « veritate. » Atque illa vetera quandiu tempus idoneum fuit, valuerunt; postea veritate adveniente, id est Christo præsente, cuncta desiverunt.

B'.

ΚΕΦ. Ε'. Στ. κθ'. *Ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.*

Τῶν ἀνθρώπων διῃρημένων κατὰ τὴν γνώμην εἰς ἀσεβεῖς ἤτοι ἀπίστους, καὶ εἰς εὐσεβεῖς ἤτοι πιστοὺς, οἱ αὐτοὶ πάντων ἀνισταμένων ἀνθρώπων, ἦγουν ἄπιστοι καὶ ἀσεβεῖς ἀνίστανται μὲν, οὐκ εἰς κρίσιν δὲ, τῷ ἤδη κεκρίσθαι τὸν μὴ πιστεύσαντα (θ). Εἰσὶ δὲ οἱ πιστεύσαντες τῷ Σωτῆρι, καὶ πρὸς τούτῳ καὶ ἔργα πεποιηκότες ἀγαθὰ, οἵτινες ἀνίστανται εἰς ἀνάστασιν ζωῆς, οὐ κριθησόμενοι· τῶν μετὰ τὸ πιστεῦ- D

II.

CAP. V. Vers. 29. *Procedent qui bona fecerunt, in resurrectionem vitæ : qui vero mala egerunt, in resurrectionem judicii.*

Hominibus secundum hanc sententiam divisis in impios seu incredulos, et in religiosos sive credentes; priores illi quoque, id est impii et incredulі, in universali resurrectione resurgent, non tamen ad judicium, quia qui non credit, jam judicatus fuit [22]. At ii qui Christo crediderunt, et bona insuper opera fecerunt, hi resurgent resurrectione ad vitam, non autem condemnandi; dum contra illi,

[20] Joan. I, 5. [21] I Joan. IV, 8. [22] Joan. III, 18.

(8) Hactenus tantum exstabat Didymi fragmentum in Corderii catena p. 131, et quidem gravibus ibi mendis inquinatum.

(9) Sic apud Joannem III, 18.

Digitized by Google

qui postquam crediderunt peccaverunt, ad damnationem resurgent. Quinam vero infantium status futurus sit, id Deo tantum notum est; vel iis quibus hac super re veritas revelata fuerit.

III.

CAP. VI. Vers. 25. *Cum invenissent eum trans mare, dixerunt ei : Rabbi, quando huc venisti?*

Hic etiam animadvertendum est, quam facile illorum impetus fractus fuerit. Nam qui dixerant : « Hic est propheta ; » qui rapere moliti fuerant, ut facerent eum regem; eumdem mox inventum nequaquam regem constituunt, sed abjecto, ut reor, stupore, jam superiora non admirabantur; rursusque mensa, qualis antea exhibita fuerat, frui expetebant. Transierant sane Rubrum mare olim Judæi, Moyse duce; sed tamen multum interest. Is nonnisi orans, et tanquam famulus, rem peragebat; nunc vero Jesus plena potestate. Et illic quidem austro flante recessit aqua, ita ut per aridam transirent; nunc majus miraculum exstitit; manens enim in propria natura mare, sic deferebat in tergo Dominum suum, testimonium dans oracula illi : « Gradiens super mare » ceu « super pavimentum [22]. » Recte autem, cum venturus esset Capharnaum, oppidum contumax et incredulum, miraculum patravit, non iis solum quæ intra illud, sed etiam quæ extra mirabiliter fecerat, manifestum se faciens, evidentemque constituens, quo illius incredulitatem molliret; nam cum multa populi multitudo illuc confluxisset, omissa cæterarum rerum cura; quemnam ut ita dicam lapidem non mollivisset? Attamen illi nullum ejus rei sensum habuerunt; sed denuo cibum percupiebant corporalem.

IV.

Vers. 26. *Quæritis me, non quia vidistis signa, sed quia manducastis ex panibus, et saturati estis.*

Benignitas atque lenitas non est semper utilis, sed asperitate quandoque utendum magistro est, cum piger hebesque discipulus fuerit. Hoc etiam Dei Filius fecit, cum alibi multoties, tum etiam hoc tempore. Venientibus enim turbis, eique adulantibus, ac dicentibus : « Magister, quando huc venisti? » ut ostenderet se humanam gloriam non cupere, aspere iis respondit, unice sibi proposita illorum salute; neque hanc tantum procurare volens, verum etiam eorumdem mentem flectere et in apertum educere. Quid enim ait? « Amen dico vobis, » nempe definite ac firme : « Quæritis me non quia signa vidistis, sed quia manducastis ex panibus et saturati estis. » Non obstupefecerat turbas panum prodigium, sed saturitas. Propterea rursus venerant, ut eodem beneficio fruerentur. Hinc aiebant : « Patres nostri in deserto manna manducaverunt [24]. » Jam postquam turbas maxima hac objurgatione percuterat, hic non substitit, sed monitionem addidit dicens :

[22] Job IX, 8. [24] Joan. III, 33.

σαι ἡμαρτηκότων εἰς κρίσιν (10) ἐγειρομένων. Τὴν δὲ τῶν βρεφῶν κατάστασιν, ἐπεὶ καὶ αὐτὰ ἀνίστανται, Θεὸς μόνος οἶδεν τάχα, καὶ ὧν ἡ ἀποκάλυψις τῆς περὶ τούτου ἀληθείας γεγένηται (11).

Γ'.

ΚΕΦ. Γ'. Στ. κε'. *Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· Ῥαββί, πότε ὧδε γέγονας;*

Ἄξιον δὲ κἀνταῦθα συνιδεῖν τὴν εὔθραυστον αὐτῶν ὁρμήν. Οἱ γὰρ λέγοντες, « Οὗτός ἐστιν ὁ προφήτης, » οἱ σπουδάσαντες ἁρπάσαι καὶ ποιῆσαι βασιλέα, εὑρόντες αὐτὸν, οὐδὲν τοιοῦτον βασιλεύονται, ἀλλὰ τὸ θαῦμα ἐκβαλόντες, ὥς γε οἶμαι, οὐκέτι λοιπὸν ὑπὲρ τῶν προτέρων ἐθαύμαζον, ἀλλ' ἐπεθύμουν πάλιν τραπέζης ἀπολαύειν οἵας καὶ πρότερον. Διέβησαν μὲν οὖν τὴν Ἐρυθρὰν θάλασσάν ποτε καὶ Ἰουδαῖοι, Μωϋσέως ἡγουμένου· ἀλλὰ πολὺ τὸ μέσον. Ὁ μὲν γὰρ εὐχόμενος, καὶ ὡς δοῦλος, πάντα εἰργάζετο· οὗτος δὲ μετ' ἐξουσίας ἁπάσης. Κἀκεῖ μὲν νότου ἐμπεσόντος εἶξεν τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν· ἐνταῦθα δὲ τὸ θαῦμα μεῖζον ἐγένετο. Μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν ἑαυτῆς Δεσπότην ἐπὶ τῶν νώτων, μαρτυροῦσα τῇ ῥήσει ἐκείνῃ τῇ λεγούσῃ· « Ὁ περιπατῶν ἐπὶ τῆς θαλάσσης » ὡς « ἐπ' ἐδάφους. » Εἰκότως δὲ μέλλων εἰς Καπερναοὺμ ἐμβαλεῖν τὴν σκληρὰν καὶ ἀπειθῆ, τὸ σημεῖον εἰργάσατο, οὐ μόνον τοῖς ἐν αὐτῇ γινομένοις, ἀλλὰ καὶ τοῖς ἔξω τῆς πόλεως θαυματουργουμένοις δηλοποιῶν ἐν αὐτῇ καὶ ἐμφανῆ καθιστῶν, μαλάξαι βουλόμενος αὐτῆς τὴν ἀπείθειαν. Τὸ γὰρ ὄχλους παραγενέσθαι τοσούτους εἰς τὴν πόλιν ἐκείνην πολλῶν τιθεμένους σπουδὴν, ποῖον οὐκ ἦν ἱκανὸν μαλάξαι λίθον; Ἀλλ' ἐκεῖνοι τοιοῦτον οὐδὲν ἔπαθον, ἀλλὰ πάλιν τροφῆς ἐπεθύμουν σωματικῆς.

Δ'.

Στ. κς'. *Ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.*

Τὸ προσηνὲς καὶ λεῖον, οὐ πανταχοῦ χρήσιμον, ἀλλ' ἔστιν ὅτε καὶ τοῦ πληκτικωτέρου δεῖ τῷ διδασκάλῳ, ὅταν νωθὴς καὶ παχὺς ὁ μαθητής. Τοῦτο καὶ ὁ Υἱὸς τοῦ Θεοῦ πεποίηκε ἀλλαχοῦ τε πολλαχοῦ καὶ ἐνταῦθα. Ἐλθόντων γὰρ τῶν ὄχλων, καὶ κολακευόντων αὐτὸν καὶ λεγόντων, « Ῥαββί, πότε ὧδε γέγονας; » δεικνὺς ὅτι τῆς παρ' ἀνθρώπων οὐκ ἐφίεται τιμῆς, ἐπιπληκτικῶς αὐτοῖς ἀποκρίνεται, εἰς ἓν μόνον ὁρῶν, τὴν αὐτῶν σωτηρίαν· οὐ ταύτην δὲ μόνον διαρθῶσαι βουλόμενος, ἀλλὰ καὶ τὸ τὴν διάνοιαν αὐτῶν ἐκκάμψαι καὶ εἰς μέσον ἀγαγεῖν· τί γάρ φησιν; « Ἀμὴν λέγω ὑμῖν, » μετὰ διορισμοῦ καὶ βεβαιώσεως· « Ζητεῖτέ με, οὐχ ὅτι ἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε. » Οὐ τὸ θαῦμα ἐξέπληξε, φησὶ, τὸ ἐπὶ τοῖς ἄρτοις, ἀλλὰ τὸ ἐμπλησθῆναι. Διὰ τοῦτο γὰρ καὶ ἦλθον πάλιν, ὡς μέλλοντες τῶν αὐτῶν ἀπολαύεσθαι· διὰ τοῦτο ἔλεγον· « Οἱ πατέρες ἡμῶν ἐν τῇ ἐρήμῳ ἔφαγον τὸ μάννα· » ὅπερ ἦν ἔγκλημα καὶ κατηγορία μεγίστη. Ἀλλ' οὐχ

(10) Supra dixit οὐκ εἰς κρίσιν, respiciens corde ad psalmum I, 5. Videtur ergo vel aliquid deesse, vel mihi certe res obscura est. Certe ut utriusque loci sibi constet sententia, hic et infra κρίνω et κρίσις damnandi sensum habent.

(11) Quanquam indeterminatum, notabile tamen hoc est antiquissimi Didymi de futuro statu infantium dictum.

Digitized by Google

ἵσταται μέχρι τῶν ἐλέγχων, ἀλλὰ καὶ διδασκαλίαν προτίθησιν, « Ἐργάζεσθε, λέγων, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δώσει ὑμῖν· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός. » Μηδεὶς ὑμῖν, φησὶν, ἔστω λόγος ταύτης τῆς τροφῆς, ἀλλ' ἐκείνης τῆς πνευματικῆς καὶ ἀθανάτου καὶ πρὸς ἀθάνατον μεταγούσης ζωήν. Ταῦτα δὲ λέγει, οὐκ ἀναιρῶν τὸ ἐργάζεσθαι, ἀλλὰ τὸ προσηλῶσθαι τοῖς ποιητικοῖς πράγμασιν, τὸ ποιεῖσθαι φροντίδα τῆς εἰς αὔριον ἀναπαύσεως. Ἔνεστι γὰρ ἐργαζόμενον, μηδὲν εἰς τὴν αὔριον θησαυρίζειν καὶ μεριμνᾷν· εἰ δέ τις ἀργῶν γαστρίζοιτο καὶ τρυφῆς ἐπιμελοῖτο, οὗτος τὴν βρῶσιν ἐργάζεται τὴν ἀπολλυμένην· εἰ δὲ τὸν Χριστὸν τρέφοι καὶ ποτίζοι καὶ ἐνδύοι, ἐργαζόμενος αἰσθητῶς ὁμοῦ καὶ πνευματικῶς, τίς οὕτως ἀναίσθητος καὶ μανιώδης, ὡς εἰπεῖν ἀπολλυμένην βρῶσιν ἐργάζεσθαι τὸν τοιοῦτον, δι' ἣν τῆς βασιλείας ἡ ἐπαγγελία τῆς μελλούσης, καὶ τῶν ἀγαθῶν ἐκείνων ἡ ἀπόλαυσις μεθεκτέα γίνεται; αὕτη γὰρ μένει διηνεκῶς ἡ βρῶσις. Εἶτα ἐπειδὴ μέγα περὶ ἑαυτοῦ ἐφθέγξατο, καὶ ἔφησεν αὐτὸς δώσειν αὐτὴν, ἵνα μὴ πάλιν αὐτοῖς προσθῇ τὸ λεγόμενον, ἀξιόπιστον ποιῶν τὸν λόγον, ἐπὶ τὸν Πατέρα τὴν χορηγίαν τῆς τοιαύτης τροφῆς ἀγάγει· εἰπὼν γὰρ, « Ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου δώσει ὑμῖν, » ἐπήγαγεν· « Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός· » τουτέστιν, Ἐπὶ τοῦτο ἔπεμψεν, ταύτην κομίζοντα ὑμῖν τὴν τροφὴν τὴν οὐράνιον. Δηλοῖ δὲ καὶ ἑτέραν ἑρμηνείαν ἡ λέξις· καὶ γὰρ ἀλλαχοῦ φησὶν ὁ Χριστός· « Ὁ ἀκούων μου τοὺς λόγους, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν· » ὅσον τό γε ἐπ' αὐτῷ ἐβεβαίωσε τοῦ Θεοῦ τὴν ἀλήθειαν, τουτέστιν ἀπέδειξεν καὶ ἐξεκάλυψεν διὰ τῆς αὐτοῦ μαρτυρίας· ἔδειξε μὲν γὰρ αὐτὸς ἑαυτόν· ἐπειδὴ δὲ πρὸς Ἰουδαίους διελέγετο, τὴν τοῦ Πατρὸς μαρτυρίαν εἰς μέσον ἤγαγεν.

« Operamini non escam pereuntem, sed escam quæ manet in vitam æternam, quam Filius hominis dabit vobis. Hunc enim Pater signavit. » Nulla, inquit, vobis sollicitudo sit de hac esca, sed de spirituali illa atque immortali, quæ ad immortalem vitam ducit. Hæc ait, non operari vetans, sed ne creatis rebus sic inhæreamus, ut crastinæ requietis curam geramus. Operari enim possumus, nihil simul in crastinum thesaurizantes vel cogitantes. Si quis vero otiose ventri et deliciis vacat, hic escam pereuntem operatur. Secus, si Christo escam potumque præbet ac vestimentum, corporaliter simul operans et spiritaliter, quisnam adeo hebes furiosusque est, ut eum dicat escam pereuntem operari, cujus causa promissum est regnum futurum, et bonorum illorum participatio erit? Hæc enim esca manet in æternum. Deinde quia magnum quid de se dixerat, seque illam escam daturum; ne ei dictum illud objiciatur, credibilem faciens sermonem suum, Patri acceptam refert hanc escam. Nam cum dixisset, « Quam Filius hominis dabit vobis, » addidit, « Hunc enim Pater signavit Deus; » id est, Hujus rei causa misit, hanc escam cœlestem suppeditaturum. Cæterum dictio aliam quoque patitur interpretationem. Namque alibi Christus ait: « Qui sermones meos audit, signavit quod Deus verax sit [24]; » quatenus scilicet veritatem Dei in eo esse affirmavit, id est ostendit ac testimonio suo revelavit. Demonstraverat enim ipse semet: sed quia nunc Judæos alloquebatur, Patris testimonium in medium protulit.

Ε'.

Στ. νθ'. *Ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα.*

Post fragmentum in Corderiana Catena p. 196, continuatur sic in codd. A, f. 145 b. et B, f. 83 b. Εἰ δὲ ἐναντίον δοκεῖ τὸ, « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, » οὐδαμῶς τυγχάνει διαφωνία. Εἰ γὰρ μὴ πεινᾷ τις, μηδὲ διψᾷ, φαγὼν τούτου τοῦ ἄρτου, καὶ πιὼν τοῦ ἀθανάτου πόματος, ἀλλ' ὅμως διὰ τὸ ἐράσμιον καὶ ἀξιέπαινον τῆς τροφῆς καὶ τοῦ ποτοῦ, ὁ χορτασθεὶς ἔτι πεινᾷ, καὶ πεινῶν ἔτι διψᾷ, ὥστε καὶ ἀεὶ κορέννυσθαι καὶ πεινῶν.

V.

Vers. 59. *Qui manducat hunc panem, vivet in æternum.*

Quod si contrarium videtur illud: « Beati qui esuriunt et sitiunt justitiam, nulla tamen reapse dissonantia est. Nam si neque esurit postea, neque sitit, quicunque hunc panem manducaverit, et immortalitatis poculum biberit; nihilominus propterea quod amabilis et pretiosa hæc esca est et potus, qui satiatus fuerit adhuc esurit, et qui biberit adhuc sitit, ita ut semper saturetur semperque esuriat.

Ϛ'.

ΚΕΦ. Η'. Στ. νε'. *Ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσει εἰς τὸν αἰῶνα.*

Τοῦ Σωτῆρος εἰρηκότος, μὴ θεωρήσειν θάνατον τὸν τηροῦντα τὸν λόγον (αὐτοῦ), οἱ παρόντες Ἰουδαῖοι σφαλέντες, τὸ θεωρεῖσθαι θάνατον, ταυτὸν εἶναι τῷ γεύσασθαι αὐτοῦ ὑπέλαβον. Δοκεῖ γὰρ αὐτοῖς, ὅσον ταῖς αὐτῶν λέξεσιν, ἐκεῖνον μὴ γεύσασθαι θάνατον, τὸν πεῖραν τοῦ κοινοῦ μὴ λαβόντα θανάτου. Τοῦτο δὲ δοκεῖ ἀνατρέπειν τὴν Κυριακὴν ἐπαγγελίαν, τεθνηκότων καὶ τῶν τηρησάντων αὐτοῦ τὸν λόγον· γέγονε δὲ αὐτοῖς ἀπάτη, τὸ θέλημα πανούργως σοφίσασθαι ἐξ ὁμωνυμίας. Ὁ γὰρ τηρῶν τὸν Ἰησοῦ λόγον, τὸν ἐπόμενον τῇ ἁμαρτίᾳ θάνατον οὐ μὴ θεωρήσει, εἰ καὶ γεύσεται τοῦ κοινοῦ καὶ σωματικοῦ θανάτου·

VI.

CAP. VIII, vers. 51. *Si quis sermonem meum servaverit, non videbit mortem in æternum.*

Dicente Salvatore, fore ut mortem non videat, qui sermonem ipsius servaverit, Judæi astantes mentis suæ errore mortem videre, idem esse existimarunt atque eamdem gustare. Videbatur enim illis, quantum verba sonant, ille mortem non gustare, qui communem mortem non experiretur. Hoc autem videtur subvertere Dominicam promissionem, quod nempe ii quoque morientur qui Christi sermonem servaverint. Sed causa illis erroris fuit malitiosa circa homonymiam cavillatio. Nam qui Jesu sermonem servaverit, is consequentem ex peccato mortem non videbit, quanquam communem corpo-

Digitized by Google

ris mortem gustaturus sit. Quoniam et cum indefinite dixerint: Prophetæ mortui sunt, haud addito, omnes, non repugnat quod Enochus atque Elias mortem vitaverint.

Ἐπεὶ δὲ καὶ ἀπροσδιορίστως εἶπον, Οἱ προφῆται ἀπέθανον, μὴ προσθέντες, πάντες, οὐ μάχεται τὸ μὴ τεθνάναι Ἐνὼχ καὶ Ἠλίαν.

VII.

Vers. 56. *Abraham pater vester exsultavit, ut videret diem meum.*

Quærendum est, quemnam dicat diem. Aio itaque, quoniam verum lumen et sol justitiæ est diciturque Salvator, is diem efficit, cum alicui exoritur per virtutem et divinam scientiam. Quia ergo Abrahamo quoque apparuit, illuminans illum ad justitiam, rationaliter gaudio exsultavit, videns intellectualem Domini diem.

Ζ'.

Στ. νϛ'. *Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν.*

Ζητητέον τίνα λέγει ἡμέραν. Φαμὲν τοίνυν, ἐπεὶ φῶς ἀληθινὸν καὶ δικαιοσύνης ἥλιός ἐστί τε καὶ λέγεται ὁ Σωτὴρ, ἡμέραν κατασκευάζει ἐπ' ἂν ἀνατείλῃ τινὶ δι' ἀρετῆς καὶ θείας γνώσεως. Ἐπεὶ τοίνυν καὶ τῷ Ἀβραὰμ ὤφθη, καταυγάσας αὐτὸν πίστει εἰς δικαιοσύνην, λελογισμένως μετὰ χαρᾶς ἠγαλλιάσατο, ἰδὼν τὴν νοητὴν τοῦ Κυρίου ἡμέραν.

VIII.

CAP. IX, vers. 37. *Et vidisti eum; et qui loquitur tecum, ipse est.*

Cordis oculos illuminatus fuerat, quia vera lux ipsum illustraverat. Qui autem e contrario ab inscitia tenetur cæcatus, is videtur sibi non habere peccatum, quatenus haud sponte graviora saltem peccavit. Sed et ipsa inscitia alio modo peccatum est. Poterat enim, rationalis homo cum sit, scientiam boni ac mali habere. Ergo negligentia ab ipsa inscitia coarguitur. Sic intelliges illud: « Servus qui Domini voluntatem non cognoverit, vapulabit paucis [36]. »

Η'.

ΚΕΦ. Θ'. Στ. λζ'. *Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετά σοῦ, ἐκεῖνός ἐστιν.*

Πεφώτισται τοὺς ὀφθαλμοὺς τῆς καρδίας, ἐλλαμπόμενος ὑπὸ τοῦ φωτὸς τοῦ ἀληθινοῦ. Ὁ ἀπεναντίας ἔχων τούτῳ, τυφλωθεὶς ὑφ' ἧς ἔχει ἀγνοίας, δοκεῖ μὴ ἔχειν ἁμαρτίαν, τῷ μὴ ἑκουσίως πράττειν, ἀδρὰ ἡμαρτηκώς. Αὐτὸ δὲ τὸ ἀγνοεῖν, κατ' ἄλλον τρόπον ἁμάρτημά ἐστιν· ἐνῆν γὰρ λογικὸν ὄντα, ἐπιστήμην ἀγαθοῦ καὶ κακοῦ ἔχειν. Ἀμελήσεως οὖν τούτου ὑπὲρ αὐτῆς τῆς ἀγνοίας ἐγκαλεῖται. Εἰς τοῦτο λήψῃ τὸ, « Ὁ δοῦλος ὁ μὴ γνοὺς τὸ θέλημα τοῦ Κυρίου, δαρήσεται ὀλίγας. »

IX.

CAP. XIV, vers. 28. *Pater major me est.*

Vocabulum « major » quonam sensu Salvator protulit? Num de corporum magnitudine? an quod tempore major? aut quod ampliore virtute ornatus? Sed hæc omnia intra quantitatis terminos sunt, et capacium, ac dimensorum. Nihil est autem capax vel dimensum in Deo. Nihil igitur majus et minus in Deo Verbo et in Patre dictum est. Nam Deus mensuram et circumscriptionem suapte natura non admittit. Quod si majorem esse Patrem dices quatenus ipse est ingenitus, Filius genitus, dicemus modos esse substantiarum non autem subsistentiarum, præsertim in qualitate carentibus et incorporeis, nec minuere consubstantialium dignitatem, minus vel magis huic vel illi tribuentes. Fieri enim non potest, ut quod substantialiter et intellectualiter simplex est, mensura aut magnitudinis quantitate sit comparativum. Propterea Salvator unica dictione duplicem protulit doctrinæ modum. Est quippe duplex prædictæ locutionis sensus. Veluti cum ait: « Qui misit me [37]. » Item: « Vado [37]; » his verbis corpus in loco exsistens denotavit esse circumscriptum, non autem suam quæ omnia complectitur incircumscriptam deitatem. Comparativo autem vocabulo, quo ait majorem se esse Patrem, deitatem ostendit cum Patre comparatam, nempe quod ipse ei esset consubstantialis; ita tamen ut ob corporis assumptionem, Patre minor reputare-

Θ'.

ΚΕΦ. ΙΔ'. Στ. κη'. *Ὁ Πατὴρ μείζων μου ἐστί.*

Τὸ, « μείζων, » ἐνταῦθα πῶς ἐξείληφεν; Ἆρα ὡς ἐπὶ μεγέθους σωμάτων; ἢ ὡς μείζων ἐν χρόνῳ; ἢ ὡς ἐν ἀρετῇ πλείονι κεκοσμημένῳ; Ἀλλὰ ταῦτα πάντα ἐντὸς ποσότητός ἐστιν καὶ τῶν ἐνδεχομένων καὶ μεμετρημένων· οὐδὲν δὲ ἐνδεχόμενον καὶ μεμετρημένον ἐν τῷ Θεῷ· οὐκ ἄρα τὸ μεῖζον καὶ ἔλαττον ἐπὶ τοῦ Θεοῦ Λόγου ἢ ἐπὶ τοῦ Πατρὸς εἴρηται· Θεὸς γὰρ μετρεῖσθαι ἢ διαγράφεσθαι οὐ πέφυκεν. Εἰ δὲ φήσεις μείζονα εἶναι τὸν Πατέρα ὅτι περ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητὸς, ἐροῦμεν ὅτι τῶν οὐσιῶν οἱ τρόποι, οὐ τῶν ὑπάρξεων· καὶ μάλιστα ἐπὶ τῶν ἀποίων καὶ ἀσωμάτων, οὐκ ἐλαττοῦσι (12) τὴν ἀξίαν τῶν ὁμοουσίων, τὸ ἔλαττον ἢ τὸ μεῖζον τῷδε ἢ τῷδε παρέχοντες· οὐ γὰρ πέφυκεν τὸ ὂν οὐσίᾳ καὶ γνώσει ἁπλοῦν, μέτρον ἢ ποσότητα μεγέθους συγκρίνεσθαι. Διὰ τί οὖν ἐρρέθη; Ὁ Σωτὴρ ἑνὶ λόγῳ διττὸν ἀπετείνατο διδασκαλίας τρόπον. Διπλῆ γὰρ ἡ τοῦ εἰρημένου ῥήματος ἔννοια· οἷον διὰ τοῦ, « Ὁ πέμψας με, » καὶ, « Ὑπάγω, » τὸ ἐν τόποις περιεχόμενον ἡνίξατο σῶμα, περιγραπτὸν ὄν, καὶ οὐ τὴν τὰ πάντα περιέχουσαν αὐτοῦ ἀπερίγραπτον θεότητα. Διὰ δὲ τοῦ συγκριτικοῦ ῥήματος τοῦ λέγειν μείζων (12') ἑαυτοῦ, τὴν θεότητα ἐμφαίνει συγκρινομένην τῷ Πατρὶ, ὅτι περ ὁμοούσιός ἐστι, τῇ δὲ προσλήψει τοῦ σώματος, τοῦ Πατρὸς ἐπινοουμένην ἧττω κατὰ τὸ γενέσθαι αὐτὸν ἄνθρωπον. Καὶ μὴ θαυμάσῃς εἰ τοῦ Πατρὸς ἧττον λέγει ὁ Σωτὴρ ἄνθρωπος γενόμενος, ὁπότε καὶ τῶν ἀγγέλων βραχύ-

[36] Luc. XII, 48. [37] Joan. IV, 36, 37 et passim. [37] Joan. 13, 33, XIV, 2.

(12) Codd. ἐλάττους.

(12') Forte leg. μείζονα.

Digitized by Google

τερος εἴρηται κατὰ τόδε· Βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθος τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. Ἐῤῥέθη δὲ καὶ τῶν ἑαυτοῦ μαθητῶν ἥττων· « Ἐγὼ δὲ, » φησὶν, « εἰμὶ ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν καὶ ὡς ὁ μικρότερος. » Τὰ οὖν συγκρινόμενα, ὁμοούσια· τὰ δὲ ἁπλᾶ καὶ γνώσει καὶ οὐσίᾳ, οὐκ ἐπιδέχεται τὸ μεῖζον καὶ τὸ ἔλαττον. Εἰ δὲ ἐπὶ τῆς θεότητος τοῦ Υἱοῦ ἄνευ τοῦ εἰληφέναι σάρκα βούλει ἐκλαβεῖν τὸ, « Ὁ πέμψας με Πατὴρ μείζων μου ἐστὶν, » ἐν τόποις αὐτὸν δώσεις περιεχόμενον καὶ συγκλειόμενον, πεμπόμενον δὲ ὅπου οὐκ ἦν, καὶ μεταίροντα ὅθεν ἔστιν· ὅπερ ἄτοπον (13).

A tur, secundum videlicet humanitatem. Neque mireris, si Patre se minorem dicit Salvator homo factus; siquidem aliquantum quoque infra angelos imminutum Jesum videmus propter mortis passionem, et gloria atque honore coronatum [28]. Dictus est etiam discipulis suis minor : « Ego autem, » inquit, « in medio vestrum sum, sicut qui ministrat, et sicut minor [29]. » Ergo quæ hic invicem comparantur, sunt consubstantialia : quæ autem mentis conceptu et substantia simplicia sunt, ea non recipiunt majus et minus. Nam certe si velles de Filii deitate, nondum carne suscepta, intelligere verba, « Qui misit me Pater, major me est, » locis eum facies contentum et conclusum, eo missum ubi non erat, et inde discedentem ubi fuerat; quod est absurdum.

Γ'.

ΚΕΦ. ΙΖ'. Στ. β'. *Δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε.*

Τοῦτό ἐστιν ὃ λέγει· Ἀποκάλυψόν με τοῖς ἀγνοοῦσιν· φανέρωσόν μου τὴν δόξαν ἣν ἔχω παρὰ σοὶ, Θεὸς Λόγος τυγχάνων· « Οὐδεὶς » γὰρ, φησὶ, « δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ πέμψας με Πατὴρ ἑλκύσῃ αὐτόν. » Ὡσαύτως δὲ ἔστιν ἀκοῦσαι καὶ τὸν Υἱὸν δοξάζοντα τὸν Πατέρα, κατὰ τὸ ἀποκαλύπτειν αὐτὸν τοῖς οὐκ εἰδόσι Θεόν. Κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται δοξάζειν τὸν Υἱὸν, ἐν τῷ ἀποκαλύπτειν αὐτὸν τοῖς ἀγνοοῦσιν. Εἰ δὲ καὶ ἐνταῦθα ἀνθρωπινώτερον φθέγγεται, μὴ θαυμάσῃς· τῶν τε γὰρ εἰρημένων αἰτιῶν ἕνεκεν τοῦτο ποιεῖ, καὶ φυλαττόμενος ἀεὶ τὸ αὐτὸ περὶ αὐτοῦ λέγειν μέγα περὶ αὐτοῦ φαντάζεσθαι τέως. « Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· » πρὸς ἀντιδιαστολὴν τῶν λεγομένων θεῶν φησι· καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν τὰ πολλοὺς θεοὺς ἔχοντα. Εἰ δὲ οὐκ ἀνέξονται διὰ τὸ, « μόνον, » ἀλλ' ἐκβάλωσιν τοῦ εἶναι ἀληθινὸν Θεὸν τὸν Υἱὸν, οὕτω προϊόντες, καὶ τοῦ εἶναι Θεοῦ Υἱὸν ἐκβαλοῦσιν. Τοῦτο δὲ εἰδέναι χρὴ, ὅτι τὸ αἴτιον ἀντὶ τοῦ αἰτιατοῦ φησι· τὸ γὰρ εἰδέναι τὸν ἀληθινὸν, προξενεῖ ἡμῖν τὴν αἰώνιον ζωήν.

[28] Hebr. II, 9. [29] Luc. XXII, 27.

(13) Ita scilicet Didymus, aliique plures, nempe quod major sit Pater Filio, habita ratione humanitatis. Attamen Nazianzenus in oratione XXX, 7, vere magis quam honorifice dici ait. « Quid enim mirum, inquit, Deum homine esse majorem? » Itaque ipse alio modo Dominicum explanat, ut videre est loc. cit.

B

X.

CAP. XVII, vers 2. *Glorifica Filium tuum, ut et Filius tuus glorificet te.*

Hoc ait : Revela me ignorantibus, notam fac gloriam meam quam a te habeo, quatenus Deus Verbum sum. « Nemo » enim, inquit, « potest venire ad me, nisi qui misit me Pater traxerit eum [30]. » Similiter audire est Filium Patri gloriam tribuentem, dum eum revelat illis qui Deum ignorabant. Hac eadem ratione sanctus quoque Spiritus dicitur Filium glorificare, eum scilicet ignorantibus revelando. Quod si hoc quoque loco paulo humanius loquitur, ne mireris; ita enim prædictas ob causas agit, semperque cavens ne videatur de se ipso magnifice loqui. Verba autem : « Hæc est vita æterna ut cognoscant te solum verum Deum, » ait ut a vulgo dictis diis distinguat. Nam missurus erat discipulos ad gentes quæ plures deos habebant. At si (Ariani) propter vocabulum « solum » sensum hunc non tolerant, negantque Filium esse verum Deum, ultra porro pergent, et Filium quoque Dei esse negabunt. Sciendum porro est causam pro re causata ab eo dici. Certe Deum verum agnoscere, vitam nobis æternam conciliat.

C

[30] Joan. VI, 44.

FRAGMENTA

EX DIDYMI EXPOSITIONE IN ACTUS APOSTOLORUM.

(Wolf, Anecdota, *t.* IV, *p.* 1, *ex Catena ms. in Actus quam servat bibliotheca collegii Novi Oxon., codice* LVIII.)

—

ΚΕΦ. Β'. Στ. ε'. *Ἦσαν δὲ κατοικοῦντες ἐν Ἰερουσαλήμ.*

Διδύμου. (1) Τὸ, *ἀπὸ παντὸς ἔθνους, ἁπλού-*

D

CAP. II, vers. 5. *Erant vero habitantes Hierosolymis.*

Didymi. Voces, *ex omni gente*, latius sunt acci-

(1) Sunt hæc procul dubio notæ Didymi Alexandrini, ex cujus innumeris scriptis perpauca opuscu-

Digitized by Google

piendæ, ut idem scilicet valeant, quod dixeris, *ex multis gentibus*. Alius efficacius forte dixerit, sermonem hic esse de Judæis piis, Hierosolyma habitantibus, ut indicentur homines Hierosolymis ex quacunque gente versantes. Sic verbi causa ponamus gentes in universum omnes esse septuaginta. Ex istis septuaginta, erant nonnullæ gentes Hierosolymis, verbi causa viginti earum, ex quibus pii Judæi, Hierosolymis tunc versantes magnalia Dei prædicabant. Itaque voces, *ex omni gente*, non simpliciter et stricte accipiendæ sunt, sed de iis tantum, quæ fuerint Hierosolymis. Dum vero viginti gentes Hierosolymis fuisse supponimus, nemo putet, viginti illas integras fuisse ibidem, sed de nonnullis earum hominibus id interpretetur. Atque his convenienter intelligi quoque debet prophetia Joelis, sub Dei persona ita prolatum : *Effundam de Spiritu meo super omnem carnem* [1], ubi caro de illis intelligenda est, qui præparati erant ad recipiendum Spiritum, qui dabatur.

Vers. 17. *Effundam de Spiritu meo.*

Quando illi, qui imaginem cœlestis [2] præferunt, et lucis veræ redditi sunt participes, dicent : *Signata super nobis est lux faciei tuæ, o Domine* [3]. Edita vero sunt etiam in terris miracula, quando gentes omnes a patriis moribus et diis recesserunt, recipientes effusionem Spiritus sancti, ex quo fit, ut divina secundum Spiritum dona hominibus, in terra viventibus, miraculorum loco haberi debeant.

Vers 21. *Et erit : Quicunque invocaverit*, etc.

Itaque vera sunt illa Christi verba, *Omnis qui petit, accipit* [4], modo ne inter omnes illos numerentur, qui male orant. Qui enim male orat, non orat. Hoc sensu verum est illud : *Quicunque invocaverit nomen Domini, salvus erit;* modo ne hic intelligantur illi, qui, voluntatem Patris non facientes, Jesum dicunt Dominum, et propterea nomen ejus invocare sibi videntur. Interim nec unum est idemque, invocare nomen Domini, et pronuntiare illud. Qui enim precatur, et bono aliquo frui cupit, invocat, cui et consequenter auxilium præstatur. Qui vero simulat se esse servum, Christum compellat : *Domine, Domine;* non autem facit quæ servi sunt. Ad illos itaque ait : *Quid mihi dicitis : Domine, Domine; nec facitis quæ præcipio* [5]? Illud itaque quod dicitur, *Quicunque invocaverit nomen Domini, servabitur*, accipies convenienter isti : *Nemo dicit Jesum Dominum, nisi in Spiritu sancto* [6], hoc est, Dominum

A στερον ἐκληπτέον, ἴσον δυνάμενον τῷ (2), *ἀπὸ πολλῶν*. Μᾶλλον δέ τις βιαιότερον ἐπιχειρήσει, λέγων, ἐπὶ τοὺς εὐλαβεῖς Ἰουδαίους τοὺς κατοικοῦντας Ἱερουσαλὴμ, φησί· τὸ, *ἀπὸ παντὸς ἔθνους*, δηλοῖ τῶν ἐν Ἱερουσαλὴμ ὄντων, οἷον λόγου χάριν ἔστωσαν (3) τὰ πάντα ἔθνη ἑβδομήκοντα (4). Ἀπὸ τούτων τῶν ἑβδομήκοντά τινα ἔθνη ἐτύγχανον ἐν Ἱερουσαλὴμ, φέρε ἀπὸ τούτων εἴκοσιν οἱ ὄντες εὐλαβεῖς Ἰουδαῖοι ἐν Ἱερουσαλὴμ, ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ (5). Ὡς τὸ, *ἀπὸ παντὸς ἔθνους*, μὴ καθάπαξ εἰρῆσθαι, ἀλλὰ τοῦ ὄντος ἐν τῇ Ἱερουσαλήμ. Ἐὰν δὲ ἔθνη εἴκοσιν ὑποθώμεθα ἐν τῇ Ἱερουσαλὴμ εἶναι, μὴ νομιζέτω τις, ἐξ ὁλοκλήρου τὰ εἴκοσι ἔθνη εἶναι ἐν τῇ Ἱερουσαλὴμ, ἀλλ' ἀπὸ τούτων τινὰς ἀνθρώπους. Συμφώνως τούτοις (6) νοῆσαι σπουδαστέον καὶ τὴν προφητείαν B τοῦ Ἰωὴλ, τὴν ἐκ προσώπου τοῦ Θεοῦ λέγουσαν· *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*, ἀλλὰ τὴν παρεσκευασμένην δέξασθαι τὸ Πνεῦμα, δίδοσθαι αὐτὸ ῥητέον.

Στ. ιζ'. *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου.*

Ὅταν οἱ φοροῦντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, τοῦ φωτὸς τοῦ ἀληθινοῦ μετειληφότες λέγουσιν· *Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.* Δίδοται δὲ καὶ ἐπὶ γῆς τέρατα, πάντων ἐθνῶν ἀναχωρούντων τῶν πατρώων ἐθῶν τε καὶ θεῶν, ἐπὶ τῷ δέξασθαι τὴν ἔκχυσιν τοῦ Πνεύματος, καὶ κατὰ τὸ Πνεῦμα θεῖα χαρίσματα τοῖς ἐπὶ γῆς ἀνθρώποις εἶναι τὰ τέρατα.

Στ. κα'. *Καὶ ἔσται· Πᾶς ὃς ἂν ἐπικαλέσηται*, κ. τ. λ. C

Ὡς ἀληθεύεται τὸ, *Πᾶς ὁ αἰτῶν λαμβάνει*, μὴ ἀριθμουμένων εἰς πάντας τοὺς αἰτουμένους τῶν κακῶς αἰτούντων (ὁ γὰρ κακῶς αἰτῶν οὐκ αἰτεῖται), οὕτως ἀληθές ἐστι τὸ, *Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται*, οὐ συμπεριλαμβανομένων τῶν ἄνευ τοῦ ποιεῖν τὸ θέλημα τοῦ Πατρὸς, λεγόντων τὸν Ἰησοῦν Κύριον, καὶ διὰ τοῦτο δοκούντων ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ. Καὶ ἑτέρως οὐ ταυτὸν τὸ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου, καὶ λέγειν αὐτό. Ὁ μὲν γὰρ εὐχόμενος καὶ τυχεῖν τινος ἀγαθοῦ βουλόμενος ἐπικαλεῖται, ᾧ ἀκολούθως γίνεται σωτηρία· ὁ δὲ προσποιούμενος εἶναι δοῦλος, λέγει, *Κύριε, Κύριε*, τῷ Ἰησοῦ, οὐ πράττων τὰ δούλου. Ὅθεν πρὸς τοὺς τοιούτους φησί· *Τί με λέγετε* (7), *Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;* Παραπλησίως ἐκδέξῃ τὸ, *Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται*, τῷ, *Οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ·* Κύριον τοῦ καὶ ἔργῳ καὶ διαθέσει δου- D

[1] Joel. II, 28. [2] I Cor. XV, 49. [3] Psal. IV, 7. [4] Matth. VII. 8. [5] Luc. VI, 46. [6] I Cor. XII, 3.

la ætatem tulerunt, ut proinde fragmentis eorum tanto magis tribuendum videatur. In Acta eum scripsisse nusquam video memorari. Ex sequentibus tamen locis nonnullis verisimile id a nobis, si non certum, reddetur.

(2) *Τῷ*. Ita scripsi pro *τό*, sensu, ut puto, postulante.

(3) *Ἔστωσαν*. In ms. legebam, ἦτωσαν.

(4) *Ἑβδομήκοντα*. Tot enim numero gentes statuunt in primis Judæi, et, qui eos imitantur, Christiani nonnulli, ad Noachi scilicet nepotes totidem, vel septuaginta filios Israelis, qui Ægyptum ingressi sunt, provocantes. Vide in primis Jo. Buxtorfii Dissert. de confusione linguarum, p. 78 sq.

(5) *Ἐλάλουν τὰ μεγαλεῖα τοῦ Θεοῦ*. Hæc quidem in textu apostolico non ad τοὺς εὐλαβεῖς Ἰουδαίους, sed ad apostolos, quos illi loquentes audiebant, referuntur.

(6) *Τούτοις*. Sic scripsi pro τούτους.

(7) Pro λέγετε vulg. habet καλεῖτε.

Digitized by Google

λεύοντος αὐτῷ, ἀλλ' οὐ μόνον ψιλῇ προφορᾷ λέγοντος τὸν Ἰησοῦν Κύριον.

A suum, qui et opere et habitu serviat illi, neque nuda nominis pronuntiatione Jesum Dominum appellet.

Στ. κβ'. *Ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον.*

Εἰ καὶ μανέντες ἀπὸ Ἀρτεμᾶ (8), οἷς ἠκολούθησαν καὶ οἱ ἀπὸ Σαμοσάτων (9), οἴονται ψιλὸν ἄνθρωπον τὸν Ἰησοῦν διὰ τὴν προκειμένην λέξιν, ἴστωσαν, ὅτι τοῦ Θεοῦ Υἱὸς, Θεὸς Λόγος ὤν, ἄνθρωπος γέγονε, δεξάμενος δούλου μορφὴν, ὡς εἶναι τὸν ἐπιδημήσαντα (10) Χριστὸν ἄνθρωπον ἅμα καὶ Θεόν. Ὥσπερ οὖν ὅταν ὁ Χριστὸς λέγηται Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, περὶ τῆς θεότητος, ἀλλ' οὐ περὶ τοῦ ἀνθρωπείου αὐτὸ ἐκλαμβάνομεν· οὔτε πάλιν, ἐὰν λέγηται Χριστὸς τεθνάναι καὶ τετάφθαι κατὰ τὰς Γραφὰς, περὶ τοῦ σώματος αὐτοῦ, οὐχὶ δὲ περὶ τῆς θεότητος ἐκδεχόμεθα. Καὶ ἔστι γε μυρία τοιαῦτα ἐν ταῖς Γραφαῖς εὑρεῖν. Ὅθεν ἐὰν ἄνδρα λέγῃ Ἰησοῦν ἀποδεδειγμένον ἀπὸ Θεοῦ σημείοις καὶ τέρασιν, ἀκολούθως αὐτὸ νοοῦμεν τῷ, *Νῦν με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα·* καὶ τῷ (11), *Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν.* Καὶ γὰρ ἀκούοντες αὐτοῦ τούτου ἀνδρὸς, τοῦ ἀποδεδειγμένου ἀπὸ τοῦ Θεοῦ λέγοντος· *Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε·* καὶ, *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου·* καὶ, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·* οὐκ ἠλίθιοί ἐσμεν, ὡς περὶ ψιλοῦ ἀνθρώπου ταῦτα λελέχθαι νομίζειν. Εἰπάτωσαν δὲ ἡμῖν οἱ τῆς γνώμης ταύτης, πῶς ἀκούουσιν· *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου·* καὶ τὸ, *Ἐὰν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα, ὅπου ἦν τὸ πρότερον;* Οὐ γάρ τι τούτων νοῆσαι εὐσεβῶς δυνήσονται, ἀρνούμενοι τὴν θεότητα τοῦ Ἰησοῦ. Πῶς ὁ ἐκ τῆς Μαρίας, ὃν ὑπονοοῦσι ψιλὸν ἄνθρωπον εἶναι, ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, καὶ ἀναβαίνει, ὅπου ἦν τὸ πρότερον; Οὐχ ἔξουσιν εἰπεῖν. Ἐλεγκτέον ἐκ τῆς προκειμένης λέξεως καὶ τοὺς οἰομένους σάρκα μόνον γεγενῆσθαι τὸν Σωτῆρα. Οὐ γὰρ κατὰ μόνης σαρκὸς, οἰκείως λεχθήσεται ἡ *ἀνὴρ* φωνή.

B

C

Vers. 22. *Virum a Deo demonstratum.*

Quod si illi, qui delira Artemæ dogmata sectantur, cumque iis Samosateniani, Jesum pro nudo homine ex verbis hic propositis reputant; sciant, Dei Filium, qui est Deus Verbum, hominem factum esse, suscepta servi forma, ut proinde Christus inter homines versans, Deus pariter sit et homo. Sicut igitur, ubi Christus Dei potentia et sapientia vocatur [7], de divinitate ejus, non vero humanitate, id accipimus: sic vicissim, quando Christus secundum Scripturas mortuus et sepultus dicitur [8], de corpore ejus, non vero de divinitate interpretamur. Et hujusmodi permulta in Scripturis invenire datur. Itaque et ubi (Scriptura) Jesum vocat virum a Deo signis et prodigiis demonstratum, id intelligimus convenienter illi quod dicitur [9]: *Jam vero me interficere studetis, hominem, qui veritatem vobis dixi.* Nec minus illi, quando dicitur, *Homo plagis subjectus, et infirmitatem ferre gnarus* [10]. Quando enim ipsum illum virum, a Deo demonstratum, audimus dicentem: *Ita enim Deus amavit mundum, ut Filium suum unigenitum daret* [11]: item, *Ego sum lux mundi* [12]: nec non, *Ego in Patre, et Pater in me* [13]; non tam insipientes sumus, ut de nudo homine ista quidem dici opinemur. Illi itaque, qui sic sentiunt, dicant nobis, quomodo accipiant verba hæc: *Nemo ascendit in cœlum, nisi qui ex cœlo descendit, Filius hominis* [14]. Quomodo item illa, *Ubi videritis Filium hominis ascendentem eo, ubi prius erat* [15]? Neque enim quidquam horum pie intelligere possunt, si divinitatem Jesu negent. Quomodo enim Mariæ Filius, quem pro nudo homine habent, ex cœlo descendat, quomodo ascendat idem, ubi prius erat? Dicere non habent. Ex eodem hoc dicto proposito illi quoque confutandi sunt, qui nudam carnem Salvatorem fuisse censent. De nuda carne vox ἀνὴρ (vir) usurpari certe convenienter non potest.

Στ. κε'. *Ὅτι ἐκ δεξιῶν μου ἐστὶν*, κ. τ. λ.

Οἱ μὴ ἔχοντες περὶ τοῦ Θεοῦ ἐννοίας διηρθρωμένας, τοπικῶς ἐκλαμβάνουσι τὸ ἐκ δεξιῶν εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, διὰ τὸ, *Κάθου ἐκ δεξιῶν μου*, ἢ κεκαθικέναι τὸν Σωτῆρα μετὰ ἀνάληψιν ἐκ δεξιῶν τῆς μεγαλωσύνης. Οἷς δυνατόν τι εἰπεῖν· Εἰ γὰρ ἐκ δεξιῶν τοῦ Πατρὸς ὁ Υἱὸς τοπικῶς, ὡς οἴονται, ἀδύνατον ἐκ δεξιῶν τοῦ Υἱοῦ τὸν Πατέρα εἶναι κατ' αὐτὸ τοῦτο τὸ συμβαινόμενον. Ἀλλὰ λέγει ὁ Υἱός· *Προωρώμην τὸν*

Vers. 25. *Quia a dextris meis est*, etc.

Qui sobrias et justas de Deo sententias non fovent, sessionem Filii a dextris Patris localiter accipiunt, ideo quod dicitur, *Sede a dextris meis* [16]; vel quod Christum Salvatorem post ascensionem a dextris majestatis sedisse narratur [17]. Sed illis hæc responderi possunt: Si, quod illi putant, Filius a dextris Patris est localiter, non potest eodem modo Pater esse a dextris Filii. Jam vero ait Filius:

D

[7] I Cor. I, 24. [8] I Cor. XV, 3, 4. [9] Joan. VIII, 40. [10] Isa. LIII, 3. [11] Joan. III, 16. [12] Joan. VIII, 12. [13] Joan. XIV, 10. [14] Joan. III, 13. [15] Joan. VI, 62. [16] Psal. CIX, 1. [17] Hebr. I, 3.

(8) *Ἀρτεμᾶ.* Eum veteres nunc Ἀρτέμονα, nunc Ἀρτεμᾶν appellant. Vide B. Ittigium *De hæresiarchis*, p. 261.

(9) *Οἱ ἀπὸ Σαμοσάτων.* Id est discipuli Pauli Samosateni, quem Artemonis hæresin amplius ornasse veteres tradunt. Similiter Græci dicunt οἱ ἀπὸ φιλοσόφων, οἱ ἀπὸ Πυθαγόρου, οἱ ἀπὸ Ὀρφέως. Vide Apollonii epist. 16.

(10) *Ἐπιδημήσαντα.* Voces ἐπιδημεῖν et ἐπιδημία de Christi in carnem adventu, ejusque inter homines conversatione a scriptoribus ecclesiasticis adhiberi constat. Lege Suicerl *Thesaurum*, tom. I, p. 1163.

(11) *Τῷ.* Ita scribendum putavi pro τό. Referri enim hoc debet ad proxime antecedens, ἀκολούθως .. τῷ.

Digitized by Google

Prævidebam Dominum a dextris meis[18]. Itaque alio modo, quam locali, statuendum est, Christum esse a dextris Patris, aut Patrem a dextris Filii. Eodem modo capiendum est illud, *Ego sum in Patre, et Pater est in me*[19]. Et illud quoque, *Et caro mea habitabit in spe*[20]. Jesus enim, in quantum mortem subiit, carnem, quam salutis nostræ causa assumpserat, deposuit, ut eam tertia die ex morte resuscitaret. Hic carnem suam in spe ait habitasse, procul dubio ob speratam ejus resurrectionem. Si quis vero id omne, tanquam sub persona Davidis, dici opinetur, is desinat se sententiæ cordatiorum de resurrectione opponere. Quamvis enim hi quidem demonstrare ad oculum non possint, quod credunt, pie tamen agunt, dicentes, carnem resurrexisse, ut spirituale et incorruptibile corpus evaderet. Sicut enim mortuus resurgens post resurrectionem vivit, nec amplius mortuus est; ita caro resuscitata post resurrectionem spirituale est et incorruptibile corpus.

A *Κύριον ἐκ δεξιῶν μου.* Ὅθεν ἑτέρως ἢ κατὰ τόπον ἐκληπτέον τὸν Υἱὸν δεξιὸν τοῦ Πατρὸς, καὶ τὸν Πατέρα τοῦ Υἱοῦ. Οὕτως τὸ, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ ἐστιν·* ἔτι δὲ, *Καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.* Ἐπεὶ Ἰησοῦς, καθὸ ἀνεδέξατο θάνατον, ἀπέθετο, ἣν κατ' οἰκονομίαν ἔλαβε σάρκα, ἐπὶ τῷ πάλιν (12) ἀναστῆσαι αὐτὴν ἀπὸ τοῦ θανάτου τῇ τρίτῃ ἡμέρᾳ· εἰκότως τὴν σάρκα ταύτην οὖσαν ἑαυτοῦ, ἐπ' ἐλπίδι κατεσκηνωκέναι φησὶ, διὰ τὴν προσδοκίαν τῆς ἀναστάσεως. Εἰ δέ τις ἐκ προσώπου Δαβὶδ εἰρῆσθαι αὐτὸ ἐκλαμβάνει, παυσάσθω κατατρέχων τῆς περὶ ἀναστάσεως δόξης τῶν ἁπλουστέρων. Εἰ γὰρ καὶ μὴ οἷοί τέ εἰσιν παρίστασθαι ὃ φρονοῦσιν, ἀλλ' οὖν εὐσεβῶς διάκεινται, φάσκοντες τὴν σάρκα ἀνίστασθαι ἐπὶ τὸ εἶναι ἄφθαρτον καὶ πνευματικὸν σῶμα. Ὡς γὰρ ὁ ἐγειρόμενος νεκρὸς, μετὰ ἀνάστασιν ζῶν καὶ οὐ νεκρός ἐστιν· οὕτως ἡ ἐγειρομένη σὰρξ, μετὰ τὴν ἔγερσιν πνευματικὸν καὶ ἄφθαρτον σῶμά ἐστιν.

B

Vers. 31. *Neque caro ejus vidit corruptionem.*

Carnem Jesu corruptionem non vidisse, non idem est, atque non esse mortuam (mortua enim est, et in sepulcrum reposita), sed idem potius est, quod, *non corrumpi*. Tertia enim die resurrexit. Ita enim fas erat, fieri resurrectionem. Si enim caro ejus ad mortuorum exemplum corrupta fuisset, post resurrectionem præbuisset occasionem dubitandi, num idem esset Jesu corpus post resurrectionem. Præterea vero hinc etiam consequeretur, non tertia die, sed post eam factam esse resurrectionem. Ut igitur omnis hæsitatio præscinderetur, post triduum, sine facta corruptione, resurrexit, et in sepulcrum novum[21], in quo nullus antea reconditus erat, depositus fuit, ne alius loco ejus resurrexisse crederetur.

Στ. λα'. *Οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.*

Τὸ μὴ ἰδεῖν τὴν σάρκα Ἰησοῦ διαφθοράν, δηλοῖ οὐ τὸ μὴ τεθνάναι (τέθνηκε γὰρ, καὶ ἐν μνήματι ἐτέθη), ἀλλὰ τὸ, *μὴ διαλελύσθαι.* Τρίτῃ γὰρ ἡμέρᾳ ἀνέστη. Ἔπρεπε γὰρ οὕτω τὴν ἀνάστασιν γενέσθαι. Εἰ γὰρ ἦν ἡ σὰρξ αὐτοῦ διαλυθεῖσα κατὰ τοὺς νεκροὺς, δισταγμὸν ἔφερεν ἀναστὰς, ἀμφιβαλλομένου, εἰ αὐτὸ εἴη τὸ τοῦ Ἰησοῦ σῶμα τὸ ἀναστάν. Ἠκολούθει δὲ καὶ τὸ μὴ τρίτῃ ἡμέρᾳ, ἀλλὰ ἔτι μετ' ἐκείνην τὴν ἀνάστασιν γεγονέναι. Ὅπως οὖν πᾶς περιελκυσμὸς λυθῇ, καὶ τριήμερος ἀνέστη ἀδιάφθορος ἔτι οὖσα, καὶ ἐν μνήματι καινῷ (13), ἔνθα οὐδεὶς πρότερον τέθειτο, ἐτάφη, ἵνα μὴ ὑποληφθῇ (14) ἕτερος ἀνθ' ἑτέρου ἐγηγέρθαι.

C

Vers. 38. *Et baptizetur quisque vestrum.*

Cum Salvator præcipiat, ut initiati baptizentur in nomine Patris et Filii et Spiritus sancti, nonnulli, in Scripturam imprudenter grassantes, Petrumque audientes adhortari, ut unusquisque in nomine Christi baptizetur, unam compellationem trinæ isti æquivalere crediderunt. Sabellii scilicet hæresi affecti. Ecclesia vero, sanctissimam Trinitatem indivisibilem et inseparabilem credens, Patrem Filii, et Filium Patris, Spiritum autem sanctum et Patris et Filii esse affirmat. Qua unione fit, ut, qui baptizatur in nomen Christi, in Trinitatem baptizetur, nec Dei essentia circumscriptione et distinctione nominum Patris et Filii separetur.

Στ. λη'. *Καὶ βαπτισθήτω ἕκαστος ὑμῶν.*

Τοῦ Σωτῆρος προστάξαντος τοὺς τετελειωμένους (15) βαπτίζεσθαι εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὐ φρονίμως τινὲς ἐντυγχάνοντες τοῖς γεγραμμένοις, ἀκούοντες τῆς προτροπῆς Πέτρου παραινοῦντος βαπτισθῆναι ἕκαστον ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, οἴονται (16) ἰσοδύναμον τὴν μίαν ταῖς τρισὶ προσηγορίαις, τοῦ Σαβελλίου (17) τρωθέντες γνώμῃ. Ἡ μέντοιγε Ἐκκλησία ἀδιαίρετον καὶ ἄσχιστον νοοῦσα τὴν Τριάδα, τίθεται τὸν Πατέρα Υἱοῦ, καὶ τὸν Υἱὸν Πατρὸς εἶναι, καὶ τὸ ἅγιον Πνεῦμα Πατρὸς καὶ Υἱοῦ τυγχάνειν. Ὡς διὰ ἕνωσιν ταύτην τὸν βαπτιζόμενον εἰς ὄνομα Χριστοῦ, κατὰ τὴν Τριάδα βαπτίζεσθαι, οὐκ ἀπομεριζομένου τοῦ Θεοῦ περιγραφαῖς καὶ διαστάσεσι Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος.

D

[18] Psal. xv, 8. [19] Joan. xiv, 10. [20] Psal. xvi, 9. [21] Matth. xxvii, 6.

(12) *Πάλιν.* In ms. erat πάλαι.

(13) Pro καινῷ, quod erat in ms. scripsi καινῷ.

(14) *Ὑποληφθῇ.* Sic scripsi pro ὑπολειφθῇ.

(15) *Τοὺς τελειωθέντας.* Verbum τελειόω alias frequenter a doctoribus Ecclesiæ de baptismo usurpatur; hic vero potius de illis videtur sumi debere, qui doctrina Christiana satis sunt instructi.

(16) *Οἴονται.* Sic scripsi pro οἷον τήν, quod erat in ms. Contextus enim alioquin mutilus est. Nec articulus τήν locum hic commode tuetur.

(17) *Σαβελλίου.* Is enim unam SS. Trinitatis personam, sed tribus diversis nominibus insignitam, quorum proinde eadem esset et notio et potestas, asseverare ausus est. Deum trinum aiebat esse ἓν πρᾶγμα πολυώνυμον. Vide Basilii M. epist. 64. Ideo Sabelliani Unionitæ vocantur in *Apotheosi* Prudentii, et Υἱοπάτορες ab aliis. Vide Cotelerium, ad tom. I *Monumentorum Eccles. Græc.*, p. 777.

Digitized by Google

ΚΕΦ. Γ'. Στ. κ'. *Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως.*

Ὁ προσέχων τῇ ἀναγνώσει, πολλὰ εἴδη τῆς προφητείας εὕρῃ, δηλούμενα ἐν ταῖς Γραφαῖς, ὧν ἐστιν ἡ τῶν μελλόντων προαναφώνησις. Τούτῳ τῷ εἴδει τῆς προφητείας κοσμηθέντες Θεόθεν ἄνδρες τινὲς, προεθέσπισαν τὴν ἐπιδημίαν τοῦ Χριστοῦ, καὶ τὰ πάθη, ἃ ὑπὲρ ἀνθρώπων ἔμελλεν ἀναδέξασθαι. Τὰς περὶ τούτων προφητείας, ἐκβεβηκυίας ἐν τῷ σταυρωθῆναι τὸν Κύριον, ἐπλήρωσεν ὁ Θεὸς, ὅθεν ἐὰν γράφηται ἐντεῦθεν, πάντων τῶν προφητῶν πεπληρῶσθαι τοὺς λόγους τοῦ Σωτῆρος παθόντος, οὐ καθάπαξ πάντας τοὺς προφήτας, ἀλλὰ πάντας τοὺς προαναφωνήσαντας τοῦ Χριστοῦ παθήματα.

Στ. κα'. *Ἄχρι χρόνων ἀποκαταστάσεως.*

Ἐπόμενός τις τῇ συνηθείᾳ τῆς Γραφῆς τὰ *ἄχρι* καὶ *τέως* ἐκλήψεται οὐ πάντως χρονικὰς περιγραφὰς σημαίνοντα, ὡς ἑτέρου τινὸς συμβαίνοντος παρὰ τὸ πρότερον, μετὰ τὴν χρονικὴν περιγραφήν. Τὸ γὰρ ὑπὸ Θεοῦ λεγόμενον πρός τινας, *Ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι*, οὐ δηλοῖ, ὅτι μετὰ τὸ γηράσαι τοὺς, πρὸς οὓς ὁ λόγος, οὐκέτι Θεός ἐστι· ἀθάνατος γὰρ καὶ ἀΐδιος ὑπάρχει. Τούτῳ μυρία συνᾴδει, τῷ αὐτῷ τρόπῳ φερόμενα ἐν τῇ θείᾳ παιδεύσει, ἃ αὐτῷ τίς ἐκλέξασθαι δύναται; Εἰ τοίνυν οὕτως ἡ προκειμένη φωνὴ λέγει, δεῖν δέξασθαι τὸν οὐρανὸν τὸν Κύριον ἄχρι χρόνων ἀποκαταστάσεως, κ. τ. λ., ἠγητέον, ὡς ὁ Χριστὸς ἀναληφθεὶς εἰς οὐρανοὺς, μένει ἐκεῖ ἕως τῆς τοῦ κόσμου συντελείας, ἐλευσόμενος τότε μετὰ δυνάμεως, ἀποκαταστάντων πάντων λοιπὸν, ὧν προεθέσπισαν οἱ προφῆται· ἤτοι, ὅταν τὸ τέλος ἐνστῇ, καὶ παύσηται τὰ αἰσθητὰ, τότε ὁ Χριστὸς ἔσται τῶν οὐρανῶν ὑψηλότερος, οὐ μὲν ἐν οὐρανῷ κατασταθείς. ἀλλ' ὑπὲρ οὐρανὸν, εἰς ἣν δόξαν εἶχε παρὰ τῷ Πατρὶ, πρὸ τοῦ τὸν κόσμον εἶναι. Ὑπεράνω οὖν γεγονὼς πάσης ὁρωμένης κτίσεως, τέλος ἐπιτίθησι τῷ (18) εἶναι ἐν οὐρανῷ.

Στ. κγ'. *Ἔσται δὲ πᾶσα ψυχὴ*, κ. τ. λ.

Ἐπειδὴ ἀθάνατός ἐστιν ἡ ψυχὴ, ἐξολόθρευσιν αὐτῆς νοοῦμεν, τῷ ἕξω γενέσθαι τῶν ἀγαθῶν, ὧν ἤμελλεν ἀπολαύειν, εἴ γε θεοσεβῶς ἐπολιτεύσατο.

ΚΕΦ. Δ'. Στ. ιϐ'. *Καὶ οὐκ ἔστιν ἄλλῳ οὐδενὶ ἡ σωτηρία.*

Τῆς σωτηρίας βεβαιουμένης μετουσίᾳ τῆς Τριάδος, ὁ Χριστὸν τὸν ἐπιδημήσαντα προσηκάμενος, πιστεύσας δὲ ἐν τῷ ὀνόματι σώζεται, δοθέντος (19) ἐν τῇ ὑπ' οὐρανὸν (20) τοῦ Υἱοῦ προσηγορίας, ἀπὸ τοῦ τῆς ἐπιδημίας χρόνου, ἐν ᾗ ὁ πιστεύων μεθέξει διὰ τοῦ Υἱοῦ, τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, ἀποσταλέντος Παρακλήτου. Ὅθεν ὁ σωζόμενος ἐν τῷ ὀνόματι τοῦ Σωτῆρος, ἐκ τῆς Τριάδος ἔχει τὴν σωτηρίαν.

[23] Isa. XLVI, 4. [23] Joan. XVII, 5.

CAP. III, vers. 20. *Ut veniant tempora refocillationis.*

Qui lectioni studet, multa prophetiæ genera invenerit, in Scripturis revelata, inter quæ etiam est prænuntiatio futurorum. Hoc prophetiæ genere homines nonnulli divinitus instructi nativitatem Christi prædixerunt, nec minus passionem, quam pro hominibus suscepturus erat. Hæc de istis rebus vaticinia, quæ, Christo crucifixo, evenerunt, implevit Deus. Quando itaque hic scribitur, prophetarum omnium sermones, Christo passo, impletos esse, non omnes prophetas simpliciter, sed eos tantum, qui Christi passionem prædixerunt, intelligere oportet.

Vers. 21. *Usque ad tempora restitutionis.*

Qui morem Scripturæ tenuerit, voces *donec* et *tunc* non stricte, tanquam tempus circumscribentes, accipiet, eo sensu, quasi illo præterlapso aliud quid et a priori diversum accidere deberet. Quod enim a Deo dictum est ad quosdam : *Ego sum Deus vester, donec consenuerilis, idem ero*[22]; id quidem non infert, quod, ubi consenuerint, illorum Deus non amplius futurus sit: immortalis enim et æternus est. Cum his concordant innumera, quæ eodem modo in divina doctrina traduntur, quibus enumerandis quis suffecerit? Quando itaque præsens dictum ait, cœlum recipere debere Dominum usque ad tempora restitutionis, etc., existimandum est, Christum, in cœlos receptum, ibi manere, usque ad consummationem mundi, et venturum tunc cum potestate, restitutis cætera omnibus, quæ prædixerint prophetæ. Vel ita quoque hæc capienda sunt, quod, ubi finis imminuerit, et res sensibiles defecerint, Christus cœlis omnibus superior sit futurus, non quidem tanquam in cœlo, sed tanquam supra cœlum constitutus, in ea gloria, quam ante mundum creatum apud Patrem habuit[23]. Super omnem igitur creaturam visibilem elevatus finem imponit eo quod in cœlo est.

Vers. 23. *Fiet vero, ut omnis anima*, etc.

Quia anima immortalis est, perditio ejus existimanda est, si illis bonis excidat, quibus fruitura erat, si quidem piam vitam egisset.

CAP. IV, vers. 12. *Neque est in ullo alio salus.*

Cum salus nostra in æquali Trinitatis essentia fundata sit, sequitur, eum salvari, qui Christum pro nobis natum amplectatur, et in nomen ejus credat, quod datum est in terra sub appellatione Filii, inde a tempore nativitatis, in qua, qui credit, fruitur, per Filium Patre, et Spiritu sancto, tanquam misso Paracleto. Unde qui salvatur in nomine Salvatoris, idem ex SS. Trinitate salutem nanciscitur.

(18) *Τῷ*. Ms. habet τό, quod huc non quadrat.

(19) *Δοθέντος*. Legendum videtur δοθείσης, ut referri possit ad vocem προσηγορίας.

(20) *Ἐν τῇ ὑπ' οὐρανόν*. Scilicet γῇ, vel χώρᾳ. Ita *terram* frequenter appellant οἱ LXX, et eorum exemplo scriptores ecclesiastici. Vide quæ scripsi nuper ad Theophili Antiocheni lib. I, § 17, p. 54.

Digitized by Google

Vers. 24. *Domine, tu es Deus, qui facit cœlum et terram.*

Multi hæretici divinitatem dividunt, dicentes, alium esse Deum, mundi conditorem; alium vero, qui Pater est Christi. Unde et iidem, Scripturam distinguentes, Vetus quidem Testamentum a conditore mundi, Novum autem a Patre Christi profectum esse aiunt. Atque hos deos, convenienter impiæ huic sententiæ, dicunt sibi invicem esse adversos, sicut et Scripturas eorum, ita ut qui Domino adhæreant, Conditori mundi adversentur, eoque meliores sint; sicut vicissim, sectatores Creatoris mundi de Christo et doctrina ejus pessime sentiant. Præsens vero Scripturæ locus impietatem eorum redarguit, quippe qui apostolos, ab insidiis summorum sacerdotum et presbyterorum liberatos, et ad suos, hoc est eos qui eamdem cum ipsis fidem profitebantur, reversos, repræsentat nobis, una cum ipsis omnibus hymnum eucharisticum canentes conditori cœli et terræ, ac præterea commemorantes psalmum II, tanquam ab eo per os Davidis in Spiritu sancto pronuntiatum, cujus hoc est initium: *Quare fremuerunt gentes*, etc. His enim omnibus indicatur, quod idem Deus sit conditor mundi et Pater Salvatoris nostri, quodque ab eodem Testamentum utrumque profectum sit.

A Στ. κδ'. *Δέσποτα, σὺ ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.*

Πολλοὶ τῶν ἀπὸ αἱρέσεων (21) διαιροῦσι τὴν θεότητα, λέγοντες, ἄλλον εἶναι θεὸν τὸν κοσμοποιὸν, καὶ ἄλλον τὸν Πατέρα τοῦ Χριστοῦ. Ὅθεν καὶ τὴν Γραφὴν διαιρήσαντες, τὴν μὲν Παλαιὰν Διαθήκην τοῦ κοσμοποιοῦ, τὴν δὲ Καινὴν τοῦ Πατρὸς Χριστοῦ λέγουσιν εἶναι. Ἑπομένως δὲ τῇ δυσσεβεῖ γνώμῃ αὐτῶν, ἀπεναντίους ἔχειν λέγουσι πρὸς ἑαυτοὺς τοὺς θεοὺς τούτους καὶ τὰς Γραφὰς αὐτῶν, ὡς τοὺς προσφεύγοντας τῷ Κυρίῳ ἐχθροὺς εἶναι τοῦ κοσμοποιοῦ, καὶ βελτίονας αὐτοῦ τυγχάνειν· ὡς αὖ οἱ τοῦ κοσμοποιοῦ ἄνθρωποι, διαβεβλημένοι εἰσὶ πρὸς τὸν Χριστὸν, καὶ τὴν διδασκαλίαν αὐτοῦ. Ἐλέγχει δὲ τὴν ἀσέβειαν αὐτῶν ἡ ἐγκειμένη Γραφὴ (22), εἰσάγουσα τοὺς ἀποστόλους μετὰ B τὸ ἀπολυθῆναι τῆς ἐπιβουλῆς τῆς πρὸς τῶν ἀρχιερέων καὶ πρεσβυτέρων, ἐλθόντας πρὸς τοὺς ἰδίους, τουτέστι τοὺς τὴν αὐτὴν πίστιν ἔχοντας, ἅμα ἐκείνοις καὶ πᾶσιν ὕμνον χαριστήριον ἀναπέμψαι τῷ ποιητῇ οὐρανοῦ καὶ γῆς μετὰ τοῦ μνημονεῦσαι, ὡς καὶ διὰ τοῦ στόματος Δαβὶδ ἐν ἁγίῳ Πνεύματι εἰκότως τὸν δεύτερον ψαλμὸν, οὗ ἡ ἀρχή· *Ἵνα τί ἐφρύαξαν ἔθνη*, κ. τ. λ. Διὰ γὰρ πάντων τούτων παρίσταται, ὡς αὐτὸς εἴη Θεὸς κοσμοποιὸς, καὶ Πατὴρ τοῦ Σωτῆρος ὑπάρχων, καὶ ὅτι δέδονται παρ' αὐτοῦ ἀμφότεραι Διαθῆκαι.

CAP. V, vers. 32. *Et Spiritus sanctus, quem dedit Deus obedientibus ipsi*, etc.

Non solum in hoc, sed et aliis Scripturæ locis significatur, Spiritum sanctum dari, si nos ipsi occasionem et causam illum accipiendi suppeditemus. Obedire enim Deo est res arbitrii nostri, sicut et credere, quibus scilicet convenienter Spiritus sanctus datus est, tanquam donis gratiæ ejus affectis. His affine est illud: *Dabit Spiritum sanctum petentibus ab ipso*[24].

ΚΕΦ. Ε'. Στ. λϛ'. *Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς*, κ. τ. λ.

Οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις χωρίοις C τῆς Γραφῆς δηλοῦται, ὡς τὸ ἅγιον Πνεῦμα δίδοται, ἡμῶν τὴν αἰτίαν τοῦ λαβεῖν αὐτὸ παρεχόντων (23). Τὸ γὰρ πειθαρχεῖν Θεῷ προαιρετικὸν, ὥσπερ τὸ πιστεύειν, οἷς κατὰ ἀναλογίαν δέδοται τὸ Πνεῦμα, τοῖς τῶν χαρισμάτων αὐτοῦ τυγχάνουσι. Συνᾴδει δὲ τούτοις καὶ τὸ, *Δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν.*

CAP. VI, vers. 5. *Et elegerunt Stephanum.*

Qui virtuti student, eorum alii perfecte, alii imperfecte eam possident. Ideo Stephanus hic electus fuisse dicitur, eo quod fide et spiritu plenus esset: neque enim omnes, qui alioquin credunt, pleni sunt fide. Quidam enim qui a Petro conspectus est, dicitur *fidem habere*, non autem fide plenus esse.

ΚΕΦ. Ϛ'. Στ. ε'. *Καὶ ἐξελέξαντο τὸν Στέφανον.*

Τῶν μετεχόντων τῆς ἀρετῆς οἱ μὲν τελείως, οἱ δὲ ἐλλιπῶς αὐτὴν ἔχουσι. Στέφανος γοῦν μαρτυρεῖται τῆς ἐκλογῆς τετυχηκέναι, διὰ τὸ πλήρης εἶναι πίστεως καὶ Πνεύματος, οὗ παντὸς τοῦ ὅπως δήποτε πιστεύοντος, πλήρης ὄντος (24) πίστεως. Εἴρηται γὰρ περί τινος ὀφθέντος τῷ Πέτρῳ (25), πίστιν ἔχοντος, οὐ D μὲν πλήρης αὐτῆς ὄντος.

[24] Luc. XI, 13

(21) *Πολλοὶ τῶν ἀπὸ αἱρέσεων.* Manichæos hic speciatim innui manifestum est. Contra hos quoque Didymus singularem librum scripsit, qui ex parte Latine legitur in variis *Bibliothecarum Patrum* editionibus, Græce autem a Franc. Combefisio parti II *Auctarii novissimi*, p. 21 sqq., insertus est. Sed in eo quidem libelli fragmento frustra hæc quæres.

(22) *Ἐγκειμένη Γραφή.* Ex his verbis patere videtur, Didymum in Acta sigillatim scripsisse, quia in locum hunc quasi ex professo commentatur. Simili phrasi et infra utitur. Conf. ad c. VII, 22, 38 et 54, in primis vero ad VIII, 2.

(23) *Τὴν αἰτίαν τοῦ λαβεῖν αὐτὸ παρεχόντων.* Pelagianizare hic videtur Didymus, nisi hæc et sequentia de ordine accipienda putes, in quo versari debet, qui per Spiritum sanctum ad fidem, et alia hinc pendentia perducendus est. Cæterum idem in aliis Origenem securius sectatus est, quod monet Hieronymus in *Apologia* postrema, p. 163.

(24) *Πλήρης ὄντος.* Ms. habebat ὄντως, vitiose. Forte et pro πλήρης rectius aliquoties in his verbis legetur πλήρους.

(25) *Πέτρῳ.* Legendum puto Παύλῳ. Hic enim Act. XIV, 9, intuitus esse dicitur hominem claudum, et vidisse, ὅτι πίστιν ἔχει τοῦ σωθῆναι. Id certe de Petro nusquam in Novo Testamento memorari meminit.

Digitized by Google

ΚΕΦ. Ζ'. Στ. κδ'. *Καὶ ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων.*

A

Ἐκ τοῦ προκειμένου (26) φανεροῦται, ὡς οὐκ ἀποβλητέα πάντη ἐστὶν ἡ τῶν ἔξωθεν τῆς Γραφῆς παίδευσις. Τρόπῳ γὰρ ἐγκωμίου εἴρηται, ὡς ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων· καὶ περὶ Δανιὴλ καὶ τῶν σὺν αὐτῷ Ἑβραίων, ὡς ὑπερέβαλλον πάντας ἐν τῇ Χαλδαίων φιλοσοφίᾳ καὶ ταῖς συγγενέσιν ἐπιστήμαις. Ὅρα δὲ τούτων λεγομένων, πῶς δεῖ προσέρχεσθαι (27) τοῖς ἄλλοις λογικῶς. Δεῖ γὰρ ἐπ' ὀλίγον αὐτοῖς προσέχειν τῇ θεοπνεύστῳ Γραφῇ ἐμμένοντας. Τὸ γὰρ, *Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν*, οὐ περὶ γυναικὸς συνοικούσης ἀνδρὶ, ἀλλὰ τοιαύτης σοφίας εἴρηται. Ἀλλοτρίᾳ γὰρ γυναικὶ οὐδὲ κατὰ ποσὸν προσέρχεσθαι ἀβλαβές.

CAP. VII, vers. 22. *Et institutus fuit Moses in omni sapientia Ægyptiorum.*

Ex præsenti loco patet doctrinam externam non omnino contemnendam esse. In laude enim hic ponitur quod Moses omni sapientia Ægyptiorum fuerit instructus, sicut de Daniele, et sociis ejus Judæis prædicatur [25], quod omnes in Chaldæorum philosophia aliisque scientiis superarint. Disce vero etiam ex dictis, quomodo cum ratione in illis disciplinis versari oporteat. Paucis enim illis studendum est, in Scriptura vero diviniore acquiescendum. Illud enim, quod dicitur [26]: *Ne multus sis cum peregrina*; non de uxore, marito juncta, sed de hujusmodi sapientia capiendum est. Alienæ enim uxori etiam parumper accedere noxa non vacat.

Στ. λδ'. *Ἔντρομος δὲ γενόμενος Μωϋσῆς.*

B

Εἰ καὶ μὴ αὐταῖς λέξεσι φέρεται ἐν τῇ Ἐξόδῳ κειμένη φωνὴ, ἀλλ' οὖν ἰσοδύναμος κεῖται. Οὐ πολὺ γὰρ διοίσει τῷ (28) *ἔντρομος*, τὸ, *Ἔμφοβος δὲ γενόμενος Μωϋσῆς*. Λέγεται δὲ ταῦτα περὶ τοῦ κατὰ τὴν βάτον ὁράματος, μενούσης τῆς αὐτῆς διαφορᾶς τοῦ *φοβεροῦ* καὶ *ἐμφόβου*, καὶ ἐν τῇ διηγήσει τῇ περὶ τοῦ ὄρους Σινᾶ. Τὸ γὰρ ἐν τῇ πρὸς Ἑβραίους λεχθὲν, *Καὶ οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον*, περὶ τοῦ ὄρους τοῦτό ἐστιν. Ἐπ' αὐτοῦ γὰρ εἶπε Μωϋσῆς· *Ἔκφοβός εἰμι καὶ ἔντρομος*, ἐκ παραλλήλου ταῖς λέξεσι χρησάμενος.

Vers. 32. *Moses vero perterritus*, etc.

Quamvis non totidem verbis præsens locus in Exodo legatur, æquipollentibus tamen ibi effertur. Neque enim multum differet vox ἔντρομος a voce ἔμφοβος. Dicuntur vero ista de visione, in rubo oblata [27]. Non alia differentia inter φοβερόν et ἔμφοβον etiam observatur in narratione de rebus in monte Sina [28]. Quod enim in Epistola ad *Hebræos* dicitur: *Et adeo terribile erat visum* [29]; ad montem illum pertinet. De eo enim dixerat Moses: *Expavefactus sum et tremebundus* [30]; vocibus istis tanquam æquipollentibus usus.

Στ. λη'. *Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ, ἐν τῇ ἐρήμῳ.*

Ἡ προκειμένη λέξις δηλοῖ, ὡς οὐ μόνον τοπικῶς εἶναι συμβαίνει κρείττοσι καὶ χείροσι χωρίοις. Ἔξω γὰρ τῆς Αἰγύπτου κατὰ τόπου ὄντες οἱ περὶ ὧν ὁ λόγος, τῇ διαθέσει ἐν αὐτῇ ὑπῆρχον, οὐκ ἀποστήσαντες τὴν γνώμην ἑαυτῶν τῶν Αἰγυπτιακῶν ἐθῶν. Τῆς αὐτῆς νοήσεώς ἐστι καὶ τὸ ἐν Εὐαγγελίῳ, *Ὅπου ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία*, οὐ πάντως (29) τοπικῶς ἐκεῖ ὄντος, ὅπου τις ἔχει τὴν γνώμην. Πολλοὶ γοῦν, ἔτι ἐπὶ γῆς ὄντες, θησαυρίζοντες κατάλληλα τῷ οὐρανῷ, ἐκεῖ τὴν καρδίαν ἔχουσιν· ἀλλὰ κἀκεῖ ἔτι τυγχάνοντες οἱ παραβάντες ἄγγελοι, τὴν διάθεσιν εἶχον ἐν τῇ γῇ· ᾧ ἠκολούθησε τὸ ἐξ οὐρανοῦ εἰς γῆν αὐτοὺς ἐρρίφθαι.

C

Vers. 38. *Hic est, qui fuit in cœtu, in deserto.*

Præsens locus ostendit, quod aliquis in melioribus aut deterioribus regionibus etiam extra respectum loci esse possit. Cum enim illi, de quibus hic sermo est, quod ad locum extra Ægyptum essent, habitu tamen animi in ea versabantur, quandoquidem mentem suam ab Ægyptiorum moribus non avocabant. Eodem modo capiendum est, quod in Evangelio dicitur: *Ubi thesaurus est, ibi etiam cor est* [31]; cum tamen unusquisque ibi non statim sit quod ad locum, ubi est animo. Hinc multi, in terris adhuc versantes, et cœlo digna parantes, cor ibi habent; vicissim vero angeli, deinceps lapsi, etiam tunc, cum ibi adhuc essent, terræ mentem affixerant: unde consequenter ex cœlo in terram deturbabantur.

Στ. μθ'. *Ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτούς.*

D

Οἱ μὲν, ὃν δεῖ τρόπον ἐντυχόντες τῇ Παλαιᾷ Γραφῇ, οἴονται παραδεδόσθαι τοὺς Ἑβραίους ὑπὸ Θεοῦ λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, συναρπαγέντες ἐκ τοῦ, *Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος*, κ.τ.λ., καὶ ἐκ τοῦ διατετάχθαι τὸν νόμον δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. Πολλῆς δὲ παραμυθίας δεῖ τῷ οὕτως τιθεμένῳ. Ἐπιστήσαντες δὲ ἡμεῖς τὸ, *Ἔστρεψεν ὁ Θεὸς*, καὶ τὰ ἑξῆς, παράδοσιν (30) νῦν δηλουμένην οὕτω γενέ-

Vers. 42. *Convertit vero se Deus, et tradidit eos.*

Qui ita, ut decet, scripturam Veteris Testamenti legunt, Judæos putant a Deo ipso traditos, ut servirent exercitui cœli, abrepti scilicet eo, quod legitur: *Si enim sermo, per angelos pronuntiatus, firmus fuit* [32], etc., et altero illo, quo lex per angelos in manu Mediatoris statuta dicitur [33]. Qui vero ita statuit, multa correctione et alloquio opus habet. Nos vero scientes id quod dicitur: *Convertit se Deus*, etc.,

[25] Dan. I, 19. [26] Proverb. V, 20. [27] Exod. III, 6. [28] Exod. XIX, 1 sqq. [29] Hebr. XII, 21. [30] ibid. [31] Matth. VI, 21. [32] Hebr. II, 2. [33] Galat. III, 19.

(26) *Ἐκ τοῦ προκειμένου*. Vid. paulo ante not. 22.

(27) *Προσέρχεσθαι*. De disciplina capienda passim usurpatur. Ita προσέρχεσθαι τῷ θείῳ λόγῳ dicit Origenes tom. II *Commentar. in Matthæum* f. 255.

(28) *Τῷ*. Ita scripsi pro τό.

(29) *Πάντως*. Legendum puto παντός.

(30) *Παράδοσιν*. Ita scripsi pro παράδοσι, quod erat in mss. ubi itidem primum scriptum fuerat παραδίδοσι, syllaba δι abundante, quam diligentior manus deinde litura recte induxerat.

Digitized by Google

deditionem, de qua hic sermo est, talem fuisse putamus, de quali ab Apostolo alibi scriptum est: *Propterea tradidit eos Deus in affectus ignominiæ, et in reprobam mentem* [34]. Sicut enim in iis quæ ipsi elegimus, esse nos permittit Deus, postquam sæpe prohibuit; ita Judæos, creaturæ potius quam Creatori cultum [35] præstare annitentes, tandem, sæpe antea per prophetas ab hoc consilio revocatos, in iis quæ elegerunt, pertinaces hærere permisit. Itaque accuratius attendere oportet dicto: *Convertit se Deus, et tradidit eos.* Neque enim hoc erat primum latæ legis institutum. Quando enim in illa dicitur [36]: *Dominum Deum tuum adorabis, et ipsi soli servies*, eos, qui præceptum hoc violaverant, tradidit, ut servirent exercitibus cœli, non sane destinato consilio tales efficiens, sed ita potius, ut textus tradit: *postquam se a priore voluntate avertit.*

Vers. 54. *Hæc vero audientes lancinabantur.*

Locus hic paulo ante illustratus est, cum tractaremus illud dictum: *Si enim sermo per angelos prolatus* [37], etc., id est, lex per angelos promulgata, hominibus a Deo angelorum data est: nisi id potius innuatur, quod lex ita præcepta est hominibus, ut illi ad morem angelorum vitam agant. Illi enim sub Deo collocati sunt. Propterea de iis dicitur: *Benedicite Domino, omnes angeli ejus, potentia valentes, et facientes præcepta ejus* [38]. Interim posterior illa interpretatio videtur violentior.

CAP. VIII, vers. 2. *Et fecerunt planctum magnum.*

Sicut igitur lucrum omne recipere oportet, nec illud solum, quod ad salutem vere talem facit; ita nec damnum aut infortunium quodvis, sed ea tantum, quæ animæ nocent, graviter ferre oportet. Quoniam itaque Stephanus, cum hominibus versans, ad pietatem illius cupidis multum conferebat, consentaneum erat, ut cæde ejus tristarentur illi, qui tanto viro imposterum carituri erant. Atque ita necesse quoque est, mortem quorumcunque, si alioquin amicissimi nobis fuerint, lugere, tristitia interim non præter modum admissa. Exemplum enim hujus rei Servator ipse præbet, qui super Lazarum, quem amaverat, mortuum etiam ad lacrymas processit [39].

Vers. 22. *Pœnitentiam igitur age.*

Voluntaria hic est mutatio, quæ cadit tantum in eum, qui virtutis et vitii est capax. Jam vero homo, secundum hæreticorum fabulas, malus natura cum sit, non est capax voluntariæ mutationis. Itaque superfluum est, quando ad Simonem dicitur: *Pœni-*

σθαι ὑπολαμβάνομεν, ὡς καὶ ἐπὶ τῶν γραφομένων τῷ Ἀποστόλῳ οὕτως ἐχόντων· *Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας*, καὶ εἰς ἀδόκιμον νοῦν. Ὡς γὰρ ἐν τούτοις, οἷς ἡμεῖς εἱλάμεθα, παραδίδωσιν ὁ Θεὸς μετὰ τὸ πολλάκις κωλῦσαι, οὕτω πόθον ἔχοντας τοὺς Ἑβραίους, θεραπεύειν τὴν κτίσιν παρὰ τὸν κτίσαντα, κωλύσας πολλάκις διὰ τῶν προφητῶν τὴν τοιαύτην πρόθεσιν, ἐμμένοντας αὐτοὺς παρέδωκεν, ᾧ εἵλαντο. Ὅθεν ἀκριβεστέρως ἀκούειν δεῖ τὸ, *Ἔστρεψεν ὁ Θεὸς, καὶ παρέδωκεν αὐτούς.* Οὐ γὰρ προηγούμενον ἦν θέλημα τῆς νομοθεσίας τοῦτο. Εἰ γὰρ ἐν αὐτῇ φέρεται· *Κύριον τὸν Θεὸν προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*· ταύτην τὴν ἐντολὴν τοὺς παραβάντας παρέδωκε λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, οὐκέτι προηγουμένῃ βουλήσει ποιῶν αὐτοὺς, ἀλλ' ὡς εἶπε τὸ ῥητὸν, *Στρέψας ἐξ ἄλλου θελήματος.*

Στ. νθ'. *Ἀκούοντες δὲ ταῦτα διεπρίοντο.*

Ὑπόγυον ἐσαφηνίσθη τοῦτο, ὅτε ἐλαμβάνομεν, τὸ (31), *Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος*, ὁ δι' ἀγγέλων ὑποταγεὶς νόμος, ἀνθρώποις ὑπὸ Θεοῦ ἀγγέλων δίδοται, εἰ μὴ ἄρα καὶ οὕτως δέξηται, ὅτι ὁ νόμος οὕτω διετάγη τοῖς ἀνθρώποις, ἵνα ἀγγέλων πολιτείαν ἔχωσι. Καὶ γὰρ οὗτοι ὑπὸ Θεοῦ τεταγμένοι εἰσίν. Εἴρηται γοῦν περὶ αὐτῶν· *Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύι, ποιοῦντες τὸν λόγον αὐτοῦ.* Δοκεῖ δὲ βίαιος εἶναι ἡ δευτέρα παράδοσις.

ΚΕΦ. Η'. Στ. β'. *Καὶ ἐποίησαν κοπετὸν μέγαν.*

Ὥσπερ οὖν πᾶν κέρδος ἀποδέχεσθαι δεῖ, ἢ (32) μόνον τὸ πρὸς τὴν κυρίως ὠφέλειαν συντελοῦν· οὕτως οὐκ ἐπὶ πάσῃ ζημίᾳ ἢ συμφορᾷ δυσχεραίνειν χρὴ, ἀλλ' ἐπὶ μόνων τῶν βλαπτόντων ψυχήν. Ἐπεὶ τοίνυν καὶ ὁ Στέφανος, συνὼν ἀνθρώποις, πρὸς θεοσέβειαν τοῖς ποθοῦσιν αὐτῆς πολὺ συνεδάλετο, ἀκόλουθον ἦν ἐπὶ τῇ ἀναιρέσει αὐτοῦ ἀνιαρῶς φέρειν, στερηθέντες ἀνδρὸς τοιούτου τῶν ὑστερησάντων αὐτοῦ. Ἀναγκαῖόν ἐστι καὶ ἐπὶ θανάτῳ τῶν τυχόντων, κἂν ἄλλως φίλτατοι (33) ὦσιν, ὀλοφύρεσθαι λυπουμένους πέρα τοῦ μέτρου (34). Τύπον γὰρ καὶ περὶ τούτων δίδωσιν ὁ Σωτὴρ, ὃς μέχρι τοῦ δακρῦσαι ἐπὶ τῷ ἀγαπωμένῳ Λαζάρῳ τεθνηκότι ἔφθασεν.

Στ. κδ'. *Μετανόησον οὖν.*

Προαιρετικὴ τροπὴ, ἢ πίπτει εἰς μόνον τὸν δεκτικὸν ἀρετῆς καὶ κακίας. Ὁ δὲ κατὰ τοὺς μύθους τῶν αἱρετικῶν φύσει κακὸς ὢν ἄνθρωπος, οὐκ ἔστι δεκτικὸς τῆς κατὰ βούλησιν μεταβολῆς. Ὅθεν παρέλκει τὸ, *Μετανόησον*, λεγόμενον τῷ Σίμωνι, ἐκ κατα-

[34] Rom. I, 26, 28. [35] ibid. 25. [36] Deut. VI, 13. [37] Hebr. II, 2. [38] Psal. CII, 20. [39] Joan. XI, 35.

(31) *Ἐλαμβάνομεν τό.* Respicit ea, quæ ad v. 42 dicta ab ipso erant, quamvis in excerptis his talia non legantur. Interim patet hinc iterum, excerpta ista Catenæ ex singulari et justo Didymi commentario in Acta hausta esse. Confer paulo post notam 26.

(32) *Ἢ.* Malim legere μή. Opponuntur enim invicem lucrum majus et minus, sicut deinceps luctus gravior et levior.

(33) *Φίλτατοι.* Ms. vitiose φιλτάτους.

(34) *Πέρα τοῦ μέτρου.* Negationem hic suspicor excidisse, quam in versione expressi. Neque enim immodicum luctum suadere hic censendus est Didymus, qui id tantum exemplo Christi, Domini nostri, evincit, quod homines nobis amicos, etiamsi alioquin non multum profuturos, lugere liceat defunctos.

Digitized by Google

σκευῆς ὄντι κακῷ, κατὰ τοὺς ἐκείνων μύθους. Ἀλλ' οὐ ματαίως εἴρηται τὸ, *Μετανόησον οὖν*. Αὐτεξούσιος ἄρα καὶ αὐτός. Τούτου δὲ μὴ ὄντος φύσει κακοῦ, ἢ ἐπιτεταλμένην κακίαν ἔχοντος, οὐδ' ἄλλος τις εὑρεθείη τοιοῦτος (35).

A *tentiam age;* quippe qui secundum fabulas ipsorum ex ipsa creatione malus esset. Jam vero non frustra hic dictum est: *Pœnitentiam igitur, age.* Itaque et ipse in tantum liber est. Cumque is natura non sit malus, aut injunctæ pravitati obnoxius, neque alius quisquam talis esse deprehendetur.

Στ. λς'. *Ὡς δ' ἐπορεύοντο.*

Ἐπιστατέον (36), ὡς πολλὴ σπουδὴ ὑπῆρχε τοῖς τελείως Χριστιανίζουσι περὶ τὸ αἰσθητὸν βάπτισμα. Διττοῦ γὰρ ὄντος τοῦ διδομένου, ὁτὲ μὲν δι' ὕδατος, ὁτὲ δὲ ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, οὐ διὰ τὴν ὑπεροχὴν τοῦ ἐν Πνεύματι βαπτίσματος κατεφρόνουν τοῦ σωματικωτέρου. Συμβάλλεται γὰρ καὶ τοῦτο εἰς σωτηρίαν κατὰ τὴν ἀνάστασιν τοῦ σώματος. Ἔστι δὲ διὰ τῆς προκειμένης βίβλου τῶν Πράξεων τῶν ἀποστόλων (37) πολλὰ θηρεῦσαι παραστατικὰ τοῦ χρησίμου B τοῦ ἐξ ὕδατος βαπτίσματος.

Vers. 36. *Cumque proficiscerentur.*

Sciendum est, homines vere Christianos maximam rationem habuisse baptismi externi et sensibilis. Cum enim duplici modo ille conferretur, hinc per aquam, hinc per Spiritum sanctum et ignem [40], non contemnebant illum, qui magis corporalis erat, eo quod alter, qui per Spiritum fiebat, præstantior esset. Nam et ille quod ad resurrectionem corporis ad salutem confert. Licet vero et plura ejusmodi loca ex præsenti Actuum apostolicorum libro afferre, quæ baptismum per aquam prodesse testantur.

Στ. λθ'. *Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον.*

Ἡ προκειμένη ἁρπαγὴ ἰσοδυναμεῖ τῇ ἀναλήψει Ἠλίου. Καὶ ἐπεὶ ἁρπαγεὶς ὁ Φίλιππος ἐκ τόπου μετηνέχθη, ἀκόλουθον, καὶ τὸν Ἠλίαν ἀναληφθέντα ἐκ τοῦ περὶ γῆν τόπου εἰς ἕτερον χῶρον μετενεχθῆναι, κἂν ὅπου μὲν σημαίνηται τὰ ὀνόματα τῶν τόπων εἰς ἃ μετηνέχθησαν, ὅπου δὲ μὴ σημαίνηται· οἱ ἁρπαγέντες τε καὶ ἀναληφθέντες· Φίλιππος μετὰ τὴν ἁρπαγὴν εὑρέθη εἰς Ἄζωτον. Παῦλος ὁ ἀπόστολος εἰς τρίτον οὐρανὸν καὶ ἕως τοῦ παραδείσου μετατεθεὶς ἤκουσεν ἀῤῥήτων ῥημάτων. Εἰς τοῦτο λήψῃ καὶ τὸν Ἀββακούμ. Καὶ αὐτὸς γὰρ μετεωρίσθη ὑπὸ ἀγγέλου ἐκ τῆς Ἱερουσαλὴμ εἰς τὴν Βαβυλῶνα. Ἠλίας δὲ ἀνελήφθη μετενεχθεὶς οὐκ ἐν ὡρισμένῳ τόπῳ. Εἴρηται γὰρ ἀναληφθῆναι αὐτὸν ὡς εἰς τὸν οὐρανόν. Αὕτη δὲ ἡ λέξις δηλοῖ, ὅτι οὐκ εἰς τὸν οὐρανόν· οὐ μὴ, ποῦ γέγονεν, ὁρίζει. Συμφώνως τοῖς εἰρηνέοις καὶ ὁ Ἐνὼχ μετατεθεὶς ἐκ τόπου εἰς τόπον γέγονε· σαφῶς γὰρ τοῦτο παρίσταται ἐκ τοῦ μετατεθεῖσθαι αὐτόν. Ἐπειδὴ δὲ οὐκ εἴρηται ποῦ ἐν ταῖς δεδημοσιευμέναις βίβλοις (38), ἐν ἀποκρύφοις λέγεται, ὅτι ἐν τῷ παραδείσῳ. Ἐὰν οὕτως ἔχῃ, συνεπέσκεπται καὶ περὶ τοῦ Ἠλίου. Μὴ ἄρα τὸ *ὡς εἰς τὸν οὐρανὸν* ταυτόν ἐστι τοῦ *ἐν τῷ παραδείσῳ*. Ἀναμφιβόλως δὲ περὶ τοῦ Σωτῆρος εἴρηται, ὡς μετὰ τὴν ἀνάστασιν εἰς τὸν οὐρανὸν ἀνελήφθη. Πολλαὶ γὰρ μαρτυρίαι εἰσὶ περὶ τούτου.

Vers. 39. *Spiritus Domini abstulit Philippum.*

Raptus ille similis est raptui Eliæ. Cumque Philippus de loco in locum translatus sit, consequitur, Eliam quoque, ex terra sublatum, in alium locum fuisse translatum, quamvis nunc quidem appellentur loca, in quæ translata sint, nunc vero non appellentur. Ex ejusmodi enim abreptis et sublatis Philippus post raptum Azoti inventus est; Paulus vero apostolus in tertium cœlum, imo in paradisum ipsum delatus, verba ineffabilia audivit [41]. Eodem modo de Habacuco quoque statues. Nam et ipse ab angelo Hierosolymis Babylonem perlatus est [42]. Elias vero sublatus non legitur in certum quemdam locum pervenisse. Dicitur enim assumptus esse tanquam in cœlum [43]. Quæ phrasis infert, quod non sit in cœlum ipsum translatus; nec, ubi fuerit, definit. Similiter etiam Enochus ex loco in locum delatus fuit. Id enim intelligitur ex eo, quod translatus dicitur [44]. Quia vero in canonicis libris non exprimitur quo pervenerit; in apocryphis in paradisum sublatus memoratur. Si ita res habeat, patet simul, quid de Elia sit statuendum. Itaque phrasis, *tanquam in cœlum*, non æquipollet phrasi, *in paradiso*. De Salvatore vero nostro diserte dicitur, quod post resurrectionem in cœlum sit sublatus. Multa enim, quæ huc pertinent, testimonia exstant [45].

C

ΚΕΦ. Θ'. Στ. ς'. *Ἀλλ' ἀνάστηθι καὶ εἴσελθε.*

Ἐπεὶ ὁ εἰπὼν τῷ Παύλῳ Ἰησοῦς, *Σαοὺλ, Σαοὺλ, τί με διώκεις;* αἴτιος αὐτῷ γέγονε τοῦ μὴ ὁρᾷν, κατηγορούντων αἱρετικῶν τοῦ εἰπόντος· *Τίς ἐποίησε βλέποντα καὶ τυφλόν; Οὐκ ἐγὼ Κύριος ὁ Θεός* [46]; Εἰς ἀπορίαν γὰρ αὐτοὺς τὰ τοιαῦτα περιίστησι, διαφόρους θεοὺς λέγοντας, καὶ τοῦ μὲν κατηγοροῦντας, ὡς τοῦ μὴ βλέπειν αἰτίου, τὸν δὲ ἕτερον ἀποδεχομέ-

D

CAP. IX, vers. 6. *Sed surge et ingredere.*

Quia Jesus, ad Paulum dicens: *Saul, Saul, quid me persequeris?* causa fuit cæcitatis ejus, opponendum hoc est hæreticis, invehentibus in eum, qui dicit: *Quis fecit videntem et cæcum? Nonne ego Dominus Deus* [46]? Hujusmodi enim loca in angustias conjiciunt eos, qui diversos dicunt esse deos, et alium quidem incusant, tanquam qui cæcitatis au-

[40] Matth. III, 11. [41] II Cor. XII, 4. [42] Dan. XIV, 35. [43] II Reg. II, 11. [44] Gen. V, 24. [45] Marc. XVI, 19; Luc. XXIV, 51; Act. I, 9. [46] Exod. IV, 11.

(35) Hæc quoque frustra quæsivi in laudato Didymi *adversus Manichæos* libello.

(36) *Ἐπιστατέον.* Locus hic totidem verbis exstat in Catena Œcumenii ad hunc locum, ubi tamen pro κατὰ τὴν ἀνάστασιν legitur καὶ τὴν ἀνάστασιν. Atque hoc puto rectius.

(37) *Προκειμένης βίβλου.* Clarissime hinc patet, Didymum in explicandis Actibus apostolicis data opera versatum esse.

(38) *Δεδημοσιευμέναι βίβλοις.* Libri canonici hic dicuntur, tanquam qui publici juris ita facti sint, ut singuli eorum lectioni vacare possint.

Digitized by Google

ctor sit, alium vero recipiunt, eo quod visum restituat. Nos vero, qui unum Deum profitemur, hæc non premunt, in primis cum sciamus, quod ipse, universi hujus curam habens, perspectum habeat, cui videndi facultatem largiturus sit, cuive minus et cur, et quando, et quomodo. Ita verbi causa cæcum, a nativitate talem, ideo ait natum esse, ut opera Dei in ipso manifestarentur [47]. Cumque id malum non sit, quod manifestandis Dei operibus inservit, non inconveniens est dicere, quod Deus aliquem cæcum faciat.

Vers. 7. *Audientes quidem vocem, neminem vero videntes.*

Quæ est illa pugna in narratione Actuum apostolicorum de visione Paulina? Lucas enim testatur, eos, qui cum Paulo fuerint in ista, quæ in via offerebatur, visione vocem quidem audivisse, neminem vero vidisse : Paulus vero, eamdem visionem, cum in gradibus staret, enarrans, ait eos, qui secum fuerint, lucem quidem vidisse, vocem vero loquentis non audivisse [48]. Ex historiæ quidem nexu Chrysostomus locum hunc curate interpretatus est, dicens, quod prior illa narratio, quæ dicit, vocem audiisse præsentes, eos dicat Pauli quidem vocem audiisse dicentem : *Quis es, Domine?* nullum vero hominem, præter Paulum, vidisse. Posterior vero narratio, quæ ait, lucem quidem eos conspexisse, vocem vero loquentis non percepisse, eodem judice, accipienda est de voce Domini ad Paulum facta, ut proinde illi quidem solam lucem viderint.

Vers. 15. *Dixit vero ad illum Dominus.*

Qui de natura duplici multa tradunt, Paulum, ut hominem spiritualem, malitiæ capacem fuisse negant. Quam sententiam illi quidem confirmant ex præsenti loco, in quo Deus ait de ipso : *Vas electum mihi est iste.* Neque enim, aiunt illi, scriptum hic est : *Erit mihi.* Ad hæc vero responderi debet, testimonium hoc de ipso editum esse, cum sponte sua, oraculo huic fidem habens, ad colloquendum cum Anania profectus est. Ex quo consequitur, eum, qui tam insignem pœnitentiam momento temporis ageret, vas electum fuisse. Præterea vero jejunium, per integrum triduum continuatum, seriæ pœnitentiæ argumentum præbet. Dici vero etiam potest, quod Deus, qui futura accurate prævidet, de iis, tanquam jam præsentibus, locutus sit ob ministerium.

[47] Joan. IX, 3. [48] Act. XXII, 9.

Στ. ζ'. Ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

Τίς ἡ διαφωνία τῶν ἐν ταῖς Πράξεσιν ἀναγεγραμμένων ἐν τῇ κατὰ Παῦλον ὀπτασίᾳ; Ἐν μὲν γὰρ τῇ καθ' ὁδὸν ὀπτασίᾳ ἱστορεῖ ὁ Λουκᾶς, τοὺς μετ' αὐτοῦ ὄντας, τῆς φωνῆς μὲν ἀκηκοέναι, μηδένα δὲ θεωρῆσαι· ἐν δὲ τῷ διηγεῖσθαι τὸν Παῦλον ἐπὶ τῶν ἀναβαθμῶν τὴν αὐτὴν ὀπτασίαν, λέγει τοὺς μετ' αὐτοῦ ὄντας τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι. Κατὰ μὲν τὴν ἱστορίαν ὁ Χρυσόστομος πάνυ ἡρμήνευσε τὸν τόπον, ἔφη (39), ὅτι ἡ πρώτη ἐξήγησις, ἡ λέγουσα, Τῆς φωνῆς ἤκουον οἱ συνόντες, τῆς Παύλου φωνῆς λέγει ἀκούειν αὐτοὺς τῆς λεγούσης· *Τίς εἶ, Κύριε;* οὐδένα δὲ ἔβλεπον ἄνθρωπον, εἰ μὴ Παῦλον. Ἡ δὲ δευτέρα ἐξήγησις, ἡ λέγουσα, τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι, φωνῆς λέγει τῆς τοῦ Κυρίου πρὸς τὸν Παῦλον γεγενημένης, μόνον δὲ τὸ φῶς τεθεᾶσθαι (40).

Στ. ιε'. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος.

Οἱ τὰς φύσεις δογματίζοντες (41), φασὶ, Παῦλον πνευματικὸν ὄντα ἀνεπίδεκτον εἶναι κακίας. Κρατύνουσι δὲ τοῦτο αὐτῶν τὸ φρόνημα καὶ ἐκ τῆς προκειμένης λέξεως, εἰπόντος τοῦ Θεοῦ περὶ αὐτοῦ, ὅτι *Σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος.* Οὐ γὰρ, *Ἔστω*, γέγραπται, φασὶν ἐκεῖνοι. Ῥητέον δὲ πρὸς τοῦτο, ὅτι ἡ μαρτυρία αὕτη γέγονεν, ὅτε ἐξ οἰκείας προαιρέσεως, πεισθεὶς ὁ ἀνὴρ τῷ χρησμῷ, ἀπῆλθεν ἐπὶ τὸ συντυχεῖν τῷ Ἀνανίᾳ. Διὸ καὶ ἀκόλουθον τυγχάνει, τὸν τοσαύτην ἐνδεχόμενον μετάνοιαν, ῥοπῇ καιροῦ ὑπάρξαι ἐκλογῆς σκεῦος. Πρὸς τούτοις καὶ τὸ μηδὲ φαγεῖν ἐφ' ὅλας τρεῖς ἡμέρας, δεῖγμα ἦν τῆς σφοδρᾶς μετανοίας. Δυνατὸν δὲ εἰπεῖν, ὅτι ὁ Θεὸς, ὁ τὰ μέλλοντα γινώσκων ἀκριβῶς ὡς τὰ παρόντα, ἐμαρτύρησε διὰ τὴν μέλλουσαν αὐτοῦ ὑπηρεσίαν, ὡς ἤδη

(39) *Ἔφη.* Excidisse ante hoc verbum videtur particula καί. De aliis ἐναντιοφανείας hujus conciliationibus dicemus alias ad ipsum hunc locum Actuum apostolic.

(40) *Μόνον δὲ τὸ φῶς τεθεᾶσθαι.* Respicit noster S. Chrysostomi homiliam 47 *in Acta apost.*, cap. XXII, tom. III edit. Paris. p. 410, ubi hæc legis : Μηδὲν ξενισθῇς, εἰ ἐνταῦθα μὲν οὕτως, ἐτέρωθι δὲ λέγει, ὅτι *Εἱστήκεισαν τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες.* Οὐκ ἔστι τοῦτο ἐναντίον· φωναὶ γὰρ δύο ἦσαν, ἡ Παύλου καὶ ἡ τοῦ Κυρίου. Τὴν φωνὴν τοίνυν ἐκεῖ τοῦ Παύλου λέγει· ἐνταῦθα δὲ καὶ προσέθηκεν, εἰπών· *Τὴν φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.* Οὐκοῦν τὸ, *μηδένα θεωροῦντες*, οὐ τοῦ ἰδεῖν, ἀλλὰ τοῦ μὴ ἀκοῦσαι δηλωτικόν ἐστι, hoc est, *Non sunt hæc contraria. Voces enim duæ erant, una Pauli, altera Domini. Vocem igitur illic Pauli dicit : hic vero addidit etiam dicens : « Vocem non audierunt loquentis mihi. » Igitur dum dicit : « nullum videntes steterunt : »* hoc est *loquentem.*

(41) *Οἱ τὰς φύσεις δογματίζοντες.* Respicit hic Manichæos iterum. Verbum δογματίζειν scriptoribus ecclesiasticis receptum est, ubi sermo est de errore aliquo ab hæreticis vel promulgato, vel pertinaciter defenso. Ita Clem. Alexandr. *Stromat.* I, pag. 276 : Τὰ παρὰ τῶν ἐπισήμων δογματιζόμενα αἱρέσεων. Conf. infra ad cap. X, 10.

Digitized by Google

σκεῦος ἐκλογῆς ὑπῆρχεν. Ἄλλος δὲ λέξει, ὅτι θεοσεβὴς ὢν ζήλῳ, τῷ μετὰ ἀγνοίας, ἐδίωκε τοὺς πιστεύοντας τῷ Σωτῆρι ὡς ἀποστάτας τοῦ Θεοῦ, καὶ τοῦ νόμου αὐτοῦ, καὶ ἐπεὶ θεῖκῇ πως προθέσει τοῦτο ἔπραττεν, εἰ καὶ πεπλανημένως, εἰς τὴν πρόθεσιν αὐτοῦ σκοπήσας ὁ χρηματίσας εἶπε, *Τί με διώκεις;* Εὐθέως γὰρ ἐπήκουσε τῷ λαλοῦντι, καὶ κατάλληλα τῇ κλήσει ἔπραξεν. Ἐπαύσαντο δὲ ἂν τῆς ἀπάτης οἱ τὰς φύσεις φρονοῦντες, εἰ ἐπιστήσαντες ἦσαν, τὸ ἐκλογῆς αὐτὸν εἶναι σκεῦος τοῦ ἐκλεγομένου οὐ φύσιν, ἀλλὰ βίον σκοποῦντος.

A sterium in posterum ab eo præstandum, quasi etiam tunc vas electum fuerit. Alius vero forte dixerit, quod, cum pius esset ex zelo, ignorantiæ pleno [49], persecutus sit eos, qui in Christum credebant, tanquam alienos a Deo et lege ejus; atque adeo, cum Paulus respectu ad Deum habito, quamvis per errorem, hæc egerit, Dominus, hanc ejus intentionem respiciens, dixerit: *Quid me persequeris?* Statim enim auscultavit loquentem, et quæ vocatione hac digna erant, præstitit. Qui vero ita de duplici natura sentiunt, ab errore facile recederent, si nossent, eum vas esse electum illius, qui non naturam eligit, sed vitam respicit.

Στ. λγ'. *Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα.*

Πολλὴν διαφορὰν ἔχει τὸ πραχθὲν ὑπὸ τοῦ Πέτρου εἰς τὸν ἐπὶ ὅλα ὀκτὼ ἔτη διὰ νόσον χαλεπὴν κατακείμενον, πρὸς τὸ ὑπὸ Ἰησοῦ γενόμενον εἰς τὸν ὅλα τριάκοντα καὶ ὀκτὼ ἔτη ἐπὶ σκίμποδος (42) μείναντα διὰ πάρεσιν (43) ἀνίατον. Ὁ μὲν γὰρ Πέτρος εἰπὼν, *Αἰνέα, ἰᾶταί σε Ἰησοῦς Χριστός, ἀνάστα, στρῶσον σεαυτῷ*, τὸ σημεῖον εἰργάσατο· Ἰησοῦς δὲ φήσας, *Ἔγειραι, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει*, οἷα Θεὸς τὸ τεράστιον πεποίηκεν. Εἶχε δὲ παραλλαγὴν πολλὴν τὰ πρὸς ἑκατέρους εἰρημένα. Τῷ μὲν γὰρ ἐλέχθη· *Ἀνάστα, καὶ ἆρον τὸν κράββατόν σου καὶ περιπάτει.* Ἐμφαίνει γὰρ ἡ πρόσταξις ἰσχὺν πολλὴν σὺν ὑγείᾳ βεβαίᾳ ἐγγεγονέναι τῷ εὐεργετουμένῳ, μάλιστα ὅτε ἐπιτρέπεται· *Ἀναστὰς οὖν ἦρε τὸν κράββατον ἑαυτοῦ καὶ περιεπάτει.* Τῷ δὲ, *Ἀνάστα, στρῶσον σεαυτῷ*· οὐ γὰρ τοσαύτη ἐμφαίνεται ἰσχὺς τοῦ δυνηθέντος στρῶσαι μετὰ πολλὴν νόσον, ὅσον τοῦ τὸν κράββατον αἴροντος καὶ περιπατοῦντος. Ἐσημειωσάμεθα δὲ ταῦτα προφάσει τῆς ἀναγωγῆς, ἀλλ' οὐ συγκρίνοντες τῷ Πέτρῳ. Ὁ μὲν γὰρ ὡς Θεὸς ἐποίει· ὁ δὲ πιστεύων εἰς Θεόν. Φησὶ γάρ· *Ἰᾶταί σε Ἰησοῦς ὁ Χριστὸς*, ὡς ἑκάτερα ταῦτα Χριστοῦ εἶναι ἔργα.

Vers. 33. *Invenit vero ibi hominem quemdam.*

Διὰ τοῦτο, φησὶ, φανερῶν (21) ὁ Θεὸς δι' ἡμῶν τὴν ὀσμὴν τῆς γνώσεως τοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, ἐπείπερ « Χριστοῦ εὐωδία ἐσμέν. » Ὡς γὰρ φωτὸς αὐτοῦ τυγχάνοντες, οἱ μέτοχοι φῶς εἰσι τοῦ κόσμου· οὕτω καὶ μύρου ὄντος, οἱ ἐνούμενοι αὐτῷ εὐωδία αὐτοῦ εἰσιν. Αὕτη δὲ ἡ εὐώδης πνοὴ, τοῖς μὲν ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, τοῖς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωὴν ὑπάρχει. Ἀλλ' οὐκ αἰτιατέον εἰ γίνεται ἡ ὀσμὴ ἐκ θανάτου εἰς θάνατον. Παρὰ γὰρ τὴν πρόφασιν τῶν οἷς συμβεβήκει τοῦτο γίνεται· ὥσπερ καὶ ὑγιεινὴ τροφὴ βλάπτειν δοκεῖ τοὺς νοσοῦντας, ἀκαίρως προσφερομένη. Ὅσοι γὰρ ὑπὸ θάνατον ὄντες τὸν ἐπιγινόμενον τῇ ἁμαρτίᾳ, δέχονται οὐκ ὀρθῇ γνώμῃ τὴν θείαν γνῶσιν, ἐκ θανάτου πρακτικῶν ἁμαρτημάτων, ἐπὶ θάνατον τὸν ἀκολουθοῦντα τοῖς ἀσεβέσι φρονήμασιν ἔρχονται· ὥσπερ τοὺς παραδεχομένους αὐτὴν μετὰ πράξεων ζωοποιῶν, ἐκ ζωῆς εἰς ζωὴν φέρει. Ὡς γὰρ τὸ αἰσθητὸν μύρον πρὸς ὑγείαν καὶ εὐεξίαν συμβαλλόμενον βλάπτει τὰ ἔντομα ζῶα, οὐ φέροντα αὐτοῦ τὴν ἀκροτάτην πνοήν· οὕτως ἡ θεία εὐωδία ὠφελεῖ καὶ εἰς ὑγείαν ἄγει, μᾶλλον δὲ ζωὴν, τοὺς τηροῦντας τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ (οὗτοι γὰρ ἀληθῶς ἄνθρωποί εἰσιν), βλαπτομένων ἐξ αὐτῆς τῶν κατὰ τὸν ἔσω ἄνθρωπον μεταβαλλόντων· ὡς καλεῖσθαι ἀλληγορικῶς μυίας σαπριούσας σκευασίαν ἐλαίου ἡδύσματος, κατὰ τὸν Ἐκκλησιαστήν.

VERS. 17. *Non enim sumus sicut plurimi, adulterantes verbum Dei.*

Non est attendendum iis heterodoxis qui dicunt apostolos in Christo docentes, de alio Deo locutos præter Salvatoris Patrem, id est ei contraria nos loqui. Multos autem cum dicit, deceptores significat, propter ejus generis hominum abundantiam. Namque hoc vocabulum, id est multi, homonymum cum sit, plura significat. Dicitur enim interdum pro « quidam. » Veluti cum Dominus dixit: « Multi dicent mihi in illa die [41]. » Sed etiam ut distinguamus a paucis, dicitur; velut ibi: « Multi quidem vocati, pauci vero electi [42]. » Significat hoc vocabulum etiam omnes; velut ibi: « Sicut enim per inobedientiam unius, peccatores constituti sunt multi [43]. » Cuncti enim homines propter unius inobedientiam, peccato obnoxii facti sunt. Significat etiam exuberantiam, ut in proposito versiculo; nec non in iis verbis: « Ne multi magistri sitis, fratres [44]. » Significat etiam quamlibet multitudinem, veluti: « Multi insurgunt adversus me [45]; » et: « Multi dicunt animæ meæ [46]. » In supradicta locutione dicit: « Non sumus sicut quidam adulterantes verbum Dei, » id est aquam ei miscentes per frigidam stultamque

Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Οὐ προσεκτέον τοῖς ἀπὸ τῶν ἑτεροδόξων λέγουσιν, ὅτι οἱ ἀπόστολοι ἐν Χριστῷ διδάσκοντες κατεναντίον τοῦ Θεοῦ τοῦ ἑτέρου παρὰ τὸν Πατέρα τοῦ Σωτῆρος· τουτέστιν, Ἐναντία αὐτῷ φθεγγόμεθα. Πολλοὺς δὲ λέγει τοὺς ἀπατῶντας διὰ τὸ χυδαῖον· καὶ γὰρ αὕτη ἡ φωνὴ, λέγω δὲ οἱ πολλοὶ, ὁμώνυμος οὖσα, σημαίνει πλείονα· λέγεται γάρ ποτε ἀντὶ τοῦ, « τινές· » ὡς ὅταν ὁ Κύριος λέγῃ· « Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. » Ἀλλὰ καὶ ἀντὶ τῶν πρὸς ὀλίγους διαστελλομένων, ὡς ἐν τῷ· « Πολλοὶ μὲν κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. » Δηλοῖ ἡ λέξις καὶ τοὺς πάντας, ὡς ἐν τῷ, « Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί. » Πάντες γὰρ ἄνθρωποι, παρακούσαντος τοῦ Ἀδὰμ, ὑπὸ ἁμαρτίαν εἰσίν (22). Δηλοῖ δὲ καὶ τοὺς χυδαίους, ὡς ἐν τῷ προκειμένῳ, καὶ τῷ, « Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί. » Σημαίνει δὲ καὶ τοὺς ὅπως ποτὲ πλείονας ὄντας, καθάπερ ἐν τῷ, « Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· » καὶ, « Πολλοὶ λέγουσι τῇ ψυχῇ μου. » Ἐν τῇ ἐκκειμένῃ φωνῇ τῇ, « Οὐκ ἐσμὲν, ὥς τινες, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, » τουτέστιν ἐξυδαροῦντες αὐτὸν διὰ ψυχρολογίας καὶ μωρᾶς ἐξηγήσεως· ἀλλ' ὡς ἐξ

[39] Prov. xxxi, 8, sec. Gr. [40] Eccle. x, 1. [41] Matth. vii, 22. [42] Matth. xx, 16. [43] Rom. v, 19. [44] Jac. iii, 1. [45] Psal. iii, 2. [46] ibid. 3.

(20) Ita cod., non λόγῳ.
(21) Cod. φανερῶς.
(22) Animadverte Didymi testimonium de originali peccato.

Digitized by Google

εἰλικρινείας ἀδόλως καὶ καθαρῶς αὐτὸν προσφερόμεθα.

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν;

Ἐπιπλήττει ῥῆμα Κορινθίοις, ὡς ἔτι ἀγνοοῦσι τὸ ἀποστολικὸν μέγεθος, φάσκων, ὡς « Ἐξ εἰλικρινείας ἐκ Θεοῦ κατέναντι Θεοῦ λαλοῦντες, » δοκοῦμεν καὶ ὑμῖν πεφανερῶσθαι, ὡς οὕτως ἔχομεν γνώμης· εἰ μὴ ἄρα οὕτως διάγετε, ὡς δεῖσθαι συνιστάσης ἡμᾶς Ἐπιστολῆς πρὸς ὑμᾶς. Οὕτω δὲ φανερὰ τὰ καθ' ἡμᾶς ἐστιν, ὡς μήτε ὑμᾶς συνιστᾷν ὑμᾶς ἄλλοις, μηδὲ ἑτέρους ὑμῖν. Καὶ γὰρ αὐτοὶ ὑμεῖς Ἐπιστολή ἐστε Χριστοῦ ὑφ' ἡμῶν διανοηθεῖσα, πραγματικῶς γεγραμμένη Πνεύματι Θεοῦ, ἀλλ' οὐ μέλανι. Λόγοι μὲν γὰρ χαράττονται μέλανι, πραγματικὸς δὲ καὶ θεωρητικὸς βίος Πνεύματι Θεοῦ ζῶντος χαρακτηρίζεται· ὡς τὸν οὕτω γραφέντα ζῆν κατὰ Θεὸν πνεύματι. Οἱ γὰρ ἠλίθιοι τὰς ψυχὰς ὡς πλάκες λίθιναι δέχονται ἐκ μέλανος τοὺς τύπους· οἱ δὲ εὐεικτοι πρὸς συγκατάθεσιν τῶν θείων, ἐν καρδίαις σαρκίναις, τουτέστιν αἰσθητικαῖς, δέχονται γραφὴν τὴν ἐκ ζῶντος Θεοῦ Πνεύματος. Ἀπογράφονται γὰρ τὴν παίδευσιν τρισσῶς ἐπὶ τὸ πλάτος τῆς καρδίας, ἅτε τοῦ Θεοῦ διδόντος νόμους ἐν τῷ ἐπιγράφειν αὐτοὺς ἐπὶ τὸ πλάτος τῆς καρδίας.

Πεποίθησιν δὲ τοιαύτην ἔχομεν, κ. τ. λ.

Μή τις οἰέσθω βλακεύεσθαι ἡμᾶς ἐφ' ἑαυτοῖς λέγοντας, ὡς ἐξ εἰλικρινείας κατέναντι Θεοῦ ἐν Χριστῷ λαλοῦμεν. Οὕτω γὰρ περὶ αὐτὸν (23) διακείμεθα, ὡς Θεὸς ἡμᾶς ἱκανοὺς πρὸς διακονίαν τοῦ λόγου καλέσας ἐποίησεν, « οὐκ ἔχοντας ἐξ αὐτῶν τὸ λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν κατὰ θείαν ἐπιστήμην· » αὐτὸς ὁ δοὺς διακονεῖν ἡμῖν τὴν Καινὴν Διαθήκην, τὴν πεποίθησιν τὴν πρὸς τὸ λέγειν ὥρεξεν. Ἔστι δὲ ἣν ἐπιστεύθημεν διακονίαν, πνεύματος, ἀλλ' οὐ γράμματος· ἀποκτέννει μὲν γὰρ τὸ γράμμα, ζωοποιεῖ δὲ τὸ πνεῦμα. Τῆς τοῦ ζωοποιοῦντος Πνεύματος ἡ Διαθήκη Καινή, οὐ Παλαιουμένη. Οὐ γὰρ ἐπιγίνεται διδασκαλία ἄλλη μετ' αὐτὴν ἐν τῷ βίῳ τούτῳ· ἀδιάδοχος γάρ ἐστι. Χρῶνται δὲ καὶ τῇ λέξει ταύτῃ πρὸς διαβολὴν τῆς Παλαιᾶς Διαθήκης οἱ ἑτερόδοξοι (24), φάσκοντες ἐκείνην μὲν τὴν Γραφὴν θανατοῦν, ζωοποιεῖν δὲ τὴν Καινὴν ὡς οὖσαν τοῦ ζωοποιοῦντος Πνεύματος. Διὸ ἐλεγκτέον αὐτοὺς, πολὺ μακρὰν ὄντας τῆς ἀποστολικῆς διανοίας. Εἰ γὰρ καὶ ἀποκτέννει τὸ γράμμα, ἀλλ' οὖν ἐπαινετέον ἐπιφέρει θάνατον τοῖς ἀναιρουμένοις. Ζῶντες γὰρ τῇ ἀγνοίᾳ καὶ τῇ κακίᾳ πρὸ παραδοχῆς τῆς νομικῆς διδασκαλίας, μετὰ τὸ παραδέξασθαι αὐτὴν θανατοῦνται, ἀποβάλλοντες ἣν εἶχον πονηρὰν ζωήν. Οὕτω γὰρ ἕτοιμοι πρὸς τὸ δέξασθαι τὴν τοῦ Πνεύματος ζωοποίησιν ἔσονται· οἷον ὁ ὢν ἐν κακῷ, ζῇ κατ' αὐτό· ὁ ἐκκλίνας ἀπ' αὐτοῦ, ἀποβάλλει ἣν εἶχε κατ' αὐτὸ ζωὴν, ἐλευσόμενος διὰ τῆς τοῦ ἀγαθοῦ ποιήσεως ἐπὶ τὸ μακαρίως ζῆν. Ὡς γὰρ τὸ κακὸν καὶ ἀγαθὸν ἀσυνύπαρκτα, οὕτω καὶ αἱ ἑκάτεραι ζωαὶ ἅμα εἶναι οὐ δύνανται. Οὐ ψέγεται τοιγαρ-

interpretationem; sed cum sinceritate, absque dolo, pureque illud pronuntiamus.

CAP. III, VERS. 1. *Incipimus iterum nosmetipsos commendare?*

Tacite objurgat Corinthios, ceu adhuc apostolici culminis ignaros, dum ait, « Cum sinceritate ex Deo coram Deo loquimur : » arbitramur vobis satis constare quæ sit animi nostri sententia. Nisi forte ita estis affecti, ut opus sit Epistola quæ nos vobis commendet. Adeo vero nostra manifesta sunt, ut neque vobis opus sit commendare vosmet aliis, neque vicissim alios vobis : nam vos ipsi Epistola Christi estis a nobis excogitata, pragmatice scripta spiritu Dei, non atramento. Pragmaticum autem et theoreticum vitæ genus, a Spiritu Dei viventis formam accipit; adeo ut qui ita formatus est, secundum Deum spiritu vivat. Nam qui insipiente anima sunt, ut lapideæ tabulæ ab atramento typos excipiunt : at homines dociles, et ad obsequendum Deo cor carneum, id est sensibile gerentes, scribentem in se experiuntur Spiritum Dei viventis. Inscribitur enim illis tripliciter disciplina in cordis latitudine, dante Deo videlicet leges illorum menti, id est super cordis latitudine perscribente.

VERS. 4. *Fiduciam autem talem habemus*, etc.

Nemo existimet stupide nos agere, dum sincera ratione coram Deo in Christo loqui nos dicimus. Sic enim erga Deum affecti sumus, sicuti Deus nos idoneos fecit qui ad verbi ministerium vocavit; « non quod sufficientes simus ex nobis cogitare aliquid quasi ex nobis secundum Dei scientiam. » Ipse autem qui dedit nobis ministerium Novi Testamenti, fiduciam quoque loquendi exacuit. Porro ministerium traditum nobis, spiritus est, non litteræ; occidit enim littera, vivificat vero spiritus : vivificantis Spiritus Novum Testamentum est, non Vetus. Quippe haud superventura est post hanc alia doctrina in hoc mundo; sed ei non est ulla successio. Utuntur quidem hac dictione heterodoxi ad Veteris Testamenti improbationem, dicentes, litteram sane illam occidere, novam autem vivificare cum vivifici Spiritus sit. Atqui sunt hi coarguendi ceu longe ab apostolica mente aberrantes. Quanquam enim littera occidit, attamen laudabilem occisis mortem infert. Quippe dum hi per inscitiam malitiamque viverent ante legalis doctrinæ susceptionem, ea mox suscepta perimuntur, abjecto quod agebant improbæ vitæ genere. Sic enim idonei fient ad suscipiendam a Spiritu vitam. Nimirum qui in malo est, ex hujus norma vivit; qui autem a malo declinat, vitam quam secundum illud agebat deserit, ut per bona opera ad beate vivendum perveniat. Sicut enim malum et bonum coexsistere nequeunt, sic ambæ hæ vitæ simul esse non possunt. Non ergo vituperatur littera, quatenus malæ vitæ finem imponit : statim

(23) Cod. ἑαυτόν.
(24) Intelligit Manichæos, qui hoc dicto abutebantur ob Vetus Testamentum rejiciendum.

Digitized by Google

enim ad vitam, quæ secundum spiritum est, deducet.

VERS. 7. *Quod si ministratio mortis, litteris deformata in lapidibus*, etc.

Comparat inter se ambo Testamenta, Novum ac Vetus, utrique decus attribuens divinæ originis. Attamen quamvis ambo gloriosa, nihilominus quod est spiritale, gloriam habet majorem. Etsi ergo facta comparatione, spiritalis testamenti gloria major est, haud idcirco vituperabile alterum cui comparatur : nam boni bonum, magis bonum. Jam vero mortis ministratio litteris deformata in lapidibus, Moysis lex fuit, quæ mortem illam ministrabat, quam diximus a littera inferri. Sicut ergo lex mortem quam diximus efficiebat : ita vitam, quæ post illam mortem est, præbet spiritus ministratio. Conatur vero demonstrationem facere, gloriosam esse spiritus ministrationem, a minore argumentum instruens. Ait enim : Si ministratio damnationis tantam gloriam habuit, ut nequaquam cuneti filii Israel ad perfectionem possent spectare; vix enim velatam ipsam perferebant; quanto magis spiritalis ministratio in gloria erit? Ejusdem generis aliud quoque argumentum facit, dicens : Scriptura prior dignos vitæ illo genere homines damnans quod a peccato habebant, ita ut prædictam mortem experirentur, usque ad certum tempus data fuit : excepit enim illam doctrina evangelica, cui nulla successio datur. Si ergo quod evacuatur, finem habet gloriosum; multo magis quod manet, in gloria est. Vocabulum « evacuatur » non ponitur contumeliose. Cæteroquin ipsa quoque, quæ ex parte est sanctorum scientia ac prophetia evacuabitur; non tamen absolute, sed superveniente veritatis cognitione. Ac veluti si diceremus evacuari præliminarem eruditionem a perfectæ doctrinæ scientia, hoc injuriose non esset dictum; nam prædicto vocabulo demonstratur Pauli ad Evangelium introducentis officium. Ergo hanc fiduciam habentes, ceu Novi Testamenti ministri constituti, absque ullo velamine doctrinam præferentes, magna confidentia utimur, quippe qui sumus perfectorum auditorum magistri. Etenim quam profitemur institutionem, ea exteriore gloria non indiget, cum habeat congenitam. Moyses quidem velamen super faciem suam gestabat, cum ad populi multitudinem verba faciebat; neque enim plebs doctrinæ altitudini par erat. Sed tamen seniores ac Jesum Nave filium alloquens, et alium aliquem his parem, nudatam gloriam ostendebat. Jam hoc et alia plura symbolice a Moyse fiebant : etenim vir hic legis personam gerit. Et quoniam lex, tam sensu quam verbis, dicta fuit ad homines qui litteram tantummodo et vocabulum comprehendere poterant, obvoluta umbris et figuris, nunc adest sublimius scandentibus, ea quæ spiritali allegoria dicta fuerant, sine ullo velamine tradens. Quamvis itaque quibusdam velatus est

(25) Ita est in cod.

οὖν τὸ γράμμα, τέλος ἐπιβαλὸν τῇ ψυχῇ ζωῇ· προσάξει γὰρ εὐθέως τῇ κατὰ τὸ πνεῦμα ζωοποιήσει.

Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη λίθοις, κ. τ. λ.

Συγκρίνει ἀμφοτέρας τὰς Διαθήκας, τὴν Καινὴν καὶ Παλαιάν, ἑκατέρᾳ μαρτυρῶν τὸ ἐν δόξῃ τῇ ἐκ Θεοῦ δεδόσθαι. Ὅμως δὲ εἰ καὶ ἀμφότεραι δεδοξασμέναι, ἡ ἐν πνεύματι πλείονα δόξαν ἔχει. Εἰ δὲ ἐκ συγκρίσεως πλείων ἡ τοῦ πνεύματος δόξα, οὐ ψεκτὴ πρὸς ἣν συγκρίνεται· ἀγαθοῦ γὰρ ἀγαθὸν, μᾶλλον ἀγαθόν. Διακονία γὰρ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη λίθοις, ἡ διὰ Μωϋσέως ἐστὶν, διακονοῦσα θάνατον ὃν εἴπομεν ἐπιφέρειν τὸ γράμμα. Ὥσπερ οὖν ἐκείνη τοῦ λεχθέντος θανάτου ποιητικὴ, οὕτω τῆς μετὰ τὸν θάνατον ἐκεῖνον ζωῆς πάροχος ἡ τοῦ πνεύματος διακονία. Πειρᾶται δὲ ἀπόδειξιν ἐπαγαγεῖν τοῦ ἐν δόξῃ εἶναι τὴν τοῦ πνεύματος διακονίαν, ἐκ τοῦ ἐλάττονος ποιούμενος τὴν ἐπιχείρησιν· φησὶ γάρ· Εἰ ἡ τῆς κατακρίσεως διακονία τοσαύτην ἔσχεν δόξαν, ὡς μὴ πάντας τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὴν τελείωσιν βλέψαι δύνασθαι, μόγις γὰρ κεκαλυμμένην αὐτὴν ἔφερον, πόσῳ μᾶλλον ἡ πνευματικὴ διακονία ἔσται ἐν δόξῃ; Τοῦ αὐτοῦ θεωρήματος καὶ ἑτέραν ἐπιχείρησιν ποιεῖται φάσκων· Ἡ προτέρα Γραφὴ κατακρίνουσα τοὺς ἀξίους ἧς εἶχον κατὰ ἁμαρτίαν ζωῆς, ὡς τὸν εἰρημένον ἐνεγκεῖν θάνατον, μέχρι καιροῦ τινος δέδοται· διαδέχεται γὰρ αὐτὴν ἡ εὐαγγελικὴ διδασκαλία αὐτὴ ἀδιάδοχος οὖσα. Εἰ τοίνυν τὸ καταργούμενον τὸ τέλος ἔχει ἐν δόξῃ, πολλῷ πλέον τὸ μένον πλείονα δόξαν ἔχει· ἡ « καταργεῖται » λέξις οὐ λοιδορικῶς κεῖται. Ἀμέλει γοῦν καὶ ἡ ἐκ μέρους τῶν ἁγίων γνῶσις καὶ προφητεία καταργηθήσεται, οὐ καθάπαξ, ἀλλὰ παρουσίᾳ τῆς γνώσεως τῆς ἀληθείας. Καὶ ὥσπερ εἰ λέγοιμεν καταργεῖσθαι τὴν εἰσαγωγικὴν διδασκαλίαν ἐξ ἐπιστήμης τῶν τελείων θεωρημάτων, οὐχ ὑβριστικῶς φαμεν· δηλῶσαι γὰρ διὰ τῆς λέξεως προτιθεμένης χρείας (25) τῆς πρὸς τὸν εἰσαγόμενον Παῦλον. Τοιγαροῦν τοιαύτην πεποίθησιν ἔχοντες, ὡς διάκονοι Καινῆς Διαθήκης τεθειμένοι, ἀνεγκαλύπτως τὴν διδασκαλίαν προφέροντες, πολλῇ παῤῥησίᾳ χρώμεθα, τελείων ὄντες ἀκροατῶν διδάσκαλοι· ἐπείπερ ἦν προφερόμεθα παίδευσιν, οὐκ ἔξωθεν δέεται δόξης, σύμφυτον αὐτὴν ἔχουσα. Μωϋσῆς μὲν γὰρ κάλυμμα ἐπὶ τὸ πρόσωπον ἔφερεν, τοῖς πολλοῖς τοῦ λαοῦ ὁμιλῶν· οὐ γὰρ ἔφερον τὸ μεγαλοφυὲς τῆς διδασκαλίας. Ἀμέλει γοῦν τοῖς πρεσβυτέροις καὶ Ἰησοῦ τῷ τοῦ Ναυῆ, καὶ εἴ τις κατ' ἐκείνους διαλεγόμενος, γυμνὴν ἐπεδείκνυτο τὴν δόξαν· ἐγίνετο δὲ καὶ τοῦτο ὡς καὶ πλείονα ἄλλα συμβολικῶς ὑπὸ Μωϋσέως. Ὁ γὰρ ἀνὴρ οὗτος τοῦ νόμου φέρει τὸ πρόσωπον· καὶ ἐπεὶ ὁ νόμος πρὸς διάνοιαν καὶ ῥητόν ἐστιν εἰρημένος τοῖς κατὰ γράμμα καὶ λέξιν μόνον προσβαλεῖν δυναμένοις, κεκαλυμμένος σκιᾷ καὶ ἱστορίαις, προσέρχεται τοῖς ὑπεραναβεβηκόσι, τὰ κατ' ἀλληγορίαν πνευματικὴν ἄνευ καλύμματος παραδιδούς. Κἂν τοίνυν κεκάλυπται Μωϋσῆς τισιν, οὐκ αὐτοῦ, ἀλλὰ τῶν μὴ δυναμένων ἄνευ

Digitized by Google

καλύμματος τὴν δόξαν αὐτοῦ ὁρᾷν, τὸ ἔγκλημα ἐπεὶ καὶ τῷ Ἰηρῦ ἐγκλητέον τὰ μυστήρια μὴ πᾶσι φανεροῦντι· τοῖς γὰρ ἔξω ἐν παραβολαῖς αὐτὰ ἐλάλει. Ὥστε καὶ ὁ εὐαγγελικὸς λόγος τοῖς μὲν ἐξωτερικοῖς, κεκαλυμμένως· τοῖς δὲ ἔνδον εἰς τὴν μυστικὴν διάνοιαν εἰσεληλυθόσιν, ἀνεγκαλύπτως διαλέγεται, τὴν σαφήνειαν τῶν παραβολῶν ποιούμενος, φάσκων τοῖς εἰς τὴν οἰκίαν αὐτοῦ εἰσιοῦσιν· « Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, τοῖς δὲ ἔξω ἐν παραβολαῖς πάντα γίνεται. » Ἀμέλει γοῦν προκείμενον αὐτὸ δείκνυσιν, διὰ τοῦτο καλύπτειν Μωϋσέα ἣν ἔχει δόξαν ἐπὶ τοῦ προσώπου, ἐπεὶ πεπώρωνται τὰ νοήματα τῶν μὴ οἷων τε γυμνὸν αὐτὸν ὁρᾷν· φαίνεται διὰ τοῦ εἱρμοῦ πάντων προκειμένων τὸν νόμον Μωϋσέα καλῶν.

A Moyses, haud ipse in culpa est, sed ii potius qui sine velamine gloriam ejus spectare nequeunt. Alioquin ipse Jesus criminandus foret, qui haud omnibus mysteria pandebat. Etenim extraneis ea per parabolas dicebat : atque ita evangelica doctrina iis qui foris erant, operte ; iis autem qui in mysticum sensum penetraverant, aperte loquebatur, parabolarum faciens explanationem. Quippe intra domum ingressis ait : « Vobis datum est nosse mysteria regni; iis autem qui foris sunt, cuncta in paraboliis fiunt [47]. » Ergo prædicta verba ostendunt, idcirco Moysem faciei suæ gloriam velasse, quia cæcutiebant mentes illorum, quominus nudam illam aspicerent. Constat ex ante dictorum omnium contextu Moysem a Paulo pro lege dici.

Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία, κ. τ. λ.

B Vers. 17. *Ubi autem Spiritus Domini, ibi libertas*, etc.

Ἐκ τούτων ἀνατρέπεται ὁ μῦθος τῶν διακοπτόντων τὴν Θεοῦ Γραφήν (26). Μία γάρ ἐστιν, ὁτὲ μὲν τύποις καὶ σκιᾷ κεκαλυμμένη, ὁτὲ δὲ ἄνευ καλυμμάτων προφαινομένη· ἐπείπερ ἀπὸ Πνεύματος κυριακοῦ τὴν ἀποκάλυψιν αὐτῆς δεχόμεθα, πεπεισμένοι ἐλευθερίαν εἶναι τὸ Κυρίου Πνεῦμα.

His verbis evertitur fabula separantium Dei Scripturam. Una quippe est sive typis umbrisque velata, sive absque velamine apparens : quandoquidem a Dominico Spiritu revelationem ejus accipimus, firmiter credentes libertatem esse Spiritum Domini.

Ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου, κ. τ. λ.

Cap. IV, vers. 4. *In quibus deus hujus sæculi*, etc.

Θεὸν τοῦ αἰῶνος τούτου τὸν διάβολον εἶναί φησιν, ὡς καὶ τὰ δαιμόνια τῶν ἐθνῶν θεοὶ, καὶ ἡ κοιλία τῶν γαστριμάργων. Στίζουσι δέ τινες εἰς τὸ, « ἐν οἷς ὁ Θεός· » ἔξης ἀναγινώσκοντες ἀπὸ ἰδίας ἀρχῆς, « Τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. » Ἀμέλει γοῦν καὶ εὐέλεγκτα λέγουσιν· εἰ γὰρ ἄπιστοί τινές εἰσιν τούτου τοῦ αἰῶνος, εὑρεθείεν ἕτεροι ἄπιστοι οὐκ ὄντες αὐτοῦ· πᾶς γὰρ ἄπιστός C ἐστι τούτου τοῦ αἰῶνος. Οὐδεὶς γὰρ ὑπερβὰς αὐτὸν, καὶ καταξιωθεὶς τοῦ μέλλοντος αἰῶνος, τετύφλωται νοήμασιν, ἀλλ' ἔχει πεφωτισμένους τοὺς ὀφθαλμούς. Ἔγνων τινὰς σαφηνίζοντας τὴν προκειμένην λέξιν, φάσκοντας κεκαλυμμένον εἶναι τὸ Εὐαγγέλιον οὐ τοῖς πάντη ἀπίστοις· οὐδὲ γὰρ κεκαλυμμένου αὐτοῦ ἢ γυμνοῦ πεῖραν ἔχουσιν. Ἔλεγον δὲ οὗτοι ἀπολλυμένους εἶναι ἐν οἷς κεκάλυπται τὸ Εὐαγγέλιον, τοὺς παραδεξαμένους μὲν αὐτὸ, μὴ μὴν ἄνευ καλύμματος προσβαλόντας αὐτῷ· οἷοι ἐτύγχανον οἱ ἐν παραβολαῖς ἀκούοντες τῶν Ἰησοῦ λόγων, τοῦ, « ἀπολλύμενοι, » ἐπ' αὐτῶν κειμένου ἐπὶ δηλώσει τοῦ κατὰ ἀλλοίωσιν μεταβαλεῖν· οἱ γὰρ προκόπτοντές εἰσι τοιοῦτοι, ἀεὶ ἐξ ἑτέρων ἕτεροι γινόμενοι. Ὅθεν οὐκ ἐπὶ ψόγου ἔλεγον κεῖσθαι τὸ, « ἀπολλύμενοι, » ἀλλ' ὡσαύτως τῷ· « Οἱ οὐρανοὶ ἀπολοῦνται· » καὶ, « Ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα· » αἱ γὰρ λέξεις αὗται, ἀπόλλυσθαι, τίθενται τοῦ, ἐν προκοπῇ, ἐκ ποιότητος εἰς ποιότητα μεταβαίνοντος.

Deum hujus sæculi, diabolum esse aiunt; sicut etiam dæmonia, gentium dii [48]; et venter, gulosorum deus [49]. Quidam vero interpunctionem faciunt post « in quibus Deus. » Deinde tanquam a capite legunt : « Hujus sæculi excæcavit mentes infideliun.. » Atqui facile refutanda dicunt. Nam si quidam hujus sæculi infideles sunt, utique invenientur C alii infideles qui non sunt hujus sæculi. Jam vero quisque infidelis ad hoc sæculum pertinet : nemo enim qui suprą sæculum se extulit et futuro factus est dignus, mente cæcutit, sed illuminatos oculos gerit. Novi quosdam qui prædictam locutionem explicabant dicentes opertum esse Evangelium haud iis qui omnino sunt infideles, cum hi neque operti neque aperti ullum experimentum habeant. Illi vero interpretes aiebant, pereuntes illos, quibus opertum est Evangelium, intelligi eos oportere, qui receperunt quidem, sed non sine velamine ad id accesserunt : instar illorum qui in parabolis audiebant Jesu sermones : et vocabulum « pereuntes » de iis positum putabant, ob illorum demonstrandam mutabilitatem : namque ejusmodi sunt qui proficiunt, D semper aliter atque aliter semet præbentes. Quamobrem haud vituperandi causa positum vocabulum « pereuntes » censebant : sed perinde ut : « Cœli peribunt [50] ; » et : « Nos perimus in ævum [51]. » Nam hæc pereundi vocabula ponuntur ob significandum profectum, de tali statu in alium transeundo.

Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν.

Vers. 5. *Non enim nosmetipsos prædicamus.*

Ἀναφορὰν ἔχει ἡ προκειμένη λέξις πρὸς τὸ, « Οὐχ ὅτι κυριεύομεν τῆς πίστεως ὑμῶν. » Ἀκολούθως γὰρ ἐκείνῳ ῥηθείη ἄν· Οὐχ ἑαυτοὺς κηρύττομεν· διὸ οὐ

Relationem habet proposita lectio ad illam : « Non quia fidei vestræ dominemur [52] : » etenim connexe diceretur, Non nosmetipsos prædicamus;

[47] Matth. XIII, 11. [48] Psal. XCV, 5. [49] Philipp. III, 19. [50] Psal. CI, 27. [51] Baruch III, 3. [52] II Cor. I, 23.

(26) Rursus Didymus Manichæorum errorem vellicat.

Digitized by Google

propterea fidei vestræ non dominamur : prædicamus enim Jesum Christum Deum Dominum ; nosmet autem servos vestros propter Christum : adeoque nequaquam nos sed ipse vestræ fidei dominatur, probans aut improbans vos secundum ipsam. Propterea locutio illa, « Quoniam Deus qui dixit de tenebris lucem splendescere, » conjungenda est cum altera, Nos autem omnes revelata facie gloriam Domini speculamur. E tenebris autem effulget lux venienti de inscitia ad veritatis agnitionem. Dicimus igitur, ex ignaro et insipiente sapientem et eruditum fieri. Cum igitur præoccupasset homines inscitia et improbitas, quæ appellantur tenebræ, explendescere fecit Deus in cordibus lumen practicæ theoricæque virtutis, ut acquirerent homines notitiam gloriæ Christi in persona ipsius : gloriam, inquam, vel qua fidem habent erga ipsum, vel gloriam qua ipsum glorificatum agnoscimus.

A κυριεύομεν ὑμῶν τῆς πίστεως· κηρύττομεν γὰρ Ἰησοῦν Χριστὸν Θεὸν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Χριστοῦ· ὥστε οὐχ ἡμεῖς, ἀλλ' αὐτὸς κυριεύει τῆς πίστεως ὑμῶν, ἀποδεχόμενος ἢ κρίνων ὑμᾶς κατ' αὐτήν. Πρὸς τούτοις καὶ τὸ, « Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, » συναπτέον τῷ, Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα· ἐκ σκότους δὲ λάμπεται φῶς τῷ ἐξ ἀγνοίας εἰς ἐπίγνωσιν ἀληθείας ἐρχομένῳ. Λέγομεν γοῦν ἐξ ἀγνοοῦντος καὶ εὐήθους ἐπιστήμονα καὶ πεπαιδευμένον γίνεσθαι. Τῆς οὖν προκαταλαβούσης τοὺς ἀνθρώπους ἀγνοίας καὶ κακίας ὠνομασμένων σκότους, ἔλαμψεν ὁ Θεὸς ἐν ταῖς καρδίαις φωτισμὸν πρακτικῆς τε καὶ διανοητικῆς ἀρετῆς· ἵν' ἔχωσι θεωρίας τῆς δόξης Χριστοῦ ἐν B προσώπῳ αὐτοῦ· δόξαν δὲ, ἤτοι καθ' ἣν φρονοῦσι περὶ αὐτοῦ, ἢ δόξαν καθ' ἣν δεδοξασμένον αὐτὸν ἴσμεν.

Verbs. 7. *Habemus autem thesaurum istum in vasis fictilibus.*

Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν.

Fictilia vasa nuncupat vile dicendi genus, et simplicem elocutionem. Nam si Evangelii prædicatores secundum humanam philosophiam veritatem nuntiassent, suspicio fuisset num humano artificio potius quam virtute Dei subjugati fuissent homines salutari doctrinæ. Sed cum illitterati idiotæque fuerint ministri, excellentia virtutis Dei, secundum thesauri scientiam, ex Deo et non ex mortalibus viribus, reputabitur. Huic consonum est illud : Si et idiota sermone, non autem cognitione ; et illud : « Sermo C meus et prædicatio mea non in persuasibilibus sapientiæ verbis [28]. » Habebat enim thesaurum scientiæ, secundum quam non erat idiota, in fictilibus vasis, quatenus idiota sermone erat. [Nonnulli vero aiunt fictilia vasa esse hæc quibus induti sumus corpora, dum in sensibilibus rebus versamur. Sententia autem est : Quoniam adhuc carne circumdati, quæ veritatis contemplationi officit, notitiam nihilominus Trinitatis habemus : sed enim sublimitas magnitudinis scientiæ hujus non ex nobis, sed ex Dei virtute confici nobis dignoscitur.] Sic etiam Cyrillus.

Ὀστράκινα λέγει σκεύη τὰς εὐτελεῖς λέξεις καὶ τὸ ἄπλαστον τῆς ἑρμηνείας. Εἰ γὰρ οἱ κήρυκες τοῦ Εὐαγγελίου κατὰ ἀνθρωπίνην φιλοσοφίαν ἐπρέσβευον τῆς ἀληθείας, ὑπωπτεύθη ἂν ἐξ ἀνθρωπίνης τέχνης, καὶ μὴ ἐκ δυνάμεως Θεοῦ κεκρατῆσθαι τοὺς ἀνθρώπους τῇ σωτηριώδει παιδεύσει· ἀγραμμάτων δὲ καὶ ἰδιωτῶν ὄντων τῶν διακονουμένων, ἡ ὑπερβολὴ τῆς δυνάμεως τοῦ κατὰ τὴν γνῶσιν θησαυροῦ ἐκ Θεοῦ, καὶ οὐκ ἐκ θνητῶν ὑποληφθήσεται (27). Τούτῳ συνᾴδει τὸ, Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· καὶ τὸ, « Ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις. » Εἶχεν γὰρ τὸν θησαυρὸν τῆς γνώσεως, οὐκ ὢν κατ' αὐτὴν ἰδιώτης, ἐν ὀστρακίνοις σκεύεσιν, ἰδιώτης ὢν τῷ λόγῳ. [Εἰσὶ δὲ οἱ ὀστράκινα σκεύη λέγοντες ἃ περικείμεθα σώματα, ἐν τοῖς αἰσθητοῖς ὄντες, διανοίᾳ τοιαύτῃ· Ἐπεὶ ἔτι σάρκα περικείμενοι, τὴν ἐμποδίζουσαν τῇ θεωρίᾳ τῆς ἀληθείας, γνῶσιν ἔχομεν τὴν περὶ τῆς Τριάδος· ἡ ὑπερβολὴ τοῦ μεγέθους τῆς γνώσεως οὐκ ἐξ ἡμῶν, ἀλλ' ἐκ Θεοῦ δυνάμεως ὑπάρχουσα ἡμῖν γνωρίζεται.] Τοῦτο καὶ Κύριλλος (27*).

Verbs. 8. *In omni re tribulationem patimur, sed non angustiamur.*

Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι.

Utique pro circumstantium malorum acerbitate, desperandum foret ac pereundum ; sed Deo nos consolante, omnia nobis ad salutem proclivia. Etsi igitur in omni re tribulamur, nostri tamen animi fortitudine ad incitas non redigimur. Et quanquam ceu omni ope destitutos nonnulli nos putant, ideoque persequuntur et infestant, nos tamen omnino alacres non trepidamus, nec perimus, nec prosternimur. Nam dum improbi subvertere nos conantur, perstamus immobiles, insectantibus fortiter resistimus, omnia nobis ad salutem suppetunt. Sciendum est, verbum angustiari modo significare tribulari, modo aliud. Cum autem utrumque verbum ponitur, tribu-

Ὅσον ἐπὶ τῇ πικρότητι τῶν περιεστηκότων. D ἀπηυδήσαμεν ἂν καὶ ἀπωλόμεθα· ὅσον δὲ ἐπὶ τῷ παρακαλοῦντι Θεῷ, πάντα ἡμῖν πρὸς σωτηρίαν εὐμαρῆ. Κἂν ἐν παντὶ οὖν πράγματι θλιβώμεθα, γενναιάζοντες οὐ στενοχωρούμεθα· κἂν ὡς ἀπόρους ἡμᾶς τινες ὑπολαμβάνωσι, διώκοντες καὶ ἀνατρέποντες, ἀλλ' οὖν ἡμεῖς ἐν ἅπασιν εὐπορούντες οὐκ ἐξαπορούμεθα, οὐκ ἀπολλύμεθα, οὐ καταβαλλόμεθα. Ἀνατρεπόντων γὰρ τῶν πονηρῶν, στήκομεν ἀκλόνητοι· διωκόμενοι γενναιάζομεν, πορίμων ἡμῖν πάντων ὄντων πρὸς σωτηρίαν. Ἰστέον, ὅτι τὸ στενοχωρεῖσθαι ὁτὲ μὲν ταυτόν ἐστι θλίβεσθαι, ὁτὲ δὲ ἕτερον. Ὅταν γὰρ ἀμφότερα λέγηται, δηλοῖ τὸ μὲν

[28] I Cor. II, 4.

(27) Cod. ὑπολῃφθήσεσθαι.

(27*) Exstat revera hic Cyrilli tractus, quem uncis inclusimus, in editione nostra Cyrilli commentariorum ad hanc Epistolam. Cyrillus itaque antiquiorem se Didymum expresserat.

Digitized by Google

θλίβεσθαι τὴν ἔξωθεν περίστασιν· τὸ στενοχωρεῖσθαι, τὸ ὀκλάζειν τῇ προαιρέσει καὶ λογισμῷ. Ὅταν δὲ μὴ ἀμφότερα λαμβάνηται, ἐκ παραλλήλου δηλοῦσι τὸ αὐτό.

Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν.

Τὸ ἀεὶ καὶ *πάντοτε*, κείμενα ἐν τῇ προκειμένῃ λέξει, οὐ τὸ ἀτελεύτητον καὶ ἄναρχον δηλοῖ, καθὼς λέγομεν τὸ ἀΐδιον, ἀλλὰ τὸ ἄπαυστον καὶ ἀδιάστατον. Ὁ γὰρ τὴν νέκρωσιν τοῦ Ἰησοῦ μὴ ποτὲ μὲν, ποτὲ δὲ οὔ, περιφέρων ἐν τῷ σώματι αὐτοῦ, πάντοτε τοῦτο ποιεῖν ἐρεῖ· ἀλλὰ καὶ ὁ ζωὴν καὶ εὐσέβειαν καὶ σπουδὴν ἔχων ἀδιαστάτως ἀγωνίζεσθαι ὑπὲρ τῆς ἀληθείας λέξει, ὡς Ἄρα ἡμεῖς οἱ ζῶντες, τὸν εἰρημένον τρόπον, τοῦτ' ἔστιν ἄνευ διαλειμμάτων, εἰς θάνατον παραδιδόμεθα. Εἰς τοῦτο λήψῃ καὶ τὸ λεχθὲν ὑπὸ Στεφάνου πρὸς Ἰουδαίους· « Ἀεὶ γὰρ ὑμεῖς τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτετε. » Συνέζευξε γὰρ αὐτῷ τὸ, « Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; » Ταύτης τῆς διανοίας ἐστὶ καὶ τὸ, « Εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· » τοῦτ' ἔστιν, οὐ ποτὲ μὲν, ποτὲ δὲ οὔ, ἀλλ' ἀδιαστάτως. Τὸ, « Ἐσιώπησα δὲ, μὴ καὶ ἀεὶ σιωπήσομαι; » τὸ ἀτελεύτητον καὶ ἄπαυστον δηλοῖ. Εἰ γὰρ καὶ νῦν, φησὶ, μακροθυμῶ ἁμαρτανόντων ὑμῶν, ἀλλ' οὖν οὐκ εἰς τὸ ἄπαυστον ἔσται ὑπέρθεσις τῆς τιμωρίας· μετὰ γὰρ πολλὴν μακροθυμίαν, τιμωρηθήσονται οἱ ἐμμένοντες τῇ κακίᾳ.

Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως.

Πνεῦμα καλεῖ, φησὶ, πίστεως τὴν μετέχουσαν τῆς πίστεως ἣν ἔχει τις [ζωήν].

Ἡ ἐπίγειος ἡμῶν οἰκία.

Δύο οἰκίας διαφόρους σημαίνει ἡ προκειμένη γραφή· μίαν μὲν ἐπίγειον καὶ χειροποίητον, τὸν φαινόμενον εἶναι κόσμον ταῖς τοῦ Θεοῦ χερσὶν εἰς τὸ εἶναι παρηγμένον. Δεικνὺς γὰρ τὰ αἰσθητὰ πάντα, φησίν· « Ἡ χείρ σου ἐποίησε ταῦτα πάντα. » Ἀλλὰ καὶ, « Τὰ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοὶ, » τῆς αὐτῆς ἐστι νοήσεως· οἰκίαν δὲ ἀχειροποίητον οὖσαν ἐν τοῖς οὐρανοῖς, τὸν κόσμον τὸν ἄλλον παρὰ τοῦτον. Ἐπεὶ οὖν καταλυομένου τοῦ αἰσθητοῦ κόσμου, οὐ παράγει τὸ σχῆμα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, παρελευσομένων οὐκ εἰς τὸ μὴ ὄν, οἱ ἄνθρωποι καταστρέφουσι τὸν οἰκήσαντα πρότερον ἐν τῇ καταλυομένῃ ἐπιγείῳ οἰκίᾳ, διαδέξεται ἡ μέλλουσα καὶ αἰώνιος. Εἶπεν δέ· « Οἰκίαν ἔχομεν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς· » δεικνὺς ὅτι ἀπεντεῦθεν, μᾶλλον δὲ ἐκ πολλοῦ εὐτρέπισται τοῖς ἀξίοις τοῦ τυχεῖν αὐτῆς. Ἀμέλει γοῦν τὰς ἐν αὐτῇ ἐπαγγελίας, ἃς ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ ἄλλη αἴσθησις ἢ νόησις κατείληφεν, προητοιμάσθαι ὑπὸ τοῦ Θεοῦ τοῖς αὐτὸν ἀγαπῶσιν εἴρηται. Καὶ ὁ Σωτὴρ φησι· « Κληρονομήσατε τὴν βασιλείαν τὴν ἡτοιμασμένην ὑμῖν πρὸ καταβολῆς κόσμου. » Αὕτη δὲ ἡ λεχθεῖσα αἰσθητὴ μονὴ (28), οἰκία εἴρηται οὐ καθ' ἁπλῶς ἡμῶν, ἀλλ' ἡ τοῦ σκήνους ἡμῶν· ἡ γὰρ ἐπουλari quidem significat externam aggressionem; angustiari vero, hæsitare mentis deliberatione. Cum denique non simul ambo ponuntur, tunc æquabiliter idem significant.

VERS. 11. *Semper enim nos, qui vivimus, in mortem tradimur propter Jesum.*

Vocabula ἀεί et πάντοτε, in præcedente textu posita, non significant sine fine aut principio, sicuti sempiternum dicimus, sed incessanter et continuatim. Nam qui Jesu mortificationem non modo utique, modo secus, in corpore suo circumfert, semper hoc se facere affirmabit. Sed et qui vitam et pietatem ac sedulum officium retinet perpetuo pro veritate decertandi, dicet, Revera nos qui vivimus prædicto modo, id est sine intermissionibus, in mortem tradimur. Ita intelliges etiam dictum a Stephano Judæis : « Semper vos Spiritui sancto resistitis [54]. » Subjunxit enim, « Quem prophetarum non sunt persecuti patres vestri? » Eadem sententia est verborum : « Dixi : Hi semper errant corde [55], » id est non modo utique, modo secus, sed continuo. Locutio autem, « Tacui, num semper tacebo [56]? » infinitum et incessabile denotat. Nam etsi nunc, inquit, sum longanimis peccantibus vobis, non tamen infinita erit dilatio pœnæ : nam post multam longanimitatem, punientur qui in malitia perseverant.

VERS. 13. *Habentes eumdem spiritum fidei.*

Spiritum nuncupat fidei, illam quam quis habet participem fidei [vitam].

CAP. V, VERS. 1. *Terrestris nostra domus.*

Duas diversas domos significat hæc scriptura; unam quidem terrestrem et manufactam, nempe hunc aspectabilem mundum, Dei manibus ad exsistentiam productum : namque ostendens sensibilia omnia dicit Psalmista : « Manus tua fecit hæc [57]. » Sed et illud : « Opera manuum tuarum sunt cœli [58], » eamdem sententiam continet. Domum vero non manufactam quæ in cœlis est, mundum esse intelligimus ab hoc nostro diversum. Quoniam itaque sensibili hoc dissoluto mundo, non tamen transit cœli terræque figura, tanquam ad non exsistendum traducta; demutant homines illum, qui habitator dissolutæ postea domus fuerat, eumque futura excipiet et æterna. Dixit autem, « Domum habemus non manufactam æternam in cœlis, » ut demonstret quod abhinc diu jam parata est dignis eam assequi. Sane et promissæ in illa res, quas oculus non vidit, neque alius quilibet sensus intellectusve comprehendit, præparatæ a Deo diligentibus illum dicuntur [59]. Et Salvator ait : « Possidete regnum paratum vobis jam inde a mundi constitutione [60]. » Hæc autem sic appellata sensibilis mansio, haud domus nostra simpliciter dicitur, sed tabernaculi nostri : nam reapse domus cœlestis, principaliter nostra habitatio est.

[54] Act. VII, 51, 52. [55] Psal. XCIV, 10. [56] Isa. XLII, 14. [57] Psal. CVIII, 27. [58] Psal. CI, 26. [59] I Cor. II, 9. [60] Matth. XXV, 34.

(28) Cod. μόνη.

Digitized by Google

Etsi enim in nostra resurrectione reddetur suum animæ tabernaculum, ut et ipsum sit in cœlesti domo; attamen ille incolatus principaliter animæ mansio est; per accidens vero etiam ejus quo circumdatur tabernaculi. Quamobrem terrestris primaria ratione domus est tabernaculi; secundaria autem, ipsius quoque animæ quæ in corpore est. Legi alicubi, domum quidem terrestrem tabernaculi dici, compositum hoc ex ossibus carnibusque corpus. Cum ergo tabernaculum, id est visibile et organicum corpus, sit in hac domo, figura interioris hominis; qui sic interpretantur aiunt, resoluta hac crassi corporis domo, transire animam in cœlestem regionem, quæ appellatur domus non manufacta æterna. Recuperabit tamen anima quod deposuerat corpus, factum jam cœleste, quod habitaculum de cœlo appellatur.

A

B

Vers. 2. *Nam et in hoc ingemiscimus, habitationem nostram quæ de cœlo est superindui cupientes.*

Etiamsi resoluta tabernaculi supradicta domo, nos tabernaculo hoc circumdati, cum eo in cœlestem domum transituri simus, nihilominus hoc retento gemimus, superindui cupientes habitaculo, quod est de cœlo; id est, deposito illo a nobis corpore, quod de cœlo aliquando exsistet, cum incorruptione et immortalitate induetur. Sed quamvis hoc habitaculum optamus, videsis an qui illo induitur, prorsus ab eo contegatur. Hoc enim significant verba, « Siquidem vestiti, non nudi, inveniemur. » Nudus autem non invenitur qui illo indutus fuit, si certe fidelis sanctusque fuerit, nempe si ante illud induerit sibi Dominum Jesum, et arma lucis, et viscera misericordiæ. Namque infidelis et improbus, etiamsi spiritale corpus nanciscatur, quod de cœlo habitaculum appellatur, nudus nihilominus invenietur, quia operam non dedit ut interioris hominis vestimenta haberet. His ita se habentibus, nos qui in tabernaculo sumus, gravati gemimus; quia terrenum tabernaculum aggravat mentem multis curis plenam: sed enim quanquam eo habendo gravamur, non tamen abjicere optamus, sed indui potius habitaculo quod de cœlo est: « ut absorbeatur quod mortale est a vita. » Non enim destruet vita tabernaculum nostrum cum induerimus immortalitatem, sed id absorbebit, quatenus validior fiet ejus qualitas, quam ejus in quo sumus mortales.

C

D

Vers. 12. *Sive enim mente excedimus, Deo; sive sobrii sumus, vobis.*

Illi autem de his coarguantur a vobis; loquitur nimirum de pseudoapostolis. Nos vero vestri causa hæc agimus. Sive enim extra humanas res constituti ad Deum mente excedemus, nihilominus vobis sobrii sumus; quia exstasis non insaniam sed sobrietatem habet. Neque attendendum est Phrygum asseclis dicentibus apostolos atque prophetas mente ita excessisse, ut delirarent. Etenim quid loquerentur et agerent, hi apprime sentiebant. Fucum autem

(29) En evidens testimonium, contra recentiorum temporum Græcos, de justorum animabus in cœlum transferendis non exspectata corporum resurrectione.

(30) Dicit Cataphrygas seu Montanistas.

ράνιος ἡμῶν προηγουμένως οἰκησίς ἐστιν. Κἂν γὰρ ἐξ ἀναστάσεως ἀποδοθῇ τὸ σκῆνος τῆς ψυχῆς, ὡς εἶναι καὶ αὐτὸ ἐν τῇ ἐπουρανίῳ οἰκίᾳ, ἀλλ' οὖν προηγουμένως τῆς ψυχῆς ἡ διατριβὴ αὕτη, κατὰ συμβεβηκὸς δὲ καὶ οὗ περίκειται σκηνώματος· ὡς αὖ ἐπίγειος κατὰ πρότερον λόγον οἰκία ἐστὶν τοῦ σκήνους· δευτέρως δὲ, καὶ τῆς ψυχῆς οὔσης ἐν τῷ σώματι. Ἀνέγνων που, οἰκίαν μὲν ἐπίγειον σκήνους λέγεσθαι τὸ ἐξ ὀστῶν καὶ σαρκῶν συγκείμενον σῶμα. Σκῆνος δὲ ὂν ἐν τῇ οἰκίᾳ ταύτῃ, τὸ σχῆμα τοῦ ἔσω ἀνθρώπου, ὅ ἐστιν αὐγοειδὲς καὶ ὀργανικὸν σῶμα, οἱ οὕτως ἑρμηνεύοντες φασὶν οὖν, Καταλυομένης ταύτης τῆς οἰκίας τοῦ παχέος σώματος, μετοικίζεται ἡ ψυχὴ ἐπὶ τὸν οὐράνιον χῶρον (29), καλούμενον οἰκίαν ἀχειροποίητον αἰώνιον. Ἀπολήψεται δὲ καὶ ὃ ἀπέθετο σῶμα οὐράνιον γεγενημένον, ὅπερ οἰκητήριον ἐξ οὐρανοῦ ὀνομάζεται.

Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες.

Εἰ καὶ καταλυθείσης τῆς προειρημένης οἰκίας τοῦ σκήνους, περικείμεθα τὸ σκῆνος, ἐν αὐτῷ μεταβαίνοντες εἰς τὴν οὐράνιον οἰκίαν, ἀλλ' οὖν ἐν αὐτῷ τυγχάνοντες στενάζομεν, ἐπενδύσασθαι ποθοῦντες τὸ ἐξ οὐρανοῦ οἰκητήριον· τοῦτο δέ ἐστιν ὃ ἀπεθέμεθα σῶμα ἐξ οὐρανοῦ ποτε χρηματιζον, ὅτ' ἂν τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν ἐνδύσηται. Ἀλλ' εἰ καὶ ἐπιποθοῦμεν τοῦτο τὸ οἰκητήριον, σκόπει εἰ ὁ ἐνδυσάμενος αὐτὸ πάντως σκεπάζεται πρὸς αὐτοῦ. Τοῦτο γὰρ δηλοῦται ἐκ τοῦ, « Εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ, εὑρεθησόμεθα· » οὐ γυμνὸς δὲ εὑρίσκεται ἐνδυσάμενος αὐτὸ, ὁ πιστὸς καὶ ἅγιος πρὸ αὐτοῦ τούτου ἐνδυσάμενος τὸν Κύριον Ἰησοῦν, καὶ ὅπλα φωτὸς, καὶ σπλάγχνα οἰκτιρμοῦ. Ὁ γὰρ ἄπιστος καὶ φαῦλος, κἂν τύχῃ τοῦ πνευματικοῦ σώματος, ὃ καλεῖται ἐξ οὐρανοῦ οἰκητήριον, γυμνὸς εὑρεθήσεται, οὐ σπουδάσας ἔχειν τὰ τοῦ ἔσω ἀνθρώπου ἐνδύματα. Τούτων οὕτω τυγχανόντων, οἱ ἐν τῷ σκήνει ὄντες ἡμεῖς, στενάζομεν βαρούμενοι· ἐπείπερ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. Ὅμως εἰ καὶ βαρούμεθα ἐκ τοῦ ἔχειν αὐτὸ, οὐκ ἀποβαλεῖν αὐτὸ ποθοῦμεν, ἀλλ' ἐνδύσασθαι τὸ ἐξ οὐρανοῦ οἰκητήριον, « ἵνα κρατηθῇ καταποθὲν τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. » Οὐ γὰρ ἐξαφανίζει ἡ ζωὴ τὸ σκῆνος ἡμῶν ὅτ' ἂν ἐπενδυσώμεθα τὴν ἀθανασίαν, ἀλλὰ καταπίνει αὐτὸ, ἐπικρατεστέρας γινομένης τῆς ἐξ αὐτῆς ποιότητος τοῦ καθ' ὃ θνητοί ἐσμεν.

Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν.

Ἐκεῖνοι μὲν ἐπὶ τούτοις ἐλεγχέσθωσαν παρ' ὑμῶν· λέγει δὲ περὶ τῶν ψευδαποστόλων. Ἡμεῖς δὲ ὑμῶν χάριν καὶ δι' ὑμᾶς ταῦτα πράττομεν. Κἂν τε γὰρ ἔξω τῶν ἀνθρωπίνων γενόμενοι τῷ Θεῷ ἐκστῶμεν, ἀλλ' οὖν σωφρονοῦμεν ὑμῖν, τῆς θείας ἐκστάσεως οὐ μανίαν, ἀλλὰ νηφαλιότητα ἐχούσης. Οὐ προσεκτέον γὰρ τοῖς ἀπὸ τῶν Φρυγῶν (30) λέγουσι τοὺς ἀποστόλους καὶ προφήτας ἐξίστασθαι, ὥστε παραπαίειν (παρηκολούθουν γὰρ οἷς ἔλεγον καὶ ἔπραττον, εἰ καί

Digitized by Google

τινες ἄλλοι)· ἠπατήθησαν δὲ οἱ ἠλίθιοι ἐκ τῆς ὁμωνυμίας. Οὐ γὰρ μόνον τὸ παραπαίειν καὶ παρακόπτειν σημαίνει ἡ ἔξέστη φωνὴ, ἀλλὰ καὶ τὸ ἐκπλαγῆναι ἐπὶ θαυμασμῷ. Οὕτω γὰρ ἐξέστη Ἰσαὰκ ἔκστασιν μεγάλην. Καὶ ἐκστήσονταί τινες ἐπὶ τῷ Κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ, κατὰ τὸν προφήτην. Εἰ δὲ καὶ ἄλλα τινὰ δηλοῦται ὑπὸ τῆς φωνῆς, ἐπιστήτω ὁ ἐντυγχάνων ταῖς Γραφαῖς.

Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς.

Ἐξηγεῖται τὸ εἶδος ἧς ὑπομένει ἐκστάσεως, φήσας· Συνεχόμεθα (31) ὑπὸ τῆς πολλῆς εἰς ἡμᾶς γενομένης ἀγάπης Θεοῦ· μετὰ τοῦ θαυμάζειν, δοκιμάζοντες, ὅτι εἰ εἷς ὑπὲρ πάντων ὁ Χριστὸς ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· οὐκ ἂν γὰρ ὑπὲρ πάντων ἀπέθνησκεν. εἰ μὴ πάντες ὑπεύθυνοι ἦμεν θανάτου. Εἰ τοίνυν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀπέθανεν καὶ ἀνέστη, ἀναστάντες σὺν αὐτῷ ζῶμεν· οὐκέτι δι' αὐτοὺς, τοῦτ' ἔστιν ἀνθρωπίνως, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν παθόντι καὶ ἀναστάντι· ζῶντες δὲ αὐτῷ, καὶ κατ' αὐτὸν, πάντα ἃ βούλεται πράττομεν καὶ λέγομεν καὶ διανοούμεθα· ὡς ἕκαστον τεθαρρηκότα εἰπεῖν· « Ἡ ψυχή μου αὐτῷ ζῇ· » καὶ, « Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. »

Ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα.

Ἐπεὶ ζῶμεν τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, ἀφ' οὗ ἠρξάμεθα οὕτω εἶναι, οὐδένα ἔτι κατὰ σάρκα γινώσκομεν, ὑπερβάντες τὴν σάρκα καὶ τὰ ταύτης πάθη, ἔτι μὴν καὶ τὴν σκιὰν τοῦ νόμου διδασκαλίαν. Εἰ δὲ καὶ τὸν Χριστὸν ἐγνωμεν κατὰ σάρκα, ἔτι Ἰουδαΐζειν θέλοντες καὶ ἕπεσθαι τῇ σαρκίνῃ διηγήσει τοῦ νόμου, ἀλλὰ νῦν οὐκέτι οὕτως αὐτὸν, ἀλλ' ὡς Θεὸν Λόγον γινώσκομεν. Γενόμενος γὰρ ὁ Λόγος σὰρξ, οὐκ ᾤκησεν, ἀλλ' ἐσκήνωσεν (32) ἐν ἡμῖν, ἵνα μετὰ τοῦτο θεασώμεθα τὴν δόξαν αὐτοῦ, « δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Διαφέρει γὰρ τὸ οἰκῆσαι τοῦ σκηνῶσαι, ὡς καὶ ὁ οἶκος σκηνῆς. Ἀεὶ γὰρ μένει ὁ οἶκος ἀμετακινήτως τεθεμελιωμένος· ἡ δὲ σκηνὴ οἰκός ἐστι φορητός. Ἀμέλει σκηνοῦσιν οἱ προκόπτοντες, οἰκοῦσιν οἱ τετελειωμένοι. « Διελεύσομαι γὰρ ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ. »

Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.

Ὁ ἐν Χριστῷ τῷ μετέχειν αὐτοῦ γινόμενος, καινὴ κτίσις ἐστίν. Τοιαύτην ὑπαρχθῆναι τῇ ἑαυτοῦ καρδίᾳ εὐχόμενος ὁ ἅγιος εἶπεν· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. » Κατὰ τοῦτο τὸ σημαινόμενον, κτίζει ἐν αὐτῷ ὁ Σωτὴρ τοὺς δύο εἰς ἕνα καινὸν ἄνθρωπον. Ἵν' οὖν τοῦτο ὑπαρχθῇ, τούτῳ τῷ τρόπῳ ὑπέβαλεν ἑαυτὸν κτισθῆναι, λέγων· « Κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν εἰς ἔργα. » Οὐ δηλοῖ οὐσίωσιν τὸ κτισθῆναι ῥῆμα, ὡς ἐν ἄλλοις διὰ πλειόνων δέδεικται (33)· γενομένης δὲ καινῆς κτίσεως ἐν τῷ Χριστῷ τῶν πεπιστευκό-

A his insipientibus fecit homonymia. Nam vocabulum *extasis*, non delirium tantummodo aut deliquium significat, verum etiam stuporem ex admiratione. Sic enim et Isaac grandi exstasi mente excessit [61]. Et nonnulli exstasim experientur in Domino et in bonis ejus, ut ait propheta [62]. Jam utram alias quoque significationes habeat hoc vocabulum, videat ille qui Scripturis operam impendit.

VERS. 14. *Charitas enim Christi urget nos.*

Exponit quodnam genus exstaseos patiatur, dicens· Urgemur a plurima Dei erga nos charitate; non sine admiratione reputantes, quod si unus pro omnibus mortuus est Christus, utique omnes mortui fuerant: non enim pro omnibus mortuus esset, nisi omnes morti obnoxii essemus effecti. Si ergo pro nobis et propter nos mortuus est ac resurrexit, nos quoque resurgentes cum eo vivemus; nec jam per nos ipsos, humanitus, sed ei qui passus resurrexit. Viventes autem cum ipso, et secundum ipsum; id est omnia quæ is vult agimus, et loquimur, et cogitamus. Ita ut unusquisque confidenter dicat: « Anima mea illi vivit [63]; » et, « Vivo ego, jam non ego, vivit vero in me Christus [64]. »

VERS. 16. *Nos abhinc neminem novimus secundum carnem.*

Quoniam vivimus ei qui pro nobis mortuus est ac resurrexit; ex quo taliter esse cœpimus, neminem jam secundum carnem cognoscimus, superiores facti carni et hujus passionibus, nec non umbratili legis doctrinæ. Quod si etiam Christum cognovimus secundum carnem, judaizare adhuc volentes et carnalem legis dictatum sequi, nunc tamen haud eum amplius hac ratione agnoscimus, sed tanquam Verbum Deum. Verbum enim caro factum, non habitavit, sed hospitatum est inter nos, ut nos postea gloriam ejus videremus, « gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis [65]. » Differt enim habitare ab hospitari, sicut etiam domus ab hospitio: semper enim stat domus immobiliter fundata; tabernaculum portabilis domus est. Utique hospitantur qui proficiunt, habitant vero perfecti. « Transibo enim in locum tabernaculi admirabilis usque ad domum Dei [66]. »

VERS. 17. *Si qua in Christo nova creatura.*

Qui in Christo est, quatenus scilicet eum participat, nova est creatura. Tale sibi cor fieri sanctus vir precabatur dicens: « Cor mundum crea in me, Deus [67]. » Hoc significatu, condit in semetipso Servator duo in unum novum hominem [68]. Ut hoc igitur fieret, idcirco subdidit se creatum, dicens: « Dominus creavit me initio viarum suarum ad opera [69]. » Neque tamen denotat materialem formationem vocabulum creari, sicut alibi pluribus dictum fuit. Facta autem nova creatura credentium Chri-

[61] Gen. XXVII, 33. [62] Ose. III, 5. [63] Psal. XXI, 31. [64] Gal. II, 20. [65] Joan. I, 14. [66] Psal XLI, 5. [67] Psal. L, 12. [68] Ephes. II, 15. [69] Prov. VIII, 22.

(31) Συνέχομεθα etiam *cogimur*, *possidemur*, *corripti sumus*.

(32) Reapse Joannes I, 14, utitur verbo ἐσκήνωσε, quod Latini liberius fecerunt *habitavit*.

(33) Videmus hoc loco innui pœnitentiæ sacramentum a Christo institutum, et per apostolos sacerdotesque deinceps administrandum.

Digitized by Google

sto, vetera transierunt abrogata, novis introductis. Et siquidem vetera pro legalibus et propheticis dicit, desiverunt hæc subintrante Evangelio. Hæc tamen vetera ac nova, non tam vero subjecto, quam mentis conceptu differunt. Eadem enim est utriusque Testamenti doctrina, sive cum velato sive cum aperte proposita fuit. Vetera ergo sunt quæ dicuntur velata. Quod si quis dicat eos mores, qui fidem præcesserunt, constitutionem priscam fuisse, hæc quidem præteriit, succedente evangelica doctrina; priorique legislationi congruet illud dictum: Omnia ex Deo; nam et lex et prophetæ et Evangelia quoque ex Deo sunt, secundum posteriorem institutionem; ita ut omnia nova ex Deo sint; et quidem etiam illa quæ præterierunt. Porro omnia ex Deo sunt, qui nos sibi reconciliavit per Christum. Valde enim inimici eramus, errore et peccatis subjugati: sed ei reconciliati fuimus, veniam ab ipso et per ipsum consecuti. Reconciliavit autem sibi nos per Dominum, qui pro nobis mortuus est ac resurrexit. Ne autem sensu occalleamus ad tantum Dei beneficium, reconciliationis doctrinam apostolis tradidit, ut ab his eruditi, in Christo permaneamus. Per hunc enim permanens erit, post reconciliationem, nostra cum Deo amicitia.

των, τὰ ἀρχαῖα παρῆλθε πεπαλαιωμένα, τῶν καινῶν εἰς μέσον ἠγμένων· καὶ εἰ μὲν ἀρχαῖα τὰ νομικὰ καὶ προφητικὰ λέγει, παρελήλυθε ταῦτα, τῶν Εὐαγγελίων διαδεξαμένων· τούτων τῶν παλαιῶν καὶ καινῶν οὐ καθ' ὑποκείμενον, ἀλλ' ἐπινοίᾳ ἐχόντων τὴν διαφοράν· ἡ γὰρ αὐτὴ διδασκαλία τῶν δύο Διαθηκῶν ὁτὲ μὲν κεκαλυμμένως, ὁτὲ δὲ γυμνῶς γέγονεν. Ἀρχαῖα οὖν ἐστι τὰ κεκαλυμμένα· εἰ δέ τις τὰ πρὸ τῆς πίστεως ἔθη καὶ κατάστασιν ἀρχαίαν εἶναι λέγοι, παρῆλθε ταῦτα παυσάμενα, ἐνεστηκυίας τῆς κατὰ τὸ Εὐαγγέλιον διδασκαλίας· πρὸς τὴν προτέραν ἀπόδοσιν ἁρμόσει τὸ, Πάντα ἐκ τοῦ Θεοῦ (34). Καὶ γὰρ ὁ νόμος, καὶ οἱ προφῆται, καὶ τὰ Εὐαγγέλια ἐκ τοῦ Θεοῦ, κατὰ τὴν ὑστέραν διήγησιν, πάντων τῶν καινῶν ἐκ Θεοῦ ὄντων, οὐ μὴν καὶ τῶν παρεληλυθότων· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Χριστόν. Ἐχθροὶ γὰρ ἦμεν πολὺ, ἀπάτῃ καὶ ἁμαρτήμασι κεκρατημένοι· κατηλλάγημεν δὲ αὐτῷ, ἄφεσιν πρὸς αὐτοῦ καὶ δι' αὐτοῦ εἰληφότες· κατήλλαξεν δὲ ἡμᾶς ἑαυτῷ διὰ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἀναστάντος Κυρίου. Ὅπως δὲ μὴ ἀναισθητῶμεν τῆς πολλῆς Θεοῦ εὐεργεσίας, τὴν περὶ τῆς καταλλαγῆς διδασκαλίαν δέδωκε τοῖς ἀποστόλοις (35), ἵνα παιδευόμενοι ὑπ' αὐτῶν ἐμμένωμεν τῷ ἐν Χριστῷ εἶναι· δι' αὐτοῦ γὰρ ἐπίμονος ἔσται ἡ μετὰ τὴν καταλλαγὴν ὑπάρξασα πρὸς Θεὸν φιλία.

VERS. 21. *Etenim eum qui non noverat peccatum.*

Nescientem dicit, pro experimentum non habentem peccati. Non enim ignorasse peccati naturam dicit (etenim hanc præ cæteris Servator noverat), sed peccati fuisse expertem. Nam et ille qui mandatum observat, dicitur non agniturus verbum malum [70].

Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν.

Τὸν μὴ γνόντα φησὶν, ἀντὶ τοῦ, τὸν μὴ πειραθέντα ἁμαρτίας. Οὐ γὰρ τὸ μὴ ἀγνοεῖν τὴν φύσιν αὐτῆς φησι (μᾶλλον γὰρ πάντων ᾔδει αὐτὴν ὁ Σωτὴρ), ἀλλὰ τὸ μὴ πειραθῆναι αὐτῆς· οὕτω γὰρ καὶ ὁ φυλάσσων ἐντολὴν, οὐ γνώσεται ῥῆμα πονηρόν.

CAP. VI, VERS. 3. *Nemini dantes ullam offensionem.*

Quoniam propitio tempore et die salutis Deus exaudiens auxiliatus est, proprium Filium mittens tradensque pro nobis, nemo ullatenus offendiculum infidelitatis fiat, ne probrum habeat evangelicæ doctrinæ ministerium. Quare curandum sedulo est ut commendemus nos operibus bonis, etiamsi laboriosa fuerint. Fiet autem hoc, si patientiam retinentes, tribulationes, necessitates et angustias aliaque hujusmodi fortiter pertulerimus, vincula etiam et carceres hilariter perpetientes. Sic enim nobis sanctificari animam continget, recte sentientem atque agentem. Animas, inquit, nostras sanctificantes, obediendo veritati [71]. Sed et timor Domini sanctus cum sit, omnimodam sanctitatem confert suscipientibus illum.

Μηδεμίαν ἐν μηδενὶ δόντες προσκοπήν.

Ἐπὶ δεκτῷ καιρῷ καὶ σωτηρίας ἡμέρᾳ ἐπακούσας Θεὸς ἐβοήθησε, πέμψας τὸν ἴδιον Υἱὸν καὶ παραδοὺς αὐτὸν ὑπὲρ ἡμῶν, μηδεὶς κατὰ μηδένα τρόπον προσκοπὴ ἀπιστίας γένηται, ἵνα μὴ μῶμον σχῇ ἡ διακονία τῆς εὐαγγελικῆς διδασκαλίας. Ὅθεν σπουδαστέον συνιστάναι ἑαυτοὺς ἔργοις ἀγαθοῖς, κἂν ἐπίπονα ὦσι· γίγνεται δὲ τοῦτο, ἐὰν ὑπομονὴν ἔχοντες, θλίψεις, καὶ ἀνάγκας, καὶ στενοχωρίας, καὶ τὰ παραπλήσια γενναίως φέρωμεν, δεσμὰ καὶ φυλακῆς πεῖραν ἱλαρῶς φέροντες. Οὕτω γὰρ ἁγνεύειν κατὰ τὴν ψυχὴν συμβήσεται, ὀρθὰ φρονοῦσαν καὶ πράττουσαν. Τὰς ψυχὰς γὰρ ἡμῶν (36), φησὶν, ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας. Ἀλλὰ καὶ ὁ φόβος Κυρίου ἁγνὸς ὤν, πᾶσαν ἁγνείαν περιποιεῖ τῷ αὐτὸν ἀνειληφότι.

VERS. 7. *Per arma justitiæ a dextris et a sinistris.*

Dextra et sinistra justitiæ arma, fortasse is est qui in rebus sensibilibus tam juste se gerit, ut injuriam et rapinam pati malit, quam hæc ipse facere:

Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν.

Δεξιὰ καὶ ἀριστερὰ ὅπλα τῆς δικαιοσύνης εἶναι, τάχα οὖν ὁ περὶ τὰ αἰσθητὰ δικαιοπραγῶν, ὡς ἐθέλειν μᾶλλον ἀδικεῖσθαι καὶ ἀποστερεῖσθαι, ἢ ποιεῖν αὐτὸς

[70] Eccle. VIII, 5. [71] I Petr. I, 22.

(34) Hæc quoque adversus Manichæos, quos ipsorum confutator Didymus sæpe præ oculis habebat.

(35) Memorat hic Didymus commentarium suum in *Proverbia*, cujus nos ipsi non paucas reliquias ex Vaticano codice edidimus, quas videsis ad citatum hic Proverbiorum locum, cap. V, 17, ubi reapse pluribus de hac re agitur.

(36) Ita cod. non ὑμῶν.

Digitized by Google

ταῦτα· πέφρακται τοῖς ὅπλοις τῆς δικαιοσύνης τοῖς ἀριστεροῖς· τοῦ τὴν πρὸς Θεὸν δικαιοσύνην, ὁσιότητα καλουμένην, ἔχοντος ἐν τῷ ἀποδιδόναι τὰ τοῦ Θεοῦ τῷ Θεῷ, φοροῦντος τὰ δεξιὰ αὐτῆς. Ὅπλα ἐν ἑτέροις φωτὸς εἴρηται ἐν τῷ, « Ἐνδύσασθε ὅπλα φωτός. » Ταῦτα τὰ ὅπλα τῆς στρατιᾶς οὐ σάρκινα, τουτέστιν οὐκ ἀνθρώπινα, ἀλλὰ δυνατὰ τῷ Θεῷ τυγχάνει. Ἐπίστησον εἰ δύναται ὅπλα ἀριστερώτερα δικαιοσύνης ἔχειν, ὁ κατὰ τὴν σκιὰν τοῦ νόμου δικαιούμενος· ὅπλα δὲ δεξιὰ, ὁ πεποιωμένος κατὰ τὴν δικαιοσύνην, τὴν γινομένην διὰ Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας. Αὕτη δέ ἐστι περὶ ἧς ὁ Σωτὴρ τοῖς μαθηταῖς εἶπεν· « Ἐὰν μὴ περισσεύσῃ ἡ ὑμῶν δικαιοσύνη πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Ἔτι ὁ τὸ δίκαιον δικαίως διώκων κατὰ τὰ ἀνθρώπινα συναλλάγματα, ὥπλισται κατὰ τὰ δικαιοσύνης ἀριστερὰ ὅπλα· ὁ δὲ κατὰ τὰ δόγματα τῆς ἀληθείας τοῦτο πράττων, ὑπὲρ τοῦ υἱὸς δικαιοσύνης γενέσθαι διωκόμενος ὑπὲρ αὐτῆς, φέρει τὰ δεξιὰ αὐτῆς ὅπλα. Ὅρα γε πρὸς τοῖς εἰρημένοις, εἰ λόγον ἔχει τὸ λεχθησόμενον· Ὁ ὑπὲρ εὐσεβείας ἀτιμαζόμενος, δυσφημούμενός τε καὶ πλάνος ὑπολαμβανόμενος, γενναίως καὶ ἐπαινετῶς ταῦτα φέρων, ἀριστεροῖς ὅπλοις τῆς δικαιοσύνης χρᾶται, τοῖς δεξιοῖς αὐτῆς ὅπλοις ἠσφαλισμένος, ὅτ' ἂν μὴν ἔπαινος ἢ ἑτέρα τις εὐκλεια καὶ εὐφημία, ὡς ἐπ' ἀληθότητι λόγου, χαυνοῖ καὶ ἐπαίρῃ. Ταύτῃ τῇ διανοίᾳ καὶ τῶν ἑπομένων ἕκαστον μετὰ τῆς αὐτῆς ἀντιθέσεως εἰρημένον ἐφαρμόσεις.

A hic enimvero justitiæ dextris armis munitus est. Qui justitiam erga Deum, quam sanctitatem vocamus, retinet dum Deo dat quæ sunt Dei, hic ejus dextra arma fert. Alibi dicuntur arma lucis, dum dicitur : « Induite arma lucis [72]. » Hæc militiæ arma non carnalia, id est humana, sed potentia Deo sunt [73]. Et videsis, num arma potius sinistra justitiæ gerat, qui in legis umbra justificatur : dextra autem arma, is qui præ se fert justitiam, quæ est per Jesum Christum, erga omnes credentes. Est vero hæc, de qua Salvator aiebat discipulis : « Nisi abundaverit justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [74]. » Præterea qui rectum recte sectatur in humano commercio, sinistris justitiæ armis instructus est. B Qui vero secundum veritatis dogmata id agit, ut filius justitiæ fiat, persecutionem hujus causa patiens, hic dextra ejusdem arma gerit. Et vide, præter jam dicta, an recte se habeat, quod adhuc dicturus sum : Qui maledictis appetitus, et impostor creditus, fortiter ac laudabiliter hæc perfert, sinistris armis justitiæ utitur, cum sit dextris ejusdem armis contectus, si quando laus, aut alia aliqua fama et præconium, veri instar sermonis, tumidum faciat atque elatum. Huic sententiæ, singula pariter quæ subsequuntur, eadem cum antithesi proferens, accommodabis.

Στ. ι'. *Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες.*

Ἔτι ὑπονοούμενοι λυπεῖσθαι, καὶ πτωχοὶ καὶ μηδὲν ἔχοντες, δι' ἣν κατορθοῦμεν ἀκτημοσύνην χαίρομεν, πλουτοῦντες ἔργοις ἀγαθοῖς, καὶ παντὶ λόγῳ, καὶ πάσῃ γνώσει· ὡς καὶ ἄλλους πλουτίζειν κατὰ τὸν πλοῦτον τὸν ὀξὺ βλέποντα. Ὁ γὰρ τοῦτον ἔχων, πάντων ἐγκρατής ἐστιν, κατέχων αὐτά. Εὖ δὲ καὶ τὸ εἰπεῖν ἐφ' ἑκάστου τῶν ἀηδῶν, ὡς τὸ, « Ἐπὶ δὲ τῶν καλῶν καὶ σωτηριωδῶν τοῦτό μοι εἴρηται. »

Vers. 10. *Quasi tristes, semper autem gaudentes.*

C « Adhuc qui credimur tristes esse, et pauperes, et nihil habentes, propter illam quam profitemur inopiam gaudemus, quia bonis operibus divites sumus, ac sermone omni et omni sententia ; ita ut alios quoque locupletemus, eo divitiarum genere, quod acute perspicit ; nam qui ejusmodi opes habet, ab omnibus abstinet, iis contentus. Recte autem dici potest in molestiis singulis, velut illud, « In præclaris autem ac salutaribus hoc mihi dictum est [75]. »

Στ. ια'. *Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ἡμᾶς.*

Ὁ πολλὴν παῤῥησίαν εἰς τὸ λέγειν λαβὼν, πρὸ τῆς προθυμίας τῶν ἀκροατῶν ἐρεῖ· Τὸ στόμα ἡμῶν ἀνέῳγε, καὶ ἡ καρδία ἐν τῷ νοεῖν πλατύνεται πρὸς ὑμᾶς, ὦ Κορίνθιοι· διὸ καὶ στενοχωρεῖσθε ὑπὸ ἐνοχλούσης ἀγνοίας. Οὐκ ἐξ ἡμῶν ἔχει τοῦτο. Ἀπαιτοῦμεν γὰρ ὑμᾶς ὡς τέκνα ἀντιμισθίαν παρασχεῖν ἡμῖν, διὰ τοῦ πλατύνειν ὑμῶν τὴν νόησιν πρὸς παραδοχὴν ἧς προσφέρομεν ὑμῖν παιδεύσεως. Σπλάγχνα δὲ ἐνταῦθα ἐκλαβεῖν δεῖ οὐκ αἰσθητά· οὐ γὰρ περὶ σωματικῶν, ἀλλὰ πνευματικῶν, ὁ λόγος.

Vers. 11. *Os nostrum patet ad vos.*

Qui multam sibi fiduciam dicendi sumpsit, audientium quoque voluntatem præveniet. Os nostrum patet, et cor meditando dilatatur erga vos, o Corinthii. Propterea et angustiamini ob D inscitiæ molestiam : id tamen causa nostra non fit. Rogamus vos tanquam filios, ut nos remuneremini, dilatando scilicet mentem vestram ob excipiendam quam vobis tradimus institutionem. Viscera autem hic intelligere oportet haud materialia ; non enim de corporalibus rebus, sed de spiritualibus sermo est.

Στ. ιδ'. *Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις.*

Ἐκκλησιαστικῇ συνηθείᾳ, μᾶλλον δὲ γραφικῇ, σύζυγοι αἱ γαμεταὶ τοῖς ἀνδράσι λέγονται. Κωλύει γοῦν καὶ διὰ τῶν προκειμένων ἑτερογαμίαν, γράφων· « Μὴ ἴσεσθε ἑτεροζυγοῦντες ἀπίστοις· » μονονουχὶ τοῦτο λέ-

Vers. 14. *Nolite jugum ducere cum infidelibus.*

Ecclesiastica imo potius scripturali consuetudine conjugatæ viris dicuntur uxores. Vetat ergo his verbis nuptias cum alienis, dicens : « Ne ducatis jugum cum infidelibus. » Hoc propemodum diserte

[72] Rom. XIII, 12. [73] 2. Cor. X, 4. [74] Matth. V, 20. [75] Psal. CXXII, 1.

Digitized by Google

dicens : Vir fidelis ne ducat uxorem infidelem ; tu enim suavi Jesu jugo subjaces ; illa autem sub cujusdam improbi jugo est. Vicissim quæ fidem habet mulier, ne idololatræ viro jungatur. Suadet itaque ut conjugium cum alienis vitetur, exponens quæ omnino eventura sunt, dicensque : « Quæ participatio justitiæ cum iniquitate ? » et reliqua. Quia enim fidelis justitiam habet, et est lux mundi, sub Christo degens ; contra infidelis iniquitate scatet, ac propterea tenebrosus est et Beliari subjectus, qui scelestus est ; non oportet fidelem participem fieri infidelis : nam ipse templum Dei effectus est, infidelis vero idolorum. Unde quia nec justitia particeps est iniquitatis, nec lumen communionem habet cum tenebris, ne Christo quidem concordia est cum Beliare, neque templo Dei conventio cum templo idolorum ; ad nuptias hujusmodi veniendum non est : male enim sibi facit, qui ita se gerit fidelis, dum particeps fit nequitiæ, imo et cum tenebris communicat, et ad Beliarem transfugit, et infidelem partem eligit. Fugiamus itaque prædicta omnia, qui templum sumus Dei dicentis : « Inhabitabo in eis et inambulabo [96]. » Si enim filii filiæque Dei estis, ab impuris infidelibus segregati, cavete quominus sub idem jugum rediganini ; ut sacras has consequamini remunerationes, si vos purgaveritis ab omni inquinamento nuptiarum carnalium cum alienis. Tunc enim denique spiritus sanctificationem et mente et opere perficietis.

CAP. VII, VERS. 1. *Has igitur habeutes*, etc. Varie autem prædicta locutio interpungitur. Alii enim legunt : « Has igitur habentes promissiones, charissimi, purgemus nos ab omni inquinamento carnis ac spiritus ; » ut neque carnis neque spiritus, id est neque animæ neque mentis inquinamentum a peccato habeamus. Tunc enim necessario eveniet, ut perficiamus nostram cum timore sanctificationem ; ita ut spiritu et corpore sancti simus. Alii vero postquam legerint : « Purgemus nos ab inquinamento carnis ac spiritus, » distinguunt ; « et spiritus perficientes sanctificationem, » retinentque hanc distinctionem, quotquot volunt sanctum esse Spiritum, quoties sine adjectivo in Scripturis ponitur. Aiunt enim, Scripturam cum vult hunc denotare, ubi de sancto agitur, vel Dei Spiritum, vel aliud hujusmodi dicere. Sed tamen etiam sine adjectivo, velut ibi : « Ipse Spiritus testimonium reddit spiritui nostro [97] ; » dum contrarius spiritus cum adjectivo semper nominatur ita : Spiritus immundus, spiritus dæmonii, et sicubi aliter cum adjectivo pronuntiatur.

VERS. 2. *Capite* (38) *nos*, etc. Fiducialiter locuturus, una cum Epistolæ hujus

[96] Rom. VIII, 16.

(37) Animadvertunt Christiani hanc Didymi justam nuptiarum cum infidelibus detestationem. Neque obstat Cyrillus, qui in comment. Epist. I ad Cor. apparenter contradicere videtur. Etenim Cyrillus non tam de ineundo cum infidelibus conjugio agit, quam de perseverantia in illo etiam post susceptos Christi sacramenta propter religiosæ virtutis fiduciam.

(38) Sic vulgatus interpres, et sic etiam alii Latini veteres legunt hic *capite*, quæ est nota veritii χωρέω significatio. Didymus tamen eleganter ita mox explanat, ceu si nos Latine diceremus *sinite*.

γων· Πιστὸς ἀνὴρ μὴ ἀγέσθω ἄπιστον γαμετήν. Σὺ μὲν γὰρ ὑπὸ τὸν χρηστὸν Ἰησοῦ ζυγὸν ὑπάρχεις. ἐκείνη δὲ ὑπὸ ζυγὸν πονηροῦ τινός ἐστιν. Ὁμοίως ἡ πίστιν ἔχουσα γυνὴ μὴ ζευγνύσθω ἀνθρώπῳ εἰδωλολάτρῃ. Πείθει δὲ παραιτεῖσθαι τὴν ἑτεροζυγίαν, ἐπιφέρων τὰ πάντως ἐσόμενα, φάσκων· « Ἡ τίς μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ ; » καὶ τὰ ἑξῆς. Ἐπεὶ γὰρ ὁ πιστὸς δικαιοσύνην ἔχει, καὶ φῶς ἐστι τοῦ κόσμου, τυγχάνων ὑπὸ τὸν Χριστόν, ὁ δὲ ἄπιστος ἀνομίας ἐστὶ πλήρης, ὡς διὰ τοῦτο σκότος εἶναι ὑποκείμενον τῷ Βελίαρ (πονηρὸς δέ τις οὗτος)· οὐ δεῖ μερίδα τὸν πιστὸν ἔχειν μετὰ ἀπίστου. Αὐτὸς μὲν γὰρ ναὸς Θεοῦ κατεσκεύασται· ὁ δὲ ἄπιστος, εἰδώλων. Ὅθεν ἐπεὶ ἀμέτοχος ἀνομίας ἡ δικαιοσύνη, καὶ ἀκοινωνήτως ἔχει τὸ φῶς πρὸς τὸ σκότος, ἀλλ' οὐδὲ συμφωνία τῷ Χριστῷ πρὸς τὸν Βελίαρ ἐστὶν, οὐδὲ ναῷ Θεοῦ συγκατάθεσίς τις μετὰ ναοῦ εἰδώλων, οὐ προσελθετέον γάμῳ τοιούτῳ (37). Πλήσσει γὰρ τοῦτο πράσσων ὁ πιστὸς, μετέχων ἀνομίας· ἀλλὰ καὶ κοινωνῶν τῷ σκότει, καὶ πρὸς τὸν Βελίαρ αὐτομολῶν, καὶ μερίδα τὴν ἄπιστον ἀσπαζόμενος. Φύγωμεν τοιγαροῦν τὰ προειρημένα πάντα, ναὸς ὄντες τοῦ εἰρηκότος Θεοῦ· « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. » Εἰ γὰρ υἱοὶ καὶ θυγατέρες Θεοῦ γίνεσθε, ἀφορισθέντες τῶν ἀκαθάρτων ἀπίστων, μὴ τῷ αὐτῷ ζυγῷ ὑπολάβητε ἑαυτούς· ἵνα τῶν ἱερῶν τούτων ἀμοιβῶν τύχητε, καθαρίσαντες ἑαυτοὺς ἀπὸ πάντων μιασμάτων τῶν ἐξ ἑτερογαμίας γινομένων σαρκίνων ὄντων· τότε γὰρ τὴν τοῦ πνεύματος πρακτικῶς καὶ τῷ φρονεῖν ἐπιτελέσετε ἁγιωσύνην.

ΚΕΦ. Ζ', στ. α'. *Ταύτας οὖν ἔχοντες*, κ. τ. λ. Στίζεται δὲ ἡ προκειμένη λέξις διαφόρως. Οἱ μὲν γὰρ ἀναγινώσκουσι· « Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· » ὅπως μήδὲ σαρκὸς μηδὲ πνεύματος, τοῦτ' ἔστι τῆς ψυχῆς ἢ τῆς γνώμης, μολυσμὸν ἐξ ἁμαρτίας σχῶμεν· τότε γὰρ ἀναγκαίως ἕψεται ἐπιτελέσαι ἡμᾶς ἐν φόβῳ Κυρίου ἁγιωσύνην· ὥστε πνεύματι καὶ σώματι ἁγίους εἶναι. Ἕτεροι δὲ ἀναγνόντες τὸ, « Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, » διαστέλλουσι, « καὶ πνεύματος ἐπιτελοῦντες ἁγιωσύνην· » κρατύνουσι δὲ τὴν διαστολὴν ταύτην ὅσοι θέλουσι τὸ ἅγιον εἶναι Πνεῦμα, τὸ ἄνευ προσθήκης ἐν ταῖς Γραφαῖς φερόμενον. Φασὶ γὰρ τὴν Γραφὴν, δηλῶσαι βουλομένην τοῦτο, ὅπου μὲν ἅγιον ᾖ, Θεοῦ Πνεῦμα ἢ ἕτερόν τι τοιοῦτο λέγεσθαι· ἀλλὰ καὶ ἄνευ προσθήκης, ὡς ἐν τῷ· « Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν· » τοῦ ἐναντίου μετὰ προσθήκης ἀεὶ καλουμένου οὕτως· Πνεῦμα ἀκάθαρτον, πνεῦμα πονηρὸν, πνεῦμα δαιμονίου, καὶ εἴ πως ἄλλως μετὰ προσθήκης προφέρεται.

Στ. β'. *Χωρίσατε ἡμᾶς*, κ. τ. λ. Παῤῥησιάζεσθαι μέλλων μετὰ τῶν συνεκπεμπόν-

Digitized by Google

των τὴν Ἐπιστολήν, φησὶ τοῖς Κορινθίοις· « Χωρήσατε, » τουτέστιν, Ἐνέγκατε ἡμᾶς ἀπολογουμένους· « οὐδενὶ ὑμῶν αἴτιοι ἀδικίας ἢ φθορᾶς ἢ πλεονεξίας γεγενήμεθα. Ταῦτα δὲ παῤῥησιάζομαι, οὐκ ἀναχρίνειν ὑμᾶς βουλόμενος· προεμαρτυράμην γὰρ ὅτι οὕτως ἑτοίμως ἔχετε, ὡς ὑπεραποθανεῖν ἡμῶν· καὶ γὰρ ἡμεῖς ὑπὲρ ὑμῶν· ἡ γὰρ τοιαύτη τῆς προθυμίας ἑτοιμασία, ἐν ταῖς καρδίαις ἡμῶν τε καὶ ὑμῶν παρεσκευάσθη. Ὅθεν πολλὴν ὑπὲρ ὑμῶν καύχησιν ἔχων, πλήρης εἰμὶ τῆς παραμυθίας, ὑπερπερισσεύομαι ἐν τῇ χαρᾷ τῆς ὑπὲρ τῆς σωτηρίας ὑμῶν χαρᾶς καὶ εὐφροσύνης ἐπὶ πᾶσιν, ἧ ὑφιστάμεθα ὑπὲρ τῆς ἀληθείας καθώσει. Καὶ γὰρ ἐν τῇ Μακεδονίᾳ ἐληλυθότων, ἄνεσιν οὐδεμίαν ἔσχεν ἡ σὰρξ ἡμῶν, συνεχῶς προσπιπτόντων πειρασμῶν. Ὅμως εἰ καὶ ἡ σὰρξ ἄνεσιν οὐκ ἔχει, τῷ πνεύματι γενναιάζομεν· ἐπείπερ οὐ στενοχωρούμεθα, κἂν ἐν παντὶ θλιβώμεθα. » Ἑρμηνεύων δὲ τίνα ἦν τὰ θλίβοντα, ἐπήγαγεν τὸ, « Ἔξωθεν μὲν μάχας εἶναι· ἔσωθεν δὲ φόβους· » καὶ τοῦτο διττῶς νοεῖται. Πρότερον γὰρ λεκτέον, ἔξωθεν μὲν μάχας ὑπάρχειν τοῖς ἀποστόλοις ἐκ τῶν διώκειν καὶ ἐπηρεάζειν βουλομένων ἀπίστων· ἔσω δὲ φόβους, τῷ τοὺς δοκοῦντας ἔσω τῆς Ἐκκλησίας καὶ πίστεως εἶναι, ἀνερματίστως καὶ ἀβεβαίως ἔχειν. Ἐφοβοῦντο γὰρ τὸ παλίμβολον τῶν Κορινθίων, τῷ ταχὺ παράγεσθαι ἀπὸ τῶν δογμάτων τῆς ἀληθείας· ὅθεν φησὶ πρὸς αὐτούς· « Φοβοῦμαι μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, φθαρῇ τὰ νοήματα ὑμῶν. » Ἕτερος δὲ νοηθείη τὸ, « Ἔξωθεν μάχαι· » τοῦτ' ἔστιν, αἱ καθ' ἡμῶν ἐπαναστάσεις γινόμεναι, τὰ ἔξωθεν ἡμῶν θλίβουσιν, οὐ χωροῦσαι μέχρι τοῦ ταράξαι τὴν καρδίαν. Ὅμως εἰ καὶ ἀτάραχος ἡ ψυχή, ἀλλ' οὖν ἔνδον εἰσὶ φόβοι οἱ περὶ μεταπτώσεως· τρεπτοὶ γάρ ἐσμεν.

parker auctoribus, ait Corinthiis : « Capite, » id est, Patimini apologiam nostram : « apud vestrum neminem rei sumus injustitiæ, aut corruptionis aut avaritiæ. Hæc autem confidenter dico, haud volens vos condemnare; jam enim antea testatus sum, vos etiam paratos esse pro nobis mori, vicissimque pro vobis nos : namquo hæc audentis animi promptitudo, in nostris æque ac vestris cordibus stabilita est. Quapropter multam de vobis capiens lætitiam, plenus sum consolatione, superabundante in nobis propter vestram salutem gaudio ac jucunditate in omnibus, per eam quam toleravimus pro veritate ærumnam; nam et cum venissemus in Macedoniam, nullam requiem habuit caro nostra, incurrentibus sine remissione tentationibus. Verum etsi caro quietem non habet, spiritu alacri sumus : etenim non angustiamur, etiamsi undique premimur. » Et mox declarans quænam essent pressuræ, addidit : « Foris pugnæ, intus autem timores. » Atque hoc duplici modo intelligitur : forinsecus nempe pugnas accidere apostolis ab infidelibus persequi et nocere volentibus. Intrinsecus vero timores, propterea quod qui intra Ecclesiam fidemque esse videbantur, instabiles infirmique essent. Timebatur enim Corinthiorum inconstantia, ne statim recederent a dogmatibus veritatis. Unde ait illis : « Vereor ne sicut serpens Evam seduxit astutia sua, ita corrumpantur sensus vestri [11]. » Alio quoque modo intelligi potest locutio « Foris pugnæ, » id est, quæ excitatæ sunt adversus nos persecutiones, exterius nos premunt, neque tamen usque ad cor turbandum penetrant. Nihilominus, quanquam imperturbata est anima, attamen intus sunt timores ne forte mutatio aliqua fiat. Etenim variabiles sumus.

Στ. ς'. Ἀλλ' *ὁ παρακαλῶν τοὺς ταπεινούς.*

Ὁ διδοὺς τοῖς ταπεινοῖς χάριν Θεὸς παρακαλεῖ αὐτούς, παραμυθίαν ὀρέγων, ὅπως τλητικῶς τὰ ἐπίπονα φέρωσι· παρεμυθήσατο καὶ ἡμᾶς ἐν τῇ ἀφ' ὑμῶν πρὸς ἡμᾶς ἐπιδημίᾳ Τίτου. Οὐ μόνη δὲ ἡ παρουσία αὐτοῦ παρεκάλεσεν, ἀλλὰ καὶ ἡ ἐπαγγελία ἡ περὶ ὑμῶν. Ἔφασκεν γὰρ ἣν ἐνεδείξασθε εἰς αὐτὸν κατὰ Θεὸν σπουδήν· ἐπέτεινε δὲ ἡμῖν τὰ τῆς ἱλαρότητος, γινώσκουσιν ὡς πολλὴν διάθεσιν καὶ σπλάγχνα ὑπερβαλλόντως ἀποσώζει πρὸς ὑμᾶς· πρὸς τούτοις ἐπήγγειλε καὶ ζῆλον καὶ ὀδυρμὸν καὶ πόθον ἔχειν ὑμᾶς ὑπὲρ ἐμοῦ, ὡς μηκέτι διστάζειν περὶ τοῦ λελυπῆσθαι ὑμᾶς ἐκ τῶν γενομένων ἐλέγχων ἐκ τῆς προτέρας Ἐπιστολῆς. Ἐμάνθανον γὰρ ἐκ τῶν λόγων αὐτοῦ, ὡς ἡ λύπη πρὸς ὀλίγον ὑπάρξασα ἐκ τῶν γραφέντων, σπέρμα καὶ ἀμορφὴ μεγίστης εὐφροσύνης γέγονεν.

Vers. 6. *Sed qui consolatur humiles.*

Qui dat humilibus gratiam Deus, recreat eos solamine oblato, ut patienter ærumnas ferant. Idem consolatus est etiam nos in reditu Titi a vobis ad nos. Neque solum adventus ejus recreavit, verum etiam quæ de vobis nuntiavit; narravit enim quale exhibueritis erga illum in Deo studium. Auxit autem hilaritatem nostram, scientibus quantum affectum ac benignitatem erga vos conservat. Insuper nuntiavit zelum, mœrorem, desideriumque vestrum pro nobis, ita ut jam non sim anxius quod contristaverim vos reprehensionibus in priore Epistola. Didici enim ex narratione ejus, brevem qui exstitit ex meo scripto dolorem, semen causamque fuisse gaudii maximi.

Στ. ιβ'. *Εἰ καὶ ἔγραψα, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος.*

Ἀδικήσαντα λέγει τὸν γυναῖκα τοῦ πατρὸς ἐσχηκότα ἀδικηθέντα δὲ ἤτοι τὸν πατέρα οὗ τὴν γυναῖκα εἶχεν, κἂν τεθνηκὼς ᾖ· ἢ τὸν κωλύοντα γάμον τοιοῦ-

Vers. 12. *Etsi scripsi vobis non propter eum qui fecit injuriam, nec propter eum qui passus est*

Injuriosum dicit hominem illum, qui uxorem patris sui in matrimonio habebat : passum vero injuriam ait vel patrem, cujus ille uxorem sibi

[11] II Cor. xi, 3.

Digitized by Google

copulaverat, etiamsi mortuus erat; vel certe prohibentem nuptias hujusmodi. Poterat enim, si prædictorum causa principaliter Epistola mittebatur, non communiter, sed ad illos scribi. Quapropter haud ob illos duos credendum est, sed ob agnoscendum studium vestrum obtemperandi scriptam fuisse Epistolam. De hoc enim semper glorior in Macedonibus, atque ad eumdem zelum adhortor. Timueram enim ne forte confunderer, si vos haud congrue mœrorem suscepissetis. Nunc quia non ita actum est, secundum Deum potius vobis contristatis, unde multa consecuta est pœnitentia, gaudeo exsultoque de hac omni re vobiscum.

VERS. 13. *Abundantius vero magisque gavisi sumus*, etc.

Præter hoc gaudium, aucta est recreatio solamenque nostrum, testante illo lætanter de sancto vestro studio : namque et suum spiritum conquievisse dicit perspecta obedientia vestra; quia tales vos invenit, qualem constanter vestram obedientiam esse nuntiabant. Tunc autem quiescit alicujus spiritus cum quietis causas recipit, opera nimirum pietatis atque virtutis, et fidelem secundum veritatem sententiam : at illi qui vitæ suavitates a benivolis suis recipiunt, ii secundum carnem quiescunt, non secundum spiritum. Valde igitur nos recreat Titus constanter nuntians vestram ad honesta opera obedientiam. Quod ipsum gaudii causa fit, quoniam sicut alia semper cum veritate loqui visi sumus.

CAP. VIII, VERS. 13. *Non enim ut aliis sit remissio, vobis autem tribulatio.*

Non cogit religionis doctrina dare quod quis non habet, sed quod habet libenter largiri. Hoc autem facilius fiet si considerabimus quinam hi sint quibus de nostro impertimur : sancti enim sunt, et Dei famuli : quare etiam speramus fore nobis retributionem : valent enim pro materialibus quæ recipiunt, spiritalia retribuere. Ita ergo æqualitas præsenti etiam tempore erit. Sic in mannæ concessione eveniebat, cum nec ei qui parum habebat deficeret, nec redundaret qui multum habebat. Tunc enim stat inæqualitas, cum cœlestia et magna possidentibus sanctis, vobis autem terrestria et exigua tenentibus, non fit vicissitudo. Quamobrem serite carnalia, sanctorum usibus faventes, ut ab iis spiritalia metatis. Sic enim fiet æqualitas, dum vos ab illis magna, et illi vicissim exigua recipient; habebitis enim cum exiguis magna, et illi vicissim cum magnis exigua. Hæc, inquam, juste emendatoque jure fiet æqualitas.

VERS. 20. *Devitantes hoc, ne quis nos vituperet*, etc.

Hæc aio non ut vobis patrociner (scio enim quomodo erga me affecti sitis), sed ut non solum coram Domino, verum etiam coram hominibus bene nos gerere videamur. Nam quod Deus testis sit nostri alacris erga vos servitii, non est ambiguum; sed enim hominum quoque habenda ratio est, ne forte

A τον. Ἐνῆν γάρ, εἴπερ αὐτῶν χάριν προηγουμένως ἡ προσφώνησις ἐγίνετο, μὴ κοινὴν, ἀλλὰ πρὸς ἐκείνους βλέπουσαν ποιῆσαι Ἐπιστολήν. Διὸ ἡγητέον μὴ ἐκείνων ἕνεκα, ἀλλ' ὑπὲρ τοῦ γνωσθῆναι τὴν σπουδὴν ὑμῶν τὴν πρὸς τὸ ὑπακούειν κεχαράχθαι τὴν εἰρημένην προσφώνησιν. Περὶ ταύτης γὰρ ἀεὶ καυχῶμαι Μακεδόσιν, εἰς ζῆλον τὸν αὐτὸν προτρεπόμενος. Ἐδεδίειν γοῦν μὴ καταισχυνθῶ, ὑμῶν μὴ δεόντως τὴν λύπην δεξαμένων. Ἐπεὶ οὖν οὐχ οὕτω γεγένηται, κατὰ Θεὸν λυπηθέντων, ὡς πολλὴν ἀκολουθῆσαι μετάνοιαν, χαίρω θαῤῥῶν ἐν παντὶ τοιούτῳ ἐν ὑμῖν.

Στ. ιγ'. *Περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν*. κ. τ. λ.

B Πρὸς ταύτῃ τῇ χαρᾷ ἐπετάθη ἡ παράκλησις καὶ ἡ παραμυθία ἡμῶν τῇ τοῦ μαρτυροῦντος περὶ ὑμετέρας σὺν ἁγιότητι σπουδῆς. Ἀναπεπαῦσθαι γὰρ τὸ πνεῦμα φησὶν ἐκ τῆς ὑμετέρας ὑπακοῆς· ἐπείπερ οὕτως εὗρεν ἔχοντας, ὡς ἑκάστοτε ἀνήγγελλον αὐτῷ περὶ ὑπακοῆς ὑμῶν. Ἀναπαύεται δέ τινος τὸ πνεῦμα, ὅτ' ἂν παρὰ τῶν αἰτιῶν τῆς ἀναπαύσεως δέχηται, κατ' εὐσέβειαν καὶ ἀρετὴν πράξεις, καὶ πιστὸν κατὰ τὴν ἀλήθειαν φρόνημα· τῶν τὰ ἡδέα τοῦ βίου παρὰ τῶν εὐφρονούντων δεχομένων, κατὰ σάρκα ἀναπαυομένων, ἀλλ' οὐ κατὰ πνεῦμα. Πάνυ γὰρ ἀνακτᾶται ἡμᾶς ὁ Τίτος, συνεχῶς ἀπαγγέλλων τὴν περὶ τὰ καλὰ ὑπακοὴν ὑμῶν· τοῦτο δὲ αὐτὸ τερπωλῆς αἴτιον γίνεται, ὅτι ὥσπερ τὰ ἄλλα μετὰ τοῦ ἀληθεύειν ἀεὶ λέγοντες ὤφθημεν.

ΚΕΦ. Η'. στ. ιγ'. *Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις.*

C Οὐκ ἀναγκάζει ὁ τῆς εὐσεβείας λόγος μεταδιδόναι ὃ μὴ ἔχει τις, ἀλλ' ὃ ἔχει παρέχεσθαι προθύμως. Καταρθωθήσεται δὲ τοῦτο ῥᾷστα σκοπήσασι τίνες οἱ κοινωνούμενοι· ἅγιοι δέ εἰσι καὶ Θεοῦ θεραπευταί οὗτοι· διὸ καὶ ἐλπίζομεν ἀντίδοσιν ἔσεσθαι· ἱκανοὶ γὰρ ἀνθ' ὧν δέχονται αἰσθητῶν, νοητὰ παρασχεῖν. Οὕτω γὰρ ἰσότης καὶ ἐν τῷ νῦν καιρῷ ἔσται· ὡς ἐπὶ τῆς δόσεως τοῦ μάννα γεγένηται· οὐδὲ τοῦ τὸ ὀλίγον ἔχοντος ἐλαττουμένου, οὐδὲ πλεονάζοντος τοῦ πολὺ ἔχοντος. Ἀνισότης γὰρ μένει, ὅτ' ἂν τῶν ἁγίων ἐπουράνια καὶ μεγάλα ἐχόντων, ὑμῶν δὲ ἐπίγεια καὶ μικρὰ κεκτημένων, ἀντίδοσις μὴ γίνηται. Ὅθεν σπείρετε σαρκικὰ, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, ἵνα θερίσητε ἐξ αὐτῶν τὰ πνευματικά. Οὕτω γὰρ ἰσότης ἔσται, προσλαμβανόντων ὑμῶν τῶν μεγάλων, κἀκείνων τῶν μικρῶν· ἕξετε γὰρ μετὰ τῶν μικρῶν τὰ μεγάλα, κἀκεῖνοι μετὰ τῶν μεγάλων μικρά. Αὕτη δὲ ἰσότης ὑπάρχθήσεται κατὰ τὸ ἐπανορθωτικὸν δίκαιον.

Στ. κ'. *Στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται*, κ. τ. λ.

Ταῦτα γράφω οὐχ ὑμῖν ἀπολογούμενος (οἶδα γὰρ ὡς διάκεισθε περὶ ἡμῶν), ἀλλ' ὅπως ἡμεῖς μὴ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἀνθρώπων, ἔργα ἀγαθὰ ἔχειν προνοώμεθα. Ὅτι μὲν γὰρ ἐπίσταται Θεὸς οἷα προθέσει ὑπηρετοῦμεν, οὐκ ἀμφιβάλλεται· ὅτι δὲ καὶ τῶν ἀνθρώπων προσήκει, ὅπως μὴ ἀπατηθῶσι περὶ

Digitized by Google

φενάκων καὶ σοφιστικῶν, σπουδάζειν δεῖ. Ἰστέον δὲ, ὅτι ὁ προτιθέμενος Θεῷ προηγουμένως ἀρέσκειν, εἶτα ἀνθρώποις, οὐκ ἀνθρωπάρεσκος, ἀλλ' ὁ αὐτὸ τοῦτο μόνον προῃρημένος θνητοῖς ἀποδέκτως ζῆν, κἂν μὴ Θεὸς ἀποδέχηται.

Στ. κβ'. *Τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν.*

Καὶ ἐγκωμιάσας αὐτὸν ἀπὸ τῶν οἰκείων κατορθωμάτων, καὶ ἀπὸ τῆς πρὸς ἐκείνους ἀγάπης ἐπαίρει, σπέρματα αὐτοῖς προαποτιθέμενος τῆς πρὸς Κορινθίους ἀγάπης, ὥστε καὶ ταύτῃ πλείονα γενέσθαι τὴν εἰσφοράν· καὶ λοιπὸν ἐπειδὴ ἀπέδειξεν αὐτῶν τὴν ἀρετὴν, παρακαλεῖ καὶ τὰ ὑπὲρ αὐτῶν.

ΚΕΦ. Ι', στ. α'. *Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς.*

Αὐτὸς ἐγὼ ὁ διδάσκαλος ὑμῶν καὶ γράφων τὰ προκείμενα, παρακαλῶ κατὰ ἀρετὴν ἣν Χριστός μοι δέδωκεν (ἔστι δὲ πρᾳότης καὶ ἐπιείκεια), θαρρῆσαι ἔτι μακρὰν τυγχάνων τῇ ὑποταγῇ ὑμῶν, ὡς ὀφθῆναί με ταπεινὸν παρόντα. Ὅτ' ἂν γὰρ ἐπιδημήσας εὕρω τὰ τῆς προτροπῆς εἰς ἔργα μεταβαλόντας, μέτριος τὴν γνώμην σὺν πραότητι πολλῇ συνδιατρίψω ὑμῖν. Ὅθεν δέομαι μὴ παρὼν θαρρῆσαι οὕτως ὡς φέρειν πρόσωπον ἐλέγχοντος καὶ πλήττοντος διδασκάλου· ὅπως μὴ ἀναγκασθῶ τῇ σὺν παῤῥησίᾳ πεποιθήσει διδασκάλου τολμῆσαι κατά τινων λογιζομένων βαδίζειν ἡμᾶς κατὰ σάρκα· ἢ οὐ κατὰ σάρκα ἀναστρέφεσθαι νομίσειέν τις, ὅτ' ἂν οἰηθῇ μὴ τοῦ πράγματος χάριν ταῦτ' ἡμᾶς γεγραφέναι, ἀλλ' ὅπως δόξωμεν μεγάλοι τινὲς εἶναι, ὑμῶν ὑπηκόων καὶ πλείονα συνεισφερόντων γινομένων; Θεὸς γὰρ μαρτυρεῖ καὶ ἀνθρώπων πλείονες, ὅτι τῆς διακονίας ὅπως δαψιλὴς γένηται, καὶ οὐκ ἄλλου τινὸς ἀνθρωπίνου χάριν, γέγονε τὰ τῆς συμβουλῆς.

Στ. γ'. *Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα.*

Τὸ προκείμενον νόησιν ἔχει τοῦ ἐν ἑτέρᾳ Ἐπιστολῇ γραφομένου ἔχοντος οὕτως· « Ἐπὶ γῆς περιπατοῦντες, ἐν οὐρανῷ ἔχομεν τὸ πολίτευμα· » καὶ γὰρ ταυτὸν εἴη τὸ κατὰ σάρκα, καὶ ἐπὶ γῆς περιπατεῖν· καὶ τὸ μὴ κατὰ σάρκα στρατεύεσθαι, τοῦ τὸ πολίτευμα ἔχειν ἐν οὐρανῷ. Κατὰ σάρκα δὲ στρατεύεσθαι λέγει οὐ πάντως τοὺς εἰς πόλεμον παρεσκευασμένους, ἀλλὰ γὰρ καὶ τοὺς σαρκίνους καὶ διὰ τοῦτο πεπραμένους ὑπὸ τὴν ἁμαρτίαν, οἷοι ἦσαν περὶ ὧν εἴρηται· « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. » Οἱ τούτους ὑπεραναβεβηκότες ὡς τὸ φρόνημα καὶ τὰ ἔργα τῆς σαρκὸς, πάλιν κατὰ πνεῦμα στρατεύονται τῷ βασιλεῖ τῶν ὅλων Χριστῷ. Διὸ ἵνα ἀρέσωσι τῷ στρατεύσαντι, οὐκ ἐμπλέκονται ταῖς τοῦ βίου πραγματείαις, τοῦτ' ἔστι τοῖς ὑλικοῖς. Ἀμέλει γοῦν ἃ φέρουσιν ὅπλα, οὐκ αἰσθητὰ καὶ σωματικὰ (ἀσθενῆ γὰρ ταῦτα), ἀλλὰ δυνατὰ τῷ Θεῷ εἶναι. Καθαιροῦσι γοῦν οἱ χρώμενοι τούτοις τὰς ὀχυρότητας τῶν ἀπατηλῶν λόγων πάνυ σοφιστικῶς κατεσκευασμένων πρὸς τῶν ἑτεροδόξων· ἀλλὰ καὶ τὰ ὄντα ἐν τοῖς λόγοις τοῦτοις ὑψώματα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ἐπαιρόμενα. Οἱ γὰρ

[78] Philipp. III, 20. [79] Gen. VI, 3.

a dolosis ac fallacibus decipiantur. Sciendum vero est, eum qui Deo principaliter, deinde etiam hominibus placere velit, de numero non esse illorum qui hominibus proprie placere student : talis enim ille tantum est, qui hoc unum satagit ut mortalibus, Deo etiam fortasse invito, placeat.

VERS. 22. *Fratrem nostrum quem probavimus.*

Hunc ob sua bona opera laudans, mox etiam ob charitatem erga illos extollit, semina præjaciens amoris erga Corinthios, ut sic etiam major fieret oblatio. Deinceps, postquam illorum ostendit virtutem, ut ils quoque bene fiat precatur.

CAP. X, VERS. 1. *Ipse autem ego Paulus obsecro vos.*

Ipse ego magister vester qui hæc scribo, obsecro vos per virtutem quam mihi Christus concessit (hæc est autem mansuetudo et modestia), ut confidam absens obedientiæ vestræ, inter vos autem versans humilis videar. Nam cum ad vos veniens invenero adhortationes meas in opus collatas, modesto animo multaque cum mansuetudine vobiscum versabor. Quamobrem rogo, ne præsens demum extolli debeam, et objurgantis castigantisque magistri personam sumere : et ne cogar fiducia magistrali adversus aliquos asper fieri, qui me putant secundum carnem ambulare. Nonne enim secundum carnem nos conversari crederet aliquis, si forte putaret nos haud ipsius argumenti causa hæc scribere, sed ut magnum aliquid videremur, vobis interim obedientibus, et plura conferentibus? Deus autem testis est et plerique homines, quod ut ministerium latius fieret, et non rei cujuslibet humanæ causa, hæ vobis suasiones oblatæ fuerunt.

VERS. 3. *In carne enim ambulantes, non secundum carnem militamus.*

Verba hæc eamdem sententiam continent, quæ in alia Epistola ita se habet : « In terra ambulantes, in cœlo conversamur [78]. » Idem quippe est secundum carnem, quod in terra ambulare; vicissimque perinde est non secundum carnem militare, ac in cœlo conversari. Secundum carnem autem militare dicit, haud sane illos qui in bellum procedunt, sed carnales homines qui idcirco mancipati sunt peccato ; cujusmodi erant illi de quibus dictum fuit : « Non permanebit Spiritus meus in hominibus his, quia carnes sunt [79]. » Qui autem supra hæc se extollunt, id est supra carnis affectum et opera, hi vice versa secundum spiritum militant regi omnium Christo. Propterea ut imperatori suo placeant, non implicantur mundi negotiis, id est materialibus. Et sane quæ ferunt arma, ea non sunt materialia et corporea (infirma enim hæc), sed potentia Deo sunt. Qui ergo hoc armorum genere utuntur, destruunt fraudulentorum sermonum arces, quas arte prorsus sophistica heterodoxi construxerant. Sed et illorum orationis sublimitatem adversus scientiam Dei se extollentem diffiant : nam qui scien

Digitized by Google

tiæ veritatis impia et athea dogmata objiciunt, eloquentiæ suæ viribus munita castella ædificant, intra quæ se concludentes, invicti sibi videntur. Insuper, ea quæ deinde tanquam ex cathedra, cum apparente demonstratione pronuntiant, vano tumore plena, falso sensu extolluntur, quasi superiora sint ecclesiasticæ sententiæ, quæ appellatur scientia Dei, quia nempe hanc ipse dignis tribuit. Ergo ob destruendas prædictas arces ac munitiones, induentes Dei armaturam secundum spiritum, eo quem diximus modo militemus : dissolvamus sophisticos illorum sermones, et dogmata refutemus, omnem, inquam, opinionem hominum ab his deceptoribus sub erroris jugum missorum; sed et alumnos regionis illorum captivantes, ad Christi obsequium transferamus. Dictum Apostoli isthoc etiam modo intelligi potest, id est : Quamlibet opinionem in qualibet doctrina expressam, necessario violenterque eo deducamus, ut omnino studeamus suadere obedientiam Christi. Sic enim illud Athenis inscriptum aræ epigramma, quod plurium deorum intelligentiam præbebat, auctor hujus Epistolæ pertrahens, ad unum verum Deum transtulit dicens : « Quem igitur ignorantes colitis, ego vobis nuntio [80] : » et quidem nomine ignoti, multitudinem deorum denotabat epigramma. Cum itaque omnis intellectus captivabitur in obedientia Christi, tunc parati erimus ad contumaciam quamlibet ulciscendam. Sicut qui victo aliquo populo captivos ceperunt, ad eorum depopulandam regionem confidenter decurrunt. Hæc autem addit his quæ scripserat : « Cum impleta fuerit vestra obedientia, quæ secundum faciem sunt speculamini. » Varie autem intelligere licet locutionem hanc. Nam si imperative proferatur, ita significat : Cum per assensum divino magisterio impleta fuerit obedientia vestra, o Corinthii, tunc faciem speculamini : sic enim dignoscetis homines ovina pelle vestitos, qui sunt intus lupi rapaces. Item dignoscetis germanos magistros, quibus dictum fuit : « Vos estis lux mundi [81]. » Ita vobis explorantibus, cognoscentur quinam sint deceptores, hosque expelletis : item quinam sint vere Christi apostoli, quibus etiam prompte obedire velitis. Dicto huic consonat alterum : « A fructibus eorum cognoscetis eos [82]. » Quod si indicativo modo pronuntietur, « Secundum faciem speculamini, » hujusmodi sensum reddit : De magistrorum qualitate, et discipulorum ingenio judicatis, faciem semper loquentium spectantes deceptique ab his qui exterioris tantum apparentiæ curam gerunt. Si quis itaque, cum sit lupus, ovinam tantum pellem mentitur, hunc ceu pseudapostolum habete : enim vero qui propheta est, tanquam apostolum ac prophetam. Profecto quidam simulantes se Christi discipulos, re autem vera sodales ejus qui se in angelum lucis transformat [83],

A ἀντιτασσόμενοι τῇ γνώσει τῆς ἀληθείας, ἀσεβῆ καὶ ἄθεα δόγματα παρεισάγοντες, τῇ δεινότητι τῶν λόγων φρούρια ὀχυρὰ οἰκοδομοῦντες, ἔνδον αὐτῶν χωροῦντες, ἡγοῦνται εἶναι ἀκαταμάχητοι. Πρὸς τούτους, ἃ διδασκαλικῶς δῆθεν σὺν φαινομένῃ ἀποδείξει προφέρουσι μάταιον ὕψος ἔχοντα, ψευδεῖ νοήσει ἐπαίρεται, ὡς ἀνωτέρω χωροῦντα τῆς ἐκκλησιαστικῆς γνώμης ὀνομαζομένης γνώσεως Θεοῦ· αὐτὸς γὰρ αὐτοῖς τοῖς ἀξίοις παρέχει. Ἕνεκα γοῦν τοῦ καθαιρῆσαι τὰ προειρημένα ὑψώματα καὶ ὀχυρώματα, ἐνδυσάμενοι τὴν πανοπλίαν τοῦ Θεοῦ κατὰ πνεῦμα, τῷ εἰρημένῳ τρόπῳ στρατευόμεθα. Διαλύομεν γοῦν τοὺς σοφιστικοὺς αὐτῶν λόγους, καὶ τὰ δόγματα διελέγχομεν· ἀμέλει γοῦν πᾶν νόημα τῶν ἠπατημένων κεχρατημένον ὑπὸ τῶν ἀπατεώνων· ἀλλὰ καὶ ἀνατραφὲν ἐν
B χώρᾳ τῇ ἐκείνων αἰχμαλωτίζοντες, φέρομεν πρὸς τὸ ὑπακοῦσαι τῷ Χριστῷ. Δυνατὸν ἐκλαβεῖν καὶ οὕτως· Πᾶν νόημα τὸ ὅπως ποτὲ ἔν τινι διδασκαλίᾳ φερόμενον, ἀνάγκῃ καὶ βίᾳ μετοικίζοντες πρὸς τὸ πεῖσαι ὑπακοῦσαι τῷ Χριστῷ φέρομεν. Οὕτω γὰρ τὸ Ἀθήνῃσιν ἀνακείμενον βωμῷ ἐπίγραμμα, ἐμφαῖνον πολλῶν θεῶν νόημα, ἑλκύσας ὁ ταῦτα γράφων μετήνεγκεν εἰς τὸν μόνον ἀληθινὸν Θεόν, φήσας· « Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν· » ἀγνοούμενον δὲ πλῆθος θεῶν ἐδήλου τὸ ἐπίγραμμα. Ὅτ' ἂν οὖν πᾶν νόημα αἰχμαλωτισθῇ εἰς ὑπακοὴν τοῦ Χριστοῦ, τὸ τηνικάδε ἑτοίμως ἔξομεν κατὰ πάσης παρακοῆς ἐπαγαγεῖν ἐκδίκησιν· ὥσπερ
C οἱ αἰχμαλώτους λαβόντες ἐν τῷ νενικηκέναι ἔθνος τι θαρράλεοι γίνονται εἰς τὸ κατασκάψαι τὴν χώραν ἐκείνων. Τούτοις ἐπιφέρει πρὸς αὐτοὺς οἷς ἔγραφεν· « Ὅτ' ἂν ἡ ὑπακοὴ ὑμῶν πληρωθῇ, τὰ κατὰ πρόσωπον βλέπετε. » Διαφόρως δὲ ἔστιν ἐπιστῆσαι τῇ λέξει ταύτῃ· εἰ μὲν γὰρ προστακτικῶς ἐκφέροιτο, σημαίνει τόδε· Ὅτ' ἂν διὰ συγκαταθέσεως τῆς πρὸς τὴν θείαν διδασκαλίαν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. ὦ Κορίνθιοι, τὰ κατὰ πρόσωπον σκοπεῖτε. Οὕτω γὰρ γνώσεσθε τοὺς δορᾶν προβάτου περικειμένους, ἔνδον ὄντας λύκους ἁρπαγας· καὶ τοὺς ὄντως γνησίους διδασκάλους, οἷς εἴρηται· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Οὕτω δὲ σκοπήσασιν ὑμῖν, γνωσθήσονται οἱ ἀπατεῶνες, οὓς καὶ ἐκβαλεῖτε, καὶ οἳ ἀληθῶς ἀπόστολοι Χριστοῦ, οἷς καὶ πεισθῆναι προθύμως ἐθελήσατε. Τούτῳ συνᾴδει τὸ, « Ἀπὸ τῶν
D καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. » Εἰ δὲ ὁριστικῶς ἐκφέροιτο τὸ, « Κατὰ πρόσωπον βλέπετε, » τοιαύτην ὑποβάλλει νόησιν· Τὴν διάθεσιν τῶν διδασκάλων, καὶ τῶν μαθητῶν τὴν δύναμιν κρίνετε, εἰς τὸ πρόσωπον ἀεὶ τῶν λεγόντων ἀτενίζοντες, ἀπατώμενοι πρὸς τῶν μόνης τῆς ἔξω φανείας (39) ἐπιμελουμένων. Ἄν τις οὖν λύκος ὢν ἐπιψεύσηται εἶναι πρόβατον μόνον κώδιον ἐπιφερόμενος, τοῦτον δέχεσθε ψευδαπόστολον· καὶ τόνδε προφήτην ὄντα, ὡς ἀπόστολον καὶ προφήτην. Ἀμέλει γοῦν τινες προσποιησάμενοι εἶναι Χριστοῦ μαθηταί, ἀληθείᾳ δὲ ὄντες γνώριμοι τοῦ μετασχηματιζομένου εἰς ἄγ-

[80] Act. xvii, 23. [81] Matth. v, 14. [82] Matth. vii, 16 [83] II Cor. xi, 14.

(39) Cod. φονείας.

Digitized by Google

γελον φωνὴ, ἀπάτην ἐποίησαν παρ' ὑμῖν τισιν, ὡς οὐκ οὔσης ἀναστάσεως νεκρῶν, οὐδὲ τῆς λογικῆς ψυχῆς ἐπιδιαμενούσης μετὰ τὸν τοῦ σώματος χωρισμόν. Ἀμφιβόλως τοίνυν ἔχοντος τὸ πῶς ἐξενήνεκται τὸ, « Κατὰ πρόσωπον βλέπετε, » τῆς προτέρας νοήσεως κρατούσης διδασκαλικῶς.

Στ. ιζ'. *Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.*

Ἐλέγξας αὐτάρκως τοὺς τἀναντία διδάσκοντας, ὡς μάτην αὐχοῦντας εἶναι Χριστοῦ, ἀναγκαίως ἐπήγαγεν, δεῖν καυχᾶσθαι ἐν Κυρίῳ τὸν ἀμέμπτως καὶ εἰλικρινῶς δόξης ἐφιέμενον· οὐ γὰρ ὁ ἑαυτὸν ἀποδεικνὺς εἶναι δόκιμον, πάντως ἐστὶ τοιοῦτος, ἀλλ' ὃν ὁ Κύριος διὰ μαρτυρίας συνέστησεν. Ἀμέλει γοῦν ὁ περὶ αὐτὸν λόγος Φαρισαῖος φήσας, « Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, » οὐ δόκιμος, ἀλλ' ἀδόκιμος ὤφθη. δικαιωθέντος παρ' αὐτὸν τοῦ ἐξαγορεύσαντος τὰ ἴδια ἁμαρτήματα τελώνου. Οἱ δὲ ἅγιοι δόκιμοι καὶ ἀνεντίρρητοι τυγχάνουσι συσταθέντες ὑπὸ Θεοῦ. Τῷ γοῦν γράφοντι τὰ προκείμενα ἐμαρτύρησεν εἰπὼν περὶ αὐτοῦ τῷ Ἀνανίᾳ· « Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος. » Ἀλλὰ καὶ τοῖς ἀποστόλοις πᾶσιν ἡ ὑπὸ τοῦ Σωτῆρος γενομένη ἐκλογὴ μαρτυρεῖ· ὡς καὶ αὐτοὺς μὴ ἑαυτοὺς συνεστακέναι, ἀλλ' ἐκ Θεοῦ ἐσχηκέναι τοῦτο.

ΚΕΦ. ΙΑ', στ. α'. *Ὤφελον ἀνείχεσθέ μου μικρὸν ἀφροσύνης.*

Δείξας, ὡς οὐ σοφῶν, ἀλλ' ἀφρόνων ἐστὶ τὸ αὐτοὺς ἐπαινεῖν, καὶ ὅτι Κορίνθιοι μᾶλλον ὑπὸ τῶν τοιούτων ψυχαγωγοῦνται, φησὶ πρὸς αὐτούς· Ὤφελον ἀνείχεσθέ μου λέγοντος περὶ ἐμαυτοῦ, ὃ κἀκεῖνοι λέγουσι περὶ ἑαυτῶν. Καὶ γὰρ ἔχων ἀληθῆ πολλὰ γράφειν, παρῃτησάμην ἄν, ἐπιστάμενος; ὡς ἀφρόνων τυγχάνει τὸ περιαυτολογεῖν· ἀλλ' ἐπεὶ ἀνέχεσθε τῶν οὕτω λεγόντων, ἐρῶ κἀγώ, οὐχ ὅπως ἐπαινον θηρεύσω, ἀλλ' ὠφελείας ὑμῖν αἴτιος γένωμαι. Κατὰ Θεὸν γὰρ ὑμᾶς ζηλῶ, οὐ βουλόμενος φθαρήσεσθαι τὰ νοήματα ὑμῶν πρός τινος τῶν κακὰ λεγόντων· καὶ ἀκολούθως γε τὸν προειρημένον ζῆλον ἔχω· ἐπείπερ τῷ ἀληθῶς ἑνὶ ἀνδρὶ Χριστῷ ἐμνηστευσάμην τὴν Ἐκκλησίαν ὑμῶν, οὖσαν παρθένον ἁγνήν. Δέος δὲ, μὴ ὡς τὴν μητέρα τοῦ γένους ἡμῶν ἔφθειρεν ὁ ὄφις, πανουργίᾳ χρησάμενος, φθαρῆτε καὶ ὑμεῖς ὑπὸ ψευδοδιδασκάλων δι' ἀκεραιότητα ἣν ἔχετε· εὐφήμως δὲ ταύτην εὐχέρειαν οὖσαν ἁπλότητα ὠνόμασεν. Γνώσεται δέ τις ὡς πανουργίᾳ τοῦ ὄφεως ἐξηπατήθη Εὔα, ἐπιστήσας ὡς παρεποίησε τὴν θείαν ἐντολὴν τοῦ Θεοῦ εἰπόντος· « Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ· » τὸ γὰρ προσταγὲν, καθόλου εἰς τὸ ἀντικείμενον σοφιστικῶς μετήγαγεν.

Στ. ζ'. *Ἢ ἁμαρτίαν ἐποίησα, ἐμαυτὸν ταπεινῶν;*

Ἢ δοκεῖτε ὅτι δωρεὰν τὸ Εὐαγγέλιον ὑμῖν διακονήσας, ἥμαρτον ἐμαυτὸν ταπεινῶν; Κατηγόρησα ἐμαυτοῦ, ὅπως δόξητε ὑψοῦσθαι, ἐπὶ τῷ δῆθεν ἀληθεύειν κατ' ἐμαυτοῦ ὡς ἡμαρτηκότος, ἐπεὶ μὴ λαβὼν μισθὸν τοῦ Εὐαγγελίου. Ἴστε δὲ ὅτι οὐ μόνον ἀποδημῶν ὑμῶν παρῃτησάμην λαβεῖν τι, ἀλλὰ

A errorem nonnullis vestrum suaserunt, tanquam si mortuorum resurrectio non esset, neque anima superesset post suam a corpore separationem. Etiamsi igitur ambigua sit dictio : « Secundum faciem speculamini, » a magistro tradi præstat.

Vers. 17. *Qui autem gloriatur, in Domino glorietur.*

Postquam satis reprehendit contraria docentes, qui se temere Christi esse gloriabantur, necessario addidit oportere gloriari in Domino eum qui irreprehensibiliter pureque gloriam appetit. Non enim qui se ostentat quasi probatum, prorsus talis est, sed quem Dominus testimonio suo commendaverit. Certe ille Pharisæi sermo quo aiebat : « Non sum sicut cæteri hominum [65], » haud probatus sed im-
B probatus potius apparuit; justificatus autem præ ipso is qui propria peccata confessus fuerat publicanus. Quippe sancti probati sunt et extra controversiam positi, si a Deo commendentur. Et quidem hujus Epistolæ auctori testatus est Dominus de ipso loquens ad Ananiam : « Vas electionis est mihi iste [66]. » Sed et de cunctis apostolis a Salvatore facta electio testatur, non ipsos semet commendavisse, sed a Deo id munus accepisse.

CAP. XI. Vers. 1. *Utinam sustineretis modicum quid insipientiæ meæ!*

Cum jam ostendisset non esse sapientium morem sed insipientium laudes proprias canere, et Corinthios his potissimum delectari, ait illis : Utinam sustineretis me pro me ipso dicentem ea, quæ illi
C pro se loquuntur! Sane cum vera multa haberem scribere, abnuebam id, sciens esse stultorum consuetudinem de se ipsis loquendi. Sed quoniam sustinetis qui sic loquuntur, dicam et ego, non ut laudem venor, sed ut aliquam vobis afferam utilitatem. Quippe secundum Deum vos zelor, nolens mentes vestras corrumpi a quoquam prave loquente. Meritoque prædictum zelum habeo, quia uni vere viro Christo despondi Ecclesiam vestram virginem castam. Subit autem me timor, ne sicut matrem generis nostri serpens calliditate utens corrupit, vos quoque a pseudomagistris corrumpamini propter vestram simplicitatem. Honesto scilicet verbo eam, quæ levitas erat, nuncupavit simplicitatem. Cognoscet autem quilibet serpentis astutia deceptam fuisse
D Evam; animadvertens ipsum pervertisse mandatum Dei qui dixerat : « Ex omni ligno paradisi [67] : » quod enim mandatum fuerat, in contrarium prorsus sophistico astu convertit [67].

Vers. 7. *Aut nunquid peccatum feci, me ipsum humilians?*

An putatis, quod quia gratis Evangelium vobis ministravi, peccaverim me ipsum humilians? Memet accusavi, ut vos extolli videamini, veraciter dicendo me peccasse, quia mercedem Evangelii non accepi. Scitis autem, quod non solum cum discessi a vobis renui quidquam accipere, sed et præsens in patria

[65] Luc. xviii, 11. [66] Act. ix, 15. [67] Gen. ii, 16. [67] Gen. iii, 1 sqq.

Digitized by Google

vestra, cum mihi necessaria deessent nolui vos gravare, aliis interim Ecclesiis mihi victum suppeditantibus: nam et qui ex Macedonia venerunt fratres, necessitatibus meis subvenerunt. Hæc ego constanti fiducia dico cunctis Achaiæ Ecclesiis. Retinebo autem hoc propositum, ut nulla re in posterum, sicut nec antea, gravis sim.

καὶ παρὼν τῇ πατρίδι ὑμῶν, ὑστερηθεὶς τῶν ἀναγκαίων ἐπιλειψάντων, οὐ φορτικὸς γεγένημαι, ἄλλων Ἐκκλησιῶν τὴν χρείαν ἀποπληρωσασῶν. Καὶ γὰρ οἱ ἀπὸ Μακεδονίας πρὸς μὲ ἐλθόντες ἀδελφοί, τὰ πρὸς τὰς χρείας παρέσχον. Αὕτη δὲ ἡ παῤῥησία σώζεταί μοι πρὸς πάσας τὰς τῆς Ἀχαΐας Ἐκκλησίας· φυλάξω δὲ αὐτὴν ταύτην τὴν πρόθεσιν, ἵνα ἐν παντὶ ἀβαρῆ ὥσπερ ἐτήρησα ἐμαυτὸν καὶ τηρήσω.

VERS. 12. *Ut amputem occasionem eorum qui volunt occasionem.*

Haud enim ex odio id agimus, sed ut amputemus prætextum quemlibet cupientibus ansam calumniandi arripere; ut si et hi impostores nihil forte a quoquam acceperint, evadant nobis similes. Non enim nos similes illis, sed ipsi similes nobis comperientur. Quod si libere veritas dicenda est, apparenter tantum similes nobis comperientur. Etenim nos sincero proposito prædictam agendi rationem suscepimus; illi autem ficta honesti persona sumpta, non tales esse sed tales videri student.

Στ. ιβ'. *Ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν.*

Οὐ γὰρ μισοῦντες τοῦτο πράττομεν, ἀλλ' ἵνα ἐκκόψωμεν πᾶσαν πρόφασιν τῶν παθούντων ἀφορμὰς εὑρίσκειν διαβολῆς· ἵνα κἂν αὐχεῖν δοκῶσι τὸ μὴ λαμβάνειν τι παρά τινος οἱ ἀποτεῶνες, εὑρεθῶσιν ὡς καὶ ἡμεῖς· οὐ γὰρ ἡμεῖς, ὡς ἐκεῖνοι, ἀλλ' αὐτοὶ ὡς ἡμεῖς εὑρεθήσονται. Εἰ δὲ ἔστιν ἀληθεύοντα παῤῥησιάσασθαι, τῷ δοκεῖν ὡς ἡμεῖς εὑρίσκονται. Ἡμεῖς γὰρ ἀληθεῖ προθέσει μετερχόμεθα τὴν λεχθεῖσαν οἰκονομίαν· αὐτοὶ δὲ ἐπιμορφαζόμενοι τὸ καλὸν οὐκ εἶναι τοιοῦτοι, ἀλλὰ δοκεῖν εἶναι ποθοῦντες.

VERS. 13. *Nam ejusmodi pseudapostoli, operarii subdoli.*

Veri apostoli, operarii absque ullo adjectivo dicti sunt illic: « Rogate ergo dominum messis, ut operarios mittat [66]. » Præterea: « Dignus est operarius alimonia sua [67]. » Hi vero, de quibus scribo, dicuntur nunc operarii subdoli; in alia autem Epistola operarii mali nuncupantur [68]. Transfigurant ergo se in Christi apostolos, cum tales non sint, sed externo tantum habitu illudant: idem habentes institutum ac pseudoprophetæ, qui cum sint mente lupi rapaces, vellus sibi circumponunt ut oves esse videantur. Sic de iis loquens, ostendit non esse incredibile quod ait. Nam si ille, qui horum improbitatis causa est (diabolus scilicet), simulat se angelum esse lucis, cum sit tenebrarum, consequenter illi qui ab eo ad fallendum incitantur, transformant se, ut simplicibus videantur justitiæ ministri. Sciendum tamen est, nonnisi abusive dici transfigurari Satanam in angelum lucis. Etenim proprie transfiguratio de corporibus dicitur, quæ in alia corpora demutantur. Itaque hæc dictio denotat eum potius qui se in lucem transformat, cum sit cæteroqui inscitia tenebrisque plenus. Quod si ex tenebris constare quis existimet eum qui se transformat in angelum lucis, caveat putare hunc substantialiter esse talem: nam sententia hujusmodi impia est, utpote Manichaica. Diabolus quidem proprio proposito malus est et tenebræ: quare sponte voluntate, ut alios decipiat, lucem simulat, ut virtutem ac scientiam habere credatur. Etsi igitur pseudapostoli deceperint nonnullos, transfigurando se in prædictas formas, attamen finem operibus parem nanciscentur, cum diabolo in ignem æternum tanquam illius ministri abituri.

Στ. ιγ'. *Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι.*

Οἱ τῷ ὄντι ἀπόστολοι, ἐργάται ἄνευ προσθήκης εἰρηνται ἐν τῷ, « Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ἵνα ἐργάτας ἐμβάλῃ· » καὶ ἔτι, « Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. » Οὗτοι δὲ περὶ ὧν γράφω, ἐνταῦθα μὲν ἐργάται δόλιοι· ἐν ἄλλῃ δὲ Ἐπιστολῇ ἐργάται κακοὶ ὀνομάζονται. Μετασχηματίζονται οὖν εἰς ἀποστόλους Χριστοῦ, οὐκ ὄντες τοιοῦτοι, ἀλλὰ σχήματι μόνῳ ἀπατῶντες· προαίρεσιν τὴν αὐτὴν ἔχοντες τοῖς ψευδοπροφήταις, οἳ τὴν γνώμην λύκοι ἅρπαγες ὄντες, περιβάλλονται κώδια, ἵνα δόξωσιν εἶναι πρόβατα. Τοῦτο εἰπὼν περὶ αὐτῶν, δείκνυσιν ὡς οὐ παράδοξον τὸ εἰρημένον. Εἰ γὰρ ὁ αἴτιος τυγχάνων τοῦ τοιούτους αὐτοὺς εἶναι (διάβολος δὲ οὗτος), ὑποκρίνεται ἄγγελος εἶναι φωτὸς, σκότους ὑπάρχων, ἀκολούθως οἱ πρὸς αὐτοῦ εἰς τὸ πλανᾷν ἐνεργούμενοι, μεταχαράττουσιν ἑαυτοὺς ὡς ὑποληφθῆναι ἀκεραίοις ὅτι διάκονοι δικαιοσύνης εἰσίν. Ἰστέον ὅτι τὸ μετασχηματίζεσθαι τὸν Σατανᾶν εἰς ἄγγελον φωτὸς, καταχρηστικώτερον εἴρηται· κυρίως γὰρ μετασχηματισμὸς ἐπὶ σωμάτων ἀμειβόντων τὰ σώματα κατηγορεῖται. Μᾶλλον οὖν ἡ προκειμένη λέξις δηλοῖ τὸν ἐπιμορφαζόμενον τὸ φῶς, ἀγνοίας καὶ τοῦ λοιποῦ σκότου πλήρη (40) ὄντα. Ἐὰν δὲ σκότους ἀκούῃ τις εἶναι τὸν μετασχηματιζόμενον εἰς ἄγγελον φωτὸς, μὴ κατ' οὐσίαν εἶναι αὐτὸν τοιοῦτον ὑπολαμβανέτω· ἀσεβὴς γὰρ ἡ δόξα αὕτη, μανιχαϊκὴ οὖσα. Ὁ γὰρ διάβολος ἰδίᾳ προθέσει κακὸς, καὶ σκότος ἐστὶν· ὡς αὖ ἰδίᾳ προαιρέσει χάριν τοῦ ἀπατῆσαι ὑποκρίνεται τὸ φῶς, ἵν' ἀρετὴν καὶ γνῶσιν ἔχειν νομισθῇ. Κἂν τοίνυν ἀπατῶσί τινας τῷ μετασχηματίζεσθαι εἰς τὰ προειρημένα, ἀλλ' οὖν τέλος κατάλληλον τοῖς πράττουσιν ἕξουσι, σὺν διαβόλῳ εἰς τὸ πῦρ τὸ αἰώνιον ὡς διάκονοι αὐτοῦ ἀπελευσόμενοι.

[66] Matth. IX, 38. [67] I Tim. V, 12. [68] Philipp. III, 2.

(40) Cod. πλήρης.

Digitized by Google

Στ. κα'. *Ἐν ἀφροσύνῃ λέγω.*

Ἡ ἐνταῦθα λεγομένη ἀφροσύνη, οὐ καθάπαξ ἐστὶ τοιαύτη· οἰκονομικῶς γὰρ ἐπιτελουμένη, σφοδροτάτης συνέσεώς ἐστι πλήρης. Ἀποδίδωσι πρὸς τὸ, « Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι, » τὸ, « Ἑβραῖοί εἰσι καὶ Ἰσραηλῖται καὶ Ἀβραὰμ σπέρμα; κἀγώ. » Προηγουμένη δὲ αὐτῷ δόξα τὸ πνευματικῶς εἶναι ταῦτα.

ΚΕΦ. ΙΒ', στ. β'. *Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων*, κ. τ. λ.

Μετελήλυθεν εἰς τὸ ἀπαγγεῖλαι ὑπαρχθείσας θεοπέμπτους ὀπτασίας καὶ ἀποκαλύψεις· καὶ ταύτας μὲν ἐπὶ μέγεθος θεότητος ἐμφαίνων, οὐχ ἑαυτῷ προσῆψεν, ἀλλ' ὡς περὶ ἑτέρου ἀπαγγέλλει, τὰ τῆς ἀσθενείας καυχήματα εἰς ἴδιον πρόσωπον τάξας. Εἰκότως δὲ τῷ ἐν Χριστῷ ἀνθρώπῳ ἀνέθηκε τὴν ἐγκειμένην θεωρίαν, ἵνα δείξῃ ὅτι οὐχ ἕτερός ἐστιν ἀξιωθῆναι τηλικούτων, ἀλλ' ἐν Θεῷ Λόγῳ, σοφίᾳ τε καὶ ἀληθείᾳ καὶ ἁγιασμῷ γεγενημένῳ· πάντα γὰρ ταῦτα ὁ Χριστός ἐστιν. Οὗτος ὁ ἐν Χριστῷ ἄνθρωπος ἡρπάγη ἕως τρίτου οὐρανοῦ καὶ ἐν τῷ παραδείσῳ· « πότερον ἐν σώματι ἢ ἐκτὸς τούτου, οὐκ οἶδα. » Καὶ ὁ μέν τις ἐρεῖ ἑκατέρως δυνατῶς ἔχειν τὸ γραφόμενον. Ἡρπάγη γὰρ καὶ Ἠλίας ἐν σώματι τυγχάνων· καὶ ἀνελήφθη Ἀμβακοὺμ, ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν Βαβυλῶνα τὸ σῶμα φορῶν, μετεωρισθεὶς ὑπὸ ἀγγέλου βουλήσει Θεοῦ. Ἕτερος δὲ φησίν· Ὥσπερ ἐπὶ γῆς τις περιπατῶν, ἐν οὐρανῷ τὸ πολίτευμα ἔχειν δύναται, ἀλλὰ καὶ συγκαθίσαι Χριστῷ ἐν τοῖς ἐπουρανίοις· οὕτω περικείμενός τις τὸ σῶμα ἔτι, οἷός τέ ἐστι, νοῦ (41) ὀπτασίᾳ ποδηγούμενος, ἐν οὐρανῷ καὶ τῷ παραδείσῳ γενέσθαι. Ἄλλος δέ τις ἐρεῖ, ὅτι « εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, » γράφειν αὐτὸν οὐ περὶ τοῦ ἰδίου σώματος, οὗ περίκειται ἡ ψυχή, ἀλλὰ περὶ τοῦ καθόλου· ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτο· Ἡρπάγη ἕως τρίτου οὐρανοῦ καὶ εἰς τὸν παράδεισον· πότερον δὲ σῶμα ταῦτα, ἢ ἀσώματον, οὐκ οἶδα· ἀνάκειται γὰρ ἡ εἴδησις τούτων τῷ πατρὶ τῆς σοφίας Θεῷ. Ἔχει δὲ καὶ τὸ « ἕως τρίτου οὐρανοῦ » ἀμφιβολίαν. Σημαίνεται γὰρ ἐκ τῆς ἀμφιβολίας ὁτὲ μὲν τὸ, πλειόνων ὄντων οὐρανῶν, ἕως τρίτου γεγονέναι αὐτὸν ἐπὶ τῷ τὰ ἐκεῖσε πράγματα κατανοῆσαι (ἀριθμείσθω δὲ οὗτος ἀπὸ τοῦ στερεώματος· οὗτος γὰρ πρῶτος οὐρανὸς τοῖς ἀναλαμβανομένοις ἅπαντα)· ὁτὲ δὲ τὸ, ἑνὸς ὄντος οὐρανοῦ, μέχρι τρίτου μορίου αὐτὸν ἐφθακέναι· ὁποτέρως δὲ ἔχει, Θεὸς ἂν εἰδείη, καὶ ᾧ ἂν αὐτὸς φανερώσῃ· ὅμως δύο ἁρπαγαί εἰσι δηλούμεναι, ἕως τρίτου οὐρανοῦ, καὶ ἕως εἰς τὸν παράδεισον. Λεκτέον δὲ πρὸς τοῖς εἰρημένοις, ὡς οὐδὲν εἶπεν περὶ τοῦ τρίτου οὐρανοῦ, ὡς ἀκηκοώς τι ἢ θεασάμενός ἐστι. Περὶ γὰρ τοῦ ἀπαγγείλαντος ὡς ἤκουσεν (42) ἐν αὐτῷ

A

B

C

D

Vers. 21. *In insipientia dico.*

Quæ hic dicitur insipientia, haud omnino talis est; imo sic prudenter adhibita, exquisitæ sapientiæ plena est. Refertur ad illud : « Quoniam multi gloriantur secundum carnem, gloriabor et ego. »—« Hebræi sunt, et Israelitæ atque Abrahami semen? et ego. » Cæterum præcipua ejus gloria est, quod spiritaliter hæc intelliguntur.

CAP. XII, vers. 2. *Scio hominem in Christo ante annos quatuordecim*, etc.

Transit ad annuntiandum eas, quæ oblatæ sibi fuerant, visiones ac revelationes, et has quidem ex magnitudine Dei manifestans, haud sibi tribuit, sed tanquam de alio narrat; cum tamen infirmitatis gloriationes in propria persona constituerit. Merito autem homini, qui in Christo erat, præsentem visionem attribuit, ut demonstret, non aliunde posse quemquam tali re fieri dignum, nisi qui in Deo Verbo ac sapientia et veritate atque sanctitate versetur. Cuncta enim hæc Christus est. Hic in Christo homo raptus fuit usque ad tertium cœlum et in paradisum. « Utrum in corpore, inquit, an extra illud, nescio. » Et quidem aliquis dicet, utrumque esse possibile quod scribitur. Namque Elias raptus est, in corpore adhuc exsistens [91] : et Habacuc translatus fuit Hierosolymis Babylonem corpus gerens, sublimiter ab angelo delatus voluntate Dei [92]. Alius autem interpres dicit : Sicut in terra aliquis ambulans, in cœlo conversari potest, imo et Christo assidere in cœlestibus; ita aliquem adhuc suo corpore indutum, posse mentis visione in cœlum duci et in paradiso versari. Alius adhuc dicet verba « sive in corpore sive extra corpus » scribi a Paulo non de proprio corpore, quo circumdatur anima, sed de universo; ita ut hujus dicti sensus sit : Raptus est in tertium cœlum et in paradisum : utrum vero hæc sint corpora, an secus, nescio : etenim rei hujus scientia ad patrem sapientiæ Deum pertinet. Verba quoque « usque ad tertium cœlum » habent ambiguitatem. Significatur enim hac ambiguitate modo plures esse cœlos, et Paulum usque ad tertium venisse, ut ejus loci negotia videret (hoc autem tertium numeretur a firmamento, quod est primum cœlum supputantibus omnia); alioqui, si unum credatur cœlum, usque ad tertiam ejus partem pervenisse intelligitur. Ultra porro sententia verior sit, Deus utique scit, atque ille cui is revelaverit. Simul autem duo raptus demonstrantur, nempe usque ad tertium cœlum, et usque ad paradisum. Insuper dicendum est, nihil Paulum loqui de tertio cœlo, quod nempe aliquid ibi audierit aut viderit. Nam quod nuntiat se audisse ibi ineffabilia verba

[91] IV Reg. II, 11. [92] Dan. XIV, 35.

(41) Cod. νῷ.

(42) Theodorus Mopsuestenus, in eodem quo Didymus codice, hæc inedita scribit : Τὸ, *ἤκουσεν*, ὡς ἀπὸ τῆς ἀποκαλύψεως εἶπεν, ὡς ἂν δίκην ἀκοῆς τὴν γνῶσιν αὐτῶν δεξάμενος. Οἷόν ἐστι τὸ τοῦ προφήτου· « Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; » ἀκοὴν λέγοντος τὴν ἀποκάλυψιν, δι' ἧς ὥσπερ διά τινος ἀκοῆς τῶν προσηκόντων τὴν γνῶσιν ἐλάμβανεν· τὰ δὲ *ῥήματα*, *πράγματα* εἶναί φησιν· ἑωρακέναι γὰρ αὐτὸν τοῦ παραδείσου τὸ κάλλος εἰκὸς, καὶ τὰς ἐν ἐκείνῳ τῶν ἁγίων χορείας, καὶ τὴν παναρμόνιον τῆς ὑμνῳδίας φωνήν· *Vocabulum « audivit » tanquam de revelatione dicit, quasi rerum illarum notitiam auditu percepisset. Quale est illud prophetæ* (*Isa.* LIII. 1) : « *Quis credidit*

Digitized by Google

